Migne P.G. 02 Κλήμεντος πάπα Ρώμης, Βαρνάβα ἐπιστολὴ, Ποιμὴν Ἑρμᾶ, Διαθῆκαι ιβ΄ Πατριαρχῶν

Περιεχόμενα

[ΕΠΙΣΤΟΛΗ ΠΕΤΡΟΥ ΠΡΟΣ ΙΑΚΩΒΟΝ.]....3
[ΔΙΑΜΑΡΤΥΡΙΑ ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΒΙΒΛΙΟΥ ΛΑΜΒΑΝΟΝΤΩΝ.]....5
[ΕΠΙΣΤΟΛΗ ΚΛΗΜΕΝΤΟΣ ΠΡΟΣ ΙΑΚΩΒΟΝ.]....7

[ΚΛΗΜΕΝΤΟΣ ΤΩΝ ΠΕΤΡΟΥ ΕΠΙΔΗΜΙΩΝ ΚΗΡΥΓΜΑΤΩΝ ΕΠΙΤΟΜΗ.]....15

[ΟΜΙΛΙΑ Β.]....25
[ΟΜΙΛΙΑ Γ.]....41
[ΟΜΙΛΙΑ Δ.]....63
[ΟΜΙΛΙΑ Ε.]....71
[ΟΜΙΛΙΑ ς.]....81
[ΟΜΙΛΙΑ Ζ.]....91
[ΟΜΙΛΙΑ Η.]....96
[ΟΜΙΛΙΑ Θ.]....105
[ΟΜΙΛΙΑ Ι.]....114
[ΟΜΙΛΙΑ ΙΑ.]....123
[ΟΜΙΛΙΑ ΙΒ.]....136
[ΟΜΙΛΙΑ ΙΓ.]....150
[ΟΜΙΛΙΑ ΙΔ.]....158
[ΟΜΙΛΙΑ ΙΕ.]....164
[ΟΜΙΛΙΑ Ις.]....169
[ΟΜΙΛΙΑ ΙΖ.]....178
[ΟΜΙΛΙΑ ΙΗ.]....188
[ΟΜΙΛΙΑ ΙΘ.]....198
[ΟΜΙΛΙΑ Κ.]....211
ΚΛΗΜΕΝΤΟΣ ΤΩΝ ΠΕΤΡΟΥ ΕΠΙΔΗΜΙΩΝ....223
ΚΗΡΥΓΜΑΤΩΝ ΕΠΙΤΟΜΗ....223
ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΧΕΡΣΩΝΟΣ....295
ΠΕΡΙ ΤΟΥ ΘΑΥΜΑΤΟΣ ΤΟΥ ΓΕΓΟΝΟΤΟΣ ΕΙΣ ΠΑΙΔΑ ΥΠΟ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΚΛΗΜΕΝΤΟΣ....295

ΒΑΡΝΑΒΑ ΕΠΙΣΤΟΛΗ....304

ΠΟΙΜΗΝ ΕΡΜΑ....328

Ὅρασις β....330
Ὅρασις γ....332
Ὅρασις δ....341
Ἀποκάλυψις ε....343
Ἐντολὴ α....344
Ἐντολὴ β....345
Ἐντολὴ γ....345
Ἐντολὴ δ....346
Ἐντολὴ ε....348
Ἐντολὴ ς....350

Ἐντολὴ ζ.....*352*
Ἐντολὴ η.....*352*
Ἐντολὴ θ.....*354*
Ἐντολὴ ι.....*355*
Ἐντολὴ ια.....*357*
Ἐντολὴ ιβ.....*359*
ΠΑΡΑΒΟΛΑΙ ΑΣ ΕΛΑΛΗΣΕ ΜΕΤ' ΕΜΟΥ.....362
Ἄλλη παραβολή.....*363*
Παραβολὴ γ.....*365*
Ἄλλη παραβολὴ <δ>.....*365*
Ἄλλη παραβολὴ ε.....*366*
Παραβολὴ ζ.....*371*
Παραβολὴ ζ.....*374*
Παραβολὴ η.....*375*
<Παραβολὴ θ>.....*383*

ΔΙΑΘΗΚΑΙ ΤΩΝ ΙΒ ΠΑΤΡΙΑΡΧΩΝ ΤΩΝ ΥΙΩΝ ΙΑΚΩΒ.....403

ΔΙΑΘΗΚΗ ΡΟΥΒΗΜ ΠΕΡΙ ΕΝΝΟΙΩΝ.....*403*
ΔΙΑΘΗΚΗ ΣΥΜΕΩΝ Β ΠΕΡΙ ΦΘΟΝΟΥ.....*407*
ΔΙΑΘΗΚΗ ΛΕΥΙ ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ ΚΑΙ ΥΠΕΡΗΦΑΝΕΙΑΣ.....*411*
ΔΙΑΘΗΚΗ ΙΟΥΔΑ ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ ΚΑΙ ΦΙΛΑΡΓΥΡΙΑΣ ΚΑΙ ΠΟΡΝΕΙΑΣ.....*423*
ΔΙΑΘΗΚΗ ΙΣΑΧΑΡ ΠΕΡΙ ΑΠΛΟΤΗΤΟΣ.....*435*
ΔΙΑΘΗΚΗ ΖΑΒΟΥΛΩΝ ΠΕΡΙ ΕΥΣΠΛΑΓΧΝΙΑΣ ΚΑΙ ΕΛΕΟΥΣ.....*439*
ΔΙΑΘΗΚΗ ΔΑΝ ΠΕΡΙ ΘΥΜΟΥ ΚΑΙ ΨΕΥΔΟΥΣ.....*444*
ΔΙΑΘΗΚΗ ΝΕΦΘΑΛΕΙΜ Η ΠΕΡΙ ΦΥΣΙΚΗΣ ΑΓΑΘΟΤΗΤΟΣ.....*449*
ΔΙΑΘΗΚΗ ΓΑΔ Θ ΠΕΡΙ ΜΙΣΟΥΣ.....*454*
ΔΙΑΘΗΚΗ ΑΣΗΡ Ι ΠΕΡΙ ΔΥΟ ΠΡΟΣΩΠΩΝ ΚΑΚΙΑΣ ΚΑΙ ΑΡΕΤΗΣ.....*459*
ΔΙΑΘΗΚΗ ΙΩΣΗΦ ΙΑ ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ.....*462*
ΔΙΑΘΗΚΗ ΒΕΝΙΑΜΙΝ ΙΒ ΠΕΡΙ ΔΙΑΝΟΙΑΣ ΚΑΘΑΡΑΣ.....471

[ΕΠΙΣΤΟΛΗ ΠΕΤΡΟΥ ΠΡΟΣ ΙΑΚΩΒΟΝ.]

Πέτρος Ἰακώβῳ τῷ κυρίῳ καὶ ἐπισκόπῳ τῆς ἁγίας ἐκκλησίας. ὑπὸ τοῦ
τῶν ὅλων πατρὸς διὰ Ἰησοῦ Χριστοῦ ἐν εἰρήνῃ πάντοτε.

Εἰδώς σε, ἀδελφέ μου, εἰς τὸ κοινῇ πᾶσιν ἡμῖν συμφέρον σπεύδοντα προ-
θύμως, ἀξιῶ καὶ δέομαι τῶν ἐμῶν κηρυγμάτων ἃς ἔπεμψά σοι βίβλους μη-
δενὶ τῶν ἀπὸ τῶν ἐθνῶν μεταδοῦναι μήτε ὁμοφύλῳ πρὸ πείρας, ἀλλ' ἐάν τις
δοκιμασθεὶς ἄξιος εὑρεθῇ, τότε αὐτῷ κατὰ τὴν ἀγωγὴν παραδοῦναι, καθ'
ἣν καὶ τοῖς ἑβδομήκοντα ὁ Μωυσῆς παρέδωκε τοῖς τὴν καθέδραν αὐτοῦ
παρειληφόσιν. διὰ τοῦτο καὶ ὁ καρπὸς τῆς ἀσφαλείας μέχρι τοῦ δεῦρο
φαίνεται. τὸν γὰρ αὐτὸν οἱ πανταχῇ ὁμόεθνοι τῆς μοναρχίας καὶ πολι-
τείας φυλάσσουσι κανόνα, κατὰ μηδένα τρόπον ἄλλως φρονεῖν ὑπὸ τῶν
πολλὰ νευρουσῶν γραφῶν ἐξοδευθῆναι δυνηθέντες. κατὰ γὰρ τὸν παρα-
δοθέντα αὐτοῖς κανόνα τὰ τῶν γραφῶν ἀσύμφωνα πειρῶνται μεταρρυθ-
μίζειν, εἰ δή τις· τυχὸν μὴ εἰδὼς τὰς παραδόσεις ναρκᾷ πρὸς τὰς τῶν προ-
φητῶν πολυσήμους φωνάς. οὗ ἕνεκεν οὐδενὶ διδάσκειν ἐπιτρέπουσιν, ἐὰν μὴ
πρότερον μάθῃ πῶς δεῖ ταῖς γραφαῖς χρῆσθαι. διὰ τοῦτο παρ' αὐτοῖς εἷς
θεός, εἷς νόμος, μία ἐλπίς. ἵνα γοῦν τὸ ὅμοιον καὶ παρ' ἡμῖν γένηται,
τοῖς ἑβδομήκοντα ἡμῶν ἀδελφοῖς τὰς βίβλους μου τῶν κηρυγμάτων δὸς
μετὰ τοῦ ὁμοίου τῆς ἀγωγῆς μυστηρίου, ἵνα καὶ τοὺς βουλομένους τὸ
τῆς διδασκαλίας ἀναδέξασθαι μέρος ἐφοδιάζειν ἐφοδιάζωσιν· ἐπεὶ ἐὰν
μὴ οὕτως γένηται, εἰς πολλὰς γνώμας ὁ τῆς ἀληθείας ἡμῶν διαιρε-
θήσεται λόγος. τοῦτο δὲ οὐχ ὡς προφήτης ὢν ἐπίσταμαι, ἀλλ' ἤδη

αὐτοῦ τοῦ κακοῦ τὴν ἀρχὴν ὁρῶν. τινὲς γὰρ τῶν ἀπὸ ἐθνῶν τὸ δι' ἐμοῦ
νόμιμον ἀπεδοκίμασαν κήρυγμα, τοῦ ἐχθροῦ ἀνθρώπου ἄνομόν τινα
καὶ φλυαρώδη προσηκάμενοι διδασκαλίαν. καὶ ταῦτα ἔτι μου περιόντος
ἐπεχείρησάν τινες ποικίλαις τισὶν ἑρμηνείαις τοὺς ἐμοὺς λόγους μετασχη-
ματίζειν εἰς τὴν τοῦ νόμου κατάλυσιν, ὡς καὶ ἐμοῦ αὐτοῦ οὕτω μὲν φρο-
νοῦντος, μὴ ἐκ παρρησίας δὲ κηρύσσοντος. ὅπερ ἀπείη. τὸ γὰρ τοιοῦτο
ἀντιπράσσειν ἐστὶ τῷ τοῦ θεοῦ νόμῳ τῷ διὰ Μωυσέως ῥηθέντι καὶ ὑπὸ τοῦ
κυρίου ἡμῶν μαρτυρηθέντι περὶ τῆς ἀιδίου αὐτοῦ διαμονῆς. ἐπεὶ οὕτως
εἶπεν· «Ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, ἰῶτα ἓν ἢ μία κεραία οὐ
μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου». τοῦτο δὲ εἴρηκεν, «ἵνα τὰ πάντα γίνη-
ται». οἱ δὲ οὐκ οἶδα πῶς τὸν ἐμὸν νοῦν ἐπαγγελλόμενοι, οὓς ἤκου-
σαν ἐξ ἐμοῦ λόγους, ἐμοῦ τοῦ εἰπόντος αὐτοὺς φρονιμώτερον ἐπιχει-
ροῦσιν ἑρμηνεύειν, λέγοντες τοῖς ὑπ' αὐτῶν κατηχουμένοις τοῦτο εἶναι
τὸ ἐμὸν φρόνημα, ὃ ἐγὼ οὐδὲ ἐνεθυμήθην. εἰ δὲ ἐμοῦ ἔτι περιόντος
τοιαῦτα τολμῶσιν καταψεύδεσθαι, πόσῳ γε μᾶλλον μετ' ἐμὲ ποιεῖν οἱ
μετ' ἐμὲ τολμήσουσιν; ἵνα οὖν μὴ τοιοῦτόν τι γένηται, τούτου ἕνεκα
ἠξίωσα καὶ ἐδεήθην τῶν ἐμῶν κηρυγμάτων ἃς ἔπεμψά σοι βίβλους
μηδενὶ μεταδοῦναι μήτε ὁμοφύλῳ μήτε ἀλλοφύλῳ πρὸ πείρας, ἀλλ' ἐάν
τις δοκιμασθεὶς ἄξιος εὑρεθῇ, τότε αὐτῷ κατὰ τὴν Μωυσέως ἀγωγὴν
παραδοῦναι, καθ' ἣν τοῖς ἑβδομήκοντα παρέδωκεν τοῖς τὴν καθέδραν αὐτοῦ
παρειληφόσιν, ἵνα οὕτως τὰς πίστεις φυλάξωσιν καὶ πανταχῇ τὸν τῆς
ἀληθείας κανόνα παραδῶσιν, ἑρμηνεύοντες τὰ πάντα πρὸς τὴν παράδοσιν
ἡμῶν, καὶ μὴ αὐτοὶ ὑπὸ ἀμαθείας κατασπώμενοι, ὑπὸ τῶν κατὰ τὴν
ψυχὴν στοχασμῶν εἰς πλάνην ἑλκόμενοι, ἄλλους εἰς τὸν ὅμοιον τῆς
ἀπωλείας ἐνέγκωσιν βόθυνον. καὶ τὰ μὲν ἐμοὶ δόξαντα καλῶς ἐσήμανά
σοι, τὸ δὲ σοὶ δοκοῦν, κύριέ μου, πρεπόντως ἐπιτέλει. ἔρρωσο.

[ΔΙΑΜΑΡΤΥΡΙΑ ΠΕΡΙ ΤΩΝ ΤΟΥ ΒΙΒΛΙΟΥ ΛΑΜΒΑΝΟΝΤΩΝ.]

Ἀναγνοὺς οὖν ὁ Ἰάκωβος τὴν ἐπιστολὴν μετεκαλέσατο τοὺς πρεσβυτέρους καὶ αὐτοῖς ἀναγνοὺς ἔφη· Ἀναγκαίως καὶ πρεπόντως περὶ τῆς ἀληθείας ἀσφαλίζεσθαι ὁ ἡμέτερος ὑπέμνησε Πέτρος, ὅπως τὰς τῶν αὐτοῦ κηρυγμάτων διαπεμφθείσας ἡμῖν βίβλους μηδενὶ μεταδώσομεν ὡς ἔτυχεν ἢ ἀγαθῷ τινι καὶ εὐλαβεῖ, τῷ καὶ διδάσκειν αἱρουμένῳ ἐνπεριτόμῳ τε ὄντι πιστῷ. καὶ ταῦτα μὴ πάντα ὁμοῦ, ἵνα, ἐὰν ἐν τοῖς πρώτοις ἀγνώμων φωραθῇ, τὰ δεύτερα μὴ πιστευθῇ. διὸ μὴ ἔλαττον ἔτεσιν ἓξ δοκιμαζέσθω, καὶ εἶθ' οὕτως κατὰ τὴν Μωυσέως ἀγωγὴν ἀγαγόντα αὐτὸν ἐπὶ ποταμὸν ἢ πηγήν (ὅπερ ἐστὶν «ζῶν ὕδωρ», ἔνθα ἡ τῶν δικαίων γίνεται ἀναγέννησις) μὴ ὁρκίσαι (ἐπεὶ μὴ ἔξεστιν), ἀλλὰ στῆναι αὐτῷ κελεῦσαι πρὸς τῷ ὕδατι καὶ ἐπιμαρτύρασθαι, ὡς καὶ αὐτοὶ ἀναγεννώμενοι κελευσθέντες ἐποιήσαμεν τοῦ μὴ ἁμαρτεῖν χάριν. λεγέτω δέ· Μάρτυρας ἔχοιμι οὐρανόν, γῆν, ὕδωρ, ἐν οἷς τὰ πάντα περιέχεται, πρὸς τούτοις δ' ἅπασιν καὶ τὸν διὰ πάντων διήκοντα ἀέρα, οὗ ἄνευ οὐκ ἀναπνέω, ὡς ἀεὶ ὑπήκοος ἔσομαι τῷ τὰς βίβλους μοι τῶν κηρυγμάτων διδόντι, καὶ αὐτὰς τὰς βίβλους, ἃς ἄν μοι δῷ, οὐ μὴ μεταδῶ τινι κατ' οὐδένα τρόπον, οὐ γράψας, οὐ γεγραμμένον δούς, οὐ γράφοντι ἀναδιδούς, οὐκ αὐτός, οὐ δι' ἄλλου, οὐ δι' ἄλλης τινὸς ἀγωγῆς ἢ δόλου ἢ μηχανῆς, ἢ ἀμελῶς φυλάσσων ἢ τιθῶν ἢ νεύων ἢ ἄλλῳ οἱῳδήποτε τρόπῳ ἢ ἐπινοίᾳ ἑτέρῳ αὐτὰ μεταδιδούς. πλὴν ἐὰν δοκιμάσω τινὰ ἄξιον (ὡς αὐτὸς ἐκρίθην ἢ καὶ πλεῖον δοκιμάσας, πλὴν οὐκ ἔλαττον ἔτεσιν ἕξ) τότε εὐλαβεῖ καὶ ἀγαθῷ, διδάσκειν ἐπαναιρουμένῳ, ὡς παρέλαβον παραδώσω, καὶ ταῦτα ἐπὶ τῇ τοῦ ἐπισκόπου μου γνώμῃ ποιησάμενος. ἄλλως δὲ οὐδ' ἂν τέκνον ἢ ἀδελφὸς ἢ φίλος ἢ ἄλλως πώς ποτε γένους μοι ἀνήκων, ἐάν-

περ ἀνάξιος ᾖ, τοῦδε μὴ μεταδοῦναι χάριν, ὡς οὐ προσῆκεν. οὔτε
ἐπιβουλὴν φοβηθήσομαι, οὐ δώροις κολακευθήσομαι. ἀλλ' εἰ καὶ δόξειέν
μοί ποτε τὰ διδόμενά μοι τῶν κηρυγμάτων βιβλία μὴ ἀληθῆ εἶναι, οὐδ'
οὕτως μεταδώσω, ἀλλ' ἀποδώσω. ἀποδημῶν δὲ σὺν ἐμοὶ αὐτὰ κομίσω,
ἅπερ ἂν τύχω κεκτημένος· εἰ δὲ μὴ βουληθῶ μεθ' ἑαυτοῦ αὐτὰ περιφέρειν,
ἐπὶ τῆς οἰκίας μου εἶναι αὐτὰ οὐκ ἐάσω, ἀλλὰ τῷ ἐπισκόπῳ μου τῷ τὴν
αὐτὴν ἔχοντι πίστιν καὶ ἀπὸ τῶν αὐτῶν ὁρμωμένῳ παρακαταθήσομαι.
εἰ δὲ καὶ τύχοι με νοσῆσαι καὶ τὸν θάνατον ὑποπτεῦσαι, ἐὰν ἄτεκνος ὦ,
ὁμοίως ποιήσω. ἀλλ' εἰ καὶ τελευτῶ τέκνον ἔχων οὐκ ἄξιον ἢ μηδέπω δυνά-
μενον, ὁμοίως ποιήσω· τῷ γὰρ ἐπισκόπῳ μου παρακαταθήσομαι, ἵνα,
εἰ μὲν τύχοι, ἐφ' ἡλικίας γενόμενος, ἄξιος εἶναι τῆς πίστεως, ὡς πατρόαν
παρακαταθήκην τῷ τέκνῳ ἀποδώσῃ κατὰ τὸν τῆς διαμαρτυρίας λόγον.
ὅτι δὲ οὕτως ποιήσω, πάλιν τὸ δεύτερον διαμαρτύρομαι οὐρανόν, γῆν,
ὕδωρ, ἐν οἷς τὰ πάντα περιέχεται, πρὸς τούτοις ἅπασιν καὶ τὸν διὰ
πάντων διήκοντα ἀέρα, οὗ ἄνευ οὐκ ἀναπνέω, ὡς ἀεὶ ὑπήκοος ἔσομαι
τῷ τὰς βίβλους μοι τῶν κηρυγμάτων διδόντι καὶ φυλάξω κατὰ πάντα
ὡς διεμαρτυράμην ἢ καί τι πλεῖον. φυλάσσοντι οὖν μοι τὰς συνθήκας
μέρος ἔσται μετὰ τῶν ὁσίων, ποιήσαντι δὲ παρ' ἃ συνεθέμην, ἐχθρὸν εἴη
μοι τὸ πᾶν καὶ ὁ διὰ πάντων διήκων αἰθὴρ καὶ ὁ ὑπὲρ τὰ ὅλα θεός,
οὗ κρείττων, οὗ μείζων οὐδείς. ἀλλ' εἰ καὶ εἰς ἑτέρου θεοῦ ὑπόνοιαν
γένωμαι, κἀκεῖνον νῦν ὄμνυμι ὡς οὐκ ἄλλως ποιήσω, εἴτ' ἔστιν εἴτ' οὐκ
ἔστιν. πρὸς τούτοις δ' ἅπασιν εἰ ψεύσομαι, κατάθεμα ἔσομαι ζῶν καὶ
θανὼν καὶ αἰωνίῳ κολασθήσομαι κολάσει. καὶ μετὰ τοῦτο ἄρτου καὶ ἅλατος
μετὰ τοῦ παραδιδόντος μεταλαβέτω.

Ταῦτα τοῦ Ἰακώβου εἰπόντος ὠχρίασαν ἀγωνιάσαντες οἱ πρεσβύτεροι.
συνιδὼν οὖν ὁ Ἰάκωβος, ὅτι λίαν πεφόβηνται, ἔφη· Ἀκούσατέ μου, ἀδελφοὶ
καὶ σύνδουλοι. ἐὰν τὰς βίβλους πᾶσιν ὡς ἔτυχεν παράσχωμεν καὶ αὗται ὑπὸ

τολμηρῶν ἀνδρῶν τινων νοθευθῶσιν ἢ ταῖς ἑρμηνείαις διαστραφῶσιν, ὡς ἤδη τινὰς ἠκούσατε πεποιηκότας, ἔσται λοιπὸν καὶ τοῖς ὄντως τὴν ἀλήθειαν ζητοῦσιν ἀεὶ πλανᾶσθαι. διὸ ἄμεινον παρ' ἡμῖν αὐτὰς εἶναι καὶ μεταδιδόναι μετὰ πάσης τῆς προειρημένης ἀσφαλείας τοῖς θέλουσι ζῆν καὶ ἄλλους σόζειν.
εἰ δέ τις μετὰ τὸ οὕτως διαμαρτύρασθαι ἄλλως ποιήσει, εὐλόγως αἰωνίᾳ
ὑποπεσεῖται κολάσει. τίνι γὰρ λόγῳ ἄλλων ἀπωλείας αἴτιος γενόμενος
αὐτὸς οὐκ ἀπολεῖται; τῶν οὖν πρεσβυτέρων ἐπὶ τῇ τοῦ Ἰακώβου γνώμῃ
ἡσθέντων καὶ εἰπόντων· Εὐλόγηται ὁ σὲ ὡς πάντα προειδὼς καλῶς ἡμῖν
καταστήσας ἐπίσκοπον–καὶ ταῦτα εἰπόντων αὐτῶν ἐγερθέντες προσηυξά-
μεθα τῷ τῶν ὅλων πατρὶ καὶ θεῷ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

[ΕΠΙΣΤΟΛΗ ΚΛΗΜΕΝΤΟΣ ΠΡΟΣ ΙΑΚΩΒΟΝ.]

Κλήμης Ἰακώβῳ τῷ κυρίῳ καὶ ἐπισκόπων ἐπισκόπῳ, διέποντι δὲ τὴν Ἱερουσαλὴμ ἁγίαν Ἑβραίων ἐκκλησίαν καὶ τὰς πανταχῆ θεοῦ προνοίᾳ ἱδρυθείσας καλῶς, σύν τε πρεσβυτέροις καὶ διακόνοις καὶ τοῖς λοιποῖς ἅπα-
σιν ἀδελφοῖς. εἰρήνη εἴη πάντοτε.

Γνώριμον ἔστω σοι, κύριέ μου, ὅτι Σίμων, ὁ διὰ τὴν ἀληθῆ πίστιν καὶ
τὴν ἀσφαλεστάτην αὐτοῦ τῆς διδασκαλίας ὑπόθεσιν τῆς ἐκκλησίας θεμέλιος
εἶναι ὁρισθεὶς καὶ δι' αὐτὸ τοῦτο ὑπ' αὐτοῦ τοῦ Ἰησοῦ ἀψευδεῖ στόματι
μετονομασθεὶς Πέτρος, ἡ ἀπαρχὴ τοῦ κυρίου ἡμῶν, ὁ τῶν ἀποστόλων πρῶτος,
ᾧ πρώτῳ ὁ πατὴρ τὸν υἱὸν ἀπεκάλυψεν, ὃν ὁ Χριστὸς εὐλόγως ἐμακάρισεν, ὁ
κλητὸς καὶ ἐκλεκτὸς καὶ συνέστιος καὶ συνοδοιπόρος, ὁ καλὸς καὶ δόκιμος μαθη-
τής, ὁ τῆς δύσεως τὸ σκοτεινότερον τοῦ κόσμου μέρος ὡς πάντων ἱκανώτερος
φωτίσαι κελευσθεὶς καὶ κατορθῶσαι δυνηθείς–καὶ δὴ μέχρι ποῦ μηκύνω
τὸν λόγον, μὴ βουλόμενος σημῆναι τὸ λυποῦν, ὃ ἐξ ἀνάγκης κἂν βραδὺ
πάντως εἰπεῖν με δεῖ; –οὗτος αὐτὸς διὰ τὴν ἄμετρον πρὸς ἀνθρώπους
στοργὴν σαφῶς δημοσίᾳ ἐπὶ τοῦ ἐνεστῶτος πονηροῦ τὸν ἐσόμενον ἀγαθὸν
ὅλῳ τῷ κόσμῳ μηνύσας βασιλέα, μέχρις ἐνταῦθα τῇ Ῥώμῃ γενόμενος, θεοβου-
λήτῳ διδασκαλίᾳ σόζων ἀνθρώπους, αὐτὸς τοῦ νῦν βίου βιαίως τὸ ζῆν
μετήλλαξεν.

Πρὸς αὐταῖς δὲ ταῖς ἡμέραις, αἷς ἤμελλεν τελευτᾶν, συνηθροισμένων τῶν
ἀδελφῶν, αἰφνιδίως λαβόμενός μου τῆς χειρὸς ἐγερθεὶς ἐπὶ τῆς ἐκκλησίας
ἔφη· Ἀκούσατέ μου, ἀδελφοὶ καὶ σύνδουλοι. ἐπεί (ὡς ἐδιδάχθην ἀπὸ τοῦ με

ἀποστείλαντος κυρίου τε καὶ διδασκάλου Ἰησοῦ Χριστοῦ) αἱ τοῦ θανάτου
μου ἠγγίκασιν ἡμέραι, Κλήμεντα τοῦτον ἐπίσκοπον ὑμῖν χειροτονῶ, ᾧ τὴν
ἐμὴν τῶν λόγων πιστεύω καθέδραν, τῷ ἀπ' ἀρχῆς μοι μέχρι τοῦ τέλους
συνοδεύσαντι καὶ οὕτως πασῶν μου τῶν ὁμιλιῶν ἐπακούσαντι, συνελὼν ἐρῶ,
ὃς ἐν πᾶσι πειρασμοῖς μου κοινωνήσας τῇ πίστει προσκαρτερῶν εὑρέθη, ὃν
πλεῖον πάντων πεπείραμαι θεοσεβῆ, φιλάνθρωπον, ἁγνόν, πολυμαθῆ,
σώφρονα, ἀγαθόν, δίκαιον, μακρόθυμον καὶ γενναίως εἰδότα φέρειν τὰς ἐνίων
τῶν κατηχουμένων ἀχαριστίας. διὸ αὐτῷ μεταδίδωμι τὴν ἐξουσίαν τοῦ
δεσμεύειν καὶ λύειν, ἵνα περὶ παντὸς οὗ ἂν χειροτονήσῃ ἐπὶ γῆς ἔσται
δεδογματισμένον ἐν οὐρανοῖς. δήσει γὰρ ὃ δεῖ δεθῆναι καὶ λύσει ὃ δεῖ
λυθῆναι, ὡς τὸν τῆς ἐκκλησίας εἰδὼς κανόνα. αὐτοῦ οὖν ἀκούσατε ὡς
γνόντες ὅτι ὁ τὸν ἀληθείας προκαθεζόμενον λυπῶν εἰς Χριστὸν ἁμαρτάνει
καὶ τὸν πατέρα τῶν ὅλων παροργίζει· οὗ εἵνεκεν οὐ ζήσεται. καὶ
αὐτὸν οὖν δεῖ τὸν προκαθεζόμενον ἰατροῦ τόπον ἐπέχειν, οὐ θηρίου
ἀλόγου θυμὸν ἔχειν.

Αὐτοῦ ταῦτα λέγοντος ἐγὼ προσπεσὼν ἐδεόμην αὐτοῦ, παραιτούμενος τὴν
τῆς καθέδρας τιμήν τε καὶ ἐξουσίαν. ὁ δ' ἀπεκρίνατο· Περὶ τούτου μή με ἀξίου·
τοῦτο γὰρ γενέσθαι δέδοκταί μοι, καὶ ταύτῃ μᾶλλον εἰ παραιτῇ· ὅτι ἡ τοιαύτη
καθέδρα οὐ φιλοκαθεδροῦντος τολμηροῦ χρείαν ἔχει, ἀλλ' εὐλαβοῦς τὸν
τρόπον καὶ πολυμαθοῦς τὸν λόγον. δὸς δὲ τὸν κρείττονα, ὃς ἐμοὶ σοῦ πλέον
συνώδευσεν καὶ τῶν λόγων ἐπήκουσεν καὶ τὴν διοίκησιν τῆς ἐκκλησίας
ἐκμεμάθηκεν, καὶ οὐκ ἀναγκάσω σε καλῶς ποιεῖν οὐ θέλοντα. ἀλλ' οὐ δυνήσει
νῦν τὸν σοῦ κρείττονα παρασχεῖν· σὺ γὰρ δι' ἐμοῦ τῶν σῳζομένων ἐθνῶν ἡ
κρείττων ἀπαρχή. πλὴν καὶ τὸ ἕτερον λόγισαι ὅτι, εἰ τὸν κίνδυνον τῆς ἁμαρτίας

φοβούμενος οὐκ ἀναδέχῃ τῆς ἐκκλησίας τὴν διοίκησιν, εὖ ἴσθι εἰδὼς ὅτι
πλεῖον ἁμαρτάνεις, ὅστις τοῖς θεοσεβέσιν ὥσπερ πλέουσιν καὶ κινδυνεύουσιν
βοηθεῖν δυνάμενος οὐ θέλεις, διασκοπῶν μόνον τὸ ἴδιον καὶ οὐ τὸ κοινῇ πᾶσι
συμφέρον. ὅτι δὲ τὸν κίνδυνον πάντως ἀναδέξασθαί σε δεῖ, ἐμοῦ τοῦτο
ἀξιοῦν μὴ παυομένου εἰς τὴν τῶν πάντων βοήθειαν, ὀρθῶς ἐπίσταμαι.
ὅσῳ οὖν μοι ταχύτερον συνευδοκήσεις, τοσοῦτόν με τῆς ἀθυμίας κουφίσεις.
οἶδα δὲ καὶ αὐτός, ὦ Κλήμης, λύπας καὶ ἀθυμίας καὶ κινδύνους καὶ ψόγους
τοὺς ἐξ ἀπαιδεύτων ὄχλων σοι δωρούμενος, οὓς δυνήσει γενναίως φέρειν,
ἐνορῶν τῆς ὑπομονῆς τὸν ἐκ θεοῦ σοι μέγαν ἀποδιδόμενον μισθόν. ἀλλὰ
καὶ δικαίως συνενθυμήθητί μοι πότε σου τῆς ξυμμαχίας χρείαν ἔχει ὁ
Χριστός, νῦν, ὅτε ὁ πονηρὸς κατὰ τῆς αὐτοῦ νύμφης πόλεμον ἤρατο, ἢ
εἰς τὸν ἐπιόντα χρόνον, ὅτε νικήσας βασιλεύει μηδεμιᾶς τοῦ λοιποῦ
χρείαν ἔχων βοηθείας; οὐχὶ καὶ τῷ βραχὺν νοῦν ἔχοντι δῆλον, ὅτι νῦν;
πάσῃ οὖν προαιρέσει ἐν τῷ τῆς παρούσης ἀνάγκης χρόνῳ τάχυνον ξυμμαχῆσαι
βασιλεῖ ἀγαθῷ, μισθοὺς μεγάλους μετὰ νίκην ἀποδιδόναι πεφυκότι. χαίρων
οὖν ἐπισκόπησον (εὐκαίρως ταύτῃ μᾶλλον ὡς διοίκησιν ἐκκλησίας παρ'
ἐμοῦ μεμαθηκώς) εἰς τὴν τῶν ἡμῖν προσφευγόντων ἀδελφῶν σωτηρίαν.
Πλὴν καὶ βραχέα σε ἐπὶ πάντων διὰ πάντας τὰ τῆς διοικήσεως
ὑπομνῆσαι θέλω. σὲ μὲν χρὴ ἀνεπιλήπτως βιοῦντα σπουδῇ μεγίστῃ
πάσας τὰς τοῦ βίου ἀσχολίας ἀποσείεσθαι, μήτε ἐγγυητὴν γινόμενον μήτε
συνήγορον μηδὲ ἑτέρῳ τινὶ βιωτικῷ παρεμπεπλεγμένον πράγματι. οὐ
γὰρ κριτὴν καὶ δικαστὴν χρημάτων ἢ ἀσχολημάτων καθεστάναι σε θέλει
τῶν νῦν βιωτικῶν πραγμάτων ὁ Χριστός, ἵνα συνεχόμενος εἰς τὰς νῦν
τῶν ἀνθρώπων φροντίδας μὴ εὐσχολῇς χωρίζειν λόγῳ ἀληθείας ἀνθρώ-

πων τοὺς κρείττονας ἀπὸ τῶν χειρόνων. ἀλλὰ ταῦτα μὲν οἱ μανθάνοντες
ἀλλήλοις παρεχέτωσαν, καὶ <σὲ> ἀπὸ τῶν σόζειν δυναμένων λόγων μὴ
ἀπασχολείτωσαν. ὡς γὰρ σοὶ ἀσεβές ἐστιν τὰς βιωτικὰς φροντίδας ἀνα-
δέξασθαι καταλείψαντα ποιεῖν ὃ ἐκελεύσθης, οὕτως ἑκάστῳ λαϊκῷ ἁμαρ-
τία ἐστίν, ἐὰν μὴ ἀλλήλοις καὶ ἐν ταῖς βιωτικαῖς χρείαις παρίστανται.
καὶ σὲ δὲ περὶ ὧν χρὴ ἀμέριμνον εἶναι οἱ πάντες ποιεῖν ἐὰν μὴ νοῶσιν,
παρὰ τῶν διακόνων μανθανέτωσαν, ἵνα μόνης τῆς ἐκκλησίας τὴν φρον-
τίδα ἔχῃς, πρός τε τὸ διοικεῖν αὐτὴν καλῶς καὶ τὸ τοὺς τῆς ἀληθείας
λόγους παρέχειν. ἐπεὶ ἐὰν βιωτικαῖς μερίμναις ἀσχοληθῇς, καὶ σεαυ-
τὸν καὶ τοὺς ἀκροατὰς ἐνεδρεύσεις· τὰ γὰρ συμφέροντα ἐφοδιάζειν διὰ
τὴν ἀσχολίαν οὐ δυνηθείς, καὶ σὺ ὡς μὴ διδάξας τὸ συμφέρον κολασθήσῃ,
οἱ δὲ μὴ μαθόντες ἀγνοίας αἰτίᾳ ἀπολοῦνται. διὸ σὺ μὲν αὐτοῖς εὐσχολῶν
προκαθέσθητι πρὸς τὸ εὐκαίρως παρέχειν τοὺς σόζειν αὐτοὺς δυναμένους
λόγους, καὶ οὗτοι ἐπακουέτωσάν σου, εἰδότες ὅτι ὁ τῆς ἀληθείας πρεσβευτὴς
ὃ ἂν δήσῃ ἐπὶ γῆς, δέδεται καὶ ἐν οὐρανῷ, ὃ δ' ἂν λύσῃ, λέλυται. σὺ δὲ δή-
σεις ἃ δεῖ δεθῆναι καὶ λύσεις ἃ δεῖ λυθῆναι. καὶ τὰ μὲν κατὰ σὲ τὸν προε-
στῶτα ταῦτά ἐστιν καὶ τὰ τούτοις ὅμοια.

Τὰ δὲ κατὰ τοὺς πρεσβυτέρους ἔστω τάδε. πρὸ πάντων τοὺς νέους πρὸς γά-
μον ζευγνύτωσαν ἐν τάχει, προλαμβάνοντες τῆς νεαζούσης ἐπιθυμίας τὰ
παγιδεύματα. ἀλλὰ μηδὲ τῶν ἤδη γερόντων περὶ γάμου ἀμελείτωσαν· ἐνίοις
γὰρ καὶ γηράσασιν ἀκμαία ἔνεστιν ἐπιθυμία. ἵνα οὖν μὴ ἡ πορνεία νομὴν
λαβοῦσα καθ' ὑμῶν εἰς ὑμᾶς τὸν αὐτὸν ἐμβάλῃ λοιμόν, προασφαλίζεσθε

καὶ ἐρευνᾶτε, μήπως τὸ τῆς μοιχείας λανθανόντως ἐν ὑμῖν ἀναφθῇ πῦρ.
πολὺ γὰρ δεινὸν ἡ μοιχεία, τοσοῦτον ὅσον τὰ δευτερεῖα ἔχειν αὐτὴν τῆς
κολάσεως· ἐπεὶ τὰ πρωτεῖα τοῖς ἐν πλάνῃ οὖσιν ἀποδίδοται, κἂν σωφρο-
νῶσιν. διὸ ὑμεῖς ὡς ἐκκλησίας πρεσβύτεροι ἐξασκήσατε τὴν Χριστοῦ νύμφην
εἰς σωφροσύνην (νύμφην δὲ λέγω τῆς ἐκκλησίας τὸ σύστημα)· ἐὰν
γὰρ σώφρων καταληφθῇ ὑπὸ νυμφίου βασιλέως, τιμῆς μεγίστης τεύξεται,
καὶ ὑμεῖς μεγάλης εὐφρασίας, ὡς κλητοὶ γάμων, ἀπολαύσετε. ἐὰν
δὲ ἡμαρτηκυῖα φωραθῇ, αὐτὴ μὲν ἔκβλητος ἔσται, ὑμεῖς δὲ δίκην
δώσετε, μήπως παρὰ τὴν ὑμετέραν ἀμέλειαν γέγονεν ἡ ἁμαρτία. διὸ
πρὸ πάντων περὶ σωφροσύνης φροντίζετε· λίαν γὰρ παρὰ τῷ θεῷ
χαλεπὴ ὥρισται ἡ πορνεία. πορνείας δὲ εἴδη πολλά, ὡς καὶ αὐτὸς
Κλήμης ὑμῖν διηγήσεται· πλὴν πρώτη μοιχεία ἐστὶν τὸ ἄνδρα μὴ
ἰδίᾳ μόνῃ χρήσασθαι γυναικὶ καὶ γυναῖκα μὴ ἰδίῳ μόνῳ χρήσασθαι
ἀνδρί. ἐὰν σώφρων ᾖ τις, καὶ φιλάνθρωπος γενέσθαι δύναται, οὗ
εἵνεκεν ἐλέους αἰωνίου τεύξεται. ὡς δὲ ἡ μοιχεία μέγα κακόν, οὕτως
ἡ φιλανθρωπία μέγιστον ἀγαθόν. διὸ ἀγαπᾶτε πάντας ὑμῶν τοὺς ἀδελφοὺς
σεμνοῖς καὶ ἐλεήμοσιν ὀφθαλμοῖς, τοῖς μὲν ὀρφανοῖς ποιοῦντες τὰ γονέων,
ταῖς δὲ χήραις τὰ ἀνδρῶν, παρέχοντες μετὰ πάσης εὐφροσύνης τὰς
τροφάς, τοῖς ἀκμαίοις τοὺς γάμους καὶ τοῖς αὐτῶν ἀτέχνοις διὰ τῶν ἐπι-
τηδευμάτων ἐννοούμενοι τὰς προφάσεις τῆς ἀναγκαίας τροφῆς, τεχνίτῃ
ἔργον, ἀδρανεῖ ἔλεος. οἶδα δὲ ταῦτα ποιήσειν ὑμᾶς, ἐὰν ἀγάπην
εἰς τὸν ὑμέτερον ἱδρύσητε νοῦν. πρὸς δὲ τὴν αὐτῆς εἴσοδον μία τίς ἐστιν
ἱκανὴ πρόφασις, ἡ κοινὴ τῶν ἁλῶν μετάληψις. διὸ σπουδάζετε πυκνότερον
συνέστιοι ἀλλήλων γίνεσθαι ὡς δύνασθε, ὅπως αὐτὴν μὴ ἀπεμπολήσητε·
αἰτία γάρ ἐστιν τῆς εὐποιίας, ἡ δὲ εὐποιία τῆς σωτηρίας. κοινοὺς οὖν πάν-
τες πᾶσιν τοῖς κατὰ θεὸν ἀδελφοῖς τοὺς ἑαυτῶν παρέχετε βίους, εἰδότες
ὅτι πρόσκαιρα δωρούμενοι αἰώνια λήψεσθε. πολλῷ μᾶλλον πεινῶντας

τρέφετε καὶ διψῶσι παρέχετε ποτόν, γυμνοῖς ἔνδυμα, τοὺς νοσοῦντας ἐπισκέπτεσθε, τοῖς ἐν φυλακαῖς ἐπιφαινόμενοι ὡς δύνασθε βοηθεῖτε, τοὺς
ξένους μετὰ πάσης προθυμίας εἰς τοὺς ἑαυτῶν οἴκους λαμβάνετε. πλὴν
ἵνα μὴ τὸ κατ' εἶδος λέγω, πᾶν καλὸν ἡ φιλανθρωπία ὑμᾶς ποιεῖν διδάξει,
ὥσπερ ἡ μισανθρωπία τοῖς μὴ βουλομένοις σόζεσθαι τὴν κακοπραξίαν ὑποδείκνυσιν. οἱ πράγματα ἔχοντες ἀδελφοὶ ἐπὶ τῶν ἐξουσιῶν μὴ κρινέσθωσαν, ἀλλ' ὑπὸ τῶν τῆς ἐκκλησίας πρεσβυτέρων συμβιβαζέσθω-
σαν παντὶ τρόπῳ, ἑτοίμως αὐτοῖς πειθόμενοι. πλὴν καὶ τὴν πλεο-
νεξίαν οὕτως φεύγετε ὡς προφάσει προσκαίρου κέρδους ἀπὸ τῶν αἰωνίων
ἀγαθῶν ζημιοῦν δυναμένην. ζυγά, μέτρα, σταθμία, τὰ τῶν τόπων δίκαια
ἐπιμελῶς φυλάσσετε, πρὸς τὰς παρακαταθήκας εὐγνωμονεῖτε. πλὴν ταῦτα καὶ τὰ τούτοις παραπλήσια μέχρι τέλους ποιεῖν ὑπομενεῖτε, ἐὰν
ἀχώριστον μνήμην περὶ τῆς ἐκ θεοῦ γινομένης κρίσεως ἐν ταῖς καρδίαις
ἔχητε. τίς γὰρ ἂν ἁμαρτήσῃ πεπληροφορημένος ὅτι ἐκ θεοῦ δικαίου, τοῦ
νῦν μόνου μακροθύμου καὶ ἀγαθοῦ, ἐπὶ τῇ τοῦ βίου συντελείᾳ γενέσθαι
ὡρίσθη κρίσις, ἵνα οἱ ἀγαθοὶ τοῦ λοιποῦ τῶν ἀπορρήτων ἀγαθῶν ἀιδίως
ἀπολαύσωσιν, οἱ δὲ ἁμαρτωλοὶ εὑρεθέντες ὡς κακοὶ ἀπορρήτου κολάσεως
τεύξωνται τὸν αἰῶνα; καὶ ταῦτα μὲν οὕτως ἔχειν, εἰ μὴ ὁ τῆς ἀληθείας
προφήτης ἐνόρκως εἰρήκει ἔσεσθαι, τάχα ἂν εὔλογον ἦν ἀμφιβάλλειν. διὸ
προφήτου ἀληθοῦς ὄντες μαθηταί, ἀποθέμενοι τὴν διχόνοιαν, ἐξ ἧς γίνεται
ἡ κακοπραξία, προθύμως τὸ εὖ ποιεῖν ἀναδέξασθε. εἰ δὲ περὶ τῶν εἰρη-
μένων ἔσεσθαι ἀμφιβάλλει τις ὑμῶν, μὴ αἰδεσθεὶς ὁμολογείτω, εἴπερ τῆς
αὐτοῦ φροντίζει ψυχῆς, καὶ ὑπὸ τοῦ προεστῶτος πληροφορηθήσεται. εἰ

δ' ὀρθῶς πεπίστευκεν, θαρρῶν πολιτευέσθω ὡς μέγα καταδίκης πῦρ φεύ-
γων καὶ εἰς ἀιδίαν ἀγαθὴν θεοῦ βασιλείαν εἰσερχόμενος.

Οἱ μὲν οὖν τῆς ἐκκλησίας διάκονοι τοῦ ἐπισκόπου συνετῶς ·εμβόμενοι
ἔστωσαν ὀφθαλμοί, ἑκάστου τῆς ἐκκλησίας πολυπραγμονοῦντες τὰς πράξεις,
τίς μέλλει ἁμαρτάνειν, ἵνα νουθεσίᾳ καταληφθεὶς ὑπὸ τοῦ προκαθεζομένου
τάχα οὐ μὴ τελέσῃ τὸ ἁμάρτημα· τοὺς λειποτάκτας ἐπιστρεφέτωσαν, τοῦ
μὴ ἐπιλείπειν τοὺς συνερχομένους τῶν λόγων ἐπακούειν, ὅπως τὰς ἑκάστοτε
τῇ καρδίᾳ προσπιπτούσας ἀθυμίας ἔκ τε βιωτικῶν συνπτώσεων καὶ ὁ μιλιῶν
κακῶν λόγῳ ἀληθείας καθαίρεσθαι δύνωνται· ἐπεὶ γὰρ ἂν χρόνῳ πολλῷ
χερσεύσωσιν, πυρὸς ἔργον γίνονται. τοὺς δὲ καὶ κατὰ σάρκα νοσοῦντας
μανθανέτωσαν καὶ τῷ ἀγνοοῦντι πλήθει προσαντιβαλλέτωσαν, ἵν' ἐπιφαίνων-
ται, καὶ τὰ δέοντα ἐπὶ τῇ τοῦ προκαθεζομένου γνώμῃ παρεχέτωσαν· τοῦτο
δὲ κἂν λάθρα αὐτοῦ ποιῶσιν, οὐχ ἁμαρτάνουσιν. ταῦτα μὲν οὖν καὶ τὰ τού-
τοις ὅμοια οἱ διάκονοι προνοείτωσαν.

Οἱ κατηχοῦντες πρῶτον κατηχηθέντες κατηχείτωσαν· ὅτι περὶ ψυχῆς
ἀνθρώπων τὸ ἔργον· πρὸς γὰρ τὰς πολλὰς τῶν μανθανόντων γνώμας συναρ-
μόζεσθαι δεῖ τὸν τῶν λόγων ὑφηγητήν. πολυμαθῆ οὖν καὶ ἀνεπίληπτον
πέπειρόν τε καὶ ἄδειλον τὸν κατηχοῦντα εἶναι δεῖ, ὡς αὐτοὶ εἴσεσθε Κλήμεντα
μετ' ἐμὲ κατηχεῖν μέλλοντα· πολὺ γάρ ἐστιν ἐμὲ νῦν τὸ κατ' εἶδος λέγειν.
πλὴν ἐὰν ὁμονοήσητε, δυνήσεσθε εἰς τὸν τῆς ἀναπαύσεως ἐνεχθῆναι λι-
μένα, ἔνθα μεγάλου βασιλέως ἐστὶν εἰρηνικὴ πόλις.

Ἔοικεν γὰρ ὅλον τὸ πρᾶγμα τῆς ἐκκλησίας νηὶ μεγάλῃ, διὰ σφοδροῦ χει-

μῶνος ἄνδρας φερούσῃ ἐκ πολλῶν τόπων ὄντας καὶ μίαν τινὰ ἀγαθῆς βασι-
λείας πόλιν οἰκεῖν θέλοντας. ἔστω μὲν οὖν ὑμῖν ὁ ταύτης δεσπότης
θεὸς καὶ παρεικάσθω ὁ μὲν κυβερνήτης Χριστῷ, ὁ πρωρεὺς ἐπισκόπῳ, οἱ
ναῦται πρεσβυτέροις, οἱ τοίχαρχοι διακόνοις, οἱ ναυστολόγοι τοῖς κατηχοῦσιν,
τοῖς ἐπιβάταις τὸ τῶν ἀδελφῶν πλῆθος, τῷ βυθῷ ὁ κόσμος, αἱ ἀντίπνοιαι
τοῖς πειρασμοῖς, οἱ δὲ διωγμοὶ καὶ οἱ κίνδυνοι καὶ παντοδαπαὶ θλίψεις ταῖς
τρικυμίαις, τὰ δὲ ἀπόγεια τῶν χειμάρρων [καὶ τὰ] φυσήματα ταῖς τῶν πλάνων
καὶ ψευδοπροφητῶν ὁμιλίαις, τὰ δὲ ἀκρωτήρια καὶ τὰ τραχέα τῶν τόπων
τοῖς ἐν ὑπεροχαῖς δεινὰ ἀπειλοῦσι δικασταῖς, διθάλασσοι δὲ καὶ θηριώδεις
τόποι τοῖς ἀλογίστοις καὶ ἐνδοιάζουσι περὶ τῶν τῆς ἀληθείας ἐπαγγελμά-
των. οἱ ὑποκριταὶ τοῖς πειραταῖς παρεικασμένοι νοείσθωσαν. πλὴν ἰσχυρὰν
ἴλιγγα καὶ ταρταρέαν χάρυβδιν καὶ φόνια προσρήγματα καὶ θανατώδεις
διαλύσεις μόνας τὰς ἁμαρτίας [αἰτίας] εἶναι νομίζετε. ἵνα οὖν οὐρίᾳ πλέ-
οντες εἰς τὸν λιμένα τῆς ἐλπιζομένης πόλεως ἀκινδυνότερον ἐνεχθῆτε,
ἐπηκόως εὔχεσθε· εὐχαὶ δὲ ἐπήκοοι γίνονται ταῖς εὐπραγίαις. εὐστα-
θείτωσαν οὖν οἱ ἐπιβάται ἑδραῖοι ἐπὶ τῶν ἰδίων καθεζόμενοι τόπων, ἵνα
μὴ τῇ ἀταξίᾳ σεισμὸν ἢ ἑτεροκλινίαν παρέχωσιν. οἱ ναυστολόγοι τοὺς
μισθοὺς ὑπομιμνησκέτωσαν. οἱ διάκονοι μηδὲν ἀμελείτωσαν ὧν ἐπιστεύθη-
σαν. οἱ πρεσβύτεροι ὥσπερ ναῦται καταρτιζέτωσαν ἐπιμελῶς τὰ χρῄζοντα
ἑκάστῳ. ὁ ἐπίσκοπος ὡς πρωρεὺς ἐγρηγορὼς τοῦ κυβερνήτου μόνου τοὺς
λόγους ἀντιβαλλέτω. ὁ Χριστὸς ὡς σωτὴρ κυβερνήτης φιλείσθω καὶ μόνος
περὶ ὧν λέγει πιστευέσθω. οἱ δὲ πάντες τῷ θεῷ περὶ τοῦ οὐρίᾳ πλέειν

προσευχέσθωσαν. οἱ πλέοντες πᾶσαν θλίψιν προσδοκάτωσαν ὡς μέγαν
καὶ ταραχώδη βυθὸν παραπλέοντες τὸν κόσμον· ὁτὲ μὲν ἀθυμοῦντες,
διωκόμενοι, σκορπιζόμενοι, πεινῶντες, διψῶντες, γυμνητεύοντες, στενοχω-
ρούμενοι, καὶ πάλιν [ὁτὲ μὲν] ἐνούμενοι, συναλιζόμενοι, ἡσυχάζοντες· ἀλλὰ
καὶ ναυτιῶντες, ἰλιγγιῶντες, ἀπερῶντες (τουτέστιν ἐξομολογούμενοι τὰ πα-
ραπτώματα ὥσπερ νοσοποιοὺς χολάς, τὰς ἐκ πικρίας ἁμαρτίας λέγω καὶ
τὰ ἐξ ἐπιθυμιῶν ἀτάκτων σωρευθέντα κακά, ἅτινα τῷ ὁμολογῆσαι ὥσπερ
ἀπεράσαντες κουφίζεσθε τῆς νόσου, προσιέμενοι τὴν ἐκ τῆς ἐπιμελείας
σωτήριον ὑγείαν). πλὴν γινώσκετε πάντες πάντων ὑμῶν πλεῖον κάμ-
νοντα τὸν ἐπίσκοπον, ὅτι ἕκαστος ὑμῶν τὴν αὑτοῦ θλίψιν πάσχει, αὐτὸς
δὲ τὴν αὑτοῦ καὶ τὴν ἑκάστου. διό, ὦ Κλήμης, ἑκάστῳ κατὰ τὸ δυνατὸν
προκαθέσθητι βοηθός, τὰς πάντων φορτισθεὶς φροντίδας. ὅθεν τὸ σὲ
οἰκονομεῖν ἀναδέξασθαι χάριν οἶδα εἰληφώς, οὐ δεδωκώς. ἀλλὰ θάρρει
καὶ γενναίως φέρε ὡς εἰδὼς ὅτι ἀποδώσει σοι ὁ θεὸς εἰς τὸν λιμένα τῆς
ἀναπαύσεως καταντήσαντι τὸ μέγιστον τῶν ἀγαθῶν, ἀναφαίρετον μισθόν,
καθότι ὑπὲρ τῆς τῶν πάντων σωτηρίας τὸν μείζονα ἀνεδέξω κάματον.
ὥστε ἐάν σε πολλοὶ τῶν ἀδελφῶν διὰ ἐπ' ἄκρον δικαιοσύνην μισήσωσιν,
τὸ αὑτῶν μὲν μῖσος οὐδέν σε βλάψει, ἡ δὲ τοῦ δικαίου θεοῦ φιλία πολύ σε
ὀνήσει. ὥστε πειρῶ τὸν ἐξ ἀδικίας γινόμενον ἔπαινον ἀποσείεσθαι, διὰ δὲ
δικαίαν διοίκησιν τὸν ἐκ Χριστοῦ ἐπωφελῆ θηρεύειν ἔπαινον.

Ταῦτα εἰπὼν καὶ τὰ τούτων πλείονα, πάλιν τῷ πλήθει προσεμ-
βλέψας εἶπεν· Καὶ ὑμεῖς δέ, ἀγαπητοί μου ἀδελφοὶ καὶ σύνδουλοι, τῷ
προκαθεζομένῳ ἀληθείας κατὰ πάντα ὑπείξατε, τοῦτ' εἰδότες ὅτι ὁ τοῦτον
λυπήσας Χριστόν, οὗ τὴν καθέδραν πεπίστευται; οὐκ ἐδέξατο, καὶ ὁ Χριστὸν

μὴ δεξάμενος ὡς ἀθετήσας τὸν πατέρα λογισθήσεται, διὸ τῆς ἀγαθῆς βασιλείας ἀποβληθήσεται. οὗ εἵνεκεν πειρᾶσθε κατὰ πάσας συνόδους ἔρχεσθαι, ἵνα μὴ ὡς λειποτάκται ὑπὸ τῆς τοῦ ταξιάρχου ἀθυμίας ἁμαρτίας ἔγκλημα λάβητε. διὸ πρὸ πάντων οἱ πάντες τὰ ὑπὲρ αὐτοῦ φρονεῖτε, τοῦτ' εἰδότες ὅτι δι' ἕκαστον ὑμῶν ὁ πονηρὸς αὐτῷ μόνῳ τὸ πλεῖον ἐχθραίνων προσπολεμεῖ. ὑμεῖς οὖν πειρᾶσθε τῇ πρὸς αὐτὸν στοργῇ καὶ τῇ πρὸς ἀλλήλους εὐνοίᾳ διατελεῖν καὶ αὐτῷ ἐπακούειν, ἵνα καὶ αὐτὸς κουφίζηται καὶ ὑμεῖς σωθῆναι δυνηθῆτε. ἔνια δὲ καὶ ἀφ' ἑαυτῶν νοεῖν ὀφείλετε διὰ τὸ αὐτὸν μὴ δύνασθαι ἐν φανερῷ λέγειν διὰ τὰς ἐπιβουλάς, οἷον ἐὰν ἐχθραίνῃ τινί, μὴ ἀναμένετε αὐτὸν εἰπεῖν· Τῷδε μὴ προσαμιλλᾶσθε, ἀλλὰ φρονίμως ἕπεσθε αὐτοῦ τῷ βουλήματι, ἐχθροὶ γινόμενοι οἷς ἐχθραίνει καὶ μὴ ὁμιλοῦντες οἷς μὴ ὁμιλεῖ· ἵνα ἕκαστος, ἐπιδικαζόμενος τοῦ πάντας φίλους ἔχειν, αὐτὸν διαλλάττων σόζηται, τῆς αὐτοῦ ἐπακούων ὁμιλίας. εἰ δέ τις φίλος μένει οἷς αὐτὸς ἐχθραίνει καὶ λαλεῖ οἷς αὐτὸς οὐχ ὁμιλεῖ, εἷς ἐστιν καὶ αὐτὸς τῶν ὁλοθρεύειν θελόντων τὴν ἐκκλησίαν· τῷ γὰρ σώματι συνὼν ὑμῖν, τῇ γνώμῃ μὴ ὢν μεθ' ὑμῶν, καθ' ὑμῶν ἐστιν, πολλῷ χείρων τῶν ἔξωθεν φαινομένων ἐχθρῶν, μετὰ δοκούσης φιλίας σκορπίζων τοὺς ἔσω.

Καὶ ταῦτα εἰπὼν ἐν μέσῳ ἐπὶ πάντων μοι τὰς χεῖρας ἐπιθεὶς εἰς τὴν αὐτοῦ καθέδραν καθεσθῆναί με ἐδυσώπησεν. καθεσθέντι δὲ τοῦτό μοι εὐθέως ἔφη· Ἀξιῶ σε ἐπὶ πάντων μου τῶν συνπαρόντων ἀδελφῶν, ὅπως ὁπόταν τοῦ ἐνταῦθα (ὡς ἐμοὶ ὀφείλεται) ἀπαλλάξω βίου, σὲ Ἰακώβῳ τῷ ἀδελφῷ τοῦ κυρίου διαπέμψαι ἐν ἐπιτομῇ ἀναγραψάμενον μέχρι καὶ τῶν ἐκ παίδων σου λογισμῶν καὶ ὡς ἀπ' ἀρχῆς μέχρι τοῦ νῦν συνώδευσάς μοι, ἐπακούων τῶν κατὰ πόλιν ὑπ' ἐμοῦ κηρυχθέντων λόγων τε καὶ πράξεων, ἔπειτα πρὸς τῷ τέλει καὶ τὴν τοῦ θανάτου μου πρόφασιν ὡς προεῖπον

δηλῶσαι μὴ ὀκνήσῃς. οὔτε γὰρ λίαν αὐτὸν λυπήσει τοῦτο, εἰδότα ὅτι ὃ
πάντως ἔδει με παθεῖν εὐσεβῶς ἀπεδόμην, μεγίστης δὲ παραμυθίας τεύ-
ξεται, μαθὼν ὅτι μετ' ἐμὲ οὐκ ἀμαθὴς ἀνὴρ καὶ ζωοποιοὺς λόγους ἀγνοῶν
καὶ ἐκκλησίας κανόνα οὐκ εἰδὼς τὴν τοῦ διδάσκοντος ἐπιστεύθη καθέδραν·
πλάνος γὰρ ὁμιλία τῶν ἀκουόντων ὄχλων ἀναιρεῖ τὰς ψυχάς.

Ὅθεν ἐγώ, κύριέ μου Ἰάκωβε, αὐτοῦ ταῦτα εἰπόντος ὑποσχόμενος οὐκ
ὤκνησα, ὡς ἐκελεύσθην, τὸ πολὺ τῶν κατὰ πόλιν λόγων τῶν ἤδη σοι
προγραφέντων καὶ ὑπ' αὐτοῦ διαπεμφθέντων ἐν βίβλοις ἐπὶ κεφαλαίων
ποιῆσαι ὥσπερ σημείου χάριν καὶ οὕτως διαπέμψαι σοι ἐπιγράψαντα·
Κλήμεντος τῶν Πέτρου ἐπιδημίων κηρυγμάτων ἐπιτομή. πλὴν τοῦ ἐκτιθέ-
ναι ὡς ἐκελεύσθην ἄρξομαι.

[ΚΛΗΜΕΝΤΟΣ ΤΩΝ ΠΕΤΡΟΥ ΕΠΙΔΗΜΙΩΝ ΚΗΡΥΓΜΑΤΩΝ ΕΠΙΤΟΜΗ.]

Ἐγὼ Κλήμης, Ῥωμαίων πολίτης ὤν, καὶ τὴν πρώτην ἡλικίαν σω-
φρόνως ζῆσαι δεδύνημαι, τῆς ἐννοίας μου ἐκ παιδὸς ἀπασχολούσης τὴν
ἐν ἐμοὶ ἐπιθυμίαν εἴς τε ἀθυμίας καὶ πόνους. συνῆν γάρ μοι λογισμός
(οὐκ οἶδα πόθεν τὴν ἀρχὴν λαβών) περὶ θανάτου, πυκνὰς ποιούμενος ὑπο-
μνήσεις ὅτι ἄρα θανὼν οὐκ εἰμὶ καὶ οὐδὲ μνήμην τις ποιήσει μού ποτε, τοῦ
ἀπείρου χρόνου πάντων τὰ πάντα εἰς λήθην φέροντος–ἔσομαι δὲ οὐκ
ὤν, οὐκ ὄντας εἰδώς, οὐ γινώσκων, οὐ γινωσκόμενος, οὐ γεγονώς, οὐ γινόμε-
νος–καὶ ἆρά ποτε γέγονεν ὁ κόσμος καὶ πρὸ τοῦ γενέσθαι τί ἄρα ἦν
(εἰ γὰρ ἦν αἰεί, καὶ ἔσται· εἰ δὲ γέγονεν, καὶ λυθήσεται) καὶ μετὰ λύσιν
τί ἄρα ἔσται πάλιν, εἰ μὴ τάχα σιγὴ καὶ λήθη; ἢ καὶ τάχα ἔσται τι ὃ νῦν
νοῆσαι οὐ δυνατόν. ταῦτά τε καὶ τὰ τούτοις ὅμοια οὐκ οἶδα πόθεν
ἀπαύστως ἐνθυμούμενος ὀδυνηρὰν εἶχον λύπην τοσοῦτον ὡς ὠχριακότα με
τήκεσθαι· καὶ τὸ δεινότατον, εἴ ποτε ἀπώσασθαι τὴν φροντίδα ὡς ἀνωφελῆ
ἐβουλευσάμην, ἀκμαιότερόν μοι μᾶλλον τὸ πάθος ἐγίνετο. καὶ ἠχθόμην
ἐπὶ τούτῳ, οὐκ εἰδὼς σύνοικον καλὴν ἔχων ἔννοιαν, ἀθανασίας ἀγαθὴν αἰτίαν
μοι γενομένην, ὡς ὕστερον τῇ πείρᾳ ἐπέγνων καὶ θεῷ τῷ πάντων δε-
σπότῃ ηὐχαρίστησα. ὑπὸ γὰρ τῆς κατ' ἀρχὰς θλιβούσης με ἐννοίας εἰς τὴν
τῶν πραγμάτων ζήτησιν καὶ εὕρεσιν ἠναγκάσθην ἐλθεῖν· καὶ τότε ἐταλά-
νιζον οὓς τὴν ἀρχὴν διὰ ἄγνοιαν μακαρίζειν ἐκινδύνευον. ἐκ παιδὸς
οὖν ἡλικίας ὢν ἐν τοιούτοις λογισμοῖς, χάριν τοῦ μαθεῖν τι βέβαιον εἰς τὰς
τῶν φιλοσόφων ἐφοίτων διατριβάς. καὶ οὐθὲν ἕτερον ἐώρων ἢ δογμάτων

ἀνασκευὰς καὶ κατασκευὰς καὶ ἔρεις καὶ φιλονεικίας καὶ συλλογισμῶν
τέχνας καὶ λημμάτων ἐπινοίας. καὶ ὁτὲ μὲν ἐπεκράτει (φέρε λέγειν) ὅτι
ἀθάνατος ἡ ψυχή, ὁτὲ δὲ ὅτι θνητή. εἴ ποτε οὖν ἐπεκράτει λόγος ὅτι
ἀθάνατος, ἔχαιρον· ὁπότε δὲ ὅτι θνητή, ἐλυπούμην. πλεῖον δὲ ἠθύμουν
ὅτι οὐδ' ὁπότερον εἰς τὸν ἐμὸν βεβαιῶσαι νοῦν ἠδυνάμην. πλὴν συνενόουν
ὅτι αἱ δόξαι τῶν ὑποθέσεων παρὰ τοὺς ἐκδικοῦντας ψευδεῖς ἢ ἀληθεῖς
ὑπολαμβάνονται καὶ οὐχ ὡς ἔχουσιν ἀληθείας φαίνονται. ἐπιστήσας οὖν ἤδη
ποτὲ ὅτι οὐ παρὰ τὰς ἐκδικουμένας ὑποθέσεις ἡ κατάληψις γίνεται, ἀλλὰ παρὰ
τοὺς ἐκδικοῦντας αἱ δόξαι ἀποφαίνονται, ἔτι μᾶλλον ἰλιγγίων ἐν τοῖς πράγ-
μασιν. διὸ ἐκ τοῦ τῆς ψυχῆς βάθους ἐστέναζον· οὔτε γάρ τι βεβαιῶσαι οἷός
τ' ἤμην οὐδὲ τὴν τῶν τοιούτων φροντίδα ἀποσείσασθαι ἐδυνάμην, καίπερ
βουλόμενος, ὡς φθάσας εἶπον· ὅτι ἐμαυτῷ πυκνότερον ἡσυχάζειν ἐπι-
τάσσοντος, οὐκ οἶδ' ὅπως λανθανόντως μεθ' ἡδονῆς ὁ τῶν τοιούτων μοι
εἰσήρχετο λογισμός. καὶ πάλιν ἀπορούμενος ἔλεγον ἐμαυτῷ· Τί ματαιο-
πονῶ; σαφοῦς ὄντος τοῦ πράγματος ὅτι εἰ μὲν θανὼν οὐκ εἰμί, νῦν ὄντα
με λυπεῖσθαι οὐ προσῆκεν. διὸ τηρήσω τὸ λυπεῖσθαι εἰς τὴν τότε, ὅτε
οὐκ ὢν οὐ λυπηθήσομαι. εἰ δ' ἄρα εἰμί τι, νῦν ἐκ περισσοῦ μοι πρόσεστιν
τὸ λυπεῖσθαι. καὶ εὐθέως μετὰ τοῦτο ἕτερός με εἰσῄει λογισμός· ἔλεγον
γάρ· Μήτι γε τοῦ νῦν με λυποῦντος ἐκεῖ χεῖρον παθεῖν ἔχω, μὴ βεβιωκὼς
εὐσεβῶς, καὶ παραδοθήσομαι κατ' ἐνίων φιλοσόφων λόγους Πυριφλεγέ-
θοντι καὶ Ταρτάρῳ ὡς Σίσυφος ἢ Τιτυὸς ἢ Ἰξίων ἢ Τάνταλος, καὶ
ἔσομαι ἐν ᾅδου τὸν αἰῶνα κολαζόμενος. πάλιν τε ἀνθυπέφερον λέγων·

Ἀλλ' οὐκ ἔστιν ταῦτα. καὶ πάλιν ἔλεγον· Εἰ δὲ ἔστιν; ἀδήλου οὖν ὄντος τοῦ
πράγματος, ἔλεγον, ἀκινδυνότερόν ἐστιν μᾶλλον εὐσεβῶς βιῶσαί με.
καὶ πάλιν· Πῶς δυνήσομαι, τοῦ δικαίου χάριν εἰς ἄδηλον ἐλπίδα ἀφορῶν, τῶν
τοῦ σώματος κρατεῖν ἡδονῶν; ἀλλ' οὐδὲ τί ποτέ ἐστιν δίκαιον ἀρέσκον θεῷ
πεπληροφόρημαι οὔτε εἰ ἡ ψυχὴ ἀθάνατος ἢ θνητὴ γινώσκω οὔτε τίς
λόγος βέβαιος εὑρίσκεται, οὔτε τῶν τοιούτων λογισμῶν ἡσυχάζειν δύναμαι.
τί οὖν χρὴ ποιεῖν ἢ τοῦτο; εἰς Αἴγυπτον πορεύσομαι καὶ τοῖς τῶν ἀδύ-
των ἱεροφάνταις τε καὶ προφήταις φιλιωθήσομαι καὶ μάγον ζητήσας καὶ
εὑρὼν χρήμασι πολλοῖς πείσω, ὅπως ψυχῆς ἀναπομπήν, τὴν λεγομένην
νεκρομαντείαν, ποιήσῃ, ἐμοῦ ὡς περὶ πράγματός τινος πυνθανομένου· ἡ
δὲ πεῦσις ἔσται περὶ τοῦ μαθεῖν εἰ ἀθάνατος ἡ ψυχή. ἡ δὲ τῆς ψυχῆς
ἀπόκρισις, ὅτι ἀθάνατός ἐστιν, οὐκ ἐκ τοῦ λαλῆσαι ἢ καὶ ἀκοῦσαι ἔσται
μοι γνῶναι, ἀλλ' ἐκ τοῦ ὀφθῆναι μόνον, ἵνα αὐτοῖς ὀφθαλμοῖς ἰδὼν αὐτὴν
αὐτάρκη καὶ ἱκανὴν ἀπόφασιν ἔχω ἐκ τοῦ μόνον φανῆναι ὅτι ἔστιν· καὶ
οὐκέτι δυνήσεται τὰ τῶν ὀφθαλμῶν ἴδια τὰ τῆς ἀκοῆς ἀνατρέψαι ἄδηλα
ῥήματα. ὅμως καὶ αὐτὴν ταύτην τὴν σκέψιν ἀντέβαλλόν τινι συνήθει
φιλοσόφῳ, ὃς συνεβούλευέν μοι τοῦτο μὴ τολμᾶν κατὰ πολλοὺς τρόπους.
εἴτε γὰρ οὐκ εἰσακούσεται, φησίν, ἡ ψυχὴ τῷ μάγῳ, σὺ τοῖς ταῦτα ποιεῖν
ἀπαγορεύουσι νόμοις ὡς ἀντιπράξας δυσσυνειδήτως βιώσεις· εἰ δὲ ἐπακού-
σεται, μετὰ τοῦ δυσσυνειδήτως σε βιοῦν οἶμαι τὰ τῆς εὐσεβείας σοι μηκέτι
προχωρεῖν, οὗ εἵνεκεν καὶ ἐτόλμησας· ἐχθραίνειν γὰρ τὸ θεῖον λέ-
γουσιν ἐπὶ τοῖς τῇ λύσει θανόντων σωμάτων σκύλλουσιν τὰς ψυχάς.
ἐγὼ δὲ ταῦτα ἀκούσας ὀκνηρότερος μὲν πρὸς τὸ τοιοῦτον ἐγχειρῆσαι
ἐγενόμην, τῆς δὲ ἀπ' ἀρχῆς μου οὐκ ἐπαυσάμην βουλῆς, ἀλλ' ὡς ἐμπο-
δισθεὶς τὴν ὁρμὴν ἠθύμουν.

Καὶ ἵνα μή σοι τὰ τοιαῦτα μακρῷ διηγήσωμαι λόγῳ, ἐν τοσούτοις

λογισμοῖς καὶ πράγμασιν ὄντος μου φήμη τις ἠρέμα ἐπὶ τῆς Τιβερίου Καίσα-
ρος βασιλείας ἐξ ἐαρινῆς τροπῆς τὴν ἀρχὴν λαμβάνουσα ηὔξανεν ἑκάστοτε
καὶ ὡς ἀληθῶς ἀγαθὴ θεοῦ ἄγγελος διέτρεχε τὸν κόσμον, τὸ τοῦ θεοῦ βούλη-
μα σιγᾶν στέγειν μὴ δυναμένη. ἑκάστοτε οὖν πλείων καὶ μείζων ἐγίνετο, λέ-
γουσα ὥς τίς ποτε ἐν Ἰουδαίᾳ, ἐξ ἐαρινῆς τροπῆς λαβὼν τὴν ἀρχήν, Ἰουδαίοις
τὴν τοῦ ἀιδίου θεοῦ εὐαγγελίζεται βασιλείαν, ἧς ἀπολαύειν λέγει ἐάν τις
αὐτῶν προκατορθώσῃ τὴν πολιτείαν· τοῦ δὲ πιστεύεσθαι αὐτὸν χάριν ὅτι
θειότητος γέμων ταῦτα πνέει, πολλὰ θαυμάσια σημεῖά τε καὶ τέρατα δια-
πράττεται κελεύσει μόνῃ, ὡς παρὰ θεοῦ εἰληφὼς τὴν ἐξουσίαν· κωφοὺς γὰρ
ποιεῖ ἀκούειν, τυφλοὺς ἀναβλέπειν, κυλλοὺς χωλοὺς ὀρθοῖ, πᾶσαν νόσον
ἀπελαύνει, πάντα δαίμονα φυγαδεύει. ἀλλὰ καὶ λεπροὶ [ψωροὶ] ἐκ διαστή-
ματος μόνον ἐνορῶντες αὐτῷ ἰώμενοι ἀπαλλάσσονται. νεκροὶ δὲ προσφερό-
μενοι ἐγείρονται, καὶ οὐδέν ἐστιν ὃ ἀδυνατεῖ ποιεῖν. καὶ ὅσῳ γε μᾶλλον
ὁ χρόνος προέκοπτεν, πολὺ μείζων διὰ πλειόνων τῶν ἐπιδημούντων <καὶ>
βεβαιοτέρα ἐγίνετο οὐκέτι φήμη λέγω, ἀλλὰ τοῦ πράγματος ἡ ἀλήθεια· ἤδη
γάρ ποτε καὶ συστήματα κατὰ τόπους ἐγίνετο βουλῆς καὶ σκέψεως τοῦ τίς ἂν
εἴη ὁ φανεὶς καὶ τί βούλεται λέγειν. καὶ δή ποτέ τις πρὸς αὐτῷ τῷ ἔτει
ἐν φθινοπωρινῇ τροπῇ δημοσίᾳ στὰς ἐβόα λέγων· Ἄνδρες Ῥωμαῖοι, ἀκού-
σατε· ὁ τοῦ θεοῦ υἱὸς ἐν Ἰουδαίᾳ πάρεστιν, ἐπαγγελλόμενος πᾶσιν τοῖς
βουλομένοις ζωὴν αἰώνιον, ἐὰν [τὰ] κατὰ γνώμην τοῦ πέμψαντος αὐτὸν
πατρὸς βιώσωσιν. διὸ μεταβάλλεσθε τὸν τρόπον ἀπὸ τῶν χειρόνων ἐπὶ

τὰ κρείττονα, ἀπὸ τῶν προσκαίρων ἐπὶ τὰ αἰώνια· γνῶτε ἕνα θεὸν εἶναι
τὸν ἐπουράνιον, οὗ τὸν κόσμον ἀδίκως οἰκεῖτε ἔμπροσθεν τῶν αὐτοῦ
δικαίων ὀφθαλμῶν. ἀλλ' ἐὰν μεταβάλησθε καὶ κατὰ τὴν αὐτοῦ βούλησιν
βιώσητε, εἰς ἕτερον αἰῶνα ἐνεχθέντες καὶ ἀίδιοι γενόμενοι τῶν ἀπορρή-
των αὐτοῦ ἀγαθῶν ἀπολαύσετε· ἐὰν δὲ ἀπειθήσητε, αἱ ψυχαὶ ὑμῶν
μετὰ τὴν τοῦ σώματος λύσιν εἰς τὸν τόπον τοῦ πυρὸς βληθήσονται,
ὅπου ἀιδίως κολαζόμεναι ἀνωφέλητα μετανοήσουσιν· ὁ γὰρ τῆς μετανοίας
καιρὸς ἡ νῦν ἑκάστου ζωὴ τυγχάνει. ἐγὼ μὲν οὖν ταῦτα ἀκούων ἠχθό-
μην ὅτι οὐδεὶς ἐκ τοσούτων ὄχλων τηλικαύτην ἀγγελίαν ἀκούσας εἴρη-
κεν· Εἰς Ἰουδαίαν πορεύσομαι, ἵνα ἴδω εἰ ταῦθ' οὗτος λέγων ἀληθεύει
ὡς ὅτι υἱὸς θεοῦ ἐπιδεδήμηκεν τῇ Ἰουδαίᾳ, ἀγαθῆς καὶ αἰωνίας ἐλπί-
δος χάριν τὴν τοῦ ἀποστείλαντος πατρὸς βούλησιν ἐκφαίνων. καὶ ὅπερ
λέγουσιν αὐτὸν κηρύσσειν, οὐκ ἔστιν μικρόν· ὧν μὲν γὰρ τὰς ψυχὰς δια-
βεβαιοῦται αἰωνίους οὔσας αἰωνίων ἀπολαύσειν ἀγαθῶν, ὧν δὲ ἐν πυρὶ
ἀσβέστῳ ·ιφείσας τὸν αἰῶνα κολασθήσεσθαι.

Ταῦτ' ἐγὼ λέγων περὶ ἄλλων καὶ ἐμαυτῷ ὡμίλησα λέγων· Τί ἄλλους
μέμφομαι, ἐν τῷ αὐτῷ τῆς ἀμελείας ὑπάρχων ἐγκλήματι; ἀλλ' εἰς Ἰουδαίαν
ὁρμήσω, πρότερον τὸν ἐμὸν διαθεὶς βίον. καὶ δὴ οὕτως βουλευσαμένου μου
πολὺς ὁ τῆς παρολκῆς ἐγενήθη χρόνος, τῶν βιωτικῶν πραγμάτων δυσεκλύ-
των ὄντων. πέρας γοῦν συννοήσας ὠδίποτε τὴν τοῦ βίου φύσιν ὅτι ἐλπίδι
ἐκπλοκῶν τοὺς σπεύδοντας ἐνεδρεύει, οὐ μὴν ἀλλὰ καὶ ὅν ποτε εἰσεκλά-
πην χρόνον ἐλπίσιν δονούμενος, καὶ ὅτι οὕτως ἀσχολούμενοι οἱ ἄνθρω-
ποι ἀποθνῄσκομεν, τὰ πάντα μου ὡς ἔτυχεν ἀφεὶς εἰς Πόρτον ὥρ-
μησα, καὶ εἰς λιμένα ἐλθὼν καὶ ἀναχθεὶς ἀνέμων ἔχθραις ἀντὶ τοῦ εἰς
Ἰουδαίαν εἰς Ἀλεξάνδρειαν ἠνέχθην. καὶ ἀνέμων ἀπορίᾳ ἐπισχεθεὶς

ἐκεῖ συνεφοίτων τοῖς φιλοσόφοις καὶ [τὰ] τῆς φήμης μετὰ τοῦ ἐν Ῥώμῃ
φανέντος ἔλεγον τοὺς λόγους. οἱ δ' ἀπεκρίναντο ὅτι <τὸν> μὲν ἐν Ῥώμῃ
φανέντα οὐκ ἴσμεν, περὶ δὲ τοῦ ἐν Ἰουδαίᾳ γενομένου καὶ υἱοῦ θεοῦ
ὑπὸ τῆς φήμης λεγομένου καὶ παρὰ πολλῶν τῶν κἀκεῖθεν ἐληλυθότων
ἠκούσαμεν καὶ περὶ πάντων ὧν λαλῶν ἐποίει θαυμασίων ἐμάθομεν.
ἐμοῦ δὲ εἰπόντος· Ἤθελόν τινι συντυχεῖν τῶν ἑωρακότων αὐτόν, εὐθὺς
ἦγόν με λέγοντες· Ἔστιν τις ἐνταῦθα οὐ μόνον ἱστορήσας αὐτόν, ἀλλὰ καὶ
τῆς ἐκεῖθεν γῆς ὑπάρχων, ἀνὴρ Ἑβραῖος, ὀνόματι Βαρνάβας, ὃς καὶ ἕνα
τῶν αὐτοῦ μαθητῶν ἑαυτὸν εἶναι λέγει καὶ ἐνταῦθά που καθεζόμενος
τῆς ἐκείνου ὑποσχέσεως τοὺς λόγους τοῖς βουλομένοις ἑτοίμως λέγει.
καὶ δὴ συνῆλθον αὐτοῖς. καὶ ἐλθών, σὺν τῷ παρεστῶτι ὄχλῳ ἔστην
ἐπακούων τῶν λόγων, καὶ συνενόουν τἀληθῆ οὐ διαλεκτικῇ τέχνῃ λέγοντα,
ἀλλὰ ἀκάκως καὶ ἀπαρασκευάστως ἐκτιθέμενον ἅ τε ἤκουσεν καὶ ἑώρακεν
τὸν τοῦ θεοῦ φανέντα υἱὸν πεποιηκέναι τε καὶ εἰρηκέναι· πολλοὺς δὲ
μάρτυρας τῶν ὑπ' αὐτοῦ λεγομένων θαυμασίων τε καὶ λόγων καὶ ἐξ
αὐτοῦ τοῦ παρεστῶτος ὄχλου παρεῖχεν. ἐπειδὴ δὲ πρὸς τὰ ἀπανούρ-
γως λεγόμενα ἡδέως οἱ ὄχλοι διετίθεντο, οἱ ἐκ παιδείας κοσμικῆς ὁρμώ-
μενοι φιλόσοφοι γελᾶν αὐτὸν καὶ χλευάζειν ἐπεβάλλοντο, σκώπτοντες
καὶ διασύροντες θράσει ἀμέτρῳ, ὡς μεγάλοις ὅπλοις κεχρημένοι τοῖς
συλλογισμοῖς. ὁ δὲ ἀπωθούμενος αὐτῶν τὸν λῆρον οὐ συνέτρεχεν αὐτῶν
τῇ πανούργῳ πεύσει, ἀλλὰ ἀκαταπλήκτως ὧν ἔλεγεν οὐκ ἀφίστατο.
καί ποτέ τις αὐτοῦ ἐπύθετο διὰ τί κώνωψ ἐγένετο καὶ βραχύτατον
ὄν, ἓξ πόδας ἔχον ἔχει καὶ πτερά, ἐλέφας δέ, τὸ μέγιστον τῶν ζόων,
ἄπτερος ὢν τέσσαρας μόνους ἔχει πόδας. ὁ δὲ μετὰ τὴν πεῦσιν τὸν
ἐμποδισθέντα ἀναλαβὼν λόγον, ὡς πρὸς τὴν πεῦσιν ἀποκρινάμενος τὸν
αὐτῷ ἀπ' ἀρχῆς προκείμενον ἀνελάμβανεν λόγον τούτῳ μόνῳ προοιμίῳ
χρώμενος καθ' ἑκάστην ἐνκοπήν· Ἡμεῖς τοῦ πέμψαντος ἡμᾶς τοὺς λόγους

καὶ τὰς θαυμασίους πράξεις εἰπεῖν ὑμῖν μόνον ἔχομεν ἐντολήν, καὶ ἀντὶ
τῆς λογικῆς ἀποδείξεως μάρτυρας παρέχομεν ὑμῖν τῶν ἐξ ὑμῶν παρε-
στώτων πολλούς, ὧν ἐγὼ τὰ εἴδη μέμνημαι ὡς ἐμψύχους εἰκόνας ἱκανὰς
μαρτυρίας. λοιπὸν τῆς ὑμετέρας ἐστὶν ἐξουσίας ὑπείκειν ἢ ἀπειθεῖν. τοῦ
δὲ λέγειν ὑμῖν τὸ συμφέρον οὐ παύσομαι, ὅτι ἐμοὶ μὲν ζημία τὸ σιωπᾶν,
ὑμῖν δὲ τὸ ἀπειθεῖν βλάβη. ἀλλὰ καὶ τῶν εἰκαίων ὑμῶν προβλη-
μάτων τὰς ἀποδείξεις ἀποδοῦναι ἐδυνάμην, εἰ φιλαλήθως ἐπυνθάνεσθε.
κώνωπος δὲ καὶ ἐλέφαντος τὴν αἰτίαν τῆς διαφόρου δημιουργίας νῦν
ὑμῖν εἰπεῖν οὐκ ἔστιν εὔκαιρον τοῖς τὸν τῶν ὅλων ἀγνοοῦσι θεόν.

Ταῦτα αὐτοῦ λέγοντος, ὡς ἐκ συμφωνίας ἄτακτον ἠφίεσαν γέλωτα, κατα-
σιωπᾶν καὶ ἀπορεῖν αὐτὸν πειρώμενοι ὡς βάρβαρόν τινα δαιμονῶντα. ἐγὼ
δὲ ταῦτα ὁρῶν, ζήλῳ οὐκ οἶδ' ὅπως ληφθεὶς εὐσεβεῖ θυμῷ τοῦ λοιποῦ
σιγᾶν οὐκ ἐκαρτέρουν, ἀλλὰ μετὰ παρρησίας ἐβόων λέγων· Εὐλόγως ὁ
θεὸς ὑμῖν ἀκατάληπτον τὴν αὐτοῦ βούλησιν ἔθετο, ἀναξίους προϊδὼν ὡς
ἐκ τῶν νῦν τοὺς κριτικὸν νοῦν ἔχοντας πληροφορῶν φαίνεται. ἐπεὶ γὰρ
νῦν τῆς αὐτοῦ βουλήσεως κήρυκες ἐξαπεστάλησαν, οὐ γραμματικὴν ἐπαγ-
γελλόμενοι τέχνην, ἀλλὰ ἁπλοῖς καὶ ἀπανούργοις λόγοις τὴν αὐτοῦ βού-
λησιν ἐκφαίνοντες, ὡς πάνθ' ὁντιναοῦν ἀκούσαντα νοεῖν τὰ λεγόμενα, καὶ
οὐ μετὰ ἕξεώς τινος φθονερᾶς παρέχειν πᾶσιν ἑαυτὴν μὴ βουλομένης·
πάρεστε ὑμεῖς πρὸς τῷ μὴ νοεῖν τὸ ὑμῖν συμφέρον ἐπὶ τῇ ὑμετέρᾳ
βλάβῃ γελᾶν τὴν εἰς τὴν ὑμετέραν καταδίκην ἐν βαρβάροις πολιτευσα-
μένην ἀλήθειαν, ἣν καὶ ὑμῖν ἐπιδημήσασαν ξενίσαι οὐ βούλεσθε διὰ
τὰς ἀσελγείας ὑμῶν καὶ τὸ λιτὸν τῶν λόγων αὐτῆς, ἵνα μὴ ἐλεγχθῆτε
ὅτι εἰκῆ φιλόλογοί ἐστε καὶ οὐ φιλαλήθεις φιλόσοφοι. μέχρι μὲν οὖν
πότε λαλεῖν μανθάνετε οἱ τὸ λαλεῖν οὐκ ἔχοντες; πολλὰ γὰρ παρ'
ὑμῶν ῥήματα ἑνὸς οὐκ ἄξια λόγου. τί ἄρα ἐρεῖ ὑμῶν τὸ ἑλλη-
νικὸν πλῆθος μία ψυχὴ γενόμενον, εἴπερ ἔσται κρίσις, ὡς οὗτος

λέγει; Διὰ τί, ὦ θεέ, τὴν σὴν βούλησιν οὐκ ἐκήρυξας ἡμῖν; οὐ πάν-
τως ἀκούσεσθε (εἴπερ ἀποκρίσεως καταξιωθήσεσθε) τάδε· Ἐγὼ πά-
σας τὰς ἐσομένας πρὸ καταβολῆς κόσμου εἰδὼς προαιρέσεις, ἑκάστῳ
πρὸς τὸ αὐτοῦ ἄξιον λανθανόντως προαπήντησα· τοῦτο δὲ αὐτὸ ὅτι
οὕτως ἔχει βουληθεὶς τοὺς προσπεφευγότας μοι πληροφορῆσαι διὰ τί ἀπ'
ἀρχῆς ἐκ προτέρων γενεῶν τὴν ἐμὴν βούλησιν δημοσίᾳ οὐκ εἴασα κηρυχθῆ-
ναι, νῦν πρὸς τῷ τέλει τοῦ βίου κήρυκας ἐμῆς βουλῆς ἀπέστειλα, οἳ καὶ
γελῶνται καὶ ὑβριζόμενοι χλευάζονται ὑπὸ τῶν μηδὲν ὠφελεῖσθαι θελόντων
καὶ ἐπιτεταμένως τὴν ἐμὴν φιλίαν παραιτησαμένων. ὦ μεγάλης ἀδικίας·
μέχρι φόνου κινδυνεύουσιν κήρυκες, καὶ ταῦτα ὑπὸ τῶν εἰς σωτηρίαν καλου-
μένων ἀνδρῶν. τοῦτο δὲ τὸ ἀδίκως γινόμενον κατὰ τῶν ἐμῶν κηρύκων
ἀπ' ἀρχῆς ἂν εἰς πάντας ἐγίνετο, εἴπερ ἀπ' ἀρχῆς εἰς σωτηρίαν ἐκαλοῦντο
οἱ ἀνάξιοι. τὸ γὰρ νῦν γινόμενον ὑπ' αὐτῶν ἀδίκως εἰς ἀπολογίαν τῆς ἐμῆς
δικαίας γίνεται προνοίας, ὅτι καλῶς τὸν τιμῆς ἄξιον λόγον ἀπ' ἀρχῆς δημοσίᾳ
εἰς ὕβριν θεῖναι οὐκ ἐβουλήθην ἀνωφελῶς, ἀλλὰ σιγᾶσθαι αὐτὸν ὡς τίμιον
ἐβουλευσάμην, οὐκ ἀπὸ τῶν ἀπ' ἀρχῆς ἀξίων (οἷς καὶ μετέδωκα), ἀλλὰ
ἀπὸ τούτων καὶ τῶν τοιούτων (ὡς ὁρᾶτε) ἀναξίων, τῶν ἐμὲ μισούντων
καὶ ἑαυτοὺς φιλεῖν μὴ βουλομένων. καὶ νῦν γε παρέντες γελᾶν τὸν
ἄνδρα τοῦτον ἐμοῦ πρὸς τὸ τούτου ἐπάγγελμα πυνθάνεσθε ἢ πυνθανομέ-
νῳ μοι ὁ βουλόμενος ἀποκρινάσθω, καὶ μὴ ὡς ἀσελγεῖς κύνες ὑλάσσετε,
ψόφῳ ἀτάκτῳ βύοντες τῶν σόζεσθαι θελόντων τὰς ἀκοάς. ἄδικοι καὶ θεο-
στυγεῖς καὶ τὸν σόζοντα λογισμὸν εἰς ἀπιστίαν ἀπασχολοῦντες, πῶς συγγνώ-
μης τυχεῖν δυνήσεσθε, τὸν τὴν θειότητα τοῦ θεοῦ ἐπαγγελλόμενον ὑμῖν

εἰπεῖν ὑβρίζοντες, καὶ ταῦτα ἄνθρωπον ὃν ἐχρῆν εἰ καὶ μηδὲν ἀληθὲς λέγοντα <διὰ> τὴν ἀγαθὴν αὐτοῦ πρὸς ὑμᾶς ἀποδέξασθαι προαίρεσιν;

Ταῦτά μου λέγοντος καὶ τὰ τούτοις ἀκόλουθα, πολὺς τῶν ὄχλων ἐγίνετο θρῦλος. καὶ οἱ μὲν ὡς τὸν Βαρνάβαν ἐλεῶντες συνήραντό μοι, οἱ δέ, ἡλίθιοι ὄντες, δεινῶς κατ' ἐμοῦ ἔβρυχον τοὺς ὀδόντας. ἐπεὶ δὲ ἤδη ποτὲ ἑσπέρα κατειλήφει, τῆς χειρὸς λαβὼν τὸν Βαρνάβαν, μὴ θέλοντα βίᾳ εἰς τὴν ἐμὴν ἦγον οἰκίαν, ἔνθα καὶ μένειν αὐτὸν ἐποίησα, ἵνα μή τις αὐτῷ χεῖρας ἐπιβάλῃ. καὶ ἡμερῶν ὀλίγων διατρίψας καὶ τοῦ ἀληθοῦς λόγου βραχέα κατηχήσας με (ὀλίγον ὡς ἐν ὀλίγαις ἡμέραις), σπεύδειν ἔλεγεν εἰς Ἰουδαίαν τῆς κατὰ τὴν θρησκείαν ἑορτῆς χάριν καὶ τοῦ λοιποῦ τοῖς ἑαυτοῦ ὁμοεθνέσιν συνεῖναι θέλων. φανερὸς δ' ἦν μοι ἀπονα-κήσας. ἐμοῦ γὰρ εἰπόντος· Σύ μοι μόνον τοὺς τοῦ φανέντος ἀνδρὸς οὓς ἤκουσας ἐκτίθου λόγους, κἀγὼ τῷ ἐμῷ κοσμήσας λόγῳ τοῦ θεοῦ κηρύξω τὴν βούλησιν καὶ εἶθ' οὕτως ἐντὸς ὀλίγων ἡμερῶν συνπλεύσω σοι (λίαν γὰρ ποθῶ ἐπὶ τὸν τῆς Ἰουδαίας γενέσθαι τόπον), τάχα δὲ καὶ συνοικήσω ὑμῖν τὸν πάντα μου τῆς ζωῆς βίον–ὁ δὲ ταῦτα ἀκούσας ἀπεκρίνατο· Σὺ εἰ μὲν ἱστορῆσαι τὰ ἡμέτερα καὶ μαθεῖν τὸ συμφέρον θέλεις, ἐξ αὐτῆς μοι σύμπλευσον· ἐπεί γε τὰ σημεῖα τῆς οἰκήσεώς μου καὶ ὧν θέλεις ἐγώ σοι σήμερον ἐρῶ, ἵνα ὅτε βούλει ἐλθὼν ἐπιστῇς ἡμῖν· ἐγὼ γὰρ αὔριον πορεύσομαι ἐπὶ τὰ ἐμαυτοῦ. καὶ δὴ ἀδυσώπητον ἰδὼν συνῆλθον αὐτῷ μέχρι τοῦ λιμένος καὶ μαθὼν παρ' αὐτοῦ ἅπερ ἔλεγεν σημεῖα τῶν οἰκήσεων, ἔφην αὐτῷ· Εἰ μὴ ὅτι ἀργύριόν τι ἀπαιτῶ ὀφειλόμενόν μοι, ἐξ αὐτῆς ἄν σοι συνέπλεον· πλὴν τάχιόν σε καταλήψομαι. καὶ ταῦτ' εἰπὼν καὶ παραθέμενος αὐτὸν τοῖς τοῦ πλοίου ἡγουμένοις ὑπέστρεφον λυπούμενος, μεμνημένος τοῦ καλοῦ καὶ συνήθους φίλου.

Ἡμερῶν δὲ διατρίψας καὶ τὸ χρέος οὐχ ὅλον λαβεῖν δυνηθείς, τά-

χους ἕνεκα ἀμελήσας τοῦ περιλειφθέντος ὡς ἐμποδίου ὄντος, καὶ αὐτὸς εἰς
Ἰουδαίαν ἀπέπλευσα καὶ δεκαπέντε ἡμερῶν εἰς Καισάρειαν κατήντησα
τὴν Στράτωνος. ἐπιβάντος δέ μου τῆς γῆς καὶ ξενίαν θηρωμένου, ἔμαθον
ὅτι Πέτρος τις λεγόμενος, τοῦ ἐν Ἰουδαίᾳ εἰσφανέντος ἀνδρὸς τοῦ ση-
μεῖα καὶ τέρατα πεποιηκότος ὁ δοκιμώτατος ὑπάρχων μαθητής, αὔριον
Σίμωνι τῷ ἀπὸ Γιτθῶν Σαμαρεῖ ζήτησιν ποιεῖται λόγων. ἐγὼ δὲ ταῦτα
ἀκούσας ἐδεήθην τὴν τούτου μοι μηνυθῆναι μονήν· καὶ ὡς ἔμαθον καὶ
τῷ πυλῶνι ἐπέστην, ἀντέβαλλον, τίς τε ὢν καὶ πόθεν ἥκω. καὶ ἰδοὺ Βαρ-
νάβας ἐκβὰς ἅμα τῷ ἰδεῖν περιεπλάκη μοι, πολὺ χαίρων καὶ δακρύων·
καὶ λαβόμενός μου τῆς χειρὸς εἰσέφερεν ἔνθα ἦν ὁ Πέτρος, λέγων μοι· Οὗτός
ἐστιν Πέτρος, ὃν μέγιστον ἐπὶ τῇ τοῦ θεοῦ σοφίᾳ ἐπηγγελλόμην σοι, ᾧ
ἀπαύστως σε ἀντέβαλλον, ὡς εἴσει ἐκ ταὐτομάτου, ὅτι πάντα τὰ κατὰ σὲ
καλὰ ὄντα ἀψευδῶς ἀντέβαλλον, ἅμα καὶ τὴν προαίρεσιν ἐξέφανα, ὡς αὐτὸν
γλίχεσθαι καὶ ἰδεῖν σε. μέγα οὖν αὐτῷ δῶρόν σε διὰ τῶν ἐμῶν προσφέρω
χειρῶν. καὶ τοῦτ' εἰπὼν προσενέγκας ἔφη· Οὗτός ἐστιν Κλήμης, Πέτρε. ὁ
δ' ἀγαθὸς προσπηδήσας ἅμα τῷ ἀκοῦσαι τὸ ὄνομα κατεφίλησεν καὶ καθ-
εσθῆναί με ποιήσας ἐξ αὐτῆς ἔφη· Καλῶς ἐποίησας τὸν τῆς ἀληθείας
κήρυκα ξενίσας Βαρνάβαν εἰς τιμὴν τοῦ ὄντως θεοῦ μεγαλοφρόνως, οὐκ αἰδε-
σθείς, οὐ φοβηθεὶς τὸν τῶν ἀπαιδεύτων ὄχλων θυμόν. μακάριος ἔσῃ.
ὡς γὰρ σὺ τὸν τῆς ἀληθείας πρεσβευτὴν ὄντα ἐξένισας πάσῃ τιμῇ, καὶ
αὐτή σε ἡ ἀλήθεια ξένον ὄντα τῆς ἰδίας πόλεως καταστήσει πολίτην·
καὶ τότε χαρήσῃ μεγάλως ὅτι βραχεῖαν νῦν δανείσας χάριν, προαίρεσιν
λόγων καλῶν λέγω, ἀιδίων καὶ ἀναφαιρέτων ἀγαθῶν ἔσῃ κληρονόμος.
καὶ μὴ κάμνε ἀντιβάλλειν μοι τὸ σὸν ἦθος· πάντα γὰρ τὰ κατὰ σὲ ὁ
ἀψευδὴς ἡμῖν ἀντέβαλεν Βαρνάβας, σχεδὸν καθ' ἡμέραν τὴν ἀγαθήν σου

ποιούμενος μνήμην. καὶ ἵνα σοι ἐν ἐπιτομῇ ὡς γνησίῳ φίλῳ τὸ προκεί-
μενον ἐρῶ, εἰ μή σοί τι ἐμποδίζει, συνόδευσον ἡμῖν, μεταλαμβάνων τῶν
τῆς ἀληθείας λόγων, ὧν κατὰ πόλιν ποιεῖσθαι μέλλω μέχρι Ῥώμης
αὐτῆς. καὶ σὺ δὲ εἴ τι βούλει λέγε. κἀγὼ ἐξεθέμην τὴν ἐξ ἀρχῆς
μου προαίρεσιν, καὶ ὡς εἰς ζητήσεις ἀπόρους ἐκενώθην, καὶ πάντα ὅσα
σοι τὴν ἀρχὴν προεδήλωσα, [ὡς] ἵνα μὴ τὰ αὐτὰ πάλιν γράφω. ἔλεγον δέ· Σοὶ
μὲν ἑτοίμως ἔχω συνοδεύειν (τοῦτο γὰρ οὐκ οἶδα ὅπως χαίρων θέλω),
πλὴν περὶ ἀληθείας πρῶτον πληροφορηθῆναι θέλω, ἵνα γνῶ εἰ ἡ
ψυχὴ θνητὴ τυγχάνει ἢ ἀθάνατός ἐστιν καὶ εἰ ἀίδιος οὖσα περὶ ὧν ἔπραξεν
ἐνταῦθα ἔχει κριθῆναι καὶ [εἴ] τί ποτ' ἔστιν δίκαιον [ἢ] ἀρέσκον θεῷ
καὶ εἰ γέγονεν <ὁ> κόσμος καὶ διὰ τί γέγονεν καὶ εἰ οὐ λυθήσεται καὶ εἰ
λυθήσεται καὶ εἰ κρείττων ἔσται ἢ οὐδὲ ἔσται, καὶ ἵνα μὴ τὸ κατ' εἶδος
λέγω, ταῦτά τε καὶ τὰ τούτοις ἑπόμενα μαθεῖν εἶπον θέλειν. ὁ δὲ πρὸς
ταῦτα ἀπεκρίνατο· Συντόμως σοι, ὦ Κλήμης, τὴν τῶν ὄντων γνῶσιν παρ-
έξομαι, καὶ τὰ νῦν ἐξ αὐτῆς ἄκουσον. ἡ τοῦ θεοῦ βουλὴ ἐν ἀδήλῳ
γέγονεν κατὰ πολλοὺς τρόπους. τὰ μὲν πρῶτα εἰσαγωγῇ κακῇ, συντροφίᾳ
πονηρᾷ, συνηθείᾳ δεινῇ, ὁμιλίᾳ οὐ καλῇ, προλήψει οὐκ ὀρθῇ. διὰ ταῦτα
πλάνη, εἶτα ἀφοβία, ἀπιστία, πορνεία, φιλαργυρία, κενοδοξία καὶ ἄλλα
τοιαῦτα μυρία κακά, ὥσπερ καπνοῦ πλῆθος, ὡς ἕνα οἶκον οἰκοῦντα τὸν κό-
σμον <ἔπλησεν, καὶ> τῶν ἔνδοθεν οἰκούντων ἀνδρῶν ἐπιθολῶσαν τὰς ὁράσεις,
οὐκ εἴασεν ἀναβλέψαντας ἐκ τῆς διαγραφῆς τὸν δημιουργήσαντα νοῆσαι
θεὸν καὶ τὸ τούτῳ δοκοῦν γνωρίσαι. διὸ τοὺς φιλαλήθεις ἔσωθεν χρὴ ἐκ
στέρνων βοήσαντας ἐπικουρίαν προσκαλέσασθαι φιλαλήθει λογισμῷ, ἵνα
τις ἐκτὸς ὢν τοῦ οἴκου τοῦ πεπλησμένου καπνοῦ προσιὼν ἀνοίξῃ θύραν,
ὅπως δυνηθῇ τὸ μὲν ἐκτὸς τοῦ ἡλίου φῶς εἰσκριθῆναι τῷ οἴκῳ, ὁ δὲ

ἐντὸς τοῦ πυρὸς ὢν ἐκβληθῆναι καπνός. τὸν μὲν οὖν βοηθὸν ἄνδρα τὸν ἀληθῆ προφήτην λέγω, ὃς μόνος φωτίσαι ψυχὰς ἀνθρώπων δύναται,
ὥστ' ἂν αὐτοῖς ὀφθαλμοῖς δυνηθῆναι [ἡμᾶς] ἐνιδεῖν τῆς αἰωνίου σωτηρίας
τὴν ὁδόν. ἄλλως δὲ ἀδύνατον, ὡς οἶσθα καὶ σύ, μικρῷ τάχιον εἰπὼν ὡς πᾶσα ὑπόθεσις ἀνασκευάζεται καὶ κατασκευάζεται καὶ πρὸς τὴν τοῦ
ἐκδικοῦντος δύναμιν ἡ αὐτὴ ἀληθὴς καὶ ψευδὴς νομίζεται, ὡς μηκέτι τὰς ὑποθέσεις φαίνεσθαι ὃ εἰσίν, ἀλλὰ παρὰ τοὺς ἐκδικοῦντας φαντασίαν
λαμβάνειν τοῦ εἶναι ἢ μὴ εἶναι ἀληθεῖς ἢ ψευδεῖς. τούτου ἕνεκεν προφήτου ἀληθοῦς ὅλον τὸ τῆς εὐσεβείας ἐδεήθη πρᾶγμα, ἵνα ἡμῖν ἐρεῖ τὰ ὄντα ὡς ἔστιν καὶ ὡς δεῖ περὶ πάντων πιστεύειν. ὥστε πρῶτον χρὴ τὸν προφήτην πάσῃ τῇ προφητικῇ ἐξετάσει δοκιμάσαντα καὶ ἐπιγνόντα
ἀληθῆ, τοῦ λοιποῦ τὰ πάντα αὐτῷ πιστεύειν καὶ μηκέτι τὸ καθ' ἓν ἕκαστον τῶν ὑπ' αὐτοῦ λεγομένων ἀνακρίνειν, ἀλλὰ λαμβάνειν αὐτὰ βέβαια ὄντα, δοκούσῃ μὲν πίστει, ληφθέντα δὲ ἀσφαλεῖ κρίσει· ἀποδείξει
γὰρ μιᾷ τῇ ἀπ' ἀρχῆς καὶ ἀκριβεῖ ἐξετάσει τῇ πανταχόθεν τὰ ὅλα ὀρθῷ
εἴληπται λογισμῷ. διὸ πρὸ πάντων τὸν ἀληθῆ προφήτην ζητεῖν δεῖ, ὅτι ἄνευ τούτου βέβαιόν τι προσεῖναι ἀνθρώποις ἀδύνατον. καὶ ὁμῶς ἀνέπαυσέν με, ἐκθέμενός μοι τίς ἐστιν καὶ πῶς εὑρίσκεται, καὶ ἀληθῶς εὑρετόν μοι παρασχὼν αὐτόν, τῶν παρὰ ὀφθαλμοῖς ὁρωμένων ἐμφανεστέραν τῆς <περὶ> τοῦ προφήτου ὁμιλίας τοῖς ὠσὶν δείξας τὴν ἀλή-
θειαν, ὡς ἐκπλαγέντα με θαυμάζειν πῶς τῶν πᾶσι ζητουμένων ἔμπροσθεν
κειμένων οὐδεὶς ἐνορᾷ. πλὴν γράψας τὸν περὶ προφήτου λόγον, αὐτοῦ κελεύσαντος, ἀπὸ τῆς Καισαρείας τῆς Στράτωνος διαπεμφθῆναί σοι ἐποίη-
σεν τὸν τόμον, παρὰ σοῦ ἐντολὴν ἔχειν εἰπὼν τὰς καθ' ἕκαστον ἐνιαυτὸν
ὁμιλίας τε καὶ πράξεις γράφοντα διαπέμπειν σοι. ὁμῶς ἐν μιᾷ τῇ πρώτῃ ἡμέρᾳ ἀρχὴν ἤδη μόνον ποιούμενος περὶ τοῦ τῆς ἀληθείας προφήτου, περὶ πάντων με ἐπληροφόρησεν. καὶ εἶθ'· Οὕτως, ἔφη, ἐνόρα τοῦ λοιποῦ τὰς ἐξ ἐμοῦ πρὸς τοὺς ἐξ ἐναντίας γινομένας ζητήσεις· καὶ εἰ τὸ ἧττον ἀπενέγκωμαι, οὐ δέδια μήπως σὺ περὶ τῆς παραδοθείσης

σοι ἀληθείας διακριθῇς, [ἡ] εἰδὼς ὅτι ἐγὼ ἡττᾶσθαι ἔδοξα, οὐχὶ ἡ ὑπόθεσις
ἡ διὰ τοῦ προφήτου παραδοθεῖσα ἡμῖν. πλὴν ἐλπίζω μήτε ἐν τῷ ἐξε-
ταστικῷ λόγῳ τὸ ἧττον ἀπενέγκασθαι πρὸς τοὺς νοῦν ἔχοντας (φιλα-
λήθεις λέγω), οἵτινες δύνανται γνωρίζειν τῶν λόγων τίνες εἰσὶ πιθανοὶ
ἔντεχνοί τε καὶ ἐπιτερπεῖς, τίνες τε λιτοὶ καὶ ἁπλοῖ, μόνῃ τῇ δι' αὐτῶν
ἀληθείᾳ πεποιθότες. ταῦτα αὐτοῦ εἰπόντος, ἀπεκρινάμην· Ἤδη εὐχα-
ριστῶ τῷ θεῷ· ὡς γὰρ ἐβουλόμην πληροφορηθῆναι, οὕτως μοι καὶ
παρέσχεν. πλὴν τὰ περὶ ἐμοῦ τοσοῦτον ἀμέριμνος ἴσθι ὅτι οὐ πώποτε
ἐνδοιάσω, [τοσοῦτον] ὅσον εἰ καὶ αὐτὸς σὺ βουληθείης ποτὲ τῆς προφη-
τικῆς ὑποθέσεως ἐκστῆσαί με, ἀδυνατῶν οὐ δυνήσῃ, τοσοῦτον οἶδα ὃ
παρείληφα. καὶ μήτοι νόμιζέ μέ σοι μέγα ἐπαγγέλλεσθαι τοῦτ' αὐτὸ
τὸ μὴ ἐνδοιάσαι ποτέ· ἀλλ' οὔτ' αὐτὸς ἐγὼ οὔτε τις ἀνθρώπων τὸν περὶ
προφήτου λόγον ἐπακούσας ἐνδοιάσαι ποτὲ δυνήσεται, περὶ τῆς ἀληθοῦς
ὑποθέσεως πρότερον ἐπακούσας καὶ νοήσας τίς ἐστιν προφητικῆς ἐπαγγε-
λίας ἀλήθεια. διὸ θάρρει τῷ θεοβουλήτῳ δόγματι· πᾶσα γὰρ τέχνη κα-
κίας νενίκηται. πρὸς γὰρ προφητείαν οὐδὲν δύνανται οὔτε τέχναι λό-
γων οὔτε σοφισμάτων ἐπίνοιαι, οὐ συλλογισμοί, οὐκ ἄλλη τις μηχανή,
ἐάν γε ὁ ἐπακούσας προφήτου ἀληθοῦς ἀληθείας ὄντως ὀρέγηται καὶ
οὐ προφάσει ἀληθείας ἕτερόν τι περιβλέπηται. ὥστε, κύριέ μου Πέτρε,
μὴ ἀθύμει ὡς ἀναισθήτῳ τὸ μέγιστον δωρησάμενος ἀγαθόν· αἰσθομένῳ
γὰρ χάριτος ἐδωρήσω καὶ μὴ δυναμένῳ ἀπατηθῆναι ἀπὸ τοῦ δοθέντος
ἀληθοῦς. οἶδα γὰρ ὅτι ἔνεστιν ὧν βούλεταί τις καὶ ταχέως λαβεῖν καὶ
βραδέως μὴ τυχεῖν· οἶδα οὖν μὴ καταφρονεῖν τοῦ δοθέντος μοι διὰ τὸ τά-
χος ἀσυγκρίτου καὶ μόνου ἀσφαλοῦς.

Ταῦτά μου εἰπόντος ὁ Πέτρος ἔφη· Χάριν ὁμολογῶ τῷ θεῷ καὶ περὶ τῆς
σῆς σωτηρίας καὶ περὶ τῆς ἐμῆς ἀπολαύσεως. ἀληθῶς γὰρ ἥδομαι εἰδὼς ὅτι
ἐπέγνως τί ποτ' ἔστιν προφητείας μέγεθος. ἐπεὶ οὖν (ὡς ἔφης) οὐδ' ἂν αὐτὸς

ἐγὼ θελήσω ποτέ (ὅπερ ἀπείη) εἰς ἕτερόν σε μεταστῆσαι δόγμα, οὐχ ἱκα-
νὸς ἔσομαι πεῖσαί σε, ἄρξαι τοῦ λοιποῦ ἀπὸ τῆς αὔριον παρεῖναί μοι ἐν
ταῖς τῶν ἀντικειμένων ζητήσεσιν. ἔστι δέ μοι ἡ αὔριον πρὸς Σίμωνα μάγον.
καὶ ταῦτ' εἰπὼν καὶ τροφῆς αὐτὸς μεταλαβὼν ἰδίᾳ κἀμὲ μεταλαβεῖν
ἐκέλευσεν. εὐλογήσας δὲ ἐπὶ τῆς τροφῆς καὶ εὐχαριστήσας μετὰ τὸ
κορεσθῆναι καὶ αὐτοῦ τούτου τὸν λόγον μοι ἀποδοὺς ἐπήγαγεν λέγων· Δόη
σοι ὁ θεὸς κατὰ πάντα ἐξομοιωθῆναί μοι καὶ βαπτισθέντα τῆς αὐτῆς
μοι μεταλαβεῖν τραπέζης. ταῦτα εἰπὼν ἡσυχάζειν μοι προσέταξεν. ἤδη
γάρ που καὶ τὸν ὕπνον ἀπῄτει ἡ τοῦ σώματος φύσις.

[ΟΜΙΛΙΑ Β.]

Τῇ μὲν οὖν ἐπιούσῃ ἡμέρᾳ ἐγὼ Κλήμης, ἔτι τῆς νυκτὸς οὔσης διυπνισθεὶς καὶ μαθὼν τὸν Πέτρον ἐγρηγορότα καὶ τοῖς συνοῦσιν περὶ θεοσεβείας διαλεγόμενον (οἳ ἦσαν δέκα ἕξ, ὧν καὶ τὰ ὀνόματα, ὡς ἑκάστου ἑξῆς χρόνου μαθών, ἐκθεῖναι ἐβουλευσάμην, ὅπως ἐπιγνῷς καὶ τίνες ἦσαν· ὧν πρῶτος Ζακχαῖος ὁ ποτὲ τελώνης, καὶ Σοφονίας ὁ ἀδελφὸς αὐτοῦ, Ἰώσηφός τε καὶ ὁ τούτου σύντροφος Μιχαίας, προσέτι δὲ Θωμᾶς καὶ Ἐλιέζιρος οἱ δίδυμοι, ἀλλὰ καὶ Αἰνέας καὶ Λάζαρος οἱ ἱερεῖς, προσέτι μήν γε καὶ Ἐλισσαῖος Βενιαμίν τε ὁ τοῦ Σαφρᾶ, ὁμοίως γε Ῥούβηλος καὶ Ζαχαρίας οἱ οἰκοδόμοι, Ἀνανίας τε καὶ Ἀγγαῖος οἱ Ἰαμνηνοί, ἔτι τε Νικήτης καὶ Ἀκύλας οἱ ἑταῖροι)–πλὴν ἐπεισιὼν καὶ προσαγορεύσας ἐκαθέσθην, αὐτοῦ κελεύσαντος. ὁ δὲ τοῦ προκειμένου ἐνκόψας λόγου, ὥσπερ ἀπολογούμενος ἐπληροφόρει τίνος ἕνεκεν οὐκ ἐξύπνισέν με, ὅπως τῶν λόγων ἐπακούσω, αἰτίαν τιθέμενος τὸν ἐκ τοῦ πλοῦ σκυλμόν· ἐκεῖνον πεφθῆναί μοι θέλων ἡσυχάζειν εἴασεν. ὁπόταν γὰρ ἡ ψυχὴ περὶ τὸ λεῖπον τῷ σώματι ἀσχολῆται, τὰ προσφερόμενα μαθήματα οὐ κατ' ἀξίαν προσίεται. τούτου ἕνεκα διαλέγεσθαι οὐ βούλομαι οὔτε πάνυ διά τινα συμφορὰν λυπουμένοις ἢ ἀμέτρως ὀργιζομένοις ἢ πρὸς λύσσαν ἔρωτος ἐκτετραμμένοις ἢ τὸ σῶμα καταπεπονημένοις ἢ ὑπὸ βιωτικῶν φροντίδων περιωθουμένοις ἢ ἄλλοις τισὶ πάθεσιν ὀχλουμένοις, οἷς ἡ ψυχή (ὡς ἔφην) ὑποπίπτουσα καὶ τῷ σώματι πάσχοντι συναλγοῦσα [καὶ] τὴν αὐτῆς φρόνησιν ἀσχολεῖ. καὶ μὴ λεγέτω τις· Οὐ χρὴ οὖν παραμυθίας καὶ νουθεσίας προσφέρειν τοῖς φαῦλόν τι πράττουσιν. φημί· Εἰ μὲν ἀνύει τις, προσφερέτω· εἰ δὲ μή, τῷ καιρῷ εἰξάτω. ἐγὼ γὰρ οἶδα ὅτι «πάντα καιρὸν

ἴδιον ἔχει». διὸ χρὴ τοῖς ἀνθρώποις τοὺς τὴν ψυχὴν ·ωννύντας λόγους
πρὸ τῆς κακώσεως ἐπιδιδόναι, ἵνα, εἴ ποτε ἐπέλθοι τι φαῦλον, ὁ νοῦς προω-
πλισμένος ὀρθῷ τῷ λογισμῷ τὸ ἐπενεχθὲν ὑποστῆναι δυνηθῇ. τότε γὰρ
καὶ τῷ διὰ γνώμης ἀγαθῆς βοηθήσαντι παρὰ τὴν ἀκμὴν τοῦ πολέμου
οἶδεν ὁ νοῦς συντρέχειν. πλὴν ἔμαθον, ὦ Κλήμης, ὡς ἐν τῇ Ἀλεξαν-
δρείᾳ ὁ Βαρνάβας τὸν περὶ προφητείας λόγον τελείως σοι ἐξέθετο·
ἢ γὰρ οὔ; κἀγὼ ἀπεκρινάμην· Ναί, καὶ πάνυ καλῶς. καὶ ὁ Πέτρος· Οὐκ-
οῦν οὐκ ἀναγκαῖον τὸν νῦν χρόνον δυνάμενον ἡμῖν ὑπηρετεῖν εἰς ἑτέρους
λόγους οὓς οὐκ ἐπίστασαι, εἰς οὓς ἐπίστασαι ποιεῖσθαι τὴν ἀσχολίαν.
κἀγὼ ἔφην· Ὀρθῶς ἔφης, Πέτρε. ἐμοὶ δὲ τοῦτο χαρίζου πάντοτέ σοι
συνεῖναι κρίναντι, τὸν περὶ προφήτου λόγον ἡδέως ἀκούοντι συνεχῶς
ὑφηγεῖσθαι· ἄνευ γὰρ αὐτοῦ, ὡς ἔμαθον παρὰ Βαρνάβα, τὴν ἀλήθειαν
μαθεῖν ἀδύνατον.

Ὁ δὲ Πέτρος ἐπὶ τούτῳ μεγάλως ἡσθεὶς ἀπεκρίνατο· Ἤδη μὲν ἡ πρὸς
σὲ διόρθωσις τέλος εἴληφεν, ἐπεγνωκότα τῆς ἀπταίστου προφητείας τὸ
μέγεθος, ἧς ἄνευ λαβεῖν τινι τὸ ἐν ὑπεροχῇ συμφέρον ἀδύνατον· πολλῶν
γὰρ καὶ διαφόρων ἀγαθῶν ὄντων ἐν τοῖς οὖσιν ἢ ἔσεσθαι δυναμένοις, τὸ πάν-
των μακαριώτατον, εἴτε ἀίδιός ἐστιν ζωὴ ἢ παράμονος ὑγεία ἢ τέλειος νοῦς
ἢ φῶς ἢ χαρὰ ἢ ἀφθαρσία ἢ καὶ ἄλλο τι ὃ ἐν τῇ τῶν ὄντων φύσει ὑπερέχον
ὑπάρχει καλὸν ἢ ὑπάρξαι δύναται τοῦτο, –οὐκ ἄλλως ἔστιν αὐτὸ κτή-
σασθαι, μὴ πρότερον γνόντα τὰ ὄντα ὡς ἔστιν· τῆς δὲ γνώσεως οὐκ ἄλλως
τυχεῖν ἔστιν, ἐὰν μὴ πρότερόν τις τὸν τῆς ἀληθείας προφήτην ἐπιγνῷ.
προφήτης δὲ ἀληθείας ἐστὶν ὁ πάντοτε πάντα εἰδώς, τὰ μὲν γεγονότα ὡς
ἐγένετο, τὰ δὲ γινόμενα ὡς γίνεται, τὰ δὲ ἐσόμενα ὡς ἔσται, ἀναμάρτητος,
ἐλεήμων, μόνος τὴν ἀλήθειαν ὑφηγεῖσθαι πεπιστευμένος. ἀναγίνωσκε καὶ

εὑρήσεις τοὺς ἀπὸ ἑαυτῶν τὴν ἀλήθειαν εὑρεῖν νομίσαντας <.....>. τοῦτο
γὰρ προφήτου ἴδιον, τὸ τὴν ἀλήθειαν μηνύειν, ὥσπερ ἡλίου ἴδιον τὸ τὴν
ἡμέραν φέρειν. διὰ τοῦτο ὅσοι ποτὲ ἀλήθειαν γνῶναι ἐπεθύμησαν, παρὰ δὲ
τούτου μαθεῖν αὐτὴν οὐκ εὐτύχησαν, μὴ εὑρόντες ζητοῦντες ἐτελεύτησαν.
ὁ γὰρ τὴν ἀλήθειαν ζητῶν παρὰ τῆς ἑαυτοῦ ἀγνοίας λαβεῖν πῶς ἂν δύ-
ναιτο; κἂν γὰρ εὕρῃ, οὐκ εἰδὼς αὐτὴν ὡς οὐκ οὖσαν παρέρχεται. οὔτ' αὖ παρ'
ἑτέρου (τοῦ ὁμοίως ἐξ ἀγνωσίας γνῶσιν ἔχειν ἐπαγγελλομένου) ἀληθείας
κρατεῖν δυνατὸς ἔσται, πλὴν πολιτείας μόνης, καὶ ταῦτα ἐκείνης τῆς διὰ
τὸ εὔλογον γνωρισθῆναι δυναμένης, ἥτις ἑκάστῳ ἐκ τοῦ μὴ θέλειν ἀδι-
κεῖσθαι τοῦ μὴ δεῖν ἄλλον ἀδικεῖν τὴν γνῶσιν παρίστησιν. πάντες
μὲν οὖν ὅσοι ποτὲ ἐζήτησαν τὸ ἀληθές, τὸ δύνασθαι εὑρεῖν ἑαυτοῖς
πιστεύσαντες ἐνηδρεύθησαν. τοῦτο ὅπερ πεπόνθασιν καὶ οἱ τῶν Ἑλλήνων
φιλόσοφοι καὶ βαρβάρων οἱ σπουδαιότεροι· ἐκ στοχασμῶν γὰρ ἐπι-
βάλλοντες τοῖς ὁρατοῖς περὶ τῶν ἀδήλων ἀπεφήναντο, τὸ ὁπώσποτε πα-
ραστὰν αὐτοῖς, τοῦτο ἀληθὲς εἶναι νομίσαντες. ὡς γὰρ εἰδότες ἀλήθειαν
οἱ ἀλήθειαν ἔτι ζητοῦντες τῶν παρισταμένων αὐτοῖς ὑπολήψεων ἃ μὲν
ἀποδοκιμάζουσιν, ἃ δὲ κρατύνουσιν ὥσπερ εἰδότες, μὴ εἰδότες ποῖα
μέν ἐστιν ἀληθῆ, ποῖα δὲ ψευδῆ. καὶ δογματίζουσιν περὶ ἀληθείας οἱ
ἀλήθειαν ἐπιζητοῦντες, οὐκ εἰδότες ὅτι ὁ ἀλήθειαν ζητῶν παρὰ τῆς
αὐτοῦ πλάνης μαθεῖν αὐτὴν οὐ δύναται. οὔτε γάρ (ὡς ἔφην) παρεστη-
κυῖαν αὐτὴν ἐπιγνῶναι δύναται, ἣν ἀγνοεῖ. πείθει δὲ ἕκαστον ἀφ'
ἑαυτοῦ ζητοῦντα μαθεῖν οὐ πάντως τὸ ἀληθές, ἀλλὰ τὸ τέρπον. ἐπεὶ
οὖν ἄλλον ἄλλο τέρπει, ἄλλου ἄλλο κρατεῖ ὡς ἀληθές. τὸ δὲ ἀληθές
ἐστιν τὸ δοκοῦν τῷ προφήτῃ, οὐ τὸ ἑκάστῳ ἡδύ. πολλὰ γὰρ ἂν ἦν τὸ
ἕν, εἰ τὸ τέρπον ἀληθὲς ἦν· ὅπερ ἐστὶν ἀδύνατον. διὰ τοῦτο καὶ οἱ τῶν
Ἑλλήνων φιλόλογοι (οὐ φιλόσοφοι) διὰ στοχασμῶν τοῖς πράγμασιν
ἐπιβάλλοντες πολλὰ καὶ διάφορα ἐδογμάτισαν, τὴν οἰκείαν τῶν
ὑποθέσεων

ἀκολουθίαν ἀλήθειαν εἶναι νομίσαντες, οὐκ εἰδότες ὅτι αὐτῶν ψευδεῖς ἀρχὰς
ἑαυτοῖς ὁρισαμένων, τῇ ἀρχῇ αὐτῶν τὸ τέλος συμφωνίαν εἴληφεν. ὅθεν
δεῖ πάντα παρελόμενον μόνῳ τῷ τῆς ἀληθείας πιστεύειν ἑαυτὸν προ-
φήτῃ, ὃν πάντες κρῖναι δυνάμεθα εἰ προφήτης ἐστίν, κἂν πάνυ ἀμα-
θεῖς ὦμεν καὶ σοφισμῶν ἰδιῶται καὶ γεωμετρίας ἄπειροι καὶ μουσικῆς
ἀμύητοι· εὐκολωτέραν γὰρ τὴν περὶ αὐτοῦ εὕρεσιν ὁ θεὸς τέθεικεν πᾶσιν
ὡς πάντων κηδεμών, ἵνα μήτε βάρβαροι ἐξασθενῶσιν αὐτὸν μήτε Ἕλ-
ληνες ἀδυνατῶσιν εὑρεῖν. ·ᾳδία μὲν οὖν ἡ περὶ αὐτοῦ εὕρεσις ὑπάρχει.
ἔστιν δὲ ἥδε· εἰ προφήτης ἐστὶν καὶ δύναται εἰδέναι ὡς ἐγένετο ὁ κό-
σμος καὶ τὰ ἐν αὐτῷ γινόμενα καὶ τὰ εἰς τέλος ἐσόμενα, ἐὰν ἡμῖν
ᾖ τι προειρηκὼς ὃ εἰς τέλος ἐγνώκαμεν γεγενημένον, καλῶς αὐτῷ ἐκ
τῶν ἤδη γεγενημένων καὶ τὰ ἐσόμενα ἔσεσθαι πιστεύομεν, οὐ μόνον
ὡς γινώσκοντι, ἀλλὰ καὶ προγινώσκοντι. τίνι οὖν κἂν βραχὺν νοῦν ἔχοντι
οὐ φαίνεται, ὡς χρὴ τούτῳ παρὰ πάντας πιστεύειν τὰ τῷ θεῷ δόξαντα,
ὃς μόνος παρὰ πάντας ἀνθρώπους καὶ μὴ μαθὼν ἐπίσταται; διό, ἂν
τῷ τοιούτῳ, λέγω δὲ τῷ πρόγνωσιν ἔχοντι διὰ τὴν ἐν αὐτῷ τοῦ πνεύμα-
τος θειότητα, τὸ ἀληθὲς εἰδέναι μὴ διδόναι τις θέλοι, τινὶ ἑτέρῳ δοὺς εἰδέ-
ναι οὐκ ἐνδεὴς ὑπάρχει φρενῶν, ἀποδεδωκὼς τῷ μὴ προφήτῃ ἃ προφήτῃ
εἰδέναι δοῦναι οὐκ ἐβουλήθη; ὅθεν πρὸ πάντων πάσῃ κρίσει διὰ τῆς
προφητικῆς ἐπαγγελίας τὸν προφήτην ζητεῖν δεῖ, καὶ γνόντα τοῖς λοιποῖς
τῆς διδασκαλίας αὐτοῦ λόγοις ἀνενδοιάστως ἕπεσθαι, καὶ θαρροῦντα
περὶ τῶν ἐλπιζομένων, πολιτεύεσθαι τῇ πρώτῃ κρίσει, γνόντα οὖν ὅτι ὁ
ταῦτα εἰπὼν πρὸς τὸ ψεύσασθαι φύσιν οὐκ ἔχει. διὸ ἐάν τι τοῦ λοιποῦ
τῶν ὑπ' αὐτοῦ ·ηθέντων δοκῇ ἡμῖν μὴ καλῶς εἰρῆσθαι, εἰδέναι χρὴ
ὅτι οὐκ αὐτῷ εἴρηται κακῶς, ἀλλ' αὐτὸ ἡμεῖς καλῶς ἔχον οὐκ ἐνοήσα-
μεν. ἄγνοια γὰρ γνῶσιν οὐκ ὀρθῶς κρίνει (ἅτε δὴ οὔτε γνῶσις πρόγνω-
σιν ἀληθῶς κρίνειν πέφυκεν), ἀλλὰ ἡ πρόγνωσις τοῖς ἀγνοοῦσιν παρέχει
τὴν γνῶσιν. ὅθεν, ὦ φίλε Κλήμης, εἴγε τὰ τῷ θεῷ διαφέροντα γνῶ-

ναι θέλεις, παρὰ τούτου μόνου μαθεῖν ἔχεις, ὅτι μόνος οἶδεν τὴν ἀλήθειαν. τῶν γὰρ ἄλλων εἴ τις ἐπίσταταί τι, παρὰ τούτου ἢ τῶν τούτου
μαθητῶν λαβὼν ἔχει. ἔστιν δὲ αὐτοῦ τό τε βούλημα καὶ ἀληθὲς κή-
ρυγμα ὅτι εἷς θεός, οὗ κόσμος ἔργον, ὃς δίκαιος ὢν πάντως ἑκάστῳ πρὸς
τὰς πράξεις ἀποδώσει ποτέ. ἀνάγκη γὰρ πᾶσα, φύσει δίκαιον εἶναι λέγοντα τὸν θεὸν καὶ τὰς τῶν ἀνθρώπων ψυχὰς ἀθανάτους εἶναι πιστεύειν.
ἐπεὶ ποῦ τὸ δίκαιον αὐτοῦ, ὅπου τινὲς εὐσεβῶς βιώσαντες, κακουχηθέντες
ἐνίοτε, βιαίως ἀνῃρέθησαν, ἔνιοι δὲ ἀσεβεῖς πάνυ γεγενημένοι, ἐν πολυ-
τελείᾳ βίου τρυφήσαντες, τὸν κοινὸν ἀνθρώπων θάνατον ἐτελεύτησαν;
ἐπεὶ οὖν χωρὶς πάσης ἀντιλογίας ὁ θεὸς ἀγαθὸς ὢν καὶ δίκαιός ἐστιν, οὐκ ἄλλως δὲ δίκαιος εἶναι γνωσθήσεται, ἐὰν μὴ ἡ ψυχὴ μετὰ τὸν χωρισμὸν τοῦ σώματος ἀθάνατος ᾖ, ἵν' ὁ μὲν κακὸς ἐν ᾅδῃ γενόμενος, ὡς ἐνταῦθα τὰ ἀγαθὰ ἀπολαβών, ἐκεῖ περὶ ὧν ἥμαρτεν κολασθῇ, ὁ δὲ ἀγαθὸς ἐνταῦθα περὶ ὧν ἥμαρτεν κολασθείς, ἐκεῖ ὡς ἐν κόλποις δι-
καίων ἀγαθῶν κληρονόμος καταστῇ. ὅτι τοίνυν ὁ θεὸς δίκαιος, πρόδηλον
ἡμῖν ἐστιν ὅτι καὶ κρίσις γίνεται καὶ ψυχαὶ ἀθάνατοι τυγχάνουσιν. εἰ δέ τις (ὡς τῷ Σαμαρεῖ Σίμωνι δοκεῖ) τὸ δικαίῳ εἶναι θεῷ μὴ
θέλοι δοῦναι, τίνι ἔτι τοῦτό τις δοῦναι δύναται ἢ καὶ τὸ γενέσθαι δύνα-
σθαι; τῆς γὰρ ·ίζης τῶν ὅλων τοῦτο οὐκ ἐχούσης, ἀνάγκη πᾶσα νοεῖν ὅτι <ἐν> τῇ τῶν ἀνθρώπων φύσει ὡς ἐν καρποῖς εὑρεῖν ἀδύνατον. εἰ δὲ ἔστιν
εὑρεῖν ἐν ἀνθρώποις, πόσῳ μᾶλλον ἐν θεῷ; εἰ δὲ οὐδαμοῦ, οὔτε παρὰ θεῷ οὔτε παρὰ ἀνθρώποις, ἔστιν εὑρεῖν τὸ δίκαιον, πάντως οὐδὲ τὸ ἄδικον.
ἀλλ' ἔστιν τὸ δίκαιον· δικαιοσύνης γὰρ οὔσης τὸ ἄδικον λέγεται. [ὥσπερ
παραβαλλομένης τῆς δικαιοσύνης αὐτῇ καὶ ἐναντίως ἔχειν εὑρισκομένης
ἀδικία λέγεται.] ἔνθεν γοῦν ὁ θεὸς διδάσκων τοὺς ἀνθρώπους, πρὸς τὴν τῶν ὄντων ἀλήθειαν, εἷς ὢν αὐτός, διχῶς καὶ ἐναντίως διεῖλεν πάντα
τὰ τῶν ἄκρων, [ἀπ' ἀρχῆς αὐτὸς εἷς ὢν καὶ μόνος θεός,] ποιήσας οὐρανὸν

καὶ γῆν, ἡμέραν καὶ νύκτα, φῶς καὶ πῦρ, ἥλιον καὶ σελήνην, ζωὴν καὶ θάνατον. μόνον δὲ ἐν τούτοις αὐτεξούσιον τὸν ἄνθρωπον ἐποίησεν, ἐπιτηδειότητα ἔχοντα δίκαιον ἢ ἄδικον γενέσθαι. ᾧ καὶ τὰς τῶν συζυγιῶν ἐνήλλαξεν εἰκόνας, μικρὰ τὰ πρῶτα παραθέμενος αὐτῷ, μεγάλα δὲ
τὰ δεύτερα, οἷον κόσμον, αἰῶνα· ἀλλ' ὁ μὲν παρὼν κόσμος πρόσκαιρος,
ὁ δὲ ἐσόμενος ἀίδιος. πρώτη ἄγνοια, δευτέρα γνῶσις. οὕτως καὶ τοὺς τῆς προφητείας ἡγεμόνας διέταξεν· ἐπεὶ γὰρ ὁ παρὼν κόσμος θῆλύς ἐστιν, ὡς μήτηρ τέκνων τίκτων ψυχάς, ὁ <δ'> ἐσόμενος αἰὼν ἄρρην
ἐστίν, ὡς πατὴρ ἀποδεχόμενος τὰ αὐτοῦ τέκνα· διὰ τοῦτο οἱ ἐν τῷ κόσμῳ
τούτῳ προφῆται <...> ἑπόμενοι, ὡς τοῦ μέλλοντος αἰῶνος ὄντες υἱοί, αἰωνίων τὴν γνῶσιν ἔχοντες, ἐπέρχονται. τοῦτο δὲ τὸ μυστήριον εἰ ἠπίσταντο
οἱ ἐν θεοσεβείᾳ ἄνθρωποι, οὐκ ἄν ποτε ἐπλανήθησαν, ἀλλὰ καὶ νῦν ἂν
ἐγνώκεισαν ὅτι Σίμων, ὁ νῦν πάντας θορυβῶν, τῆς ἀσθενοῦς ἀριστερᾶς
ἐστιν συνεργός. ὁ δὲ λόγος τοῦ προφητικοῦ κανόνος οὕτως ἔχει· ὡς ἐν ἀρχῇ ὁ θεὸς εἷς ὤν, ὥσπερ δεξιὰ καὶ ἀριστερά, πρῶτον ἐποίησεν τὸν οὐρανόν, εἶτα τὴν γῆν, [καὶ] οὕτως κατὰ τὸ ἑξῆς πάσας τὰς συζυγίας
συνεστήσατο· ἐπὶ μέντοι ἀνθρώπων οὐκέτι οὕτως, ἀλλὰ πάσας ἐναλλάσσει
τὰς συζυγίας. ὡς γὰρ ἀπ' αὐτοῦ τὰ πρῶτα κρείττονα, τὰ δεύτερα ἥττονα,
ἐπ' ἀνθρώπων τὸ ἐναντίον εὑρίσκομεν, τὰ πρῶτα χείρονα, τὰ δεύτερα κρείττονα. αὐτίκα γοῦν ἀπὸ Ἀδὰμ τοῦ κατ' εἰκόνα θεοῦ γενομένου ἐγένετό τις πρῶτος ἄδικος Κάιν, δεύτερος δίκαιος Ἄβελ. πάλιν δὲ ἀπὸ τοῦ καθ' ὑμᾶς λεγομένου Δευκαλίωνος πνευμάτων εἰκόνες δύο ἀπεστάλησαν, ἀκαθάρτου λέγω καὶ καθαροῦ, ὅ τε κόραξ ὁ μέλας καὶ ἡ λευκὴ περιστερὰ δευτέρα. καὶ ἀπὸ μὲν τοῦ ἀρχηγέτου τοῦ ἔθνους ἡμῶν Ἀβραὰμ
δύο [πρῶτοι] γεγόνασιν, πρῶτος Ἰσμαήλ, εἶτα Ἰσαὰκ ὁ ὑπὸ τοῦ θεοῦ εὐλογημένος. ἀπὸ δὲ αὐτοῦ Ἰσαὰκ ὁμοίως πάλιν δύο, Ἠσαῦ ὁ ἀσεβὴς καὶ Ἰακὼβ ὁ εὐσεβής. οὕτως τῇ τάξει πρῶτος, ὡς πρωτότοκος τῷ

κόσμῳ, ὁ ἀρχιερεύς, εἶτα ὁ νομοθέτης. ὁμοίως–ἡ γὰρ πρὸς τὸν Ἠλίαν συζυγία ὀφείλουσα ἐλθεῖν ἐκοῦσα ἀπελείφθη εἰς ἕτερον καιρόν,
ἄλλοτε εὐκαίρως αὐτὴν ἀπολαβεῖν βουλευσαμένη–[διὸ] καὶ ὁ «ἐν γεννη-
τοῖς γυναικῶν» πρῶτος ἦλθεν, εἶτα ὁ ἐν υἱοῖς ἀνθρώπων δεύτερος ἐπῆλ-
θεν. ταύτῃ τῇ τάξει ἀκολουθοῦντα δυνατὸν ἦν νοεῖν τίνος ἐστὶν Σίμων,
ὁ πρὸ ἐμοῦ εἰς τὰ ἔθνη πρῶτος ἐλθών, καὶ τίνος ὢν τυγχάνω, ὁ μετ'
ἐκεῖνον ἐληλυθὼς καὶ ἐπελθὼν ὡς σκότῳ φῶς, ὡς ἀγνοίᾳ γνῶσις, ὡς νόσῳ
ἴασις. οὕτως δή, ὡς ὁ ἀληθὴς ἡμῖν προφήτης εἴρηκεν, πρῶτον ψευδὲς δεῖ
ἐλθεῖν εὐαγγέλιον ὑπὸ πλάνου τινὸς καὶ εἶθ' οὕτως μετὰ καθαίρεσιν τοῦ
ἁγίου τόπου εὐαγγέλιον ἀληθὲς κρύφα διαπεμφθῆναι εἰς ἐπανόρθωσιν
τῶν ἐσομένων αἱρέσεων· καὶ μετὰ ταῦτα πρὸς τῷ τέλει πάλιν πρῶτον ἀντί-
χριστον ἐλθεῖν δεῖ καὶ τότε τὸν ὄντως Χριστὸν ἡμῶν Ἰησοῦν ἀναφανῆναι καὶ
μετὰ τοῦτο αἰωνίου φωτὸς ἀνατείλαντος πάντα τὰ τοῦ σκότους ἀφανῆ γενέ-
σθαι. ἐπεὶ οὖν, ὡς ἔφην, τὸν κανόνα τῆς συζυγίας ἀγνοοῦσί τινες,
ἔνθεν οὐκ ἐπίστανται τίς τυγχάνει ὁ ἐμοῦ προοδεύσας Σίμων. εἰ γὰρ
ἐγινώσκετο, οὐκ ἂν ἐπιστεύετο. νῦν δὲ ἀγνοούμενος οὐκ ὀρθῶς πεπίστευ-
ται, καὶ ὁ τὰ μισούντων ποιῶν ἠγάπηται καὶ ὁ ἐχθρὸς ὡς φίλος ἀπο-
δέδεκται καὶ θάνατος ὢν ὡς σόζων πεπόθηται καὶ πῦρ ὢν φῶς νενόμισται
καὶ πλάνος ὢν ὡς ἀληθεύων ἀκούεται.

Ταῦτα ἀκούσας ἐγὼ Κλήμης· Τίς ἄρα τυγχάνει, ἔφην, οὗτος ὁ τοσοῦτος
ὢν ἀπατεὼν μαθεῖν ἤθελον. καὶ ὁ Πέτρος ἔφη· Εἰ θέλεις μαθεῖν, πάρεστίν
σοι τὸ γνῶναι παρ' ὧν κἀγὼ τὰ κατ' αὐτὸν πάντα ἠκρίβωκα. Ἰοῦστά
τις ἐν ἡμῖν ἐστιν Συροφοινίκισσα, τὸ γένος Χανανῖτις, ἧς τὸ θυγάτριον ὑπὸ
χαλεπῆς νόσου συνείχετο, ἣ καὶ τῷ κυρίῳ ἡμῶν προσῆλθεν βοῶσα καὶ ἱκετεύ-

ουσα, ὅπως αὐτῆς τὸ θυγάτριον θεραπεύσῃ. ὁ δὲ καὶ ὑφ' ἡμῶν ἀξιωθεὶς
εἶπεν· Οὐκ ἔξεστιν ἰᾶσθαι τὰ ἔθνη, ἐοικότα κυσὶν διὰ τὸ ἀδιαφόροις χρᾶ-
σθαι τροφαῖς καὶ πράξεσιν, ἀποδεδομένης τῆς κατὰ τὴν βασίλειον τραπέ-
ζης τοῖς υἱοῖς Ἰσραήλ. ἡ δὲ τοῦτο ἀκούσασα, καὶ τῆς αὐτῆς τραπέζης
ὡς κύων ψιχίων ἀποπιπτόντων συνμεταλαμβάνειν <δεομένη>, μεταθεμένη
ὅπερ ἦν, τῷ ὁμοίως διαιτᾶσθαι τοῖς τῆς βασιλείας υἱοῖς τῆς εἰς τὴν θυ-
γατέρα, ὡς ἠξίωσεν, ἔτυχεν ἰάσεως. οὐ γὰρ ἂν ἐθνικὴν οὖσαν καὶ ἐπὶ
τῇ αὐτῇ πολιτείᾳ μένουσαν ὁ τὴν ἀρχὴν διὰ τὸ μὴ ἐξεῖναι θεραπεύειν
ὡς ἐθνικήν [ἐθνικὴν μείνασαν] <...>, ἐθεράπευεν. αὐτὴ οὖν αὕτη ἡ νόμι-
μον ἀναδεξαμένη πολιτείαν ὑπὸ τοῦ ἰδίου ἀνδρὸς ἐναντία φρονοῦντος
ἡμῖν μετὰ τῆς ἰαθείσης θυγατρὸς ἰδίων οἴκων ἐκβέβληται. ἡ δέ, εὐγνω-
μονοῦσα πρὸς τὰς συνθήκας καὶ ἐν περιουσίᾳ βίου ὑπάρχουσα, αὐτὴ μὲν
χήρα ἔμεινεν, τὸ δὲ θυγάτριον αὐτῆς ἀνδρί τινι εὐγνωμονοῦντι πρὸς τὴν
ἀληθῆ πίστιν καὶ πένητι ὄντι συνηρμόσατο. ἡ δὲ καὶ τῆς θυγατρὸς
προφάσει γάμου στερηθεῖσα, δύο παιδία ὠνησαμένη καὶ παιδεύσασα,
εἰς υἱῶν ἔσχεν τόπον, ἅτινα τῷ μάγῳ Σίμωνι ἐκ παίδων συνπαιδευθέντα,
πάντα τὰ κατ' αὐτὸν ἐκμεμαθήκασιν· τοσαύτη γὰρ αὐτῶν ἦν ἡ φιλία,
ὡς καὶ συνσπεῦσαι αὐτῷ ἐν πᾶσιν οἷς βούλοιτο αὐτοῖς ἐνοῦν. οὗτοι
τῷ ἐνταῦθα ἐπιδημήσαντι Ζακχαίῳ συντυχόντες καὶ τοῦ τῆς ἀληθείας
δι' αὐτοῦ μεταλαβόντες λόγου, ἐπὶ τοῖς πρώτοις νεωτερισμοῖς μεταμελη-
θέντες, ταχέως τοῦ Σίμωνος καταγνόντες, πάντα αὐτῷ συνειδότες, ἅμα
τῷ ἐπιδημῆσαί με ἐνταῦθα μετὰ τῆς ἀναθρεψαμένης αὐτοὺς προσελθόν-
τες μοι, ὑπ' αὐτοῦ συσταθέντες μοι, καὶ ἔκτοτε πάντοτε σύνεισίν μοι,
τῶν τῆς ἀληθείας ἀπολαύοντες μαθημάτων.

Ταῦτα εἰπὼν ὁ Πέτρος, μεταπεμψάμενος ἐκέλευσεν αὐτοῖς πάντα μοι

τὰ κατὰ τὸν Σίμωνα ἀκριβῶς ἐκτίθεσθαι. οἱ δὲ τὸν θεὸν μαρτυράμενοι μηδὲν
ψεύσασθαι, ἐξετίθεντο. ὧν πρῶτος ὁ Ἀκύλας ἤρξατο λέγειν οὕτως· Ἄκου-
σον, φίλτατε ἡμῖν ἀδελφέ, ὅπως ἀκριβῶς πάντα τὰ κατὰ τὸν ἄνδρα εἰδῇς,
τίνος τε ὢν καὶ τίς καὶ πόθεν, τίνα τέ ἐστιν ἃ πράττει καὶ πῶς καὶ διὰ τί.
Σίμων οὗτος πατρὸς μέν ἐστιν Ἀντωνίου, μητρὸς δὲ Ῥαχήλ, Σαμαρεὺς
τὸ ἔθνος, ἀπὸ Γετθῶν κώμης, τῆς πόλεως ἀπεχούσης σχοίνους ἕξ. οὗτος
ἐν Ἀλεξανδρείᾳ τῇ πρὸς Αἴγυπτον γεγονώς, Ἑλληνικῇ παιδείᾳ πάνυ ἐξασ-
κήσας ἑαυτὸν καὶ μαγείᾳ πολὺ δυνηθεὶς καὶ φρενωθεὶς θέλει νομίζεσθαι
ἀνωτάτη τις εἶναι δύναμις καὶ αὐτοῦ τοῦ τὸν κόσμον κτίσαντος θεοῦ,
ἐνίοτε δὲ καὶ χριστὸν ἑαυτὸν αἰνισσόμενος, ἑστῶτα προσαγορεύει. ταύτῃ
δὲ τῇ προσηγορίᾳ κέχρηται, ὡς δὴ στησόμενος ἀεὶ καὶ αἰτίᾳ φθορᾶς
τὸ σῶμα πεσεῖν οὐκ ἔχων. καὶ οὔτε θεὸν τὸν κτίσαντα τὸν κόσμον
ἀνώτατον εἶναι λέγει. οὐ νεκροὺς ἐγερθήσεσθαι πιστεύει. τὴν Ἱερου-
σαλὴμ ἀρνεῖται, τὸ Γαριζεὶν ὄρος ἀντεισφέρει. ἀντὶ τοῦ ὄντος Χριστοῦ
ἡμῶν ἑαυτὸν ἀναγορεύει. τὰ δὲ τοῦ νόμου ἰδίᾳ προλήψει ἀλληγορεῖ.
καὶ κρίσιν ἔσεσθαι μὲν λέγει, οὐ προσδοκᾷ δέ· οὐ γὰρ ἂν ὑπὸ θεοῦ κρι-
θήσεσθαι πεπεισμένος μέχρι αὐτοῦ τοῦ θεοῦ ἀσεβεῖν ἐτόλμα. ὅθεν
ἔνιοι μὴ εἰδότες ὅτι προκαλύμματι τῇ θεοσεβείᾳ κεχρημένος ὑποσυλᾷ
τὰ τῆς ἀληθείας, καὶ τὴν ὁπώσποτε ὑπὸ αὐτοῦ ἐλπίδα καὶ κρίσιν λεγο-
μένην ἔσεσθαι ὡς πιστῷ πιστεύοντες ἀπόλλυνται. τὸ δὲ παρεισελ-
θεῖν αὐτὸν εἰς τὸν τῆς θεοσεβείας λόγον γέγονεν οὕτως· Ἰωάννης τις ἐγέ-
νετο ἡμεροβαπτιστής, ὃς καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ κατὰ τὸν τῆς
συζυγίας λόγον ἐγένετο πρόοδος· καὶ ὥσπερ τῷ κυρίῳ γεγόνασιν δώδεκα
ἀπόστολοι, τῶν τοῦ ἡλίου δώδεκα μηνῶν φέροντες τὸν ἀριθμόν, ὡσαύτως
καὶ αὐτῷ ἕξαρχοι ἄνδρες γεγόνασιν τριάκοντα, τὸν μηνιαῖον τῆς σελήνης
ἀποπληροῦντες λόγον. ἐν ᾧ ἀριθμῷ μία τις ἦν γυνὴ λεγομένη Ἑλένη,

ἵνα μηδὲ τοῦτο ἀνοικονόμητον ᾖ. ἥμισυ γὰρ ἀνδρὸς οὖσα ἡ γυνὴ ἀτελῆ
τὸν τῆς τριακοντάδος τέθεικεν ἀριθμόν, ὥσπερ καὶ τῆς σελήνης, ἧς ἡ
πορεία τοῦ μηνὸς οὐ τέλειον ποιεῖται τὸν δρόμον. τούτων δὲ τῶν τριά-
κοντα τῷ Ἰωάννῃ πρῶτος καὶ δοκιμώτατος ἦν ὁ Σίμων, ὃς καὶ τοῦ μὴ
ἄρξαι αὐτὸν μετὰ τὴν τελευτὴν τοῦ Ἰωάννου αἰτίαν ἔσχεν ταύτην· ἀπο-
δημοῦντος γὰρ αὐτοῦ εἰς Αἴγυπτον ἐπὶ τὴν τῆς μαγείας ἐπάσκησιν, τοῦ
Ἰωάννου ἀναιρεθέντος, Δοσίθεός τις τῆς ἀρχῆς ὀρεγόμενος, θάνατον
αὐτοῦ ψευδῆ καταγγείλας διαδέχεται τὴν αἵρεσιν. ὁ δὲ Σίμων μετ'
οὐ πολὺ ἐπελθὼν καὶ τοῦ τόπου ὡς ἰδίου μεγάλως ἀντεχόμενος, τῷ
Δοσιθέῳ συντυχὼν τὸν μὲν τόπον οὐκ ἀπῄτει, εἰδὼς ὅτι ὁ φθάσας τῆς
ἀρχῆς παρὰ προαίρεσιν οὐ καθαιρεῖται. διὸ μετὰ προσποιητοῦ φιλίας
ἐπ' ὀλίγον μὲν εἰς τὸν δεύτερον τοῦ Δοσιθέου τόπον δίδωσιν ἑαυτόν.
ταγεὶς δὲ μετ' οὐ πολλὰς ἡμέρας τοῖς τριάκοντα συμμαθηταῖς, ὑποδια-
βάλλειν ἤρξατο τὸν Δοσίθεον, ὡς μὴ παραδιδόντα γνησίως τὰ μαθήματα.
καὶ τοῦτο ποιεῖν ἔλεγεν αὐτὸν οὐχ ὡς φθονοῦντα, ἀλλ' ὡς ἀγνοοῦντα. καί
ποτε ὁ Δοσίθεος, ὑπαισθόμενος τὴν τοῦ Σίμωνος ἔντεχνον διαβολὴν λύ-
ουσαν αὐτοῦ τὴν πρὸς τοὺς πολλοὺς ὑπόνοιαν, τοῦ μὴ αὐτὸν εἶναι νο-
μίζειν τὸν ἑστῶτα, θυμῷ ἐπὶ τὴν συνήθη παραγενόμενος διατριβὴν ·ἄβδῳ
παίει εὑρὼν τὸν Σίμωνα· ἡ δὲ ὥσπερ καπνοῦ τοῦ Σίμωνος διελθεῖν
ἔδοξε σῶμα. ἐπὶ τούτῳ καταπλαγεὶς ὁ Δοσίθεος λέγει αὐτῷ· Εἰ σὺ εἶ
ὁ ἑστώς, καὶ προσκυνῶ σε. τοῦ Σίμωνος εἰπόντος· Ἐγώ εἰμι, ὁ Δοσί-
θεος ἑαυτὸν γνοὺς οὐκ ὄντα τὸν ἑστῶτα, πεσὼν προσεκύνησεν, καὶ τοῖς
εἰκοσιεννέα ἐξάρχοις συνκαταβαλὼν ἑαυτὸν εἰς τὸν ἑαυτοῦ τῆς ὑπονοίας
τόπον ἔστησε τὸν Σίμωνα, καὶ οὕτως μετ' οὐ πολλὰς ἡμέρας ὁ Δοσίθεος,
ἐκείνου στάντος, αὐτὸς πεσὼν ἐτελεύτησεν. ὁ δὲ Σίμων τὴν Ἑλένην
παραλαβὼν ἐκπεριέρχεται, καὶ μέχρι τοῦ δεῦρο, ὡς ὁρᾷς, ἀναστατεῖ
τοὺς ὄχλους. αὐτὴν δὲ τὴν Ἑλένην ἀπὸ τῶν ἀνωτάτων οὐρανῶν κατε-
νηνοχέναι λέγει τῷ κόσμῳ, κυρίαν οὖσαν, ὡς παμμήτορα οὐσίαν καὶ σο-

φίαν, ἧς ἕνεκεν (φησίν) Ἕλληνές τε καὶ βάρβαροι ἐμαχέσαντο, εἰκόνα φαντασθέντες ἀληθείας· ἡ γὰρ ὄντως οὖσα τότε παρὰ τῷ πρωτίστῳ ὑπῆρχεν θεῷ. πλὴν τοιαῦτά τινα Ἑλληνικοῖς μύθοις συνπεπλασμένα πι-
θανῶς ἀλληγορῶν ἀπατᾷ πολλούς, ἐξαιρέτως πολλὰ τερατώδη θαυμάσια
ποιῶν, ὡς, εἰ μὴ ᾔδειμεν ὅτι μαγείᾳ ταῦτα ποιεῖ, ἠπατήθημεν ἂν καὶ αὐτοί. ἀλλ' ἐπειδὴ συνεργοὶ αὐτοῦ ἦμεν τὸ κατ' ἀρχάς, ὅτε τὰ τοιαῦτα ποιῶν τὸ τῆς θεοσεβείας οὐκ ἠδίκει μέρος, νῦν ὅτε πολὺ μανεὶς τοὺς ἐν
θεοσεβείᾳ ἀπατᾶν ἐπιχειρεῖν ἤρξατο, ἀπέστημεν αὐτοῦ. καὶ γὰρ μιαιφο-
νεῖν ἤρξατο, ὡς αὐτὸς ἔτι ὡς φίλος φίλοις ἐξέφανεν ὅτι παιδίου ψυχὴν τοῦ
ἰδίου σώματος χωρίσας ἀπορρήτοις ὅρκοις, συνεργὸν πρὸς τὴν τῶν αὐτῷ δοκούντων φαντασίαν, τὸν παῖδα διαγράψας ἐπὶ εἰκόνος, ἐνδο-
τέρῳ οἴκῳ ὅπου αὐτὸς ὑπνοῖ ἀνατεθειμένην ἔχει, φάσκων ποτὲ τοῦ-
τον ἐξ ἀέρος πλάσας θείαις τροπαῖς καὶ τὸ εἶδος ἀναγράψας ἀποδε-
δωκέναι πάλιν τῷ ἀέρι. τὴν δὲ πρᾶξιν ἑρμηνεύει οὕτως πεποιηκέναι· πρῶτον τὸ ἀνθρώπου πνεῦμα λέγει τραπὲν εἰς θερμοῦ φύσιν τὸν περι-
κείμενον αὐτῷ σικύας δίκην ἐπισπασάμενον συνπιεῖν ἀέρα, εἶτα ἔνδοθεν
τῆς τοῦ πνεύματος ἰδέας γενόμενον αὐτὸν τρέψαι εἰς ὕδωρ. ὑπὸ δὲ τῆς συνεχείας τοῦ πνεύματος χυθῆναι μὴ δυνάμενον εἰς αἵματος φύσιν
μετατρέπειν ἔφασκεν τὸν ἐν αὐτῷ ἀέρα, τὸ δὲ αἷμα πῆξαν τὰς σάρκας ποιῆσαι, εἶθ' οὕτως τῆς σαρκὸς παγείσης ἄνθρωπον οὐκ ἀπὸ γῆς, ἀλλ' ἐξ ἀέρος ἀναδεῖξαι. καὶ οὕτως ἑαυτὸν πείσας καινὸν ἄνθρωπον δύνασθαι
ποιῆσαι, τὰς τροπὰς ἀναλύων πάλιν ἀποδεδωκέναι ἔλεγε τῷ ἀέρι. καὶ ταῦτα μὲν ἄλλοις λέγων ἐπιστεύετο, ὑφ' ἡμῶν δὲ τῶν ἐπὶ τῇ τελετῇ συμ-
παρόντων εὐσεβῶς ἠπιστεῖτο. διὸ ἀσεβείας καταγνόντες ἀπέστημεν αὐτοῦ.

Ταῦτα τοῦ Ἀκύλα εἰπόντος ὁ ἀδελφὸς αὐτοῦ Νικήτης ἔφη· Ἀναγ-
καῖόν ἐστιν, ἀδελφὲ ἡμῶν Κλήμης, τὰ παραλειφθέντα τῷ Ἀκύλᾳ ἐμὲ ὑπομνῆσαι. πρῶτον μὲν γὰρ μάρτυς ὁ θεὸς ὡς οὐδὲν αὐτῷ ἡμεῖς συν-
ειργασάμεθα ἀσεβές, ἀλλ' ὅτι αὐτοῦ πράσσοντος ἱστορήσαμεν· καὶ μέχρις
ὅτε ἀβλαβῆ ποιῶν ἐπεδείκνυτο, καὶ ἐτερπόμεθα, ὅτε δὲ τὰ μαγείᾳ γινό-

μενα θειότητι ποιεῖν πρὸς ἀπάτην θεοσεβῶν ἔλεγεν, οὐκέτι αὐτοῦ ἠνε-
σχόμεθα καίτοι πολλὰ ἐπαγγελλομένου ἡμῖν, πρῶτον μὲν ναῶν ἀνδριάντας
ἡμῶν καταξιωθῆναι καὶ θεοὺς νομισθῆναι καὶ ὑπὸ ὄχλων προσκυνηθῆναι
καὶ ὑπὸ βασιλέων δοξασθῆναι καὶ δημοσίων τιμῶν καταξιωθῆναι καὶ
χρήμασιν ἀπεριορίστοις πλουτῆσαι. ταῦτά τε καὶ τὰ τούτοις νομι-
ζόμενα ἡμῖν ὑπέσχετο, μόνον ἵνα συνόντες αὐτῷ τὸ τῆς ἐνχειρήσεως
κακὸν σιωπῷμεν, ἵνα αὐτῷ τὰ τῆς ἀπάτης προκόπτῃ, καὶ ὅμως οὐ συνε-
θέμεθα, ἀλλὰ καὶ αὐτὸν τῆς τοιαύτης ἀπονοίας παύεσθαι συνεβουλεύσαμεν,
λέγοντες αὐτῷ· Ἡμεῖς, Σίμων, τῆς ἐκ παίδων φιλίας πρὸς σὲ μεμνημένοι
στέργοντές σε τὰ συμφέροντα συμβουλεύομεν· παῦσαι τῆς τοιαύτης τόλ-
μης· θεὸς εἶναι οὐ δύνασαι· φοβήθητι τὸν ὄντως θεόν, γνῶθι ὅτι ἄνθρω-
πος εἶ καὶ ὅτι σου μικρός ἐστιν ὁ τῆς ζωῆς χρόνος. κἂν μεγάλα πλου-
τήσῃς ἢ καὶ βασιλεύσῃς, τῷ τῆς ζωῆς σου μικρῷ χρόνῳ ὀλίγα τυγχάνει
πρὸς ἀπόλαυσιν, καὶ ἀσεβῶς πορισθέντα, εὐθέως φεύγοντα, αἰωνίαν κό-
λασιν περιποιεῖται τῷ τετολμηκότι. διὸ φοβεῖσθαί σοι τὸν θεὸν συμβου-
λεύομεν, ὑφ' οὗ κριθῆναι ἔχει ἡ ἑκάστου ψυχὴ περὶ ὧν ἔπραξεν ἐνταῦθα.
ὁ δὲ ταῦτα ἀκούσας ἐγέλασεν. ἡμῶν δὲ εἰπόντων· Τί ἡμῶν τὰ σοὶ
συμφέροντα συμβουλευόντων καταγελᾷς; ἔφη· Γελῶ ὑμῶν τὴν μωρὰν
ὑπόληψιν, ὅτι πιστεύετε ἀθάνατον εἶναι τὴν ἀνθρώπου ψυχήν. κἀγὼ
ἔφην· Οὐ θαυμάζομεν, ὦ Σίμων, εἰ ἡμᾶς ἀπατᾶν ἐπιχειρεῖς, ἀλλ' ἐκπε-
πλήγμεθα τίνι λόγῳ καὶ ἑαυτὸν ἀπατᾷς. λέγε μοι, ὦ Σίμων, εἰ καὶ τῶν
ἄλλων οὐδεὶς πεπληροφόρηται ἀθάνατον εἶναι τὴν ψυχήν, ἀλλ' οὖν
γε σὺ καὶ ἡμεῖς, σὺ μὲν ὡς ἀνθρωπείου σώματος χωρίσας αὐτὴν καὶ
προσομιλήσας καὶ ἐπιτάξας, ἡμεῖς δὲ ὡς συμπαρόντες καὶ τὴν ἐπιταγὴν
ἀκούσαντες καὶ τὸ κελευσθὲν ἐναργῶς ἱστορήσαντες. καὶ ὁ Σίμων ἔφη·
Ἐγὼ μὲν οἶδα τί λέγετε, ὑμεῖς δὲ οὐκ οἴδατε περὶ τίνων διαλέγεσθε.
καὶ ὁ Νικήτης ἔφη· Ἐπεὶ οἶδας, λέγε· εἰ δὲ μὴ οἶδας, μὴ δόκει ἡμᾶς τῷ
λέγειν σὲ μὲν εἰδέναι, ἡμᾶς δὲ μή, ἀπατᾶσθαι δύνασθαι. οὐ γάρ ἐσμεν

οὕτως νήπιοι, ἵνα πανοῦργον ἐνσπείρῃς ἐν ἡμῖν ὑποψίαν τοῦ νομίζειν σέ τι τῶν ἀπορρήτων εἰδέναι, καὶ οὕτως ἐπιθυμίᾳ κολαζομένους ἡμᾶς ὑποχειρίους λαβὼν ἔχῃς. καὶ ὁ Σίμων ἔφη· Ὅτι μὲν ἐχώρισα ψυχὴν ἀνθρωπείου σώματος, οἶδα ὑμᾶς εἰδότας, ὅτι δὲ οὐχ ἡ τοῦ τεθνεῶτος ψυχὴ ὑπουργεῖ (ἐπεὶ μὴ ὑπάρχει), ἀλλὰ δαίμων τις ὑποκρινόμενος αὐτὸς εἶναι ψυχὴ ἐνεργεῖ, οἶδα ὑμᾶς ἀγνοοῦντας. καὶ ὁ Νικήτης
ἔφη· Πολλὰ ἐν τῷ βίῳ ἠκούσαμεν ἄπιστα, τούτου δὲ τοῦ λόγου ἀνοητό-
τερον οὐ προσεδοκήσαμεν ἀκοῦσαι. εἰ γὰρ δαίμων ὑποκρίνεται εἶναι τοῦ τεθνεῶτος ἡ ψυχή, τίς τῆς ψυχῆς χρεία γίνεται ἵνα χωρισθῇ τοῦ σώματος; οὐκ αὐτοὶ δὲ παρόντες ἠκούσαμέν σου, τοῦ σκήνους τὴν ψυχὴν ὁρκίζοντος; πῶς δὲ καὶ ἄλλου ὁρκιζομένου ἕτερος μὴ ὁρκισθεὶς ὡς
φοβηθεὶς ὑπακούει; οὐκ ἐξετασθεὶς δὲ καὶ σὺ ὑφ' ἡμῶν ποτε διὰ τί ἐνίοτε
καὶ παύονται αἱ παρεδρίαι, ἔφης ὅτι· Ψυχὴ πληρώσασα τὸν ὑπὲρ γῆς χρόνον, ὃν ἤμελλεν ἐν σώματι διατελεῖν, εἰς ᾅδην πορεύεται· προσετίθεις δὲ λέγων ὅτι τῶν ἰδίῳ θανάτῳ τελευτησάντων αἱ ψυχαί, ἐπειδὴ αὐτόθι εἰς ᾅδην χωρήσασαι φρουροῦνται, οὐκ εὐκόπως ἐλθεῖν ἀφίενται.

Ταῦτα τοῦ Νικήτου εἰπόντος Ἀκύλας αὐτὸς πάλιν ἔφη· Ἐβουλόμην παρὰ σοῦ τοῦτο μόνον μαθεῖν, Σίμων, εἴτε ψυχὴ εἴτε δαίμων ἐστὶν τὸ ὁρκιζό-
μενον, τί φοβούμενον οὐ παραπέμπεται τοὺς ὅρκους; καὶ ὁ Σίμων ἔφη· Κόλασιν γὰρ παρακούσασα οἶδεν μέλλειν παθεῖν. καὶ ὁ Ἀκύλας ἔφη· Οὐκοῦν εἰ ὁρκιζομένη ψυχὴ ἔρχεται, καὶ κρίσις γίνεται. εἰ οὖν αἱ ψυχαὶ
ἀθάνατοι γίνονται καὶ κρίσις πάντως γίνεται, ὥστ' ἂν καὶ τοὺς ἐπὶ κακῇ
πράξει ὁρκισθέντας καταδικασθῆναι παρακούσαντας, πῶς οὐ πεφόβησαι
σὺ ἀναγκάζειν, τῶν ἀναγκαζομένων ἐπὶ παρακοῇ κολαζομένων; τὸ γὰρ
ἤδη σε μὴ παθεῖν ἐφ' οἷς ἔδρασας οὐ θαῦμα, ἐπεὶ μήπω κρίσις ἐστίν, ἵνα σὺ μὲν δίκην δῷς περὶ ὧν ἠνάγκασας, τὸ δὲ ἀναγκασθὲν ὑπὸ συγγνώ-
μην γένηται ὡς τῆς κακῆς πράξεως τὸν ὅρκον προτιμῆσαν. ὁ δὲ ταῦτα ἀκούσας ὠργίσθη, θάνατον ἡμῖν ἀπειλήσας, εἰ μὴ τὰ ὑπ' αὐτοῦ πραττό-
μενα σιωπῶμεν.

Ταῦτα τοῦ Ἀκύλα εἰπόντος, ἐγὼ Κλήμης ἐπυθόμην τίνα ἄρα ἐστὶν ἃ ποιεῖ θαυμάσια. οἱ δὲ ἔλεγόν μοι ὅτι ἀνδριάντας ποιεῖ περιπατεῖν καὶ ἐπὶ πῦρ κυλιόμενος οὐ καίεται, ἐνίοτε δὲ καὶ πέταται καὶ ἐκ λίθων ἄρτους ποιεῖ, ὄφις γίνεται, εἰς αἶγα μεταμορφοῦται, διπρόσωπος γίνεται, εἰς χρυσὸν μεταβάλλεται, θύρας κεκλεισμένας ἀνοίγει, σίδηρον λύει, ἐν δείπνοις εἴδωλα παντοδαπῶν ἰδεῶν παρίστησιν, τὰ ἐν οἰκίᾳ σκεύη ὡς αὐτόματα φερόμενα πρὸς ὑπηρεσίαν βλέπεσθαι ποιεῖ τῶν φερόντων οὐ βλεπομένων. ταῦτα αὐτῶν λεγόντων ἀκούων ἐθαύμαζον. ἐμαρτύρουν δὲ πολλὰ τὰ τοιαῦτα αὐτοὶ παρόντες ἱστορηκέναι.

Τούτων οὕτως ·ηθέντων ὁ καλὸς Πέτρος καὶ αὐτὸς τοῦ λέγειν ἤρξατο· Συνορᾶν ὑμᾶς δεῖ, ἀδελφοί, τοῦ τῆς συζυγίας κανόνος τὴν ἀλήθειαν, οὗ μὴ ἀφιστάμενός τις οὐκ ἔχει πλανηθῆναι. ἐπεὶ γάρ, ὡς ἔφαμεν, δυικῶς καὶ ἐναντίως πάντα ἔχοντα ὁρῶμεν καὶ ὡς πρώτη νύξ, εἶτα ἡμέρα, καὶ πρῶτον ἄγνοια, εἶτα γνῶσις, καὶ πρῶτον νόσος, εἶτα ἴασις, οὕτως πρῶτα τὰ τῆς πλάνης τῷ βίῳ ἔρχεται, εἶθ' οὕτως τὸ ἀληθὲς ἐπέρχεται, ὡς τῇ νόσῳ ὁ ἰατρός. αὐτίκα γοῦν τοῦ θεοφιλοῦς ἡμῶν ἔθνους ἀπὸ τῆς τῶν Αἰγυπτίων κακουχίας μέλλοντος λυτροῦσθαι, πρῶτον διὰ τῆς ὀφιωθείσης ·άβδου, ἥτις τῷ Ἀαρὼν ἐδόθη, αἱ νόσοι ἐγίνοντο, καὶ εἶθ' οὕτως εὐχαῖς Μωυσέως αἱ ἰάσεις ἐπεφέροντο. καὶ νῦν δὲ τῶν ἐθνῶν μελλόντων ἀπὸ τῆς κατὰ τὰ εἴδωλα λυτροῦσθαι θρησκείας, ἡ κακία πάλιν, ὡς αὐτὴ βασιλεύουσα, προλαβοῦσα πρῶτον τὸν ἑαυτῆς ὥσπερ ὄφιν ἔπεμψε σύμμαχον, ὃν ὁρᾶτε Σίμωνα, ποιοῦντα θαυμάσια πρὸς κατάπληξιν καὶ ἀπάτην, οὐ σημεῖα ἰατικὰ πρὸς ἐπιστροφὴν καὶ σωτηρίαν. διὸ καὶ ὑμᾶς ἀπὸ τῶν γινομένων τεράτων τοὺς ποιοῦντας

νοεῖν δεῖ τίς τίνος ἐστὶν ἐργάτης. ἐὰν ἀνωφελῆ ποιῇ τέρατα, κακίας ἐστὶν
ὑπουργός· ἐὰν δὲ ἐπωφελῆ πράττῃ, τοῦ ἀγαθοῦ ἐστιν ἡγεμών. τὰ
μὲν οὖν ἀνωφελῆ ἐστιν σημεῖα, ὅσα αὐτοὶ Σίμωνα εἰρήκατε πεποιηκέναι.
λέγω δὲ τὸ ἀνδριάντας αὐτὸν ποιεῖν περιπατεῖν καὶ τὸ ἐπ' ἀνθράκων αὐτὸν
πεπυρωμένων κυλίεσθαι καὶ δράκοντα γίνεσθαι, εἰς αἶγα μεταμορφωθῆναι,
εἰς ἀέρα πτῆναι, καὶ ὅσα τοιαῦτά τινα, εἰς ἴασιν ἀνθρώπων μὴ γινόμενα,
προσαπατᾶν φύσιν ἔχει πολλούς. τὰ δὲ τῆς οἰκτίρμονος ἀληθείας σημεῖά
ἐστι φιλάνθρωπα, ἅτινα ἠκούσατε τὸν κύριον πεποιηκότα κἀμὲ μετ'
ἐκεῖνον εὐχαῖς κατορθοῦντα· ὧν οἱ πλεῖστοι παρεστήκατε, οἱ μὲν νόσων
παντοίων ἀπαλλαγέντες, οἱ δὲ δαιμόνων, οἱ δὲ ὀρθωθέντες χεῖρας, οἱ
δὲ πόδας, οἱ δὲ τοὺς ὀφθαλμοὺς ἀπολαβόντες, οἱ δὲ τὰς ἀκοὰς καὶ ἄλλα
ὅσα ἄνθρωπος ποιεῖν δύναται, φιλανθρώπου πνεύματος ἴδιος γενόμενος.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ὑπὸ τὸν ὄρθρον ἐπεισιὼν ἡμῖν Ζακχαῖος
προσαγορεύσας ἔφη Πέτρῳ· Ἀνατίθεται Σίμων τὴν ζήτησιν εἰς τὴν αὔριον
ἡμέραν· ἡ γὰρ σήμερον τὸ δι' ἕνδεκα ἡμερῶν αὐτοῦ τυγχάνει σάββατον.
καὶ πρὸς τοῦτο ὁ Πέτρος ἀπεκρίνατο· Λέγε Σίμωνι· Ἐπιτέλει ὡς θέλεις
μετὰ τοῦ γινώσκειν ὅτι σοι ἡμεῖς, ὅτε βούλει, θεοφιλεῖ προνοίᾳ ἁπαντᾶν
ἑτοίμως ἔχομεν. καὶ ὁ μὲν Ζακχαῖος ταῦτα ἀκούσας ἀντιβάλλειν ἐξῄει
τὴν ἀπόκρισιν. ὁ δὲ ἰδών με ἀθυμοῦντα καὶ τὴν αἰτίαν πυθόμενος
καὶ μαθὼν παρ' ἐμοῦ οὐκ ἄλλοθέν ποθεν οὖσαν ἢ ἀπὸ τῆς κατὰ τὴν ζή-
τησιν ἀναβολῆς ἔφη· Ἀγαθῇ θεοῦ προνοίᾳ ὁ προειληφὼς διοικεῖσθαι
τὸν κόσμον, ὦ φίλε Κλήμης, αὐτὸς οὐκ ἄχθεται ἐπὶ τοῖς ὁπώσποτε ἁπαν-
τῶσιν πράγμασιν, ἀποδεδωκὼς ὅτι ὑπὸ τῆς τοῦ κρείττονος οἰκονομίας

συμφερόντως τὰ πράγματα τὴν ἔκβασιν λαμβάνει· ὅθεν δίκαιον αὐτὸν
εἶναι γνοὺς καὶ εὐσυνειδήτως βιούς, τὸ προσπῖπτον λυπηρὸν οἶδεν ὀρθῷ
τῷ λογισμῷ ἀποσείεσθαι τῆς ψυχῆς, ὅτι πρὸς ἀγαθοῦ τινος ἀγνώστου
συντελούμενον ἐλθεῖν ἔχει. καὶ νῦν δὲ τοῦ μάγου Σίμωνος ἡ τῆς ζητή-
σεως ὑπέρθεσις μή σε λυπείτω· ἴσως γὰρ ἐκ τῆς τοῦ θεοῦ προνοίας εἰς
τὴν σὴν γέγονεν ὠφέλειαν. διὸ ὡς ἰδίῳ σοι ὄντι οὐκ ὀκνήσω λέγειν. τῶν
ἡμετέρων τινὲς ἑταῖροι τῷ Σίμωνι προσποιητῶς σύνεισιν ὡς πει-
σθέντες τῇ ἀθεωτάτῳ αὐτοῦ πλάνῃ, ὅπως μανθάνοντες αὐτοῦ τὰς βουλὰς
ἐκφαίνωσιν ἡμῖν πρὸς τὸ δύνασθαι δεινῷ ἀνδρὶ οἰκείως συναρμόσασθαι.
καὶ νῦν παρ' αὐτῶν ἔμαθον ἧς μέλλει ζητήσεως ποιεῖσθαι τοὺς λόγους,
καὶ γνοὺς ἐπὶ τούτῳ τῷ μὲν θεῷ ηὐχαρίστησα, σὲ δὲ ἐμακάρισα ἐπὶ τῇ
τῆς ζητήσεως ὑπερθέσει· τῶν γὰρ μελλόντων λόγων ὑπ' αὐτοῦ πρὸς
διάκρισιν τῶν ἀγνοούντων λέγεσθαι σὺ πρὸ τῆς ζητήσεως ἐφοδιασθεὶς
ὑπ' ἐμοῦ ἄπτωτος ἀκροατὴς γενέσθαι δυνήσει. πολλὰ γὰρ ψευδῆ κατὰ
τοῦ θεοῦ προσέλαβον αἱ γραφαὶ λόγῳ τούτῳ· τοῦ προφήτου Μωυσέως
γνώμῃ τοῦ θεοῦ ἐκλεκτοῖς τισιν ἑβδομήκοντα τὸν νόμον σὺν ταῖς ἐπιλύ-
σεσιν παραδεδωκότος πρὸς τὸ καὶ αὐτοὺς ἐφοδιάζειν τοῦ λαοῦ τοὺς
βουλομένους, μετ' οὐ πολὺ γραφεὶς ὁ νόμος προσέλαβέν τινα καὶ ψευδῆ
κατὰ τοῦ μόνου θεοῦ τοῦ τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς
δημιουργήσαντος, τοῦτο τοῦ πονηροῦ δικαίῳ τινὶ λόγῳ ἐνεργῆσαι τετολμηκό-
τος. καὶ τοῦτο γέγονεν λόγῳ καὶ κρίσει, ὅπως ἐλεγχθῶσιν τίνες τολμῶσιν τὰ
κατὰ τοῦ θεοῦ γραφέντα φιληκόως ἔχειν τίνες τε στοργῇ τῇ πρὸς αὐτὸν
τὰ κατ' αὐτοῦ λεγόμενα μὴ μόνον ἀπιστεῖν, ἀλλὰ μηδὲ τὴν ἀρχὴν ἀκούειν
ἀνέχεσθαι, κἂν ἀληθῆ τυγχάνῃ, πολλῷ κρίναντες ἀσφαλέστερον περὶ
εὐφήμου πίστεως κινδυνεύειν ἢ ἐπὶ βλασφήμοις λόγοις δυσσυνειδήτως
βιοῦν. ὁ οὖν Σίμων τὰς κατὰ τοῦ θεοῦ ἐν ταῖς γραφαῖς πειρασμοῦ χά-
ριν προσκειμένας περικοπὰς αὐτάς, ὡς μανθάνω, βούλεται ἐλθὼν εἰς

μέσον λέγειν, ὅπως τῆς πρὸς τὸν θεὸν στοργῆς ὅσους δύναται ταλαιπώ-
ρους ἀποστῆσαι δυνηθῇ. δημοσίᾳ γὰρ αὐτὰς λέγειν προσκεῖσθαι ταῖς
βίβλοις οὐ βουλόμεθα, ἐπεὶ πτύραντες ἀμαθεῖς ὄχλους αὐτοῦ τοῦ πονηροῦ
Σίμωνος τὸ θέλημα ποιοῦμεν. μήπω γὰρ τὸ διακριτικὸν ἔχοντες φεύξονται
ἡμᾶς ὡς ἀσεβοῦντας ἢ ὡς οὐ μόνον τῶν βλασφήμων περικοπῶν ψευ-
δῶν οὐσῶν ἀποστήσονται τοῦ λόγου. διὸ ἀνάγκην ἔχομεν, συγκατατι-
θέμενοι ταῖς ψευδέσι περικοπαῖς, περὶ αὐτῶν ἀντιπυνθανόμενοι, εἰς
ἀπορίαν αὐτὸν μὲν φέρειν, τοῖς δὲ εὐγνωμονοῦσιν τῶν κατὰ τοῦ θεοῦ
·ηθεισῶν περικοπῶν μετὰ πεῖραν πίστεως ἰδίᾳ παρέχειν τὴν ἐπίλυσιν,
ἥτις μίαν καὶ σύντομον ἔχει τὴν ὁδόν. ἔστιν δὲ ἥδε· πᾶν λεχθὲν ἢ
γραφὲν κατὰ τοῦ θεοῦ ψεῦδός ἐστιν. ὅτι δὲ ἀληθῶς τοῦτο οὐ μόνον
εὐφημίας ἕνεκεν λέγομεν, ἀλλὰ καὶ ἀληθείας, μετὰ βραχὺ προϊόντος τοῦ
λόγου πληροφορήσω. ὅθεν σύ, φίλτατέ μοι Κλήμης, ἐπὶ τῷ τὸν Σίμωνα
πρὸς τὴν ζήτησιν μίαν τὴν ἐνεστῶσαν ὑπερθέσθαι ἡμέραν οὐκ ὀφείλεις
λυπεῖσθαι· σήμερον γὰρ πρὸ τῆς ζητήσεως προεφοδιαζόμενος περὶ τῶν
ἐν ταῖς γραφαῖς προσκειμένων περικοπῶν, ἐπὶ τῆς ζητήσεως περὶ τοῦ
μόνου καὶ ἀγαθοῦ, τοῦ καὶ τὸν κόσμον πεποιηκότος, διακριθῆναι οὐκ
ὀφείλεις, ἀλλὰ καὶ θαυμάσεις ἐπὶ τῆς ζητήσεως πῶς οἱ ἀσεβεῖς τὰ πλήθη
τῶν ὑπὲρ θεοῦ εἰρημένων ἐν ταῖς γραφαῖς παραλιπόντες, τὰ κατ' αὐτοῦ
εἰρημένα περιβλεπόμενοι χαίροντες φέρουσιν, καὶ οὕτως οἱ ἀκροαταί,
ἀγνοίας αἰτίᾳ τὰ κατὰ τοῦ θεοῦ πιστεύσαντες, τῆς αὐτοῦ βασιλείας ἀπό-
βλητοι γίνονται. διὸ σύ, προφάσει ὑπερθέσεως τὸ μυστήριον τῶν γραφῶν
μαθών, κερδήσας εἰς θεὸν μὴ ἁμαρτάνειν ἀπαραβλήτως χαρήσῃ.

Κἀγὼ Κλήμης ἀκούσας ἔφην· Ἀληθῶς χαίρω καὶ χάριν ὁμολογῶ
τῷ κατὰ πάντα εὐεργέτῃ θεῷ· πλὴν αὐτὸς οἶδεν ὅτι ἄλλο τι φρο-
νεῖν οὐ δυνήσομαι ἢ τὰ πάντα ὑπὲρ θεοῦ φρονεῖν. ὅθεν μή με ὑπο-
λάβῃς ὡς ἀμφιβάλλοντα τοῖς ὑπὸ σοῦ ·ηθεῖσιν ἢ καὶ ·ηθησομένοις
πυνθάνεσθαι, ἀλλ' ἵνα μαθὼν καὶ αὐτὸς ἄλλον εὐγνωμόνως μαθεῖν θέ-
λοντα διδάξαι δυνηθῶ. διὸ λέγε μοι τίνα ἐστὶν τὰ προσκείμενα ψευδῆ

ταῖς γραφαῖς καὶ πῶς ὅτι ὄντως ψευδῆ τυγχάνει. καὶ ὁ Πέτρος ἀπεκρί-
νατο· Καὶ εἰ μή μου ἐπύθου, ἐγὼ τῇ τάξει διεξιὼν τῶν λόγων παρεῖχον <ἂν>
τὴν ἀπόδειξιν, ἣν ὑπεσχόμην. πλὴν ἄκουσον πῶς αὐτοῦ πολλὰ κατα-
ψεύδονται αἱ γραφαί, ὡς εἴσῃ ἐντυγχάνων αὐταῖς· παραδείγματος
δὲ ἕνεκα τὰ ·ηθησόμενα αὐτάρκως ἕξει. οὐκ οἶμαι δέ, ὦ φίλε Κλήμης,
εἰ δυνήσεταί τις, κἂν βραχεῖάν τινα πρὸς θεὸν στοργὴν καὶ εὐγνωμοσύ-
νην ἀποσόζων, παραδέξασθαι ἢ κἂν ἀκοῦσαι τὰ κατ' αὐτοῦ λεγόμενα.
πῶς δὲ ἔστιν αὐτόν τινα μοναρχικὴν ψυχὴν ἔχειν καὶ ὅσιον γενέσθαι,
προειληφότα ὅτι πολλοί εἰσιν θεοὶ καὶ οὐχ εἷς; εἰ δὲ καὶ εἷς, ἐν πολλοῖς
ἀτοπήμασιν εὑρίσκων αὐτόν, τίς ὅσιος σπουδάσει γενέσθαι, τὴν τῶν ὅλων
ἀρχὴν διὰ τὰ ἴδια τῆς φύσεως ἀτοπήματα ἐλπίσας μὴ ἐπέρχεσθαι τὰ ἄλλων
ἀδικήματα; διὸ ἀπείη πιστεύειν ὅτι ὁ τῶν ὅλων δεσπότης, «ὃς οὐρανὸν
ἔκτισε καὶ γῆν» καὶ πάντα τὰ ἐν αὐτοῖς, ἑτέροις συνάρχει ἢ ὅτι ψεύδε-
ται (εἰ γὰρ ψεύδεται, καὶ τίς ἀληθεύει;) ἢ ὅτι «πειράζει» ὡς ἀγνοῶν
(καὶ τίς προγινώσκει;). εἰ δὲ «ἐνθυμεῖται» καὶ «μεταμελεῖται», καὶ τίς νῷ
τέλειος καὶ γνώμῃ ἔμμονος; εἰ δὲ «ζηλοῖ», καὶ τίς ἀσύγκριτος; εἰ δὲ
«σκληρύνει καρδίας», καὶ τίς σοφίζει; εἰ δὲ τυφλοῖ καὶ κωφοῖ, καὶ τίς δέ-
δωκεν ὁρᾶν καὶ ἀκούειν; εἰ δὲ ἀποστερεῖν συμβουλεύει, καὶ τίς δικαιο-
σύνην νομιτεύει; εἰ δὲ «ἐνπαίζει», καὶ τίς εἰλικρινής; εἰ δὲ ἀδυνατεῖ, καὶ
τίς πάντα δύναται; εἰ δὲ ἀδικεῖ, καὶ τίς δίκαιος; εἰ δὲ «κακὰ κτίζει», καὶ
τίς ἀγαθὰ πράξει; [εἰ δὲ κακὰ ποιεῖ, καὶ τίς ἀγαθά;] εἰ δὲ «τὸ πῖον
ὄρος» ἐπιθυμεῖ, καὶ τίνος τὰ πάντα; εἰ ψεύδεται, καὶ τίς ἀληθεύει; εἰ
ἐν σκηνῇ οἰκεῖ, καὶ τίς ἀχώρητος; εἰ δὲ ὀρέγεται κνίσης καὶ θυσιῶν
καὶ θυμάτων καὶ προσχύσεων, καὶ τίς ἀπροσδεὴς καὶ τίς ἅγιος καὶ
τίς καθαρὸς καὶ τίς τέλειος; εἰ λύχνοις καὶ λυχνίαις τέρπεται, καὶ
τίς τοὺς φωστῆρας ἔταξεν ἐν οὐρανῷ; εἰ ἐν γνόφῳ καὶ σκότῳ καὶ
θυέλλῃ καὶ καπνῷ σύνεστιν, καὶ τίς φῶς ὢν φωτίζει τὸν μέγιστον
αἰῶνα; εἰ διὰ σαλπίγγων καὶ ὀλολυγμῶν καὶ βολίδων καὶ τοξευ-

μάτων προσέρχεται, καὶ τίς ἡ τῶν ὅλων προσδόκιμος γαλήνη; εἰ πολέμους αὐτὸς ἀγαπᾷ, καὶ τίς εἰρήνην θέλει; εἰ «τὰ κακὰ» αὐτὸς «κτίζει», καὶ τίς ἀγαθὰ δημιουργεῖ; εἰ ἄστοργος αὐτός, καὶ τίς φιλάνθρωπος; εἰ αὐτὸς πιστὸς οὐκ ἔστιν περὶ ὧν ὑπισχνεῖται, καὶ τίς πιστευθήσεται; εἰ αὐτὸς πονηροὺς καὶ μοιχοὺς καὶ φονεῖς ἀγαπᾷ, καὶ τίς ἔσται δίκαιος κριτής; εἰ αὐτὸς «μεταμελεῖται», καὶ τίς βέβαιος; εἰ αὐτὸς κακοὺς ἐκλέγεται, καὶ τίς ἀγαθοὺς προσίεται; διό, ὦ τέκνον Κλήμης, ἔπεχε μὴ ἄλλο τι φρονήσῃς περὶ τοῦ θεοῦ ἢ ὅτι αὐτὸς μόνος ἐστὶν θεὸς καὶ κύριος καὶ πατήρ, ἀγαθὸς καὶ δίκαιος, δημιουργός, μακρόθυμος, ἐλεήμων, τροφεύς, εὐεργέτης, φιλανθρωπίαν νομιτεύων, ἁγνείαν συμβουλεύων, αἰώνιος, αἰωνίους ποιῶν, ἀσύγκριτος, ταῖς τῶν ἀγαθῶν ψυχαῖς οἰκιζόμενος, ἀχώρητος καὶ χωρούμενος, ὁ ἐν ἀπείρῳ τὸν μέγαν αἰῶνα ὡς κέντρον πήξας, ὁ οὐρανὸν ἐφαπλώσας καὶ γῆν πιλώσας, ὕδωρ ταμιεύσας, ἄστρα ἐν οὐρανῷ διαθείς, πηγὰς [γῆ] βρύσας, καρποὺς ἐκφύσας, ὄρη ὑψώσας, θάλασσαν περιορίσας, ἀνέμους τε καὶ πνεύματα διατάξας, ὁ τὸ περιέχον σῶμα ἐν ἀπείρῳ πελάγει «πνεύματι βουλῆς» ἀσφαλισάμενος. οὗτος ἡμῶν δικαστής, εἰς ὃν ἀποβλέποντας χρὴ τὰς ἑαυτῶν κατορθοῦν ψυχάς, πάντα ὑπὲρ αὐτοῦ νοοῦντας, αὐτὸν εὐφημοῦντας, πεπεισμένους ὅτι τῇ αὐτοῦ μακροθυμίᾳ πάντων τὴν προπέτειαν εἰς φανερὸν ἄγων μόνος ἀγαθός ἐστιν. καὶ οὗτος ἐπὶ τέλει τοῦ παντὸς ἑκάστῳ τῶν τετολμηκότων ἃ μὴ ἐχρῆν δίκαιος προκαθεσθήσεται κριτής.

Ταῦτα ἐγὼ Κλήμης ἀκούσας ἔφην· Ἀληθῶς τοῦτο θεοσέβεια, τοῦτο ἀληθῶς εὐσέβεια. πάλιν τε ἔφην· Ἤθελον μαθεῖν οὖν διὰ τί οὕτως ἐγράφησαν αἱ βίβλοι. μέμνημαι γὰρ ὡς ἔφης ὅτι εἰς ἔλεγχον τῶν μελλόντων τολμᾶν πιστεύειν τι λεγόμενον κατὰ τοῦ θεοῦ. πλὴν ἐπεὶ χαρίζῃ ἡμῖν πυνθάνεσθαί σου ὡς βουλόμεθα, πυνθάνεσθαι τολμῶμεν, σοῦ κελεύσαντος. εἴ τις βουληθείη, φίλτατε Πέτρε, λέγειν ἡμῖν· Ἀληθῆ ἐστιν τὰ γεγραμμένα,

κἂν σοὶ ψευδῆ δοκῇ τὰ κατὰ τοῦ θεοῦ ·ηθέντα· πῶς ἀποκριθῶμεν αὐτῷ;
καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εὖ εἶπας πυθόμενος, εἰς γὰρ σὴν ἀσφάλειαν
ἔσται· πλὴν ἄκουσον. ἐπειδὴ πολλά ἐστιν τὰ ὑπὸ τῶν γραφῶν εἰρημένα κατὰ
τοῦ θεοῦ πρὸς τὸ ἐπεῖγον τῆς ὥρας [διὰ τὴν ἑσπέραν], ἕνα ὃν βούλει λόγον πυ-
θοῦ καὶ ἐπιλύσομαι, δείξας αὐτὸν ψευδῆ οὐχ ὅτι μόνον κατὰ τοῦ θεοῦ
εἴρηται, ἀλλ' ὅτι ὄντως ψευδής ἐστιν. κἀγὼ ἀπεκρινάμην· Μαθεῖν θέλω πῶς
τῶν γραφῶν ἀγνοεῖν λεγουσῶν τὸν θεὸν σὺ γινώσκοντα αὐτὸν ἀποδεῖξαι
δύνασαι. καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εὐκόπως ἐλεγχθῆναι δυνάμενον
προέτεινας ἡμῖν· πλὴν ἄκουσον πῶς οὐδὲν ἀγνοεῖ θεός, ἀλλὰ καὶ προ-
γινώσκει. ὃ δὲ πυνθάνομαί σου, πρῶτον ἀπόκριναί μοι. ὁ τὰς βίβλους
γράψας καὶ εἰπὼν πῶς ὁ κόσμος ἐκτίσθη καὶ ὅτι οὐ προγινώσκει ὁ
θεός, ἄνθρωπος ἦν ἢ οὔ; κἀγὼ ἔφην· Ἄνθρωπος. καὶ ὁ Πέτρος ἀπε-
κρίνατο· Ἀνθρώπῳ οὖν ὄντι πόθεν δυνατὸν ἦν εἰδέναι ἀψευδῶς, πῶς ὁ
κόσμος ἐκτίσθη καὶ ὅτι ὁ θεὸς οὐ προγινώσκει; κἀγὼ αἰσθόμενος
ἤδη τὴν ἐπίλυσιν ὑπομειδιῶν ἔφην· Ὅτι προφήτης ἦν. καὶ ὁ Πέτρος
ἔφη· Εἰ οὖν ὁ προφήτης, ἄνθρωπος ὤν, οὐδὲν ἠγνόει διὰ τὸ ἀπὸ θεοῦ
εἰληφέναι τὴν πρόγνωσιν, πῶς ἂν αὐτὸς ὁ δεδωκὼς ἀνθρώπῳ τὸ προ-
γινώσκειν, θεὸς ὤν, ἠγνόει; κἀγὼ ἔφην· Ὀρθῶς ἔφης. καὶ ὁ Πέτρος· Ἔτι
οὖν, ἔφη, εἰς αὐτὸ συνδιαπόρησόν μοι. ὡμολογημένου ἡμῖν ὅτι ὁ
θεὸς πάντα προγινώσκει, ἀνάγκη πᾶσα τὰς λεγούσας αὐτὸν γραφὰς
ἀγνοεῖν ψεύδεσθαι, τὰς δὲ γινώσκειν αὐτὸν λεγούσας ἀληθεύειν. κἀγὼ
ἔφην· Ἀνάγκη οὕτως ἔχειν. καὶ ὁ Πέτρος ἔφη· Εἰ οὖν τῶν γραφῶν
ἃ μέν ἐστιν ἀληθῆ, ἃ δὲ ψευδῆ, εὐλόγως ὁ διδάσκαλος ἡμῶν ἔλεγεν·
«Γίνεσθε τραπεζῖται δόκιμοι», ὡς τῶν ἐν ταῖς γραφαῖς τινων μὲν δοκί-
μων ὄντων λόγων, τινῶν δὲ κιβδήλων. καὶ τοῖς ἀπὸ τῶν ψευδῶν
γραφῶν πλανωμένοις οἰκείως τῆς πλάνης ἐξέφανε τὴν αἰτίαν λέγων· «Διὰ
τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰ ἀληθῆ τῶν γραφῶν· οὗ εἵνεκεν ἀγνοεῖτε
καὶ τὴν δύναμιν τοῦ θεοῦ». κἀγὼ ἔφην· Πάνυ καλῶς. καὶ ὁ Πέτρος
ἀπεκρίνατο· Οὐκοῦν εὐλόγως οὔτε κατὰ τοῦ θεοῦ πιστεύω οὔτε κατὰ
τῶν ἐν τῷ νόμῳ ἀναγραφέντων δικαίων, ἀσεβῶς φρονεῖν προλαμ-

βάνων· ὡς γὰρ πέπεισμαι, οὔτε Ἀδὰμ παραβάτης ἦν, ὁ ὑπὸ τῶν τοῦ θεοῦ χειρῶν κυοφορηθείς, οὔτε Νῶε μέθυσος ἦν, ὁ ὑπὲρ πάντα τὸν κόσμον δίκαιος εὑρεθείς, οὔτε δὲ Ἀβραὰμ τρισὶν ἅμα συνῄει γυναιξίν, ὁ διὰ σωφροσύνην πολυτεκνίας καταξιωθείς, οὔτε Ἰακὼβ τετράσιν ἐκοι-
νώνει, ὧν δύο καὶ ἀδελφαὶ ἐτύγχανον, ὃς δεκαδύο φυλῶν ὑπάρξας πατὴρ
καὶ τὴν τοῦ διδασκάλου ἡμῶν παρουσίαν ἐσήμανεν ἐλθεῖν· οὐ Μωυσῆς
φονεὺς ἦν καὶ παρὰ ἱερέως εἰδώλου κρίνειν ἐμάνθανεν, ὁ παντὶ τῷ αἰῶνι τὸν τοῦ θεοῦ νόμον προφητεύσας καὶ δι' ὀρθὴν φρόνησιν «πιστὸς
οἰκονόμος» μαρτυρηθείς. πλὴν καὶ τούτων σοι τὴν ἐπίλυσιν μετὰ τῶν ὁμοίων ἐπὶ καιροῦ παρέξω. τοῦ δὲ λοιποῦ, ὡς ὁρᾷς, ἐπειδὴ ἑσπέρα κατεί-
ληφεν, τὰ σήμερον ·ηθέντα αὐτάρκως ἐχέτω. ἄλλοτε δὲ εἰ βούλει, περὶ ὧν
θέλεις, θαρρῶν ἡμῖν πυνθάνου, καὶ ἡμεῖς χαίροντες ἀόκνως ἐπιλύσομεν.
καὶ ταῦτα εἰπὼν ἐγήγερται. καὶ οὕτως τροφῆς μεταλαβόντες εἰς ὕπνον
ἐτράπημεν. κατειλήφει γὰρ ἡ νύξ.

[ΟΜΙΛΙΑ Γ.]

Δύο μὲν οὖν διελθουσῶν ἡμερῶν, ἐπιφωσκούσης δὲ τρίτης, πρὸς τὸ διαλεχθῆναι τῷ Σίμωνι ἐξυπνισθεὶς ἐγὼ Κλήμης καὶ οἱ συνόντες ἑταῖροι
ὑπὸ τὰς δευτέρας τῶν ἀλεκτρυόνων φωνάς, εὕρομεν τὸν μὲν λύχνον ἔτι
φαίνοντα, τὸν δὲ Πέτρον γονυκλινῆ προσευχόμενον. συντελέσας οὖν τὴν δέησιν, ἐπιστραφεὶς καὶ ἰδὼν ἡμᾶς πρὸς τὸ ἀκοῦσαι ἑτοίμως ἔχον-
τας, ἔφη· Γινώσκειν ὑμᾶς θέλω ὅτι οἱ καθ' ἡμετέραν πρόνοιαν συνόν-
τες τῷ Σίμωνι, ὅπως τὰς βουλὰς αὐτοῦ μανθάνοντες ὑποβάλλωσιν ἡμῖν, ἵνα δυνώμεθα πρὸς τὴν τῆς κακίας αὐτοῦ ποικιλίαν ἁρμόσασθαι,
αὐτοὶ πέμψαντες ἐδήλωσαν ἡμῖν λέγοντες· Σίμων σήμερον, καθὰ συνε-
τάξατο, ἕτοιμός ἐστιν ἀπὸ τῶν γραφῶν ἐπὶ πάντων ἐλθὼν ἀποδεικνύειν
μὴ τοῦτον εἶναι θεὸν ἀνώτατον, «ὃς οὐρανὸν ἔκτισε καὶ γῆν» καὶ πάντα
τὰ ἐν αὐτοῖς, ἀλλὰ ἄλλον τινὰ ἄγνωστον καὶ ἀνώτατον ὡς ἐν ἀπορρήτοις
ὄντα θεὸν θεῶν· ὃς δύο ἔπεμψε θεούς, ἀφ' ὧν ὁ μὲν εἷς ἐστιν ὁ κόσμον
κτίσας, ὁ δὲ ἕτερος ὁ τὸν νόμον δούς· καὶ ταῦτα μηχανᾶται λέγειν,
ὅπως τῶν τὸν ἕνα καὶ μόνον μελλόντων σέβειν θεόν, «ὃς οὐρανὸν ἔκτισε
καὶ γῆν», τὴν ὀρθὴν προεκλύσει πίστιν. ταῦτα ἀκούσας πῶς οὐκ
ἂν ἠθύμησα; διὸ καὶ ὑμᾶς τοὺς συνόντας μοι ἀδελφοὺς εἰδέναι ἠθέλησα
ὡς οὐ μετρίως τὴν ψυχὴν ἀλγῶ, ἐνορῶν τὸν μὲν πονηρὸν πρὸς δοκιμὴν
ἀνθρώπων ἐγρηγορότα, τοὺς δὲ ἀνθρώπους τῆς ἑαυτῶν σωτηρίας πάνυ
ἀμελοῦντας. ἐμηχανήσατο γὰρ τοῖς ἀπὸ ἐθνῶν μέλλουσιν περὶ τῶν ἐπι-
γείων ξοάνων πείθεσθαι ὅτι οὐκ εἰσὶν θεοί, ἑτέρων πολλῶν θεῶν δόξας

εἰσενεγκεῖν, ὅπως. ἐὰν παύσωνται τῆς κάτω πολυθέου μανίας, ἑτέρως ἢ
καὶ χεῖρον κατὰ τῆς τοῦ θεοῦ μοναρχίας λέγειν ἀπατηθήσονται, ἵνα μηδέποτε τὰ τῆς μοναρχίας προτιμήσαντες οὐπώποτε ἐλέους τυχεῖν δυνηθῶσιν. ταύτης δὲ τῆς τόλμης ἕνεκα ὁ Σίμων ταῖς ψευδέσιν τῶν γραφῶν περικοπαῖς ὡπλισμένος πολεμεῖν ἡμῖν προσέρχεται. καὶ τὸ δεινότερον ὅτι ἀφ' ὧν πεπίστευκε προφητῶν τοιαῦτα δογματίζειν κατὰ τοῦ ὄντως θεοῦ οὐ πεφόβηται. καὶ ἡμῖν μὲν τοῖς ἐκ προγόνων παρειληφόσιν τὸν τὰ πάντα κτίσαντα σέβειν θεόν, ἔτι δὲ καὶ τῶν ἀπατᾶν
δυναμένων βίβλων τὸ μυστήριον, οὐδὲν δυνήσεται, τοῖς δὲ ἀπὸ ἐθνῶν,
τὴν πολύθεον ὑπόληψιν σύντροφον ἔχουσιν καὶ τῶν γραφῶν τὰ ψευδῆ οὐκ εἰδόσιν, πολὺ δυνήσεται οὐ μόνον αὐτός, ἀλλ' εἰ καὶ ἄλλος τις τοῖς
ἀπὸ ἐθνῶν κατὰ τοῦ θεοῦ κενόν τινα, ὅμοιον ὀνείρῳ, πλουσίως κεκοσμη-
μένον ὑφηγήσεται μῦθον, πιστευθήσεται τῷ ἐκ παίδων τὸν νοῦν αὐτῶν
τὰ κατὰ τοῦ θεοῦ λεγόμενα ἐθισθῆναι λαμβάνειν. σπάνιοι δέ τινες οἱ μὲν
αὐτῶν ἔσονται, ὡς ἐκ πλήθους ὀλίγοι, οἵτινες δι' εὐγνωμοσύνην οὐ θελήσουσι κατὰ τοῦ τὰ πάντα κτίσαντος θεοῦ κακὸν λόγον αὐτὸ κἂν ἀκοῦσαι μόνον· οἷς μόνοις ἀπὸ ἐθνῶν οὖσιν σωθῆναι γενήσεται. μὴ οὖν ὑμῶν τις τὸν Σίμωνα παντελῶς μεμφέσθω ἢ καὶ ἄλλον τινά· οὐδὲν
γὰρ ἀδίκως γίνεται, ὅπου καὶ τὰ τῶν γραφῶν ψευδῆ εὐλόγως πρὸς δοκι-
μὴν ἔχοντα τυγχάνει.

Κἀγὼ Κλήμης ἀκούσας ἔφην· Πῶς λέγεις, κύριε, καὶ τὰ τῶν γραφῶν
ψευδῆ εὐλόγως πρὸς δοκιμὴν ἀνθρώπων ἔχειν; ὁ δὲ ἀπεκρίνατο· Τὰ ψευδῆ
τῶν γραφῶν αἰτήματι κακίας δικαίῳ τινὶ λόγῳ γραφῆναι συνεχωρήθη·
εὐλόγως δὲ λέγω οὕτως· Ἐν ταῖς θεολογίαις ὁ πονηρὸς τοῦ ἀγαθοῦ τὸν θεὸν
οὐκ ἔλαττον ἀγαπῶν ἑνὶ μόνῳ ἀπολείπεται τοῦ ἀγαθοῦ, ὅτι καὶ τῶν ἀγνοίας
αἰτίᾳ ἀσεβούντων οὐ συγγινώσκων, στοργῇ τῇ πρὸς τὸ ἀσεβούμενον τῶν

ἀσεβούντων ἐπιθυμεῖ τὸν ὄλεθρον, οὐδὲ τὴν ἴασιν αὐτοῖς προσφέρων. ὁ γὰρ
ἀγαθὸς ἰᾶσθαι πάντας θέλει ταῖς μεταμελείαις, σόζει δὲ μόνους τοὺς ἐγνω-
κότας τὸν θεόν. τοὺς δὲ ἀγνοοῦντας οὐκ ἰᾶται, οὐχ ὅτι οὐ θέλει, ἀλλ' ὅτι
οὐκ ἔξεστιν τὰ ἡτοιμασμένα τοῖς υἱοῖς τῆς βασιλείας ἀγαθὰ τοῖς διὰ τὸ
ἀδιάκριτον ἀλόγοις ζόοις παρεικασθεῖσιν παρασχεῖν. τοῦ ἑνὸς καὶ
μόνου θεοῦ τοῦ τὸν κόσμον πεποιηκότος καὶ ἡμᾶς κτίσαντος καὶ πάντα
παρεσχηκότος τοιαύτη πέφυκεν φύσις, παντὸς οὐδήποτε ἐκτὸς ὅρων θεο-
σεβείας ὄντος καὶ μὴ βλασφημοῦντος αὐτοῦ τὸ ἅγιον πνεῦμα, στοργῇ
τῇ πρὸς αὐτὸν εἰς αὐτὸν φέρειν τὴν ψυχήν, ὑπ' αὐτοῦ εἰς αὐτὴν ἔρωτος
ἰδέᾳ . κἂν ἁμαρτωλὸς ᾖ, μετὰ τὸ κατ' ἀξίαν ὧν ἔπραξεν κολασθῆναι
σόζεσθαι φύσιν ἔχει. εἰ δέ τις αὐτὸν ἀρνήσεται ἢ ἑτέρως πως λόγῳ εἰς
αὐτὸν ἀσεβήσει, ἔπειτα μετανοήσει, κολασθήσεται μὲν ἐφ' ὧν εἰς αὐτὸν
ἥμαρτεν, σωθήσεται δέ, ὅτι ἐπιστρέψας ἠγάπησεν. ἴσως δὲ τῇ τῆς εὐσε-
βείας ὑπερβολῇ καὶ τῆς ἱκεσίας [ἢ] καὶ τοῦ κολασθῆναι ἀπολυθήσεται,
συγγνώμης τῆς ἁμαρτίας μετὰ τῆς μετανοίας δεδωκὼς τὴν ἄγνοιαν. οἱ
δὲ μὴ μετανοήσαντες διὰ τῆς τοῦ πυρὸς κολάσεως καὶ τὸ τέλος ἕξουσιν,
κἂν ἐν τοῖς λοιποῖς ἅπασιν ὁσιώτατοι ὦσιν· ἀλλ' ὡς ἔφην, μεμετρημένου
αἰῶνος τὸ πέμπτον πυρὶ αἰωνίῳ κολασθέντες ἀποσβεσθήσονται. εἶναι
γὰρ εἰς ἀεὶ οὐκέτι δύνανται οἱ εἰς τὸν ἀεὶ καὶ μόνον ἀσεβήσαντες
θεόν. ἡ δὲ εἰς αὐτὸν ἀσέβειά ἐστιν τὸ ἐν τῷ τῆς θεοσεβείας λόγῳ ὄντα
τελευτᾶν λέγοντα ἄλλον εἶναι θεόν, ἢ ὡς κρείττονα ἢ ὡς ἥττονα ἢ ὁπώσ-
ποτε λέγοντα παρὰ τὸν ὄντως ὄντα. ὁ γὰρ ὄντως ὢν οὗτός ἐστιν,
οὗ τὴν μορφὴν τὸ ἀνθρώπου βαστάζει σῶμα, οὗ εἵνεκεν ὁ οὐρανὸς
καὶ πάντες οἱ ἀστέρες ὑπέμειναν δουλεύειν, κατ' οὐσίαν κρείττονες ὄντες,
τῷ κατ' οὐσίαν χείρονι διὰ τὴν τοῦ κρείττονος μορφήν. τοσοῦτον ὁ

θεὸς ὑπὲρ πάντα εὐεργέτηκεν τὸν ἄνθρωπον, ἵνα εἰς τὸ πλῆθος τῶν εὐεργεσιῶν τὸν εὐεργέτην ἀγαπήσας ὑπὸ αὐτῆς τῆς ἀγάπης καὶ εἰς δεύτε-
ρον αἰῶνα διασωθῆναι δυνηθῇ. αὐτάρκης οὖν εἰς σωτηρίαν ἡ εἰς θεὸν ἀνθρώπων στοργή. εἰδὼς δὲ ὁ πονηρός, ἡμῶν σπευδόντων τοῖς ἀπὸ ἐθνῶν πιστεύειν μέλλουσιν ἑνὸς καὶ μόνου θεοῦ ἐν ψυχαῖς σπείρειν τὴν
ἀθανατοποιὸν πρὸς αὐτὸν ἀνθρώπων στοργήν, αὐτὸς ὁ πονηρὸς κατὰ τῶν ἀγνοούντων ἱκανὸν ὅπλον ἔχων πρὸς ὄλεθρον σπουδάζει πολλῶν θεῶν ἢ καὶ ἑνὸς ὡς κρείττονος σπεῖραι τὴν ὑπόληψιν, ἵνα συλλαβόντες
καὶ συνπεισθέντες ἃ μὴ θέμις, ἀποθανόντες ὡς ἐπὶ μοιχείας ἐγκλήματι
τῆς αὐτοῦ βασιλείας ἀποβληθῶσιν. ἄξιος οὖν τῆς ἀποβολῆς πᾶς κατὰ τῆς θεοῦ μοναρχίας αὐτὸ μόνον κἂν ἀκοῦσαί τι τοιοῦτον θελήσας· εἰ δ'
ὡς γραφαῖς τεθαρρηκὼς κατὰ τοῦ θεοῦ τολμᾷ τις κἂν ἀκούειν, πρῶτον
ἐκεῖνό μοι συνενθυμηθήτω ὅτι, ἄν τις εὔλογον ἑαυτῷ δόγμα ὡς βούλεται
ἀναπλάσῃ, ἔπειτα αὐταῖς ἐνκύψῃ, δυνατὸς ἔσται πολλὰς ὑπὲρ οὗ ἐπλά-
σατο δόγματος ἀπ' αὐτῶν μαρτυρίας φέρειν. πῶς οὖν ἐπὶ ταύταις κατὰ
τοῦ θεοῦ θαρρεῖν ἔστιν, ἐν αἷς ἡ πάντων βουλὴ εἰσευρίσκεται;

Αὐτίκα γοῦν Σίμων αὔριον ἡμῖν συνζητεῖν μέλλων, δημοσίᾳ κατὰ τῆς
τοῦ θεοῦ μοναρχίας τολμᾶν θέλων, πολλὰς ἐξ αὐτῶν τῶν γραφῶν φωνὰς
ἐνεγκεῖν ἔχει, ὅτι πολλοί εἰσιν θεοί, εἷς δέ τις οὐχ ὁ τὸν κόσμον κτίσας
τούτου ἀνώτερος· καὶ ὁμῶς τὰς ἀποδείξεις ἐγγράφους ἔχει παρασχεῖν. καὶ
ἡμεῖς δὲ ἐξ αὐτῶν πολλὰς περικοπὰς δεῖξαι σαφῶς ἔχομεν, ὅτι εἷς ἐστιν
θεὸς οὗτος ὁ τὸν κόσμον κτίσας καὶ «ἄλλος οὐκ ἔστιν πλὴν αὐτοῦ». ἀλλὰ
καὶ εἴ τις ἄλλως πως εἰπεῖν θελήσει, ἕξει καὶ αὐτὸς ἐξ αὐτῶν ὡς βού-
λεται περὶ ὧν βούλεται τὰς ἀποδείξεις παρασχεῖν. πάντα γὰρ αἱ γραφαὶ
λέγουσιν, ἵνα μηδεὶς τῶν ἀγνωμόνως ζητούντων τὸ ἀληθὲς εὕρῃ, ἀλλ'

ὃ βούλεται, τοῦ ἀληθοῦς τοῖς εὐγνώμοσιν τετηρημένου. εὐγνωμοσύνη δέ
ἐστιν τὸ πρὸς τὸν τοῦ εἶναι ἡμᾶς αἴτιον ἀποσόζειν στοργήν. ὅθεν
πρὸ πάντων εἰδέναι ὀφείλει ὅτι οὐδαμόθεν αὐτὴν εὑρίσκει, εἰ μὴ ἂν ἀπὸ
προφήτου ἀληθείας. προφήτης δὲ ἀληθής ἐστιν ὁ πάντα πάντοτε εἰδώς,
ἔτι δὲ καὶ τὰς πάντων ἐννοίας, ἀναμάρτητος, ὡς περὶ θεοῦ κρίσεως πεπληρο-
φορημένος. διὸ ἡμεῖς ὀφείλομεν περὶ τῆς προγνώσεως αὐτοῦ μὴ ἁπλῶς
διαλαμβάνειν, ἀλλ' εἰ δύναται ἄνευ ἑτέρας προφάσεως συνεστάναι αὐτοῦ
ἡ πρόγνωσις. ἃ γὰρ οἱ ἰατροὶ προλέγουσιν, ὑποβεβλημένην ὕλην ἔχοντες
τοῦ νοσοῦντος τὸν σφυγμόν (καὶ οἱ μὲν πτηνά, οἱ δὲ θύματα, καὶ ἄλλοι
ἄλλας ὕλας πολλὰς διαφόρους ὑποβεβλημένας ἔχοντες) προλέγουσιν, καὶ
προφῆται οὐκ εἰσίν. εἰ δὲ βουληθείη τις λέγειν τὴν διὰ τῶν τοιούτων
πρόρρησιν τῇ ὄντως ἐνφύτῳ προγνώσει ὁμοίαν εἶναι, πολὺ ἠπάτηται. τὰ
γὰρ τοιαῦτα παρόντα μηνύει μόνον, καὶ ταῦτα εἰ ἀληθεύει (ἄλλως δέ μοι καὶ
αὐτὰ εὐχρηστεῖ· πρόγνωσιν γὰρ εἶναι συνίστησιν), ἡ δὲ τοῦ μόνου καὶ
ἀληθοῦς πρόγνωσις οὐ μόνον τὰ παρόντα ἐπίσταται, ἀλλὰ καὶ μέχρις αὐτοῦ
<τοῦ> μέλλοντος αἰῶνος ἀπέραντον ἐκτείνει τὴν προφητείαν, καὶ οὐδενὸς
δεῖται πρὸς ἐπίγνωσιν προφητεύων ἀμαυρὰ καὶ ἀμφίβολα, ἵνα ἄλλου
προφήτου χρείαν ἔχῃ τὰ λεγόμενα πρὸς ἐπίγνωσιν, ἀλλὰ ·ητὰ καὶ ἁπλᾶ,
ὥσπερ ὁ διδάσκαλος ἡμῶν καὶ προφήτης ὢν ἐνφύτῳ καὶ ἀεννάῳ πνεύματι
πάντα πάντοτε ἠπίστατο. διὸ τεθαρρηκότως ἐξετίθετο περὶ τῶν
μελλόντων ἔσεσθαι, λέγω δὲ πάθη, τόπους, ὅρους· προφήτης γὰρ ὢν
ἄπταιστος, ἀπείρῳ ψυχῆς ὀφθαλμῷ πάντα κατοπτεύων ἐπίσταται λανθάνων.
εἰ δὲ παραδεξόμεθα καὶ ἡμεῖς (ὡς οἱ πολλοί) ὅτι καὶ ὁ ἀληθὴς προ-
φήτης οὐ πάντοτε, ἀλλ' ἐνίοτε (ὅτε ἔχει τὸ πνεῦμα καὶ διὰ τοῦτο)
προγινώσκει, ὁπότε δὲ οὐκ ἔχει, ἀγνοεῖ, –ἐὰν οὕτως ὑπολάβωμεν, καὶ

ἑαυτοὺς ἀπατῶμεν καὶ ἄλλους ἐνεδρεύσομεν. τὸ γὰρ τοιοῦτον μανικῶς
ἐνθουσιώντων ἐστὶν ὑπὸ πνεύματος ἀταξίας, τῶν παρὰ βωμοῖς μεθυόντων
καὶ κνίσης ἐνφορουμένων. τινὶ γὰρ προφῃτείαν ἐπαγγέλλεσθαι
θέλοντι ἐὰν συγχωρηθῇ πιστεύεσθαι ἐν οἷς ψεύστης φωρᾶται ὅτι τότε
τὸ τῆς προγνώσεως ἅγιον οὐκ εἶχεν πνεῦμα, οὐκ εὐέλεγκτος ἔσται
ψεύστης ὑπάρχων προφήτης· ἐν οἷς γὰρ ὡς πολλὰ λέγων ὀλίγα ἐπιτυγ-
χάνει, τότε τὸ πνεῦμα ἔχειν πιστεύεται, ἔτι τε τὰ πρῶτα ἔσχατα λέγει,
τὰ ἔσχατα πρῶτα, τὰ γενόμενα ὡς ἐσόμενα, τὰ ἐσόμενα ὡς ἤδη γεγονότα,
ἀλλὰ καὶ ἀνακόλουθα καὶ ἐξ ἄλλων ὑφῃρημένα καὶ μεταμεμορφωμένα,
ἃ δὲ μεμειωμένα, ἀνίδεα, ἀνόητα, ἀμφίβολα, λοξά, ἄδηλα, πάσης κεκρα-
γότα δυσσυνειδησίας. ὁ δὲ ἡμέτερος διδάσκαλος οὐδέν τι τοιοῦτο
ἐγοητεύσατο, ἀλλ' (ὡς φθάσας εἶπον) προφήτης ὢν ἐνφύτῳ καὶ ἀεννάῳ
πνεύματι πάντα πάντοτε ἐπιστάμενος τεθαρρηκὼς ἐξετίθετο, ὡς προέλεγεν
σαφῶς πάθη, τόπους, ἐνπροθέσμους χρόνους, τρόπους, ὅρους. αὐτίκα
γοῦν περὶ τοῦ ἁγιάσματος προλέγων ἔφη· «Ὁρᾶτε τὰς οἰκοδομὰς ταύτας;
ἀμὴν ὑμῖν λέγω, λίθος ἐπὶ λίθον οὐ μὴ ἀφεθῇ ὧδε, ὃς οὐ μὴ καθ-
αιρεθῇ» καὶ «Οὐ μὴ παρέλθῃ ἡ γενεὰ αὕτη, καὶ ἡ καθαίρεσις ἀρ-
χὴν λήψεται. ἐλεύσονται γὰρ καὶ καθιοῦσιν ἐνταῦθα καὶ περιχαρα-
κώσουσιν καὶ τὰ τέκνα ὑμῶν ἐνταῦθα κατασφάξουσιν». ὁμῶς καὶ τὰ
ἑξῆς εἴρηκεν σαφεῖ φωνῇ ἅτινα αὐτοῖς ὀφθαλμοῖς ἰδεῖν ἔχομεν· ἵνα ἐφ'
ὧν ὁ λόγος ἐρρέθη, καὶ τὸ ἔργον γένηται. πρὸς γὰρ πίστιν ἀκουόντων
τὸν λόγον τῆς ἀποδείξεως ὁ τῆς ἀληθείας ποιεῖται προφήτης. πλὴν
πολλοί εἰσιν τῆς πλάνης κήρυκες, ἕνα τὸν τῆς κακίας ἡγεμόνα ἔχοντες·
ᾧ λόγῳ τῆς ἀληθείας εἷς ὢν καὶ αὐτὸς τῆς εὐσεβείας ἡγεμὼν ἐν ἰδίοις
καιροῖς τοὺς πάντας καθαροὺς εὑρεθέντας ἕξει προφήτας. ἡ δὲ πολλὴ
τῶν πεπλανημένων αἰτία γέγονεν αὕτη, τὸ μὴ πρότερον νοῆσαι τὸν τῆς
συζυγίας λόγον, ὃν ἰδίᾳ ὑμῖν ἑκάστοτε οὐ παύσομαι ἐκτιθέμενος κεφα-

λαιωδῶς· πολὺ γὰρ τὸ κατ' εἶδος λέγειν. ὑμεῖς οὖν τῶν λεγομένων γένεσθέ
μοι φιλαλήθεις κριταί. τοῦ δὲ λέγειν ἄρξομαι ἤδη.

Θεοῦ τοῦ τὰ πάντα πεποιηκότος τὸ μέγα καὶ ἅγιον τῆς προγνώσεως
αὐτοῦ πνεῦμα εἰ μὴ τῷ ὑπὸ χειρῶν αὐτοῦ κυοφορηθέντι ἀνθρώπῳ δόη
τις ἐσχηκέναι, πῶς ἔτι ἑτέρῳ τῳ ἐκ μυσαρᾶς σταγόνος γεννηθέντι ὁ ἀπονέ-
μων οὐ τὰ μέγιστα ἁμαρτάνει; καὶ οὐκ οἶμαι αὐτὸν συγγνώμης τυγχάνειν,
κἂν ὑπὸ νόθου γραφῆς κατὰ τοῦ πάντων πατρὸς δεινὰ νοεῖν ἀπατηθείη· ὁ γὰρ
εἰκόνα (καὶ ταῦτα αἰωνίου βασιλέως) ὑβρίσας τὴν ἁμαρτίαν εἰς ἐκεῖνον
ἀναφερομένην ἔχει, οὗπερ καθ' ὁμοίωσιν ἡ εἰκὼν ἐτύγχανεν οὖσα. ἀλλά
(φησίν) ἁμαρτήσαντα κατέλιπεν τὸ θεῖον πνεῦμα. οὐκοῦν συνήμαρτεν.
καὶ πῶς ὁ τοῦτο λέγων οὐ κινδυνεύει; ἀλλὰ μετὰ τὸ ἁμαρτῆσαι εἰλήφει
τὸ πνεῦμα. ἀδίκοις ἄρα δέδοται. καὶ ποῦ τὸ δίκαιον; ἀλλὰ δικαίοις
καὶ ἀδίκοις ἐπιχορηγεῖται. τοῦτο πάντων ἀδικώτατον. οὕτως πᾶν ψεῦσμα,
κἂν μυρίαις ἐπινοίαις βοηθῆται, τὸν ἔλεγχον κἂν ἐν μακρῷ χρόνῳ λαβεῖν
ἔχει. μὴ ἀπατᾶσθε. ὁ πατὴρ ἡμῶν οὐδὲν ἠγνόει. ὁπότε καὶ ὁ δη-
μοσίᾳ κείμενος νόμος, ἀγνοίας ἐνκλήματι διὰ τοὺς ἀναξίους σκέ-
πων αὐτόν, τοὺς ἀληθείας γλιχομένους ἐπ' αὐτὸν ἀναπέμπει λέγων·
«Ἐξέτασον τὸν πατέρα σου καὶ ἐρεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ
ἀναγγελοῦσίν σοι». τοῦτον ἐχρῆν τὸν πατέρα ζητῆσαι, τούτους τοὺς
πρεσβυτέρους ἐπιζητῆσαι. ἀλλ' οὐκ ἐζήτησας τίνος ἐστὶν ὁ τῆς βασι-
λείας χρόνος, τίνος ἡ τῆς προφητείας καθέδρα, καίτοι αὐτοῦ ἑαυτὸν
μηνύοντος τῷ λέγειν· «Ἐπὶ τῆς καθέδρας Μωυσέως ἐκάθισαν οἱ γραμ-
ματεῖς καὶ οἱ Φαρισαῖοι· πάντα ὅσα λέγουσιν ὑμῖν, ἀκούετε αὐτῶν».
αὐτῶν δὲ εἶπεν ὡς τὴν κλεῖδα τῆς βασιλείας πεπιστευμένων, ἥτις ἐστὶν
γνῶσις, ἣ μόνη τὴν πύλην τῆς ζωῆς ἀνοῖξαι δύναται, δι' ἧς μόνης εἰς
τὴν αἰωνίαν ζωὴν εἰσελθεῖν ἔστιν. ἀλλὰ ναί (φησίν), κρατοῦσι μὲν τὴν
κλεῖν, τοῖς δὲ βουλομένοις εἰσελθεῖν οὐ παρέχουσιν. διὰ τοῦτο
(φημί) αὐτὸς τῆς καθέδρας ἐγερθείς, ὡς πατὴρ ὑπὲρ τέκνων, τὰ ἀπὸ

αἰῶνος ἐν κρυπτῷ ἀξίοις παραδιδόμενα κηρύσσων, μέχρις αὐτῶν ἐθνῶν
τὸν ἔλεον ἐκτείνων καὶ ψυχὰς πάντων ἐλεῶν, ἰδίου αἵματος ἠμέλει.
μέλλοντος γὰρ αἰῶνος βασιλεὺς εἶναι κατηξιωμένος πρὸς τὸν νῦν ἐνπρο-
θέσμῳ παρειληφότα νόμῳ τὴν βασιλείαν <...> καὶ τὸ μέγιστον ὅπερ
αὐτὸν λίαν ἐλύπει ἐστὶν τοῦτο ὅτι, ὑπὲρ ὧν ὡς τέκνων τὴν μάχην ἐποιεῖτο,
ὑπ' αὐτῶν ἀγνοίας αἰτίᾳ ἐπολεμεῖτο. καὶ ὅμως ἠγάπα καὶ τοὺς μισοῦν-
τας καὶ ἔκλαιε τοὺς ἀπειθοῦντας καὶ εὐλόγει τοὺς λοιδοροῦντας, ηὔχετο
ὑπὲρ ἐχθραινόντων. καὶ οὐ μόνον ταῦτα ἐποίει ὡς πατήρ, ἀλλὰ καὶ
τοῖς αὐτοῦ μαθηταῖς ὡς πρὸς ἀδελφοὺς ἔχοντας τὰ ὅμοια ποιεῖν ἐδί-
δασκεν. τοῦτο πατήρ, τοῦτο προφήτης, τοῦτο εὔλογον τὸ αὐτὸν ἰδίων
τέκνων βασιλεῦσαι, ἵνα τῇ ἐκ πατρὸς πρὸς τέκνα στοργῇ καὶ τῶν τέκνων
πρὸς τὸν πατέρα ἐνδιαθέτῳ τιμῇ αἰώνιος εἰρήνη γενέσθαι δυνηθῇ. τοῦ
γὰρ εὐλόγου βασιλεύοντος, ἐπὶ τοὺς βασιλευομένους ἀληθὴς χαρὰ περὶ τοῦ
βασιλεύοντος γίνεται.

Πλὴν ἐπὶ τὸν πρῶτον τῆς ἀληθείας ἐπάνειμι λόγον. ἐὰν τῷ ὑπὸ χειρῶν
θεοῦ κυοφορηθέντι ἀνθρώπῳ τὸ ἅγιον Χριστοῦ μὴ δῷ τις ἔχειν πνεῦμα,
πῶς ἑτέρῳ τινὶ ἐκ μυσαρᾶς σταγόνος γεγενημένῳ διδοὺς ἔχειν οὐ τὰ μέγιστα
ἀσεβεῖ; τὰ δὲ μέγιστα εὐσεβεῖ, ἐὰν ἑτέρῳ μὲν μὴ δῷ ἔχειν, ἐκεῖνον δὲ μόνον
ἔχειν λέγῃ ὃς ἀπ' ἀρχῆς αἰῶνος ἅμα τοῖς ὀνόμασιν μορφὰς ἀλλάσσων τὸν
αἰῶνα τρέχει μέχρις ὅτε ἰδίων χρόνων τυχών, διὰ τοὺς καμάτους θεοῦ
ἐλέει χρισθείς, εἰς ἀεὶ ἕξει τὴν ἀνάπαυσιν. οὗτος ἄρχειν τε καὶ κυριεύειν
πάντων τῶν ἐν ἀέρι καὶ γῇ καὶ ὕδασιν τετίμηται· πρὸς τούτοις δὲ αὐτοῦ
τοῦ πεποιηκότος τὸν ἄνθρωπον τὴν πνοὴν ἔσχεν, ψυχῆς ἄρρηκτον περι-
βολήν, ὅπως ἀθάνατος εἶναι δυνηθῇ. οὗτος αὐτὸς μόνος ἀληθὴς ὑπάρξας
προφήτης ἑκάστῳ ζόῳ κατ' ἀξίαν τῆς φύσεως, καθὼς ὁ πεποιηκὼς αὐ-

τόν, οἰκείως τέθεικεν τὰ ὀνόματα. εἴ τι γὰρ ἐπωνόμασεν, τοῦτο ἦν καὶ ἐκ
τοῦ πεποιηκότος ὄνομα τῷ γεγενημένῳ. διὸ πῶς ἔτι φυτοῦ χρείαν εἶχε
προσλαβεῖν, ἵνα τί ποτ' ἔστιν ἴδῃ καλὸν ἢ κακόν; «ἐνετέλλετο». ἀλλὰ ταῦτα
πιστεύουσιν οἱ ἄκριτοι, οἱ ἄλογον θηρίον θεοῦ τοῦ κτίσαντος αὐτούς τε καὶ
τὰ πάντα εὐεργετικώτερον γεγενῆσθαι οἰηθέντες. πλὴν τούτῳ σύζυγος
συνεκτίσθη θήλεια φύσις, πολὺ ἀποδέουσα αὐτοῦ, ὡς οὐσίας μετουσία,
ὡς ἡλίου σελήνη, ὡς φωτὸς τὸ πῦρ. αὕτη τοῦ νῦν κόσμου ὡς θήλεια
ὁμοίου ἄρχουσα πρώτη προφῆτις εἶναι πεπίστευται, μετὰ πάντων τῶν
«ἐν γεννητοῖς γυναικῶν» προφητείαν ἐπαγγελλομένη. ὁ δὲ ἕτερος, ὡς «υἱὸς
ἀνθρώπου» ἄρσην ὤν, καὶ τὰ διαφέροντα ὡς ἄρσενι τῷ μέλλοντι αἰῶνι προ-
φητεύει. δύο οὖν ἡμῖν γενικαὶ ἔστωσαν προφητεῖαι· ἡ μὲν ἀρσενική
(καὶ διωρίσθω ὅτι ἡ μὲν πρώτη ἄρσην οὖσα δευτέρα τοῦ λοιποῦ τέτακται
κατὰ τὸν τῆς προόδου λόγον, ἡ δὲ δευτέρα θῆλυς οὖσα πρώτη ὡρίσθη
ἔρχεσθαι ἐν τῇ τῶν συζυγιῶν προελεύσει)–ἡ μὲν οὖν «ἐν γεννητοῖς
γυναικῶν» οὖσα, ὡς θήλεια τοῦ νῦν κόσμου ἐπαγγελλομένη, ἀρσενικὴ
εἶναι πιστεύεσθαι θέλει. διὸ κλέπτουσα τὰ τοῦ ἄρσενος σπέρματα καὶ
τοῖς ἰδίοις τῆς σαρκὸς σπέρμασιν ἐπισκέπουσα ὡς ὅλα ἴδια συνεκφέρει
τὰ γεννήματα, τουτέστιν τὰ ·»ματα. καὶ τὸν παρόντα ἐπίγειον πλοῦτον
ὡς προῖκα δώσειν ἐπαγγέλλεται, τῷ ταχεῖ <τὸ βραδύ>, τὸ βραχὺ τῷ μείζονι
ὑπαλλάξαι θέλουσα. πολλοὺς μέντοι θεοὺς λέγειν καὶ ἀκούειν οὐ
μόνον τολμῶσα, ἀλλὰ καὶ αὐτὴ γενέσθαι πιστεύουσα, καὶ ἐλπίδι τοῦ
γενέσθαι ὃ μὴ ἔχει φύσιν καὶ ὃ ἔχει προσαπολλύουσα, καὶ ὡς θήλεια
<ἐν> ἐνμηνίοις γινομένη προφάσει θυσιῶν αἱμάσσεται καὶ οὕτως τοὺς
ψαύοντας αὐτῆς μολύνει. ἐπὰν δὲ συλλαβοῦσα τοὺς προσκαίρους τίκτῃ
βασιλεῖς, τοὺς αἷμα πολὺ χέοντας ἐγείρει πολέμους. τοὺς δὲ παρ' αὐτῆς
μαθεῖν ἀλήθειαν ὀρεγομένους τῷ τὰ πάντα λέγειν [τὰ] ἐναντία καὶ πολλὰς

καὶ διαφόρους παρέχειν ὑπουργίας, ζητοῦντας αἰεὶ καὶ μηδὲν εὑρίσκοντας,
μέχρις αὐτοῦ θανάτου καθίστησιν· ἀπ' ἀρχῆς γὰρ ἀνθρώποις τυφλοῖς θανάτου κεῖται πρόφασις· πλάνα γὰρ καὶ ἀμφίβολα καὶ λοξὰ προφητεύουσα τοὺς πιστεύοντας ἀπατᾷ. διὸ τῷ πρωτοτόκῳ αὐτῆς ἀμφοτερίζον ἐπέθηκεν ὄνομα, καλέσασα Κάιν, ὃ διχῇ ἔχει τῆς ἑρμηνείας τὴν
ἐκδοχήν· ἑρμηνεύεται γὰρ καὶ κτῆσις καὶ ζῆλος, ὡς ζηλοῦν αὐτοῦ μέλλον-
τος ἐν τοῖς ἐσομένοις ἢ γυναῖκα ἢ κτήματα ἢ τὴν τῶν γονέων πρὸς αὐ-
τὸν στοργήν. εἰ δ' ἄρα μηδὲν τούτων γένηται, καὶ οὕτως τὸ «κτῆμα» λέγεσθαι καλῶς ἐπιτέτευκται· αὐτὸν γὰρ πρῶτον ἐκτήσατο. ὅπερ αὐτῇ
καὶ ἐχρησίμευσεν· «φονεὺς» γὰρ ἦν «καὶ ψεύστης» καὶ μετὰ ἁμαρτιῶν
ἡσυχάζειν μηδὲ ἐπὶ τῷ ἄρχειν θέλων. ἔτι μὴν καὶ οἱ ἀπὸ τῆς τούτου διαδοχῆς προεληλυθότες πρῶτοι μοιχοὶ ἐγένοντο· καὶ ψαλτήρια καὶ κιθάρας
ἡρμόσαντο καὶ χαλκεῖς ὅπλων πολεμικῶν ἐγένοντο. διὸ καὶ ἡ τῶν ἐγγόνων
προφητεία, μοιχῶν καὶ ψαλτηρίων γέμουσα, λανθανόντως διὰ τῶν ἡδυπα-
θειῶν ὡς τοὺς πολέμους ἐγείρει. ὁ δὲ ἐν υἱοῖς ἀνθρώπων προφητείαν ἔμφυτον ψυχῆς ἰδίαν ἔχων, ·ητῶς ὡς ἄρσην τοῦ μέλλοντος αἰῶνος τὰς ἐλπίδας μηνύων τὸν αὐτοῦ υἱὸν προσηγόρευσεν Ἄβελ, ὃ ἄνευ πάσης
ἀμφιβολίας πένθος ἑρμηνεύεται. πενθεῖν γὰρ τοῖς αὐτοῦ υἱοῖς παρέχει τοὺς ἐξαπατωμένους ἀδελφοὺς αὐτῶν, ἀψευστὶ αὐτοῖς ἐν τῷ μέλλοντι
αἰῶνι τὴν παράκλησιν ὑπισχνούμενος. θεὸν ἕνα μόνον αἰτεῖν λέγει, θεοὺς οὔτε αὐτὸς λέγει οὔτε ἄλλῳ λέγοντι πιστεύει. καλὸν ὃ ἔχει τηρεῖ
καὶ ἐπὶ πλείονα αὔξει. θυσίας, αἵματα, σπονδὰς μισεῖ. ἁγνούς, καθα-
ρούς, ὁσίους ἀγαπᾷ. πῦρ βωμῶν σβέννυσιν. πολέμους καταργεῖ, εἰρήνην
διδάσκει. σωφροσύνην ἐντέλλεται. τὰς ἁμαρτίας καθαιρεῖ. γάμον νομιτεύει,
ἐγκράτειαν συγχωρεῖ, εἰς ἁγνείαν πάντας ἄγει. ἐλεημονικοὺς ποιεῖ. δι-
καιοσύνην νομιτεύει, τοὺς τελείους αὐτῶν σφραγίζει καὶ τὸν τῆς ἀνα-

παύσεως λόγον ἐκφαίνει. ·ητὰ προφητεύει, σαφῆ λέγει. πῦρ αἰώνιον κολάσεως πυκνῶς ὑπομιμνήσκει, βασιλείαν θεοῦ συνεχῶς καταγγέλλει.
πλοῦτον οὐράνιον μηνύει, δόξαν ἀναφαίρετον ὑπισχνεῖται, τῆς ἁμαρτίας
τὴν ἄφεσιν ἔργῳ δείκνυσιν. καὶ τί δεῖ λέγειν; ὁ ἄρσην ὅλος ἀλήθεια. ἡ θήλεια ὅλη πλάνη, ὁ δὲ ἐξ ἄρσενος καὶ θηλείας γεγονὼς ἃ μὲν ψεύδεται, ἃ δὲ ἀληθεύει. ἡ γὰρ θήλεια ἰδίῳ αἵματι ὥσπερ ἐρυθρῷ πυρὶ περιβάλλουσα τὸ τοῦ ἄρσενος λευκὸν σπέρμα, ἀλλοτρίοις ἐρείσμασιν ὀστέων τὸ ἀσθενὲς αὐτῆς συνίστησιν καὶ τῷ τῆς σαρκὸς προσκαίρῳ ἄνθει
τέρπουσα καὶ βραχείαις ἡδοναῖς τοῦ λογισμοῦ τὴν ἰσχὺν ὑποσυλῶσα τοὺς
πλείονας εἰς μοιχείαν ἄγει καὶ οὕτως τοῦ μέλλοντος καλοῦ στερίσκει νυμφίου. νύμφη γάρ ἐστιν ὁ πᾶς ἄνθρωπος, ὁπόταν τοῦ ἀληθοῦς προφήτου λευκῷ λόγῳ ἀληθείας σπειρόμενος φωτίζηται τὸν νοῦν. διὸ ἑνὸς μόνου τοῦ τῆς ἀληθείας προφήτου ἀκούειν δεῖ, εἰδότα ὅτι ὁ παρ' ἑτέρου σπαρεὶς λόγῳ, μοιχείας ἔγκλημα λαβών, ὡς ὑπὸ νυμφίου τῆς βασιλείας αὐτοῦ ἐκβάλλεται. τοῖς δὲ τὸ μυστήριον εἰδόσιν ὑπὸ ψυχικῆς
μοιχείας καὶ θάνατος γίνεται. ὁπόταν ἡ ψυχὴ ὑφ' ἑτέρων σπαρῇ, τότε ὡς πορνεύσασα ἢ μοιχευσαμένη ὑπὸ τοῦ πνεύματος ἐγκαταλείπεται καὶ
οὕτως τὸ ἔμψυχον σῶμα, τοῦ ζωοποιοῦ πνεύματος χωρισθέν, εἰς γῆν ἀναλύεται, καὶ τοῦ ἁμαρτήματος ἡ κατ' ἀξίαν κόλασις ἐν τῷ τῆς κρίσεως
καιρῷ ἀποδίδοται τῇ ψυχῇ μετὰ τὴν τοῦ σώματος ἀνάλυσιν· ὥσπερ ἐπ'
ἀνθρώπων ἡ ἐπὶ μοιχείᾳ φωραθεῖσα πρῶτον τῶν οἴκων ἐκβάλλεται, εἶθ' ὕστερον ἐπὶ καταδίκῃ κρίνεται.

Τοῦ Πέτρου τοῦτον αὐτὸν μέλλοντος ἡμῖν τελείως ἐκφαίνειν τὸν μυστι-
κὸν λόγον, Ζακχαῖος ἧκεν λέγων· Ἤδη λοιπόν, ὦ Πέτρε, καιρὸς πρὸς τὸ ἐκ-
βάντα διαλεχθῆναί σε. πολὺς γὰρ ἐπὶ τῆς αὐλῆς συναθροισθεὶς ἀναμένει
σε ὄχλος, οὗ ἐν μέσῳ ὡς πολέμαρχος ὑπ' αὐτοῦ δορυφορούμενος ἕστηκε Σί-
μων. ὁ δὲ Πέτρος ἀκούσας, εὐχῆς χάριν ὑποχωρῆσαί μοι κελεύσας ὡς μήπω

εἰληφότι τὸ πρὸς σωτηρίαν βάπτισμα, τοῖς ἤδη τελείοις ἔφη· Ἐγερθέντες
εὐξώμεθα, ἵνα ὁ θεὸς τοῖς ἀνεκλείπτοις αὐτοῦ οἰκτιρμοῖς συνεργήσῃ μοι
ὁρμῶντι πρὸς σωτηρίαν τῶν ὑπ' αὐτοῦ κτισθέντων ἀνθρώπων. καὶ ταῦτ' εἰ-
πὼν εὐξάμενος ἐξῄει εἰς τὸν ὕπαιθρον τῆς αὐλῆς τόπον μέγαν ὄντα, ἔνθα
συνεληλυθότες ἦσαν πολλοὶ τοῦ ἐποπτεῦσαι χάριν, τῆς διακρίσεως αὐτοὺς
ἐπὶ τὸ σπεύδειν τοῦ ἀκούειν σπουδαιοτέρους πεποιηκυίας. στὰς οὖν καὶ ἰδὼν
μετὰ πολλῆς ἡσυχίας τὸν πάντα λαὸν εἰς αὐτὸν ἀτενίζοντα, Σίμωνα δὲ
τὸν μάγον εἰς μέσον ἑστῶτα, τοῦ λέγειν ἤρξατο οὕτως· Εἰρήνη εἴη
πᾶσιν ὑμῖν τοῖς ἑτοίμως ἔχουσιν δεξιὰς διδόναι τῇ τοῦ θεοῦ ἀληθείᾳ,
ἣν αὐτοῦ μεγάλην τε καὶ ἀσύγκριτον ἐν τῷ νῦν κόσμῳ ὑπάρχουσαν
δωρεὰν ὁ ἀποστείλας ἡμᾶς, τοῦ ἐν ὑπεροχῇ συμφέροντος ἀψευδὴς ὑπάρ-
χων προφήτης, ταύτην ἡμῖν ἐνετείλατο προφάσει προσηγορίας πρὸ τῶν
τῆς διδασκαλίας λόγων ὑμῖν ἐπιφθέγγεσθαι, ἵνα, ἐὰν ᾖ τις ἐν ὑμῖν εἰρή-
νης τέκνον, διὰ τῆς διδασκαλίας ἡμῶν καταλάβῃ αὐτὸν ἡ εἰρήνη, εἰ δὲ
ταύτην λαβεῖν ὑμῶν τις μὴ θέλοι, τότε ἡμεῖς ἀποτιναξάμενοι εἰς μαρ-
τυρίαν τῶν ποδῶν ἡμῶν τὸν ἐκ τῶν ὁδῶν κονιορτόν, ὃν διὰ τοὺς καμάτους
βαστάξαντες ἠνέγκαμεν πρὸς ὑμᾶς ὅπως σωθῆτε, εἰς ἑτέρων ἀπίωμεν
οἰκίας καὶ πόλεις. καὶ ἀληθῶς ὑμῖν λέγομεν, ἀνεκτότερον ἔσται γῇ
Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως ἢ τῷ τῆς ἀπειθείας τόπῳ
ἐνδιατελεῖν· πρῶτον μέν, ὅτι τὸ εὔλογον ἀφ' ἑαυτῶν οὐκ ἐνοήσατε·
δεύτερον, ὅτι ἀκούσαντες τὰ καθ' ἡμᾶς οὐκ ἤλθετε πρὸς ἡμᾶς· τρίτον,
ὅτι καὶ ἐλθοῦσιν ἡμῖν ἠπειθήσατε. διὸ φειδόμενοι ὑμῶν προῖκα εὐχό-
μεθα τὴν εἰρήνην ἡμῶν ἐλθεῖν ἐφ' ὑμᾶς. εἰ οὖν ταύτην ἔχειν θέλετε,
δεῖ ὑμᾶς προθύμως τὸ μὴ ἀδικεῖν ἀναδέξασθαι καὶ τὸ ἀδικεῖσθαι γεν-
ναίως φέρειν, ὅπερ ἀνθρώπου φύσις οὐκ ἂν ὑποσταίη, ἐὰν μὴ πρότερον
τοῦ ἐν ὑπεροχῇ συμφέροντος τὴν γνῶσιν λάβῃ, ὅπερ ἐστὶν τὸ εἰδέναι
τοῦ πάντα ὑπερέχοντος τὴν δικαίαν φύσιν ὅτι ἀδικουμένους ἐκδικῶν τι-
μωρεῖ καὶ τοὺς εὐσεβοῦντας εἰς ἀεὶ εὐεργετεῖ. ὑμεῖς οὖν ὡς θεοῦ

δοῦλοι εὐγνώμονες, ἀφ' ἑαυτῶν τὸ εὔλογον νοοῦντες, τὴν αὐτῷ ἀρέ-
σκουσαν ἀναδέξασθε πολιτείαν, ἵνα οὕτως αὐτὸν φιλοῦντες καὶ φιλούμε-
νοι ὑπ' αὐτοῦ εἰς ἀεὶ τὸ συμφέρον ἔχητε· αὐτῷ γὰρ μόνῳ τὸ παρασχεῖν
δυνατώτατόν ἐστιν, τῷ τὰ μὴ ὄντα εἰς τὸ εἶναι συστησαμένῳ, οὐρανὸν
δημιουργήσαντι, γῆν πιλώσαντι, θάλασσαν περιορίσαντι, τὰ ἐν ᾄδῃ τα-
μιεύσαντι καὶ τὰ πάντα ἀέρι πληρώσαντι. οὗτος μόνος τὴν μίαν καὶ
πρώτην μονοειδῆ οὐσίαν τετραχῶς καὶ ἐναντίως ἔτρεψεν, εἶτα μίξας
μυρίας κράσεις ἐξ αὐτῶν ἐποίησεν, ἵνα εἰς ἐναντίας φύσεις τετραμμέναι
καὶ μεμιγμέναι τοῦ ζῆν ἡδονὴν ἐκ τῆς ἀντισυζυγίας ἐργάσωνται. ὁμῶς
αὐτὸς μόνος δήμους ἀγγέλων καὶ πνευμάτων βουλῆς νεύματι δημιουργή-
σας ἔπλησε τοὺς οὐρανούς· ὡς καὶ τὸ φαινόμενον στερέωμα ἄστροις
ἐκόσμησεν, οἷς καὶ τρίβους ὥρισεν καὶ δρόμον ἔταξεν. γῆν ἐπίλωσεν
εἰς καρπῶν αὔξησιν, θάλασσαν δὲ περιώρισεν, ἐνύδροις οἴκησιν ἀφορί-
σας. τὰ ἐν ᾄδῃ ταμιεύει, ψυχῶν χῶρον ὀνομάσας· τὰ δὲ πάντα ἔπλη-
σεν ἀέρος, ἵνα πάντα τὰ ζῷα πρὸς τὸ ζῆν ἀδεῶς ἀναπνέειν ἔχῃ. ὦ
τῆς μεγάλης θεοῦ φρονίμου χειρός, τῆς ἐν πᾶσιν πάντα ποιούσης.
μυρίος γὰρ ὄχλος πτηνῶν ὑπ' αὐτοῦ γεγένηται καὶ οὗτος ποικίλος, πρὸς
τὸν ἕτερον κατὰ πάντα ἐξηλλαγμένος, λέγω δὲ τά τε χρώματα, ·άμφη,
ὄνυχας, βλέμματα, γνώμας, φθέγματα καὶ τὰ λοιπὰ πάντα. πόσαι δὲ
καὶ φυτῶν διάφοροι ἰδέαι, χρώμασιν καὶ ποιότησιν καὶ ὀδμαῖς ἀπείροις
διωρισμέναι. πόσα δὲ τῆς χέρσου ζῷα καὶ τῶν ἐν ὕδασιν, ὧν ἀδύνατον
εἰπεῖν σχήματα, μορφάς, θέσεις, χρώματα, βίους, γνώμας, φύσεις, ὄχλον.
ἔτι τε ὀρέων πλήθη καὶ ὕψη, λίθων διαφοράς, μυχοὺς φοβερούς, πηγάς,
ποταμούς, λίμνας, θαλάσσας, λιμένας, νήσους, ὕλας, οἰκουμένην τε πᾶσαν
καὶ ἀοικήτους τόπους. πόσα δὲ καὶ ἄλλα ἄγνωστα τυγχάνει, στοχασ-
μὸν ἀνθρώπων ἐκπεφευγότα. τῶν δὲ ἐν καταλήψει ὄντων τίς ἀνθρώ-
πων ἕνα ὅρον οἶδεν; λέγω δὲ πῶς οὐρανὸς εἰλεῖται, πῶς ἄστρα

φέρεται καὶ τίνας ἔχουσιν τὰς μορφὰς καὶ τοῦ ζῆν τὴν σύστασιν τίνες
τε οἱ τούτων ἀερώδεις τρίβοι–πόθεν τε καὶ τὰ ἀνέμων πνεύματα περιωθεῖται καὶ διαφόρους ἔχει τὰς ἐνεργείας–πόθεν ἀνελλιπῶς βρύουσιν αἱ πηγαὶ καὶ ἀέναοι ποταμοὶ γινόμενοι· εἰς θάλασσαν καταντῶσιν
καὶ οὔτε ὅθεν ἔρχονται κενοῦται οὔτε ὅπου ἀπέρχονται πληροῦσιν–μέχρι ποῦ τοῦ ἀπεράντου ταρτάρου τὸ ἄπειρον βάθος–ἐπὶ τίνι ἄρα ἐπαιωρεῖται ὁ πάντα περιέχων οὐρανός, πῶς νέφη ἐξ ἀέρος βρύει καὶ εἰς ἀέρα συνπίνεται, τίς φύσις βροντῶν καὶ ἀστραπῶν, χιόνων, χαλάζης,
ὁμίχλης, κρυστάλλων, καταιγίδων, ὄμβρων, νεφῶν αἰωρουμένων καὶ πῶς
φυτὰ <καὶ> ζῷα πλάσσει καὶ ταῦτα διαφοραῖς ἀναριθμήτοις πάσῃ ἀκριβείᾳ
συνεχῶς ἀποτελουμένη. ὅμως ἐάν τις τὸ πᾶν ἀκριβῶς λογισμῷ
συνίδῃ, εὑρήσει δι' ἄνθρωπον τὸν θεὸν πεποιηκότα· οἱ γὰρ ὄμβροι καρ-
πῶν ἕνεκα γίνονται, ἵνα ἄνθρωπος μεταλάβῃ καὶ ζῷα τραφῇ ὅπως ἀν-
θρώπῳ χρησιμεύῃ–καὶ ἥλιος φαίνει καὶ τὸν ἀέρα εἰς τέσσαρας τροπὰς τρέπει, ἵνα ἕκαστος καιρὸς τὰ ἴδια ἀνθρώπῳ παράσχῃ–καὶ πηγαὶ βρύουσιν, ἵνα πόμα ἀνθρώποις δοθῇ. ἀλλ' ἔτι μὴν κατὰ τὸ δυνατὸν τίς ἐπὶ τῆς κτίσεως κυριεύει; οὐχὶ ἄνθρωπος, ὃς σοφίαν εἵληφεν γῆν γεωργεῖν, θάλασσαν πλεῖν, νηκτὰ πτηνὰ θηρία ἀγρεύειν, ἄστρων δρόμον
λογιστεύειν, γῆν μεταλλεύειν, θάλασσαν σήθειν, πόλεις ἐγείρειν, βασιλεῖς
ὁρίζειν, νόμους τάσσειν, δικάζειν, θεὸν ἀόρατον νοεῖν, ἀγγέλων ὀνόματα
γνωρίζειν, δαίμονας ἀπελαύνειν, νόσους φαρμακείαις πειρᾶσθαι παύειν,
κατὰ δ' ἰοβόλων ἑρπετῶν ἐπαοιδὰς εὑρίσκειν, ἀντιπαθείας ἐπινοεῖν; εἰ
δὲ εὐγνωμονεῖς, ἄνθρωπε, νενοηκὼς τὸν ἐν πᾶσιν εὐεργετήσαντά σε θεόν, καὶ ἀθάνατος ἂν ᾖς, τῶν διὰ σὲ κτισθέντων δι' εὐγνωμοσύνην τὸ
διαμένειν ἐχόντων. καὶ νῦν δὲ γενέσθαι δύνασαι ἄφθαρτος, ἐὰν ἐπιγνῷς
ὃν ἔλαθες, ἐὰν ἀγαπήσῃς ὃν κατέλιπες, ἐὰν αὐτῷ μόνῳ προσεύχῃ τῷ σῶμά σου καὶ ψυχὴν κολάσαι καὶ σῶσαι δυναμένῳ. διὸ πρὸ πάντων

ἐννοοῦ ὅτι οὐδεὶς αὐτῷ συνάρχει, οὐδεὶς τῆς αὐτοῦ κοινωνεῖ ὀνομασίας,
τοῦτο ὃ δὴ λέγεται θεός. μόνος γὰρ αὐτὸς καὶ λέγεται καὶ ἔστιν, ἄλλον
δὲ οὔτε νομίσαι οὔτε εἰπεῖν ἔξεστιν· εἰ δέ τις τολμήσειεν, ἀιδίως τὴν ψυχὴν
κολασθῆναι ἔχει.

Τοῦ Πέτρου ταῦτα εἰπόντος ὁ Σίμων ἔξω τοῦ ὄχλου βοῇ μεγάλῃ
ἔφη· Τί ψευδόμενος ἀπατᾶν θέλεις τὸν παρεστῶτά σοι ἰδιώτην ὄχλον,
πείθων αὐτὸν θεοὺς μήτε νομίζειν μήτε λέγειν ἐξὸν εἶναι, τῶν παρὰ
Ἰουδαίοις δημοσίων βίβλων πολλοὺς θεοὺς εἶναι λεγουσῶν; καὶ νῦν δὲ
μετὰ πάντων ἀπ' αὐτῶν σοι τῶν βίβλων περὶ τοῦ δεῖν θεοὺς νο-
μίζειν συζητῆσαι θέλω, πρότερον περὶ οὗ ἔφης θεοῦ δείξας μὴ αὐτὸν
εἶναι τὴν ἀνωτάτω καὶ πάντα δυναμένην <δύναμιν> καθὸ ἀπρόγνωστός
ἐστιν, ἀτελής, ἐνδεής, οὐκ ἀγαθὸς καὶ πολλοῖς καὶ μυρίοις χαλεποῖς ὑπο-
κείμενος πάθεσιν· ὅθεν τούτου δειχθέντος ἀπὸ τῶν γραφῶν, ὡς ἐγὼ λέγω,
ἕτερος ἀγράφως περιλείπεται εἶναι προγνωστικός, τέλειος, ἀνενδεής, ἀγα-
θός, πάντων χαλεπῶν ἀπηλλαγμένος παθῶν. ὃν δὲ σὺ φὴς δημιουργόν,
τοῖς ἐναντίοις ὑποκείμενος τυγχάνει. αὐτίκα γοῦν ὁ καθ' ὁμοίωσιν
αὐτοῦ γεγονὼς Ἀδὰμ καὶ τυφλὸς κτίζεται καὶ γνῶσιν ἀγαθοῦ ἢ κακοῦ
οὐκ ἔχων παραδέδοται καὶ παραβάτης εὑρίσκεται καὶ τοῦ παραδείσου
ἐκβάλλεται καὶ θανάτῳ τιμωρεῖται. ὁμοίως τε καὶ ὁ πλάσας αὐτόν, ἐπεὶ
μὴ πανταχόθεν βλέπει, ἐπὶ τῇ Σοδόμων καταστροφῇ λέγει· «Δεῦτε καὶ
καταβάντες ἴδωμεν, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρὸς μὲ
συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ» καὶ ἀγνοοῦντα ἑαυτὸν δείκνυσιν. τὸ δὲ
εἰπεῖν περὶ τοῦ Ἀδάμ· «Ἐκβάλωμεν αὐτόν, μήπως ἐκτείνας τὴν χεῖρα αὐτοῦ
ἅψηται τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα «–τὸ
εἰπεῖν· «μήπως» ἀγνοεῖ, τὸ δὲ ἐπαγαγεῖν· «Μήπως φαγὼν ζήσεται εἰς
τὸν αἰῶνα» καὶ φθονεῖ. καὶ τὸ γεγράφθαι ὅτι «ἐνεθυμήθη ὁ θεὸς ὅτι
ἐποίησεν τὸν ἄνθρωπον» καὶ μετανοεῖ καὶ ἀγνοεῖ· τὸ γὰρ «ἐνεθυμήθη»

σκέψις ἐστίν, ᾗ τις δι' ἄγνοιαν ὧν βούλεται τὸ τέλος ἀκριβῶσαι θέλει,
ἢ ἐπὶ τῷ μὴ κατὰ γνώμην ἀποβάντι μεταμελομένου. καὶ τὸ γεγράφθαι·
«Καὶ ὠσφράνθη κύριος ὀσμὴν εὐωδίας» ἐνδεοῦς ἐστιν, καὶ τὸ ἐπὶ κνίσῃ
σαρκῶν ἡσθῆναι οὐκ ἀγαθοῦ. τὸ δὲ πειράζειν (ὡς γέγραπται· «Καὶ ἐπείρασεν
κύριος τὸν Ἀβραάμή) κακοῦ καὶ τὸ τέλος τῆς ὑπομονῆς ἀγνοοῦντος.

Ὁμῶς ὁ Σίμων πολλὰ ἀπὸ τῶν γραφῶν ἐδόκει δεικνύειν τὸν θεὸν παντὶ
πάθει ὑποκείμενον. καὶ ὁ Πέτρος πρὸς ταῦτα ἔφη· Εἰ μηδὲν ἀγαπᾷ ὁ κακὸς
καὶ πάνυ μοχθηρὸς ἐφ' οἷς ἁμαρτάνει ἑαυτὸν ἐλέγχειν, ἀπόκριναί μοι. καὶ
ὁ Σίμων ἔφη· Οὐκ ἀγαπᾷ. καὶ ὁ Πέτρος ἔφη· Πῶς οὖν κακὸς καὶ μοχθη-
ρὸς εἶναι δύναται ὁ θεός, εἴπερ αὐτοῦ θελήματι τὰ κατ' αὐτοῦ κακὰ δη-
μοσίᾳ γραφέντα προσετέθη; καὶ ὁ Σίμων· Ἐνδέχεται παρὰ προαίρεσιν
αὐτοῦ ὑφ' ἑτέρας δυνάμεως τὸν κατ' αὐτοῦ γραφῆναι ἔλεγχον. καὶ ὁ Πέτρος
ἔφη· Πρῶτον οὖν τοῦτο ζητήσωμεν. εἰ μὲν ὑπὸ τῆς ἑαυτοῦ βουλῆς ἑαυ-
τὸν ἤλεγξεν, ὡς φθάσας συνωμολόγησας, μοχθηρὸς οὐκ ἔστιν· εἰ δὲ ὑφ'
ἑτέρας δυνάμεως, ζητητέον καὶ παντὶ σθένει ἐξεταστέον μή τις αὐτὸν
μόνον ἀγαθὸν ὄντα ἐπὶ πᾶσιν τοῖς κακοῖς ὑπέβαλεν. καὶ ὁ Σίμων· Πρό-
δηλος εἶ φεύγων ἀπὸ τῶν γραφῶν τὸν κατὰ τοῦ θεοῦ σου ἀκοῦσαι
ἔλεγχον. καὶ ὁ Πέτρος· Αὐτός μοι φαίνῃ τοῦτο ποιῶν· ὁ γὰρ τάξιν
ζητήσεως φεύγων ἐξέτασιν ἀληθῆ γενέσθαι οὐ βούλεται. ὅθεν ἐγὼ τῇ
τάξει χρώμενος καὶ βουλόμενος πρῶτον τὸν συγγραφέα νοηθῆναι, πρό-
δηλός εἰμι τὴν εὐθεῖαν ὁδεύειν θέλων. καὶ ὁ Σίμων· Ὁμολόγησον πρῶ-
τον εἴγε τὰ κατὰ τοῦ δημιουργοῦ γεγραμμένα ἀληθῆ ἐστιν καὶ οὐκ ἔστιν
τῶν ὅλων ἀνώτερος, κατὰ τὰς γραφὰς πάσῃ ὑποκείμενος μοχθηρίᾳ, καὶ
ὕστερον ζητήσομεν τὸν συνγράψαντα. καὶ ὁ Πέτρος· Ἵνα μὴ δόξω ἀντι-
λέγειν σου τῇ ἀταξίᾳ μηδὲ θέλειν ζητεῖν, ἀποκρίνομαι· ἐγώ φημι ὅτι,
εἰ τὰ κατὰ τοῦ θεοῦ γεγραμμένα ἀληθῆ εἴη, οὔπω τὸν θεὸν δείκνυσιν

μοχθηρόν. καὶ ὁ Σίμων ἔφη· Πῶς τοῦτο συστῆσαι δύνασαι; καὶ ὁ Πέτρος· Ὅτι ταῖς αὐτὸν κακῶς λεγούσαις φωναῖς τὰ ἐναντία γέγραπται,
οὗ εἵνεκεν οὐδ' ὁπότερον βεβαιωθῆναι δύναται. καὶ ὁ Σίμων· Πῶς οὖν τῶν γραφῶν τῶν μὲν αὐτὸν κακὸν λεγουσῶν, τῶν δὲ ἀγαθόν, τὸ ἀληθὲς
ἔστιν ἐπιγνῶναι; καὶ ὁ Πέτρος· Ὅσαι τῶν γραφῶν φωναὶ συμφωνοῦσιν τῇ
ὑπ' αὐτοῦ γενομένῃ κτίσει, ἀληθεῖς εἰσιν, ὅσαι δὲ ἐναντίαι, ψευδεῖς τυγχά-
νουσιν. καὶ ὁ Σίμων ἔφη· Πῶς δύνασαι ἐναντιουμένας ἑαυταῖς δεῖξαι τὰς γραφάς; καὶ ὁ Πέτρος ἔφη· Τὸν Ἀδὰμ τυφλὸν λέγεις γεγενῆσθαι,
ὅπερ οὐκ ἦν· οὐ γὰρ ἂν τυφλῷ ἐντελλόμενος ἐδείκνυεν λέγων· «Ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν μὴ γεύσησθε». καὶ ὁ Σίμων· Τυφλὸν ἔλεγεν τὸν νοῦν αὐτοῦ. καὶ ὁ Πέτρος· Πῶς καὶ τὸν νοῦν
τυφλὸς εἶναι ἐδύνατο, ὁ πρὸ τοῦ γεύσασθαι τοῦ φυτοῦ συμφώνως τῷ κτίσαντι αὐτὸν οἰκεῖα πᾶσιν τοῖς ζόοις ἐπιθεὶς ὀνόματα; καὶ ὁ Σίμων· Εἰ
πρόγνωσιν εἶχεν ὁ Ἀδάμ, διὰ τί οὐ προέγνω τὸ τὴν γυναῖκα αὐτοῦ ἀπατᾶν
ὄφιν; καὶ ὁ Πέτρος· Εἰ πρόγνωσιν μὴ εἶχεν ὁ Ἀδάμ, πῶς τοῖς
υἱοῖς αὐτοῦ πρὸς τὰς ἐσομένας πράξεις ἅμα τῷ γεννηθῆναι τὰ ὀνό-
ματα ἐπέθηκεν; τὸν μὲν πρῶτον καλέσας Κάιν, ὃ ἑρμηνεύεται ζῆλος, ὃς
καὶ ζηλώσας ἀνεῖλεν τὸν ἀδελφὸν αὐτοῦ Ἄβελ, ὃ ἑρμηνεύεται πένθος· ἐπ' αὐτῷ γὰρ πρώτῳ φονευθέντι ἐπένθησαν οἱ γονεῖς. εἰ δὲ Ἀδὰμ
ἔργον θεοῦ ὑπάρχων πρόγνωσιν εἶχεν, πολὺ μᾶλλον ὁ δημιουργήσας αὐτὸν θεός. καὶ ψεῦδός ἐστιν τὸ γεγράφθαι· «Ἐνεθυμήθη ὁ θεός», ὡς λογισμῷ χρησαμένου διὰ τὴν ἄγνοιαν. ἔτι μὴν καὶ εἰ «ἐπείραζεν κύ-
ριος τὸν Ἀβραάμή, ἵνα γνῷ εἰ ὑπομενεῖ. καὶ τὸ γεγραμμένον· «Κατα-
βάντες ἴδωμεν εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρὸς μὲ συντελοῦνται· εἰ δὲ μή, ἵνα γνῶ«–καὶ ἵνα μὴ εἰς πολὺ μηκύνω τὸν λόγον, ὅσαι ποτὲ φωναὶ ἀγνοίας αὐτοῦ καταλέγουσιν ἢ ἄλλο τι χαλε-
πόν, ὑφ' ἑτέρων φωνῶν τὰ ἐναντία λεγουσῶν ἀνασκευαζόμεναι ψευδεῖς
εἶναι ἐλέγχονται. ὅτι δὲ ὄντως προγινώσκει, λέγει τῷ Ἀβραάμ· «Γινώ-
σκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δου-
λώσουσιν αὐτὸ καὶ κακώσουσιν καὶ ταπεινώσουσιν αὐτοὺς τετρακόσια

ἔτη. τὸ δὲ ἔθνος ᾧ ἂν δουλεύσωσιν κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς. σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας
σου μετ' εἰρήνης, ταφεὶς ἐν γήρει καλῷ. τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε· οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμορραίων
ἕως τοῦ νῦν.» τί δέ; οὐχὶ καὶ Μωυσῆς τὰ ἁμαρτήματα τοῦ λαοῦ προσημαίνει καὶ τὴν διασπορὰν τὴν εἰς τὰ ἔθνη προδηλοῖ; εἰ δὲ Μωυσῇ αὐτὸς δέδωκεν προγινώσκειν, πῶς αὐτὸς οὐκ εἶχεν; ἔχει δέ. εἰ δὲ ἔχει, ὥσπερ καὶ ἐδείξαμεν, περισσόν ἐστιν τὸ γεγραμμένον· «ἐνεθυμήθη» καὶ «μετεμελήθη» καὶ τὸ «καταβὰς ὄψομαι» καὶ ὅσα τοιαῦτα· ἅτινα πρὸ τοῦ γενέσθαι ὡς ἀποβαίνειν ἤμελλεν προγνωσθέντα, οἰκονομίᾳ σοφῇ
ἀμεταμέλητον λαμβάνει τὴν ἔκβασιν. τὸ δὲ θυσιῶν αὐτὸν μὴ ὀρεχθῆναι φαίνεται ἐκ τοῦ τοὺς ἐπιθυμήσαντας κρεῶν ἅμα τῷ γεύσασθαι ἀναιρεθῆναι καὶ χωσθέντας ἐπὶ τῷ. τάφῳ «βουνὸν ἐπιθυμιῶν» προσαγορευθῆναι. ὁ δὲ τὴν ἀρχὴν ἐπὶ θύσει ζόων χαλεπαίνων, θύεσθαι αὐτὰ μὴ θέλων, θυσίας ὡς ἐπιθυμῶν οὐ προσέτασσεν καὶ ἀπαρχὰς οὐκ ἀπῄτει· ἄνευ γὰρ θύσεως ζόων οὔτε θυσίαι τελοῦνται οὔτε ἀπαρχαὶ δοθῆναι δύνανται. πῶς δὲ σκότος καὶ γνόφος καὶ θύελλα συνεῖναι ἐδύνατο (καὶ γὰρ
τοῦτο γέγραπται) τῷ καθαρὸν συστήσαντι οὐρανὸν καὶ φῶς φαίνειν δημιουργήσαντι τὸν ἥλιον καὶ πᾶσιν τοῖς ἀναριθμήτοις ἄστροις ἀμεταμέλητον
ὁρίσαντι τῶν δρόμων τὴν τάξιν; οὕτως, ὦ Σίμων, τὸ τοῦ θεοῦ χειρόγραφον (λέγω δὲ τὸν οὐρανόν) καθαρὰν καὶ βεβαίαν τὴν τοῦ πεποιηκότος
δείκνυσιν γνώμην. οὕτως αἱ τοῦ τὸν οὐρανὸν κτίσαντος θεοῦ διάβολοι φωναὶ καὶ ὑπὸ τῶν σὺν αὐταῖς ἐναντίων φωνῶν ἀκυροῦνται καὶ ὑπὸ τῆς κτίσεως ἐλέγχονται· οὐ γὰρ ὑπὸ χειρὸς προφητικῆς ἐγράφησαν,
διὸ καὶ τῇ τοῦ τὰ πάντα κτίσαντος θεοῦ χειρὶ ἐναντίαι φαίνονται. καὶ ὁ
Σίμων ἔφη· Πῶς τοῦτο ἀποδεῖξαι δύνῃ; καὶ ὁ Πέτρος· Ὁ τοῦ θεοῦ νόμος διὰ Μωυσέως ἑβδομήκοντα σοφοῖς ἀνδράσιν ἀγράφως ἐδόθη πα-

ραδίδοσθαι, ἵνα τῇ διαδοχῇ πολιτεύεσθαι δύνηται, μετὰ δὲ τὴν Μωυσέως
ἀνάληψιν ἐγράφη ὑπό τινος, οὐ μὴν ὑπὸ Μωυσέως· ἐν αὐτῷ γὰρ τῷ νό-
μῳ γέγραπται· «Καὶ ἀπέθανεν Μωυσῆς καὶ ἔθαψαν αὐτὸν ἐγγὺς οἴκου
Φογόρ, καὶ οὐδεὶς οἶδεν τὴν ταφὴν αὐτοῦ ἕως τῆς σήμερον». οἷόν τε
ἦν ἀποθανόντα Μωυσῆν γράφειν· «Ἀπέθανεν Μωυσῆς»; ἐπεὶ ἐν τῷ μετὰ
Μωυσέα χρόνῳ (ὥς γε ἔτη που πεντακόσια ἢ καὶ πρός) ἐν τῷ κτισθέντι
ναῷ κείμενος εὑρίσκεται, καὶ μεθ' ἕτερά που πεντακόσια ἔτη φέρε-
ται καὶ ἐπὶ τοῦ Ναβουχοδονόσορ οὕτως ἐνπρησθεὶς ἀπόλλυται. καὶ
ὅμως μετὰ Μωυσῆν γραφεὶς καὶ πολλάκις ἀπολωλὼς τὴν τοῦ Μωυσέως
πρόγνωσιν καὶ οὕτως ὡμολόγησεν, ὅτι τὸν ἀφανισμὸν αὐτοῦ προειδὼς
οὐκ ἔγραψεν· οἱ δὲ γράψαντες τῷ τὸν ἀφανισμὸν μὴ προεγνωκέναι ἐπ'
ἀγνωσίας ἐλεγχθέντες, προφῆται οὐκ ἦσαν. καὶ ὁ Σίμων· Ἐπειδὴ
τὰ περὶ θεοῦ (ὡς ἔφης) ἐκ τῆς πρὸς τὴν κτίσιν παραβολῆς ἔστιν νοῆσαι,
πῶς τὰ λοιπὰ ἐν τῷ νόμῳ, ἐκ παραδόσεως Μωυσέως ὄντα καὶ ἀληθῆ
τυγχάνοντα καὶ τοῖς ψευδέσιν μεμιγμένα ἐπιγνῶναί ἐστιν δυνατόν; καὶ
ὁ Πέτρος ἔφη· Περικοπή τις ἐν τῷ γραφέντι νόμῳ κατὰ τὴν τοῦ θεοῦ
πρόνοιαν ἀπταίστως ἐπεμνημονεύθη, ὥστ' ἂν σαφῶς δεῖξαι τῶν γεγραμ-
μένων ποῖά ἐστιν ἀληθῆ, ποῖα δὲ ψευδῆ. καὶ ὁ Σίμων· Τίς ἐστιν αὕτη
μήνυσον ἡμῖν. καὶ ὁ Πέτρος ἔφη· Αὐτίκα ἐρῶ. γέγραπται ἐν τῷ πρώ-
τῳ τοῦ νόμου βιβλίῳ πρὸς τοῖς τελευταίοις· «Οὐκ ἐκλείψει ἄρχων
ἐξ Ἰούδα οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ οὗ ἔστιν·
καὶ αὐτὸς προσδοκία ἐθνῶν». ἐάν τις οὖν τὸν μετὰ τὸ ἐξ Ἰούδα ἐκλεῖ-
ψαι ἄρχοντα καὶ ἡγούμενον ἐληλυθότα καὶ ὑπὸ ἐθνῶν προσδοκᾶσθαι
μέλλοντα νοῆσαι δυνηθῇ, οὗτος τὴν περικοπὴν ἐκ τῶν ἀποτελεσθέντων
<...> ἀληθῆ τὸν ἐληλυθότα ἐπιγνῶναι· οὗ τῇ διδασκαλίᾳ πειθόμενος
γνώσεται τίνα ἐστὶν τῶν γραφῶν τὰ ἀληθῆ, τίνα δὲ τὰ ψευδῆ. καὶ ὁ
Σίμων· Συνίημι ὅτι τὸν Ἰησοῦν ὑμῶν λέγεις ὡς αὐτὸν ὑπὸ τῆς γραφῆς
προφητευθέντα· δεδόσθω τοιγαροῦν οὕτως ἔχειν. λέγε τοίνυν πῶς
ὑμᾶς διακρίνειν τὰς γραφὰς ἐδίδαξεν; καὶ ὁ Πέτρος· Ὅτι μέμικται
τὰ ἀληθῆ τοῖς ψευδέσι, μέμνημαί που αὐτὸν αἰτιώμενον τοὺς Σαδδου-

καίους εἰπεῖν· «Διὰ τοῦτο πλανᾶσθε, μὴ εἰδότες τὰ ἀληθῆ τῶν γραφῶν,
οὗ εἵνεκεν ἀγνοεῖτε τὴν δύναμιν τοῦ θεοῦ». εἰ δὲ τὰ ἀληθῆ τῶν γραφῶν
ἀγνοεῖν αὐτοὺς ὑπέβαλεν, δῆλον ὡς ὄντων ψευδῶν· ἀλλὰ καὶ ἐν τῷ
φῆναι· «Γίνεσθε τραπεζῖται δόκιμοι», ὡς δοκίμων καὶ κιβδήλων λόγων
ὄντων. καὶ τῷ εἰπεῖν· «Διὰ τί οὐ νοεῖτε τὸ εὔλογον τῶν γραφῶν;» βε-
βαιότερον τοῦ αὐθαιρέτως εὐγνωμονοῦντος τίθησιν τὸν νοῦν. τὸ δὲ
καὶ τῶν γραφῶν προκειμένων ἐπὶ γραμματεῖς καὶ διδασκάλους πέμπειν
ὡς τοῦ ὄντως νόμου εἰδότας τὰ ἀληθῆ, δῆλόν ἐστιν. τὸ δὲ καὶ εἰπεῖν
αὐτόν· «Οὐκ ἦλθον καταλῦσαι τὸν νόμον» καὶ φαίνεσθαι αὐτὸν καταλύοντα
σημαίνοντος ἦν ὅτι ἃ κατέλυεν οὐκ ἦν τοῦ νόμου. τὸ δὲ καὶ εἰπεῖν· «Ὁ
οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ
ἀπὸ τοῦ νόμου» τὰ πρὸ οὐρανοῦ καὶ γῆς παρερχόμενα ἐσήμανεν μὴ
ὄντα τοῦ ὄντως νόμου. ἐπεὶ οὖν οὐρανοῦ καὶ γῆς ἔτι συνεστώτων
παρῆλθαν θυσίαι, βασιλεῖαι, αἱ «ἐν γεννητοῖς γυναικῶν» προφητεῖαι καὶ
ὅσα τοιαῦτα, ὡς οὐκ ὄντα θεοῦ προστάγματα (ἔνθεν γοῦν λέγει· «Πᾶσα
φυτεία, ἣν οὐκ ἐφύτευσεν ὁ πατὴρ ὁ οὐράνιος, ἐκριζωθήσεται»), διὰ
τοῦτο αὐτὸς ἀληθὴς ὢν προφήτης ἔλεγεν· «Ἐγώ εἰμι ἡ πύλη τῆς ζωῆς·
ὁ δι' ἐμοῦ εἰσερχόμενος εἰσέρχεται εἰς τὴν ζωήν» ὡς οὐκ οὔσης ἑτέρας
τῆς σόζειν δυναμένης διδασκαλίας. διὸ καὶ ἐβόα λέγων· «Δεῦτε πρὸς
μὲ πάντες οἱ κοπιῶντες», τουτέστιν οἱ τὴν ἀλήθειαν ζητοῦντες καὶ μὴ εὑρί-
σκοντες αὐτήν, καὶ πάλιν· «Τὰ ἐμὰ πρόβατα ἀκούει τῆς ἐμῆς φωνῆς» καὶ
ἄλλοτε· «Ζητεῖτε καὶ εὑρίσκετε», ὡς μὴ προδήλως κειμένης τῆς ἀλη-
θείας. ἀλλὰ καὶ ἐξ οὐρανῶν μάρτυς φωνὴ ἠκούσθη λέγουσα· «Οὗτός
ἐστίν μου ὁ υἱὸς ὁ ἀγαπητός, εἰς ὃν εὐδόκησα, τούτου ἀκούετε». καὶ πρὸς
τούτοις ἐπὶ πλεῖον αὐτοὺς πεπλανημένους ἐλέγξαι θέλων τοὺς προφήτας,
παρ' ὧν δὴ μεμαθηκέναι ἐβεβαίουν, ἐπιθυμοῦντας ἀληθείας καὶ μὴ
μεμαθηκότας τελευτήσαντας ἀπεφήνατο εἰπών· «Πολλοὶ προφῆται καὶ
βασιλεῖς ἐπεθύμησαν ἰδεῖν, ἃ ὑμεῖς βλέπετε, καὶ ἀκοῦσαι, ἃ ὑμεῖς

ἀκούετε, καὶ ἀμὴν λέγω ὑμῖν, οὔτε εἶδον οὔτε ἤκουσαν». ἔτι μὴν ἔλεγεν· «Ἐγώ εἰμι περὶ οὗ Μωυσῆς προεφήτευσεν εἰπών· Προφήτην ἐγερεῖ ὑμῖν κύριος ὁ θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὥσπερ καὶ ἐμέ· αὐτοῦ ἀκούετε κατὰ πάντα. ὃς ἂν δὲ μὴ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἀποθανεῖται». ὅθεν ἀδύνατόν ἐστιν ἄνευ τῆς τούτου διδασκαλίας ἀληθείᾳ σῳζούσῃ ἐπιστῆναι, κἂν τὸν αἰῶνά τις ζητῇ ἔνθα τὸ ζητούμενον οὐκ ἔστιν. ἦν δὲ καὶ ἔστιν ἐν τῷ Ἰησοῦ ἡμῶν λόγῳ. πλὴν τἀληθῆ τοῦ νόμου εἰδὼς Σαδδουκαίοις πυνθανομένοις καθ' ὃν λόγον Μωυσῆς ἑπτὰ συνεχώρησεν γαμεῖν, ἔφη· «Μωυσῆς κατὰ τὴν σκληροκαρδίαν ὑμῶν ἐπέτρεψεν ὑμῖν· ἀπ' ἀρχῆς γὰρ οὕτως οὐκ ἐγένετο. ὁ γὰρ κτίσας ἀπ' ἀρχῆς τὸν ἄνθρωπον ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτόν». τοῖς δὲ νομίζουσιν (ὡς αἱ γραφαὶ διδάσκουσιν) ὅτι ὁ θεὸς ὀμνύει, ἔφη· «Ἔστω ὑμῶν τὸ ναὶ ναί, τὸ οὐ οὔ· τὸ γὰρ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ ἐστιν». καὶ τοῖς λέγουσιν ὅτι Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἀπέθανεν, ἔφη· «Οὐκ ἔστιν θεὸς νεκρῶν, ἀλλὰ ζώντων». τοῖς δὲ οἰομένοις ὅτι ὁ θεὸς «πειράζει» (ὡς αἱ γραφαὶ λέγουσιν) ἔφη· «Ὁ πονηρός ἐστιν ὁ πειράζων», ὁ καὶ αὐτὸν πειράσας. τοῖς δὲ ὑπολαμβάνουσιν ὅτι ὁ θεὸς οὐ προγινώσκει, ἔφη· «Οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων, πρὶν αὐτὸν ἀξιώσετε». τοῖς δὲ πιστεύουσιν (ὡς αἱ γραφαὶ λέγουσιν) ὅτι μὴ πάντα βλέπει, ἔφη· «Ἐν τῷ κρυπτῷ εὔχεσθε» εἰπών· «Καὶ ὁ πατὴρ ὑμῶν ὁ βλέπων τὰ κρυπτὰ ἀποδώσει ὑμῖν». τοῖς δὲ οἰομένοις αὐτὸν μὴ ἀγαθὸν εἶναι (ὡς αἱ γραφαὶ λέγουσιν) ἔφη· «Τίνα ὑμῶν αἰτήσει υἱὸς ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; ἢ καὶ ἰχθὺν αἰτήσει, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; εἰ οὖν ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος δώσει ἀγαθὰ τοῖς αἰτουμένοις αὐτὸν καὶ τοῖς ποιοῦσιν τὸ θέλημα αὐτοῦ;» τοῖς δὲ αὐτὸν διαβεβαιουμένοις ἐν ναῷ εἶναι ἔφη· «Μὴ ὀμόσητε τὸν οὐρανόν, ὅτι θρόνος θεοῦ ἐστιν, μήτε τὴν γῆν, ὅτι ὑποπόδιον τῶν ποδῶν αὐτοῦ ἐστιν». τοῖς δὲ προλαβοῦσιν ὅτι θυσιῶν ὀρέγεται ὁ θεός, ἔφη· «Ὁ θεὸς ἔλεος θέλει καὶ οὐ θυσίας, ἐπίγνωσιν αὐτοῦ καὶ οὐχ ὁλο-

καυτώματα». τοῖς δὲ πειθομένοις κακὸν αὐτὸν εἶναι (ὡς αἱ γραφαὶ λέ-
γουσιν) ἔφη· «Μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστιν». καὶ πάλιν·
«Γίνεσθε ἀγαθοὶ καὶ οἰκτίρμονες ὡς ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς, ὃς ἀνα-
τέλλει τὸν ἥλιον ἐπ' ἀγαθοῖς καὶ πονηροῖς καὶ φέρει τὸν ὑετὸν ἐπὶ δικαίοις
καὶ ἀδίκοις». τοῖς δὲ ἠπατημένοις πολλοὺς θεοὺς ὑπονοεῖν (ὡς αἱ γραφαὶ
λέγουσιν) ἔφη· «Ἄκουε Ἰσραήλ, κύριος ὁ θεὸς ὑμῶν κύριος εἷς ἐστιν».

Ὁμῶς ὁ Σίμων συνιδὼν ὅτι Πέτρος αὐτὸν συνάγει ταῖς γραφαῖς χρῆ-
σθαι ὡς Ἰησοῦς ἐδίδαξεν, εἰς τὸν περὶ θεοῦ λόγον ἐξέτασιν γενέσθαι οὐκ
ἠθέλησεν, καίτοιγε μεταθεμένου τοῦ Πέτρου ὡς αὐτὸς Σίμων ἠξίωσεν
πρὸς πεῦσιν καὶ ἀπόκρισιν γενέσθαι τὴν ἐξέτασιν. πλὴν ἡ ζήτησις τριῶν
ἐπεκράτησεν ἡμερῶν. ἐπιφωσκούσης δὲ τῆς τετάρτης νύχιος ὡς ἐπὶ Τύρον
τῆς Φοινίκης ἐξώρμησεν. καὶ οὐ μετὰ πολλὰς ἡμέρας ἦλθόν τινες τῶν
προόδων Πέτρῳ λέγοντες· Σίμων μεγάλα θαυμάσια ἐν Τύρῳ ποιῶν πολ-
λοὺς τῶν ἐκεῖ κατεπλήξατο καί σε πολλαῖς διαβολαῖς μισεῖσθαι ἐποίησεν.

Ταῦτα ἀκούσας ὁ Πέτρος τῇ ἐπιούσῃ νυκτὶ τῶν ἀκροατῶν τὸν ὄχλον
συνελθεῖν ἐποίησεν. ὁμῶς συνελθοῦσιν ἔφη· Ἐπειδὴ ὁρμῶντός μου εἰς τὰ
ἔθνη τὰ πολλοὺς θεοὺς λέγοντα, κηρύξαι καὶ διδάξαι ὅτι εἷς ἐστιν ὁ θεός, «ὃς
οὐρανὸν ἔκτισε καὶ γῆν» καὶ τὰ ἐν αὐτοῖς πάντα, ὅπως ἀγαπήσαντες αὐτὸν
σωθῆναι δυνηθῶσιν, προλαβοῦσα ἡ κακία τῷ τῆς συζυγίας νόμῳ
προαπέστειλεν Σίμωνα, ἵνα οἱ ἄνθρωποι, ἐὰν τοὺς πολλοὺς θεοὺς
λέγειν παύσωνται, καταγνόντες τῶν ἐπὶ γῆς λεγομένων, ἐν οὐρανῷ
πολλοὺς θεοὺς εἶναι νομίσωσιν, ἵνα μηδέποτε τὸ τῆς μοναρχίας
τιμήσαντες καλὸν εἰς τὸ παντελὲς μετὰ κόλασιν ἀπόλωνται. καὶ τὸ
δεινότατον, ἐπεὶ ἀληθὴς λόγος ἀπαράβλητον ἰσχὺν ἔχει,
προλαμβάνων ταῖς διαβολαῖς πείθει αὐτοὺς αὐτὸ μηδὲ τὴν ἀρχὴν
ἀναδέξασθαί μου, μήπως ὁ διαβάλλων αὐτὸς τῷ ὄντι διάβολος
ἐλεγχθῇ καὶ ὁ ἀληθὴς λόγος ἀναδειχθεὶς πιστευθῆναι δυνηθῇ. χρὴ οὖν

με ταχέως αὐτὸν ἐπικαταλαβεῖν, ἵνα μὴ ἡ διαβολὴ ἐνχρονίσασα παντε-
λῶς πάντων ἐπικρατήσῃ. ἐπεὶ οὖν δεῖ τινα ὁρίσαι ἀντ' ἐμοῦ τὸν ἐμὸν
ἀναπληροῦντα τόπον, μιᾷ προαιρέσει τοῦ θεοῦ δεηθῶμεν οἱ πάντες,
ὅπως τῶν ὄντων ἐν ἡμῖν τὸν κρείττονα αὐτὸς πρόδηλον ποιήσῃ, ἵνα ἐπὶ
τῆς Χριστοῦ καθέδρας καθεσθεὶς τὴν αὐτοῦ ἐκκλησίαν εὐσεβῶς οἰκονομῇ.
τίς ἄρα ὁρισθήσεται; θεοῦ γὰρ βουλῇ ἀναδείκνυται μακάριος ὁ ἄνθρω-
πος ἐκεῖνος, ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας τῶν συν-
δούλων αὐτοῦ, τοῦ διδόναι αὐτοῖς τὰς τροφὰς ἐν καιρῷ αὐτῶν, μὴ ἐν-
νοούμενον καὶ λέγοντα ἐν τῇ καρδίᾳ αὐτοῦ· Χρονίζει ὁ κύριός μου ἐλ-
θεῖν. [καὶ ἄρξηται τύπτειν τοὺς συνδούλους αὐτοῦ, ἐσθίων καὶ πίνων
μετά τε πορνῶν καὶ μεθυόντων. καὶ ἥξει ὁ κύριος τοῦ δούλου ἐκείνου
ἐν ὥρᾳ, ᾗ οὐ προσδοκᾷ, καὶ ἐν ἡμέρᾳ, ᾗ οὐ γινώσκει, καὶ διχοτομήσει αὐτόν,
καὶ τὸ ἀπιστοῦν αὐτοῦ μέρος μετὰ τῶν ὑποκριτῶν θήσει.] εἰ δέ τις
τῶν παρεστώτων, διοικεῖν δυνάμενος τὴν ἀγνωμοσύνην τῶν ἀνθρώ-
πων, ὑποστέλλεται, τῆς αὐτοῦ ἀναπαύσεως φροντίζων μόνης, καὶ
αὐτὸς προσδοκάτω ἀκοῦσαι· «Δοῦλε πονηρὲ καὶ ὀκνηρέ, ἔδει σε τὸ ἀργύ-
ριόν μου προβαλεῖν ἐπὶ τῶν τραπεζιτῶν, καὶ ἐγὼ ἂν ἐλθὼν ἔπραξα τὸ
ἐμόν· ἐκβάλετε τὸν ἀχρεῖον δοῦλον εἰς τὸ σκότος τὸ ἐξώτερον». καὶ
εὐλόγως. σοῦ γάρ (φησίν), ἄνθρωπε, τοὺς λόγους μου ὡς ἀργύριον ἐπὶ
τραπεζιτῶν βαλεῖν καὶ ὡς χρήματα δοκιμάσαι. τὸ οὖν πλῆθος τῶν
πιστῶν δεῖ ἑνί τινι πείθεσθαι, ἵνα οὕτως ἐν ὁμονοίᾳ διατελεῖν δυνηθῇ.
τὸ γὰρ εἰς ἀρχὴν μιᾶς λῆγον ἐξουσίας μοναρχίας εἰκόνι τοὺς ὑπείκοντας
αἰτίᾳ εὐταξίας εἰρήνης ἀπολαύειν τίθησιν, τὸ δὲ πάντας φιλαρχοῦντας ἑνὶ
μόνῳ ὑπεῖξαι μὴ θέλειν <...> καὶ αἰτίᾳ διαιρέσεως πάντως καὶ πεσεῖν
ἔχουσιν. ἀλλ' ἔτι μὴν πειθέτω τὰ παρ' ὀφθαλμοῖς γινόμενα πῶς νῦν πολ-
λῶν κατὰ πᾶσαν τὴν γῆν ὄντων βασιλέων συνεχῶς πόλεμοι γίνονται· ἔχει
γὰρ ἕκαστος πρόφασιν εἰς πόλεμον τὴν ἑτέρου ἀρχήν. ἐὰν δὲ εἷς ᾖ τοῦ
παντὸς ἡγεμών, οὗ εἵνεκεν πολεμεῖ οὐκ ἔχων, ἀίδιον τὴν εἰρήνην ἔχει.

πέρας γοῦν ὁ θεὸς τοῖς καταξιουμένοις αἰωνίου ζωῆς ἕνα ἐν τῷ τότε αἰῶνι
βασιλέα τοῦ παντὸς καθίστησιν, ἵνα αἰτίᾳ μοναρχίας ἄπτωτος εἰρήνη γένηται. χρὴ οὖν ἑνί τινι ὡς ὁδηγῷ τοὺς πάντας ἕπεσθαι, ὡς εἰκόνα θεοῦ προτιμῶντας, τὸν δὲ ὁδηγὸν εἶναι τῆς εἰς τὴν ἁγίαν πόλιν εἰσιούσης
εἰσόδου ἐπιστήμονα.

Τίνα δὲ ἄλλον αἱρήσομαι τῶν παρόντων ἢ Ζακχαῖον, πρὸς ὃν καὶ ὁ κύριος ἡμῶν εἰσιὼν ἀνεπαύσατο, τοῦ σόζεσθαι κρίνας ἄξιον εἶναι; καὶ τοῦτ'
εἰπών, παρεστῶτι τῷ Ζακχαίῳ ἐπιβαλὼν τὴν χεῖρα, ἐβιάζετο ἐπὶ τὴν αὐτοῦ
καθεσθῆναι καθέδραν. ὁ δὲ Ζακχαῖος προσπεσὼν τοῖς ποσὶν αὐτοῦ ἐδέετο, ὅπως τοῦ ἄρχειν αὐτὸν ἀπολύσῃ, μετὰ τοῦ ὑπισχνεῖσθαι καὶ λέγειν
ὅτι· Ὁπόσα ποτὲ χρὴ τὸν ἄρχοντα ποιεῖν, ποιήσω, μόνον μοι τὸ ὄνομα τοῦτο μὴ ἔχειν χάρισαι· εὐλαβοῦμαι γὰρ τὸ τῆς ἀρχῆς ἐνδύσασθαι ὄνομα·
πικροῦ γὰρ φθόνου καὶ κινδύνου γέμει.

Καὶ ὁ Πέτρος ἔφη· Εἰ τοῦτο εὐλαβῇ ἄρχων μὲν μὴ καλοῦ, ἀλλὰ ὁ καθεστώς, τοῦτο τοῦ κυρίου δεδωκότος λέγεσθαι τῷ εἰπεῖν· «Μακάριος ὁ
ἄνθρωπος ἐκεῖνος, ὃν καταστήσει ὁ κύριος αὐτοῦ ἐπὶ τῆς θεραπείας τῶν
συνδούλων αὐτοῦ». εἰ δὲ παντελῶς οὐ θέλεις γνωσθῆναι ὅτι ἐξουσίαν διοική-
σεως ἔχεις, ἀγνοεῖν μοι ἔοικας ὅτι ἡ ὁμολογουμένη τοῦ προκαθεζομένου
ἐξουσία πολύ τι δύναται πρὸς δυσωπίαν τοῦ πλήθους. ὡς γὰρ εἰληφότι
τὴν ἐξουσίαν ἕκαστος πείθεται ὡς μεγάλην ἀνάγκην τὴν συνείδησιν ἔχων. τί
δέ; οὐχὶ καὶ ἀσφαλῶς γινώσκεις ὅτι οὐχ ὡς οἱ ἄρχοντες τῶν ἐθνῶν ἄρχειν
ἔχεις, ἀλλ' ὡς δοῦλος αὐτοῖς ὑπηρετῶν, ὡς πατὴρ ἀδικουμένοις , ὡς ἰατρὸς
ἐπισκεπτόμενος, ὡς ποιμὴν φυλάσσων, συνελὼν ἐρῶ, τὰς πάσας ὑπὲρ τῆς αὐ-
τῶν σωτηρίας φροντίδας ἔχων; ὅτι οἴει ἀγνοεῖν με οἵους καμάτους ἀναδέ-

ξασθαί σε βιάζομαι, ὑπὸ ὄχλων κρίνεσθαί σε ἀξιῶν, οἷς ἀρέσαι τινὰ ἀμή-
χανον; θεὸν δὲ εὖ πράττοντα πείθειν δυνατώτατον. διὸ δέομαι προθύμως
ἀναδέξασθαι, διὰ θεόν, διὰ Χριστόν, ὑπὲρ τῆς ἀδελφῶν σωτηρίας, ὑπὲρ
τῆς αὐτῶν οἰκονομίας καὶ σῆς ὠφελείας. καὶ τὸ ἕτερον δὲ λόγισαι ὅτι
ὥσπερ κάματον καὶ κίνδυνον ἔχει τὸ τὴν Χριστοῦ ἐκκλησίαν οἰκονομεῖν, το-
σούτῳ μείζων ὁ μισθός. ἀλλ' ἔτι μὴν καὶ ἡ κόλασις μείζων τῷ δυναμένῳ
καὶ ἀπειθήσαντι. βούλομαι οὖν, πολυμαθέστερον εἰδώς σε τῶν παρεστώτων,
δανείζειν καλὰς γνώμας, ἃς παρὰ τοῦ κυρίου πεπίστευσαι, ἵνα «εὖ
δοῦλε ἀγαθὲ καὶ πιστέ» ἀκούσῃς καὶ μὴ ὥσπερ ὁ τὸ ἓν ἀποκρύψας τάλαν-
τον, ἔγκλημα λαβὼν κολάσει ὑπεύθυνος ἀναφανῇς. εἰ δὲ μὴ βούλει
ἀγαθὸς φύλαξ καταστῆναι τῆς ἐκκλησίας, ἕτερον ἀντὶ σοῦ μήνυσον, σοῦ
πολυμαθέστερον καὶ πιστότερον. ἀλλὰ οὐ δώσεις· σὺ γὰρ καὶ τῷ κυρίῳ
συνῆς καὶ τὰς θαυμασίους πράξεις ἱστόρησας καὶ διοίκησιν ἐκκλησίας
μεμάθηκας. καὶ σοῦ μὲν ἔργον ἐστὶν κελεύειν ἃ δεῖ, τῶν ἀδελφῶν
ὑπείκειν καὶ μὴ ἀπειθεῖν. ὑπείξαντες μὲν οὖν σωθήσονται, ἀπειθήσαντες
δὲ ὑπὸ τοῦ Χριστοῦ κολασθήσονται, ὅτι ὁ προκαθεζόμενος Χριστοῦ τό-
πον πεπίστευται. διὸ ἤτοι τιμὴ ἢ ὕβρις τοῦ προκαθεζομένου εἰς Χριστὸν
φέρεται, ἀπὸ δὲ Χριστοῦ εἰς τὸν θεὸν ἀναφέρεται. τοῦτο δὲ εἴρηκα, ἵνα
καὶ αὐτοὶ οἱ ἀδελφοὶ τῆς πρὸς σὲ ἀπειθείας τὸν κίνδυνον αὐτῶν μὴ ἀγνοῶ-
σιν, ὅτι, ὃς ἄν σοι κελεύσαντι ἀπειθήσῃ, Χριστῷ ἀπειθεῖ, Χριστῷ δὲ ἀπειθή-
σας θεὸν παροργίζει.

Χρὴ οὖν τὴν ἐκκλησίαν ὡς πόλιν ἐν ὕψει ᾠκοδομημένην φιλόθεον ἔχειν
τάξιν καὶ διοίκησιν καλήν. πρὸ πάντων ὁ ἐπίσκοπος ὡς ἄρχων περὶ ὧν

λέγει ἀκουέσθω. οἱ πρεσβύτεροι τὰ κελευόμενα γίνεσθαι σπουδαζέτωσαν. οἱ
διάκονοι ἐκπεριερχόμενοι τῶν ἀδελφῶν τὰ σώματα καὶ τὰς ψυχὰς ἐπισκε-
πτέσθωσαν καὶ τῷ ἐπισκόπῳ ἀντιβαλλέτωσαν. οἱ λοιποὶ πάντες ἀδελφοὶ τὸ
ἀδικεῖσθαι ἀναδεχέσθωσαν· εἰ δὲ κρίνεσθαι θέλουσιν, περὶ ὧν ἀδικοῦνται,
ἐπὶ τῶν πρεσβυτέρων συμβιβαζέσθωσαν· τὸν δὲ συμβιβασμὸν οἱ πρεσβύτεροι τῷ ἐπισκόπῳ προσαναφερέτωσαν. νέων δὲ μὴ μόνον κατεπειγέτωσαν τοὺς γάμους, ἀλλὰ καὶ τῶν προβεβηκότων, μήπως ζέουσα ἡ ὄρεξις προφάσει πορνείας ἢ μοιχείας λοιμὸν προσενέγκῃ τῇ ἐκκλησίᾳ. ὑπὲρ πᾶσαν γὰρ ἁμαρτίαν ἡ τῆς μοιχείας ἀσέβεια θεῷ ἐστύγηται, ὅτι οὐ μόνον αὐ-
τὸν τὸν ἁμαρτήσαντα ἀναιρεῖ, ἀλλὰ καὶ τοὺς συνεστιωμένους καὶ συνα-
μιλλωμένους· λύσσῃ γὰρ ἔοικεν, ὅτι τῆς ἰδίας μανίας μεταδιδόναι φύσιν
ἔχει. σωφροσύνης οὖν χάριν σπευδέτωσαν τοὺς γάμους ἐπιτελεῖν μὴ μόνον οἱ πρεσβύτεροι, ἀλλὰ καὶ οἱ πάντες. ἡ γὰρ τοῦ μοιχησαμένου ἁμαρτία ἐπὶ τοὺς πάντας ἐλθεῖν βιάζεται. τὸ οὖν σπεύδειν σωφρονεῖν τοὺς ἀδελφούς, τοῦτο πρώτη ἐλεημοσύνη· ψυχῆς γάρ ἐστιν θεραπεία· ἡ γὰρ τροφὴ τοῦ σώματος ἀνάπαυσίς ἐστιν. ὅμως ἐὰν ἀγαπήσητε τοὺς ἀδελφοὺς ὑμῶν, οὐδὲν αὐτῶν ἀφαιρήσεσθε, ὧν δὲ ἔχετε μεταδώσετε·
πεινῶντας γὰρ θρέψετε, διψῶσιν ποτὸν παρέξετε, γυμνοὺς ἐνδύσετε, νο-
σοῦντας ἐπισκέψεσθε, τοῖς ἐν εἱρκταῖς ὡς δυνατὸν βοηθήσετε, ξένους εἰς
τὰ ἑαυτῶν σκηνώματα προθύμως ἀποδέξεσθε, μηδένα μισήσετε. ὡς δὲ δεῖ εὐσεβεῖν, εὐγνωμονοῦντας ὑμᾶς ὁ ὑμέτερος διδάξει νοῦς. πρὸ δὲ πάντων (εἰ καὶ δεῖ ὑμῖν λέγειν) συνεχέστερον συνέρχεσθε, εἴθε καθ' ὥραν, ἐπεί γε ἐν ταῖς νενομισμέναις τῆς συνόδου ἡμέραις. ἐὰν γὰρ τοῦτο ποιῆτε, ἐντὸς τειχῶν ἀσυλίας ἐστέ· ἀρχὴ γὰρ ἀπωλείας ἀπο-
ταξία. μήτε οὖν προφάσει μικροψυχίας τῆς πρὸς ἀδελφὸν ἀπολειπέσθω
τις τοῦ συνεδρεύειν. ἐὰν γάρ τις ὑμῶν ἀπολειφθῇ τοῦ συνάγεσθαι, τῶν
σκορπιζόντων τὴν Χριστοῦ ἐκκλησίαν λογισθήσεται καὶ ὡς τῶν κατὰ τῶν
τοῦ Χριστοῦ μαθητῶν ὑπάρξας κολασθήσεται. μετὰ μοιχῶν ἀποβληθή-

σεται. ὡς γὰρ μοιχὸς ὑπὸ τοῦ ἐν αὐτῷ πνεύματος προφάσει τινὸς ἑαυτὸν
ἀφώρισεν, καὶ τῷ πονηρῷ κατ' αὐτοῦ χώραν ἔδωκεν πρόβατον ἁρπάσαι
ὡς μανδρῶν ἔξω εὑρεθέν. πλὴν τοῦ ἐπισκόπου ὑμῶν ἀκούετε καὶ τι-
μὴν πᾶσαν αὐτῷ ἀπονέμοντες μὴ κάμητε, εἰδότες ὅτι προφάσει τῇ
πρὸς αὐτὸν εἰς Χριστὸν φέρεται, ἀπὸ δὲ Χριστοῦ εἰς θεὸν ἀναφέρεται
καὶ τῷ προσενέγκαντι πολυπλασίως ἀνταποδίδοται. θρόνον οὖν Χριστοῦ
τιμήσετε· ὅτι καὶ Μωυσέως καθέδραν τιμᾶν ἐκελεύσθητε, κἂν οἱ προκα-
θεζόμενοι ἁμαρτωλοὶ νομίζωνται. καὶ ταῦτα μὲν ὑμῖν αὐτάρκως εἴρη-
ται· αὐτῷ δέ, πῶς ἀμέμπτως βιοῦν, περιττὸν ἡγοῦμαι λέγειν, ὁπότε τοῦ
κἀμὲ διδάξαντος δόκιμος ὑπάρχει μαθητής. πλήν, ἀδελφοί, ἔνια
οὐ χρὴ ἀναμένειν ἀκούειν, ἀλλὰ καὶ ἀφ' ἑαυτῶν τὸ εὔλογον νοεῖν.
Ζακχαῖος μόνος ὑμῖν ὅλος ἑαυτὸν ἀσχολεῖν ἀποδεδωκώς, κοιλίαν ἔχων
καὶ ἑαυτῷ μὴ εὐσχολῶν, πῶς δύναται τὴν ἀναγκαίαν πορίζειν τροφήν; οὐχὶ
δὲ εὔλογόν ἐστιν πάντας ὑμᾶς τοῦ ζῆν αὐτοῦ πρόνοιαν ποιεῖν, οὐκ ἀναμέ-
νοντας αὐτὸν ὑμᾶς αἰτεῖν; τοῦτο γὰρ προσαιτοῦντός ἐστιν· μᾶλλον δὲ
τεθνήξεται λιμῷ ἢ τοῦτο ποιεῖν ὑποσταίη. πῶς δὴ καὶ ὑμεῖς οὐ δίκην
ὑφέξετε, μὴ λογισάμενοι ὅτι «ἄξιός ἐστιν ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ»;
καὶ μὴ λεγέτω τις· Οὐκοῦν ὁ δωρεὰν παρασχεθεὶς λόγος πωλεῖται; μὴ
γένοιτο. εἴ τις γὰρ ἔχων πόθεν ζῆν λάβοι, οὗτος πωλεῖ τὸν λόγον, εἰ δὲ μὴ
ἔχων τοῦ ζῆν χάριν λαμβάνει τροφήν, ὡς καὶ ὁ κύριος ἔλαβεν ἔν τε δείπνοις
καὶ φίλοις, οὐδὲν ἔχων ὁ εἰς αὖθις πάντα ἔχων, οὐχ ἁμαρτάνει. ἀκολούθως
οὖν τιμᾶτε πρεσβυτέρους, κατηχητάς, διακόνους χρησίμους, χήρας εὖ βεβιω-
κυίας, ὀρφανοὺς ὡς ἐκκλησίας τέκνα· ἀλλὰ καὶ ὁπότε χρεία τινὸς πόρου πρός
τι ἀναγκαῖον γένοιτο, ἅμα οἱ πάντες συμβάλλεσθε. εἰς ἀλλήλους εὐσεβεῖτε,
μὴ ὀκνοῦντες πᾶν ὁτιοῦν ὑπὲρ τῆς ἑαυτῶν σωτηρίας ὑπομένειν.

Καὶ ταῦτα εἰπὼν ἐπέθηκεν χεῖρα τῷ Ζακχαίῳ λέγων· Δέσποτα καὶ κύριε
τῶν ὅλων, ὁ πατὴρ καὶ θεός, σὺ διαφύλαξον ποιμένα μετὰ ποίμνης.
σὺ ἡ πρόφασις, σὺ ἡ δύναμις. ἡμεῖς τὸ βοηθούμενον, «σὺ ὁ βοηθός»,
«ὁ ἰατρός», «ὁ σωτήρ», «τὸ τεῖχος», ἡ ζωή, «ἡ ἐλπίς», «ἡ καταφυγή»,
ἡ χαρά, ἡ προσδοκία, ἡ ἀνάπαυσις, (συνελὼν ἐρῶ) σὺ ἡμῖν τὰ πάντα.
πρὸς αἰώνιον ὕπαρξιν σωτηρίας συνέργησον, ·ῦσαι, φύλαξον. πάντα
δύνασαι. σὺ γὰρ ἄρχων ἀρχόντων καὶ κύριος κυρίων, δεσπότης βασι-
λέων. σὺ δὸς ἐξουσίαν τῷ προκαθεζομένῳ λύειν ἃ δεῖ λύειν καὶ δε-
σμεῖν ἃ δεῖ δεσμεῖν, σὺ σόφισον· σὺ ὡς δι' ὀργάνου δι' αὐτοῦ τὴν
ἐκκλησίαν τοῦ Χριστοῦ σου ὡς καλὴν νύμφην διαφύλαξον. σοῦ γάρ
ἐστιν δόξα αἰώνιος, ὕμνος πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος εἰς τοὺς
σύμπαντας αἰῶνας. ἀμήν. καὶ ταῦτα εἰπὼν μετὰ ταῦτα ἔφη· Ὅσοι
ποτὲ βαπτισθῆναι θέλετε, ἀπὸ τῆς αὔριον νηστεύειν ἄρξασθε καὶ καθ'
ἡμέραν χειροθετεῖσθε καὶ περὶ ὧν θέλετε πυνθάνεσθε. ἔτι γὰρ ἡμερῶν
δέκα ὑμῖν ἐπιμεῖναι θέλω. μετὰ δὲ τρεῖς ἡμέρας βαπτίζειν ἀρξάμενος,
ἐμὲ φωνήσας καὶ Ἀκύλαν καὶ Νικήτην ἔφη· Μέλλων ἐπὶ τὴν Τύρον
ὁρμᾶν μεθ' ἡμέρας ἑπτὰ βούλομαι ἐξ αὐτῆς ὑμᾶς ἀπελθόντας, παρὰ τῇ
Χανανίτιδι Βερνίκῃ Ἰούστης θυγατρὶ λανθανόντως ἐπιξενωθέντας, παρ'
αὐτῆς τὰ κατὰ τὸν Σίμωνα ἀκριβῶς μαθόντας γράψαι μοι. πολὺ γάρ
μοι συμβάλλεται, ἵνα πρὸς αὐτὸ ἁρμόσωμαι. διὸ ἐξ αὐτῆς πορεύεσθε
μετὰ εἰρήνης. καὶ δὴ βαπτίζοντα αὐτὸν ἐάσαντες, καθὼς ἐκέλευσεν, εἰς
Τύρον αὐτὸν προήξαμεν τῆς Φοινίκης.

[ΟΜΙΛΙΑ Δ.]

Καισαρείας δὲ τῆς Στράτωνος ἐξιὼν ἐγὼ Κλήμης, ἅμα Νικήτης τε καὶ Ἀκύλας, εἰς Τύρον τῆς Φοινίκης εἰσεβάλλομεν καὶ κατ' ἐντολὴν Πέτρου
τοῦ ἀποστείλαντος ἡμᾶς ἐξενίσθημεν παρὰ Βερνίκῃ θυγατρὶ τῆς Χανανί-
τιδος Ἰούστης, ἥτις ἀσμενέστατα ἡμᾶς ἀπεδέξατο, καὶ πολλῇ μὲν τῇ πρὸς
μὲ τιμῇ ἀγωνιῶσα, στοργῇ δὲ τῇ πρὸς Ἀκύλαν καὶ Νικήτην, διὰ χαρὰν
ὡς συνήθης παρρησιαζομένη ἐφιλοφρονεῖτο καὶ πρὸς τὴν τοῦ σώματος
θεραπείαν ἡμᾶς δεκτικῶς κατήπειγεν. συνιδὼν οὖν ὅτι βραχεῖαν ἡμῖν
ὑπέρθεσιν ποιεῖσθαι ἐπέτρεπεν, Ὀρθῶς μέν, ἔφην, ποιεῖς ἐπισπεύδουσα
τὰ τῆς ἀγάπης ἀποπληροῦν μέρη. προτιμητέος δὲ ταύτης ὁ πρὸς τὸν
θεὸν ἡμῶν φόβος. δέδιμεν γὰρ ὑπὲρ πολλῶν ψυχῶν τὸν ἀγῶνα ἔχοντες
τῆς ἐκείνων σωτηρίας προτιμᾶν τὴν ἡμετέραν ἀνάπαυσιν. πυνθανό-
μεθα γὰρ ὅτι Σίμων ὁ μάγος, ἐπὶ τῆς ἐν Καισαρείᾳ πρὸς τὸν κύριον ἡμῶν
Πέτρον ζητήσεως ἡττηθείς, παραχρῆμα ἀποδρὰς ἐνταῦθα πολλὰ
κακὰ διαπράσσεται. πᾶσι γὰρ τοῖς ὑπεναντίοις παρὰ τὴν ἀλήθειαν λοι-
δορῶν τὸν Πέτρον τὰς τῶν πολλῶν συναρπάζει ψυχάς. μάγος τε γὰρ
αὐτὸς ὢν μάγον ἐκεῖνον ἀποκαλεῖ, καὶ πλάνος αὐτὸς ὢν πλάνον ἐκεῖνον
ἀποκηρύσσει, καὶ ἐν ταῖς ζητήσεσιν ἐπὶ πάντων τὸ ἧττον ἀπενεγκάμενος
καὶ φυγὼν αὐτὸς φάσκει νενικηκέναι, καὶ τοῦ Πέτρου μὴ δεῖν ἀκούειν
πυκνότερον ἐντέλλεται, ὡς δῆθεν κηδόμενος ἵνα μὴ ὑπὸ δεινοῦ καταγο-
ητευθῶσιν μάγου. ταῦτα οὖν μαθὼν ὁ κύριος ἡμῶν Πέτρος προ-
απέστειλεν ἡμᾶς ἐξεταστὰς τῶν λεχθέντων αὐτῷ ἐσομένους, ἵνα, εἰ οὕτως
ἔχοι, γραψάντων ἡμῶν αὐτὸς μάθῃ καὶ ἐπελθὼν ἐξελέγξῃ αὐτὸν ἐκείνων
ἄντικρυς ἐφ' ὧν αὐτὸν διέβαλλεν. ἐπεὶ οὖν ὑπὲρ πολλῶν ψυχῶν ὁ κίν-
δυνος ἡμῖν πρόκειται, τούτου ἕνεκεν, τῆς τοῦ σώματος ἡμῶν ἀναπαύ-

σεως πρὸς βραχὺ ἀμελήσαντες, παρὰ σοῦ τῆς ἐνταῦθα διαιτωμένης βου-
λόμεθα ἀψευδῶς μαθεῖν, εἰ ἅπερ ἠκούσαμεν ἀληθῆ τυγχάνει· καὶ λέ-
γοις ἂν ἤδη ἡμῖν ἕκαστα.

Ἡ Βερνίκη δὲ ἀξιωθεῖσα· Ταῦτα μὲν οὕτως, ἔφη, ἔχει ὡς ἠκούσατε,
τὰ δὲ ἄλλα τὰ κατ' αὐτὸν τὸν Σίμωνα, ἅπερ ἴσως ἀγνοεῖτε, ἀκούσατε·
φαντάσματά τε γὰρ καὶ ἰνδάλματα ἐν μέσῃ τῇ ἀγορᾷ φαίνεσθαι ποιῶν δι'
ἡμέρας πᾶσαν ἐκπλήττει τὴν πόλιν καὶ προιόντος αὐτοῦ ἀνδριάντες κινοῦνται
καὶ σκιαὶ πολλαὶ προηγοῦνται, ἅσπερ αὐτὰς ψυχὰς τῶν τεθνηκότων εἶναι
λέγει. πολλοὺς δὲ γόητα αὐτὸν ἐλέγχειν πειρωμένους διαλλάξας πρὸς
ἑαυτόν, εἶθ' ὕστερον προφάσει εὐωχίας βοῦν θύσας καὶ ἑστιάσας αὐτούς,
διαφόροις νόσοις περιέβαλεν καὶ δαίμοσιν ὑπέβαλεν καί (ἵνα μὴ πολλὰ
λέγω) πολλοὺς κακώσας θεὸς εἶναι ὑποληφθείς, πρὸς τῷ φοβερὸν εἶναι
καὶ προτετίμηται. ὅθεν οὐκ οἴομαι δυνήσεσθαί τινα τοσοῦτον ἀναφθὲν πῦρ
σβέσαι. οὐδὲ γὰρ ἐνδοιάζει τις περὶ ὧν ἐκεῖνος ἐπαγγέλλεται, ἀλλὰ τοῦτο
οὕτως ἔχειν διαβεβαιοῦται ἕκαστος. διὸ τοῦ μὴ κινδυνεύειν ὑμᾶς χάριν παρα-
καλῶ μηδὲν ἐνχειρῆσαι πρὸς αὐτόν, πρὶν ἂν Πέτρος ἔλθῃ, ὃς μόνος
δυνήσεται πρὸς τοσαύτην δυναστείαν (τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
δοκιμώτατος ὑπάρχων μαθητής) ἀνταγωνίσασθαι. τοσοῦτον γὰρ πεφόβη-
μαι τὸν ἄνδρα, ὡς εἰ μὴ καὶ ἄλλοτε πρὸς τὸν κύριόν μου Πέτρον δια-
λεχθεὶς τὸ ἧττον ἀπηνέγκατο, συνεβούλευσα ἂν ὑμῖν καὶ αὐτὸν πείθειν
τὸν Πέτρον μὴ πειρᾶσθαι ἀντεξετάζεσθαι τῷ Σίμωνι.

Κἀγὼ ἔφην· Ὁ κύριος ἡμῶν Πέτρος, εἰ ἠγνόει ὅτι αὐτὸς μόνος κατισχύει
τῆς ἐκείνου δυναστείας, οὐκ ἂν ἡμᾶς προπέμπων ἐνετέλλετο, λανθανόντως τὰ
κατὰ Σίμωνα διαμανθάνοντας αὐτῷ γράφειν. ὁμῶς ἐπεὶ ἑσπέρα κατειλήφει,
ἁλῶν μεταλαβόντες ὑπνώσαμεν. ἕωθεν δέ τις τῇ Βερνίκῃ συνήθης ἐλ-

θὼν ἔφη τὸν Σίμωνα εἰς τὴν Σιδῶνα ἐκπεπλευκέναι, τῶν δὲ αὐτοῦ μαθητῶν καταλελοιπέναι Ἀππίωνα τὸν Πλειστονίκην, ἄνδρα Ἀλεξανδρέα,
γραμματικὸν τὴν ἐπιστήμην, ὃν πρὸς πατρός μοι φίλον ὄντα ἐπέγνων, καὶ Ἀννουβίωνα τὸν Διοσπολίτην τινὰ ἀστρολόγον καὶ Ἀθηνόδωρον τὸν Ἀθηναῖον τῷ Ἐπικούρου ἀρεσκόμενον λόγῳ. ἡμεῖς δὲ τὰ κατὰ τὸν Σίμωνα μαθόντες, ἕωθεν πάντα γράψαντες καὶ Πέτρῳ διαπέμψαντες, εἰς περίπατον ἀπετραπόμεθα.

Καὶ Ἀππίων ἀπηντᾶτο ἡμῖν, οὐ μόνον μετὰ τῶν προειρημένων ἑταίρων
τῶν δύο, ἀλλὰ καὶ μεθ' ἑτέρων ἀνδρῶν ὡς τριάκοντα. καὶ ἅμα τῷ ἰδεῖν με
προσαγορεύσας καὶ καταφιλήσας ἔφη· Οὗτός ἐστιν Κλήμης, περὶ οὗ ὑμῖν
τῆς τε εὐγενείας καὶ τῆς ἐλευθεροπρεπείας πολὺν ἐποιούμην λόγον, ὅτι
ἀνὴρ πρὸς γένους Τιβερίου Καίσαρος ὢν καὶ πάσης Ἑλληνικῆς παιδείας
ἐξησκημένος ὑπὸ βαρβάρου τινός, τὴν προσηγορίαν Πέτρου, τὰ Ἰουδαίων
ποιεῖν καὶ λέγειν ἠπάτηται. ὅθεν ἀξιῶ συναγωνίσασθαί μοι πρὸς τὴν διόρθωσιν αὐτοῦ. καὶ ἐφ' ὑμῶν αὐτοῦ πυνθάνομαι. λεγέτω μοι, ἐπειδὴ πρὸς τὸ εὐσεβεῖν ἑαυτὸν ἀποδεδωκέναι νομίζει, πῶς οὐχὶ τὰ μέγιστα ἀσεβεῖ,
καταλιπὼν μὲν τὰ πάτρια, ἀποκλίνας δὲ εἰς ἔθη βάρβαρα. κἀγὼ ἀπεκρινάμην· Τὴν μὲν πρὸς ἐμέ σου ἀγαθὴν προαίρεσιν ἀποδέχομαι, τὴν δὲ ἀγνωσίαν ἀποσείομαι. ἡ μὲν γὰρ προαίρεσις ἀγαθή, ὅτι ἐν οἷς δοκεῖς καλοῖς, ἐν τούτοις εἶναί με θέλεις· ἡ δὲ γνῶσις οὐκ ὀρθῶς ἔχουσα φιλίας προφάσει ἐνεδρεύειν ἀγωνίζεται. καὶ ὁ Ἀππίων ἔφη· Ἀγνω-
σία σοι εἶναι δοκεῖ, τὰ πάτρια ἔθη φυλάττοντα τὰ Ἑλλήνων φρονεῖν; κἀγὼ ἀπεκρινάμην· Τὸν εὐσεβεῖν προαιρούμενον οὐ πάντως φυλάσσειν δεῖ τὰ πάτρια, ἀλλὰ φυλάσσειν μὲν ἐὰν ᾖ εὐσεβῆ, ἀποσείεσθαι δὲ ἐὰν ἀσεβῆ τυγχάνῃ. ἐνδέχεται γάρ τινα πατρὸς ἀσεβοῦς ὄντα εὐσεβεῖν βουλόμενον μὴ θέλειν τῷ τοῦ πατρὸς ἀκολουθεῖν. καὶ ὁ Ἀππίων
ἀπεκρίνατο· Τί οὖν; τὸν σὸν πατέρα ἔφης κακοῦ βίου γεγονέναι; κἀγὼ ἔφην· Κακοῦ μὲν οὐκ ἦν βίου, κακῆς δὲ ὑπολήψεως. καὶ ὁ Ἀππίων· Τίς ἦν ἡ κακὴ αὐτοῦ ὑπόνοια, ἀκοῦσαι θέλω. κἀγὼ ἔφην· Ὅτι τοῖς τῶν Ἑλ-
λήνων ψευδέσι κακοῖς ἐπίστευε μύθοις. καὶ ὁ Ἀππίων ἐπύθετο· Τίνες

εἰσὶν οὗτοι τῶν Ἑλλήνων οἱ ψευδεῖς τε καὶ κακοὶ μῦθοι; κἀγὼ ἔφην· Ἡ
περὶ θεῶν οὐκ ὀρθὴ δόκησις, ἥν, ἐὰν μακροθυμῇς, ἀκούσῃ μετὰ τῶν φιλομα-
θῶν. διὸ πρὸ τῶν διαλόγων εἴς τινα ἡσυχώτερον ὑποχωρήσωμεν ἤδη
τόπον· ἐνταῦθα ὑμῖν διαλεχθήσομαι. τοῦ δὲ ἰδιολογεῖσθαί με βούλεσθαι αἰτία
γέγονεν αὕτη, ἐπειδὴ οὐχ οἱ πολλοὶ οὐδὲ οἱ φιλοσοφοῦντες αὐτοὶ ἅπαντες
γνησίως προσέρχονται τῇ τῶν ὄντων κρίσει. ἴσμεν γὰρ πολλοὺς καὶ τῶν
ἐπὶ φιλοσοφίᾳ μέγα φρονούντων κενοδοξοῦντας ἢ χρηματισμοῦ χάριν περι-
βεβλημένους τὸν τρίβωνα καὶ οὐκ αὐτῆς ἀρετῆς ἕνεκεν, οἵπερ, ἐὰν μὴ εὕρω-
σιν δι' ὃ φιλοσοφοῦσιν, ἐπὶ τὸ χλευάζειν τρέπονται. διὰ δὴ τοὺς τοιούτους ἐπι-
τήδειόν τινα πρὸς τὸ ἰδιάζειν τόπον ἐπιλεξώμεθα.

Καί τις ἐν αὐτοῖς πλούσιος ἀνὴρ καὶ διὰ παντὸς χῶρόν τινα περὶ
ἑαυτὸν κεκτημένος πανμούσων φύλλων ἔφη· Ἐπειδὴ σφόδρα καῦμα
ἐπιφλέγει, βραχὺ τῆς πόλεως εἰς ἐμοὺς κήπους ὑποχωρήσωμεν. καὶ δὴ προϊόν-
τες ἐκαθέζοντο, ἔνθα ἦν καθαρὰ ψυχρῶν ναμάτων ·εύματα καὶ δένδρων
παντοίων χλοερὰ σκέπη. ἔνθα ἐγὼ ἀσμένως ἐκαθεζόμην καὶ οἱ λοιποὶ περὶ
ἐμέ, καὶ ἡσυχάζοντες ἀντὶ τῆς μελλούσης ἀξιοῦν με φωνῆς διὰ τοῦ ἀτενίζειν
εἰς ἐμὲ δῆλοι ἦσαν τῆς ὑποσχέσεως τὴν ἀπόδειξιν ἀπαιτοῦντες. καὶ δὴ οὕτως
λέγειν ἠρξάμην· Πολλή τις, ὦ ἄνδρες Ἕλληνες, ἡ διαφορὰ τυγχάνει ἀλη-
θείας τε καὶ συνηθείας. ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη εὑρίσκεται, τὸ
δὲ ἔθος, ὁποῖον ἂν παραληφθῇ, εἴτε ἀληθὲς εἴτε ψευδές, ἀκρίτως ὑφ'
ἑαυτοῦ κρατύνεται, καὶ οὔτε ἀληθεῖ ὄντι αὐτῷ ἥδεται ὁ παραλαβὼν οὔτε
ψευδεῖ ἄχθεται. οὐ γὰρ κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκεν,
γνώμῃ τῶν πρὸ αὐτοῦ ἐπ' ἀδήλῳ τύχῃ τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα.
καὶ οὐκ ἔστιν ῥᾳδίως ἀποδύσασθαι τὴν πάτριον περιβολήν, κἂν πάνυ

αὐτῷ δεικνύηται μωρὰ καὶ καταγέλαστος οὖσα. αὐτίκα γοῦν ἐγὼ τὴν πᾶσαν Ἑλλήνων παιδείαν κακοῦ δαίμονος χαλεπωτάτην ὑπόθεσιν εἶναι
λέγω. οἱ μὲν γὰρ αὐτῶν πολλοὺς θεοὺς εἰσηγήσαντο, καὶ τούτους κακοὺς καὶ παντοπαθεῖς, ἵνα ὁ τὰ ὅμοια πράττειν θέλων μηδὲ αἰδῆται (ὅπερ ἐστὶν ἀνθρώπου ἴδιον), παράδειγμα ἔχων τῶν μυθολογουμένων θεῶν τοὺς κακοὺς καὶ ἀσέμνους βίους. τῷ δὲ μηδὲ αἰδεῖσθαι οὐδὲ ἐλπίδα μετανοίας ὁ τοιοῦτος ἐμφαίνει. ἄλλοι δὲ εἱμαρμένην εἰσηγήσαντο,
τὴν λεγομένην γένεσιν, παρ' ἣν μηδένα πάσχειν τι ἢ ποιεῖν δύνασθαι. ὁμοίως οὖν καὶ τοῦτο τῷ πρώτῳ ταὐτόν ἐστιν· νομίσας γάρ τις ὅτι παρὰ
γένεσιν οὐδεὶς οὔτε πάσχειν οὔτε ποιεῖν ἔχει, ·ᾳδίως ἐπὶ τὸ ἁμαρτάνειν
ἔρχεται–καὶ ἁμαρτὼν οὐ μεταμελεῖται ἐφ' οἷς ἠσέβηκεν, ἀπολογίαν φέρων ὅτι ὑπὸ γενέσεως αὐτὰ ποιεῖν ἐξηναγκάζετο–καὶ ὡς τὴν γένεσιν κατορθῶσαι μὴ δυνάμενος, ἐφ' οἷς ἐξαμαρτάνει οὐδὲ τὸ αἰδεῖσθαι ἔχει. ἄλλοι δὲ ἀπρονόητον φορὰν εἰσηγοῦνται, ὡς αὐτομάτως τῶν πάντων περιφερομένων, οὐδενὸς ἐφεστηκότος δεσπότου. ταῦτα δὲ οὕτω
νομίζειν, ὡς εἰρήκαμεν, πασῶν δοξῶν τυγχάνει οὖσα χαλεπωτάτη. ὡς γὰρ οὐκ ὄντος τοῦ ἐφεστῶτος καὶ προνοουμένου καὶ ἑκάστῳ τὸ κατ' ἀξίαν ἀπονέμοντος, πᾶν ὅτι δύνανται διὰ τὴν ἀφοβίαν εὐκόλως δρῶσιν.
ὅθεν οὐ ·ᾳδίως (ἢ τάχα οὐδὲ ὅλως) οἱ τὰ τοιαῦτα φρονοῦντες σωφρονίζονται· τὸν γὰρ ἐπιστρέφοντα κίνδυνον οὐ προορῶνται. ὁ δὲ τῶν (ὡς ὑμεῖς φατε) βαρβάρων Ἰουδαίων λόγος εὐσεβέστατός ἐστιν, ἕνα πα-
τέρα καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς εἰσηγούμενος, τῇ φύσει ἀγαθὸν
καὶ δίκαιον· ἀγαθὸν μὲν ὡς μεταμελομένοις χαριζόμενον τὰ ἁμαρτήματα,
δίκαιον δὲ ὡς ἑκάστῳ μὴ μετανοοῦντι κατ' ἀξίαν τῶν πεπραγμένων ἐπεξιόντα. οὗτος ὁ λόγος, εἰ καὶ μῦθος ὢν τυγχάνει, εὐσεβής γε ὢν οὐκ ἀσύμφορος ἂν εἴη τῷ βίῳ. ἕκαστος γὰρ προσδοκίᾳ τοῦ κριθήσεσθαι ὑπὸ τοῦ παντεπόπτου θεοῦ πρὸς τὸ σωφρονεῖν μᾶλλον τὴν ὁρμὴν λαμβάνει. εἰ δὲ καὶ ἀληθὴς εἴη ὁ λόγος, ἀπήλλαξε μὲν τὸν σωφρόνως βεβιωκότα τῆς αἰωνίου κολάσεως, προσευεργέτηκεν δὲ τοῖς ὑπὸ τοῦ
θεοῦ ἀιδίοις τε καὶ ἀπορρήτοις γιγνομένοις ἀγαθοῖς.

Πλὴν ἐπάνειμι ἐπὶ τὴν πρωτίστην τῶν Ἑλλήνων δόξαν, τὴν πολλοὺς καὶ παντοπαθεῖς θεοὺς εἶναι μυθολογοῦσαν. καὶ ἵνα μὴ εἰς τὰ ἀσφαλῆ πολὺν ἀναλίσκω χρόνον, ἑκάστου τῶν λεγομένων θεῶν τὰς ἀσεβεῖς πράξεις εἰσηγούμενος, πάντας μὲν οὐκ ἂν εἴποιμι αὐτῶν τοὺς ἔρωτας, τοῦ Διός τε καὶ Ποσειδῶνος, Πλούτωνός τε καὶ Ἀπόλλωνος, Διονύσου τε καὶ Ἡρακλέους καὶ τῶν καθ' ἕνα ἕκαστον, ὧν οὐδὲ αὐτοὶ ἀγνοεῖτε ἐκ παιδείας Ἑλληνικῆς ὁρμώμενοι οὓς ἐπαιδεύθητε βίους, ἵνα ὡς ζηλωταὶ τῶν θεῶν τὰ ὅμοια πράττητε, ἀπ' αὐτοῦ δὲ τοῦ βασιλικωτάτου Διὸς ἄρξομαι, οὗ ὁ μὲν πατὴρ Κρόνος τὰ ἴδια τέκνα (ὡς λέγετε) καταπιών, τῇ ἐξ ἀδάμαντος ἅρπῃ τοῦ πατρὸς Οὐρανοῦ τὰ μόρια θερίσας, τῆς πρὸς γονεῖς εὐσεβείας καὶ τῆς πρὸς τέκνα φιλίας τοῖς τὰ μυστικὰ τῶν θεῶν ζηλοῦσιν τὸν ὑπογραμμὸν ἔδειξεν. αὐτὸς δὲ ὁ Ζεὺς τὸν αὐτοῦ πατέρα δήσας καθεῖρξεν εἰς Τάρταρον καὶ τοὺς ἄλλους κολάζει θεούς. τοῖς δὲ ἀρρητουργεῖν θέλουσιν τὴν Μῆτιν γεννήσας κατέπιεν· ἦν δὲ ἡ Μῆτις γονή· βρέφος γὰρ καταπιεῖν ἀδύνατον. ὑπὲρ δὲ ἀπολογίας παιδεραστῶν Γανυμήδην ἁρπάζει. μοιχοῖς δὲ ὑπὲρ μοιχείας βοηθῶν αὐτὸς πολλάκις μοιχὸς εὑρίσκεται. ἀδελφοφθορεῖν δὲ προτρέπει ἀδελφαῖς συνελθών, Ἥρᾳ καὶ Δήμητρι καὶ τῇ οὐρανίᾳ Ἀφροδίτῃ, ἥν τινες Δωδώνην λέγουσιν. τοῖς δὲ θυγατράσι μίγνυσθαι βουλομένοις Περσεφόνῃ συνελη-λυθὼς παράδειγμα πονηρὸν ἐκ τῶν μύθων γίνεται. ἄλλα τε μυρία ἠσέβηκεν, ἵν' ὑπὸ τῶν δυσσεβῶν διὰ τὴν ὑπερβάλλουσαν ἀκρασίαν θεὸς εἶναι ὁ μῦθος δογματισθῇ. ἰδιώταις ἔχοις περὶ τῶν τοιούτων ὑπολήψεων ἀγανακτεῖν μετρίως εὔλογον, τοῖς δὲ ἐκ παιδείας ὁρμωμένοις τί δεῖ καὶ λέγειν; ὧν τινες γραμματικοὶ καὶ σοφισταὶ ἀξιοῦντες εἶναι τὰς τοιαύτας πράξεις θεῶν ἀξίας εἶναι βεβαιοῦσιν. αὐτοὶ γὰρ ἀκρατεῖς ὄντες, ταύτης τῆς μυθικῆς προφάσεως λαβόμενοι, ὡς δὴ μιμηταὶ τῶν κρειττόνων ἄσεμνα διαπραττόμενοι παρρησιάζονται. διὰ τοῦτο αὐτῶν πολλῷ ἔλαττον

οἱ κατ' ἀγρὸν βιοῦντες ἐξαμαρτάνουσιν, οὐκ εἰσηγμένοι πονηρῶς δι' ὧν εἰσήχ-
θησαν οἱ ταῦτα τολμῶντες, ἐκ παιδείας κακῆς ἀσεβεῖν μεμαθηκότες. οἱ
γὰρ ἐκ παιδὸς διὰ τῶν τοιούτων μύθων μανθάνοντες γράμματα ἔτι ἁπα-
λῆς οὔσης τῆς ψυχῆς τὰς τῶν λεγομένων θεῶν ἀσεβεῖς πράξεις εἰς τὸν
αὐτῶν συνφύουσι νοῦν. ὅθεν ἐπαυξηθείσης τῆς ἡλικίας ὡς κακὰ σπέρ-
ματα καταβληθέντα τῇ ψυχῇ τελεσφοροῦσιν· καὶ τὸ πάντων χαλεπώτα-
τον ὅτι οὐδὲ ἐκκοπῆναι ·ᾳδίως ἔστιν τὰ ἐρριζωμένα ἀσεβήματα, ὁπόταν
ἀνδρωθεῖσιν αὐτοῖς χαλεπὰ εἶναι νοῆται. ἐν οἷς γὰρ ἕκαστος ἐκ παίδων
ἐθίζεται, τούτοις ἐμμένειν ἥδεται, καὶ οὕτως τῆς συνηθείας οὐ πολὺ
ἔλαττον πρὸς τὴν φύσιν δυναμένης, δυσμετάβλητοι γίνονται πρὸς τὰ μὴ
ἀπ' ἀρχῆς αὐτοῖς καταβληθέντα τῇ ψυχῇ καλά. διὸ χρὴ καὶ τοὺς
νέους μὴ τοῖς διαφθείρουσιν ἀσκεῖσθαι μαθήμασιν καὶ τοὺς ἐπὶ τῆς ἀκμῆς
ὄντας ἐπιμελῶς ὑποστέλλεσθαι τῆς Ἑλλήνων ἐπακούειν μυθολογίας·
πολὺ γὰρ ἀμαθίας χείρονά ἐστιν τὰ παρ' αὐτοῖς μαθήματα, ὡς ἐκ τῶν
κατ' ἀγρὸν οἰκούντων διὰ τὸ μὴ παιδευθῆναι τὰ παρ' Ἕλλησιν ἔλαττον
ἁμαρτανόντων ἀπεδείξαμεν. φευκτέον δὴ τοὺς τοιούτους μύθους αὐτῶν
καὶ τὰ θέατρα καὶ τὰ βιβλία, εἴθε δυνατὸν ἦν καὶ τὰς πόλεις. κακῶν
γὰρ μαθημάτων γέμοντες καὶ πνέοντες τοῖς συναμιλλωμένοις ὥσπερ
λύσσαν τοῖς πλησίον μεταδιδόασιν ὧν πεπόνθασιν αὐτοί. τὸ δὲ χαλεπώ-
τατον, ὅστις παρ' αὐτοῖς πλεῖον πεπαίδευται, πολλῷ τοῦ κατὰ φύσιν
οὗτος φρονεῖν ἐκτέτραπται. τινὲς δὲ τῶν παρ' αὐτοῖς καὶ φιλόσοφοι
εἶναι ἀξιοῦντες τὰ τοιαῦτα ἁμαρτήματα ἀδιάφορα τίθενται καὶ τοὺς ἐπὶ
ταῖς τοιαύταις πράξεσιν χαλεπαίνοντας ἀνοήτους λέγουσιν. οὐ γάρ ἐστιν
(φασί) τὰ τοιαῦτα τῇ φύσει ἁμαρτήματα, ὅσα θετοῖς ἀπηγόρευται νό-
μοις ὑπὸ τῶν κατ' ἀρχὰς γενομένων σοφῶν διὰ τὸ εἰδέναι ὅτι οἱ ἄνθρω-

ποι εὐριπίστῳ ψυχῇ ἐπὶ τοῖς τοιούτοις μεγάλως ἀχθόμενοι πρὸς ἀλ-
λήλους πόλεμον αἴρονται· ὧν ἕνεκα νόμον θέντες οἱ σοφοὶ τὰ τοιαῦτα
ὡς ἁμαρτήματα ἀπηγόρευσαν. γελοῖον δὲ οὕτως ὑπολαμβάνειν. πῶς
γὰρ οὐχ ἁμαρτήματά εἰσιν τὰ θορύβων καὶ φόνων καὶ πάσης ταραχῆς
αἴτια; ἢ γὰρ οὐκ ἐκ μοιχείας ἀνακύπτουσιν βίων περιγραφαί, οἴκων ἀνα-
στάσεις, μαγεῖαι, δόλοι, ἀπορίαι καὶ ἄλλα πλείω κακά; ἀλλὰ διὰ
τί (φησίν) ὁ ἀνήρ, ἐὰν ἀγνοῇ τὴν ἑαυτοῦ γυναῖκα μοιχευομένην, οὐ ζη-
λοῖ, οὐ θυμοῦται, οὐ θορυβεῖ, οὐ πολεμεῖ; οὕτως οὐκ ἔστιν τῇ φύσει
τὰ τοιαῦτα κακά, ἀλλὰ ἡ ἄλογος ἀνθρώπων δόκησις ταῦτα δεινοποιεῖ.
ἐγὼ δέ φημι ὅτι, κἂν μὴ τὰ δεινὰ ταῦτα συμβαίνῃ, ἐνδέχεται συνηθείᾳ
τῇ πρὸς τὸν μοιχὸν ἢ τὸν ἄνδρα ἀπολιπεῖν ἢ καὶ συνοικοῦσαν ἐπιβου-
λεῦσαι ἢ τὰ τοῦ ἀνδρὸς κόπῳ πεπορισμένα τῷ μοιχῷ παρασχεῖν καὶ ἀπο-
δημοῦντος τοῦ ἀνδρὸς συλλαβοῦσαν ἐκ τοῦ μοιχοῦ διὰ τὸ αἰδεῖσθαι
τὸν ἔλεγχον τὸ κατὰ γαστρὸς φθεῖραι θελῆσαι καὶ γενέσθαι τεκνοκτόνον
ἢ καὶ φθείρουσαν συνφθαρῆναι· εἰ δὲ συνόντος τοῦ ἀνδρὸς ἐκ μοιχοῦ
συλλαβοῦσα τέκοι, ἀνατραφεὶς ὁ παῖς τὸν μὲν πατέρα ἀγνοεῖ, τὸν δὲ
οὐκ ὄντα νομίζει, καὶ οὕτως ὁ μὴ πατὴρ τελευτῶν ἀλλοτρίῳ παιδὶ τὸν
ἑαυτοῦ καταλείπει βίον. πόσα δὲ καὶ ἄλλα κακὰ ἐκ τῆς μοιχείας φυ-
σικῶς ἀνακύπτειν φιλεῖ. καὶ οὐκ ἴσμεν τὰ κρύφια τῶν κακῶν. ὥσπερ γὰρ
ὁ λυσσῶν κύων τούτους ἀναιρεῖ, ὧνπερ ἂν ψαύσῃ, τῆς ἀφανεστάτης λύσσης
μεταδιδούς, οὕτως καὶ τῆς μοιχείας τὸ κρύφιον κακόν, κἂν ἀγνοῆται, τῆς
διαδοχῆς τὴν ἐκκοπὴν ἐξεργάζεται. ἀλλὰ τοῦτο μὲν νῦν ἡμῖν παρα-
λελείφθω, ἐκεῖνο δὲ πάντες ἴσμεν ὡς ἐπίπαν ἐπὶ τούτῳ τοὺς ἄνδρας
ἀνεπισχέτως δυσχεραίνοντας πολέμους τε ἐπὶ τούτῳ ἐγηγερμένους καὶ
οἴκων γενομένας ἀνατροπὰς καὶ πόλεων ἁλώσεις καὶ ἄλλα μυρία. διὰ τοῦτο
ἐγὼ τῷ ἁγίῳ τῶν Ἰουδαίων θεῷ καὶ νόμῳ προσέφυγον ἀποδεδω-
κὼς τὴν πίστιν ἀσφαλεῖ τῇ κρίσει, ὅτι ἐκ τῆς τοῦ θεοῦ δικαίας κρίσεως καὶ
νόμος ὥρισται καὶ ἡ ψυχὴ πάντως τὸ κατ' ἀξίαν ὧν ἔπραξεν ὁπουδήποτε
ἀπολαμβάνει.

Ταῦτά μου εἰπόντος ὁ Ἀππίων ἐπήνεγκεν τῷ λόγῳ· Τί γάρ; οὐχὶ

καὶ οἱ Ἑλλήνων (ἔφη) νόμοι τὰ φαῦλα ἀπαγορεύουσιν καὶ τοὺς μοιχοὺς
κολάζουσιν; κἀγὼ ἔφην· Οὐκοῦν οἱ Ἑλλήνων θεοὶ τὰ ἐναντία τοῖς νόμοις
πράξαντες κόλασιν ὀφείλουσιν. πῶς δὲ καὶ σωφρονίζειν ἐμαυτὸν δυνήσομαι
ὑπολαμβάνων ὅτι οἱ θεοὶ αὐτοὶ πρῶτοι ἅμα τῇ μοιχείᾳ τὰ χαλεπὰ πάντα
διεπράξαντο καὶ δίκην οὐ δεδώκασιν, ταύτῃ μᾶλλον ὀφείλοντες διδόναι
ὡς μὴ δουλεύοντες ἐπιθυμίᾳ; εἰ δὲ ὑπέκειντο, πῶς ἦσαν θεοί; καὶ ὁ Ἀππίων·
Ἔστωσαν ἡμῖν σκοποὶ μηκέτι θεοί, ἀλλ' οἱ δικασταὶ εἰς οὓς ἀφορῶντες φοβη-
θησόμεθα ἁμαρτάνειν. κἀγὼ ἔφην· Οὐκ ἔσθ' ὅμοιον, ὦ Ἀππίων· ὁ μὲν γὰρ
πρὸς ἄνθρωπον ἔχων τὸν σκοπὸν ἐλπίδι τοῦ λαθεῖν τολμήσει ἁμαρτάνειν, ὁ
δὲ θεὸν παντεπόπτην τῇ ἑαυτοῦ ψυχῇ ὁρισάμενος, εἰδὼς αὐτὸν λαθεῖν
μὴ δύνασθαι καὶ τὸ λάθρα ἁμαρτεῖν παραιτήσεται. ταῦτα ὁ Ἀππίων
ἀκούσας ἔφη· Ἤιδειν ἐξότε ἤκουσα Ἰουδαίοις σε προσομιλοῦντα, ἠλλοιῶσθαι
τὴν γνώμην. καλῶς γὰρ εἴρηταί τινι· «Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί».
κἀγὼ ἔφην· Οὐκοῦν ἐπανορθοῦσιν ἤθη ἄχρηστα ὁμιλίαι καλαί. καὶ ὁ Ἀπ-
πίων ἔφη· Σήμερον πεπληροφορήμην τὴν σὴν ἐπιγνῶναι ἔνστασιν, διὸ
σοὶ πρώτῳ εἰπεῖν συνεχωρήσαμεν· αὔριον δὲ ἐνταῦθα, εἴ σοι φίλον ἐστίν,
ἐπὶ τῶν αὐτῶν φίλων συνελθόντων ἀποδείξω, ὅτι οἱ θεοὶ ἡμῶν οὔτε μοι-
χοὶ ὄντες τυγχάνουσιν οὔτε φονεῖς οὔτε παίδων φθορεῖς, οὐκ ἀδελφαῖς
ἢ θυγατράσιν πλησιάσαντες, ἀλλ' οἱ ἀρχαῖοι τὰ μυστήρια μόνους τοὺς
φιλομαθεῖς εἰδέναι θέλοντες μύθοις οἷς εἴρηκας αὐτὰ προεκάλυψαν. Ζῆνα
γὰρ τὴν ζέουσαν οὐσίαν εἶναι φυσιολογοῦσιν, Κρόνον δὲ τὸν χρόνον καὶ
Ῥέαν τὴν ἀεὶ ·έουσαν τοῦ ὕδατος φύσιν. πλὴν ὡς ὑπεσχόμην, αὔριον τὸ καθ'

ἕκαστον εἶδος ἕωθεν ὑμῖν συνελθοῦσιν ἀλληγορήσας τὴν τῶν ὄντων ἀλή-
θειαν ἐκφανῶ. κἀγὼ πρὸς ταῦτα ἔφην· Αὔριον ὡς ὑπέσχου, οὕτως ποίησον·
ἤδη δὲ ἐντεῦθεν καὶ πρὸς αὐτὰ ἃ μέλλεις λέγειν, ἄκουσον. αἱ τῶν θεῶν
πράξεις εἰ μὲν ἀγαθαὶ οὖσαι κακοῖς μύθοις προεκαλύφθησαν, πολλὴ τοῦ
σκεπάσαντος δείκνυται κακία, ὅτι τὰ σεμνὰ ἀπέκρυψεν κακοῖς διηγήμασιν,
ἵνα μήτις αὐτῶν ζηλωτὴς γένηται· εἰ δὲ ἀληθῶς ἀσεβῆ διεπράξαντο, ἐχρῆν
τοὐναντίον ἀγαθοῖς αὐτὰ ἐπισκέπειν, ἵνα μὴ οἱ ἄνθρωποι, ὡς εἰς κρείττονας
ἀφορῶντες, ἁμαρτάνειν ἐπιχειρῶσιν ἐκείνοις παραπλήσια. ταῦτά μου εἰπόντος
οἱ παρόντες φανεροὶ ἦσαν ἀρχὴν λαμβάνοντες τῆς πρὸς τοὺς ὑπ' ἐμοῦ
λεχθέντας λόγους ἀγάπης. καὶ γὰρ συνεχῶς καὶ ἐσπουδασμένως ἀξιοῦντες
πάντως με τῇ ὑστεραίᾳ ἐλθεῖν ἀπηλλάγησαν.

[ΟΜΙΛΙΑ Ε.]

Τῇ μὲν οὖν ἐν Τύρῳ ἐπιούσῃ ἡμέρᾳ καθὰ συνεταξάμεθα εἰς τὸν ἡσύ-
χιον τόπον ἐλθών, τοὺς μὲν ἑτέρους μετά τινων καὶ ἄλλων ἰδὼν καὶ προσ-
αγορεύσας, Ἀππίωνα δὲ μὴ ἑωρακώς, ἠρόμην τοῦ μὴ παρεῖναι ἐκεῖνον
τὴν αἰτίαν. καί τις ἔφη δυσαρρώστως αὐτὸν ἀπ' αὐτῆς ἑσπέρας ἐσχηκέναι
τὸ σωμάτιον. ἐμοῦ δὲ φήσαντος εὔλογον εἶναι παραχρῆμα ὁρμήσαντας ἐπισκέ-
ψασθαι αὐτόν, σχεδὸν οἱ πάντες ἠξίουν πρότερον διαλεχθῆναί με αὐτοῖς,
εἶθ' οὕτως κἀκεῖνον ἐπισκέψασθαι δύνασθαι αὐτόν. μιᾶς οὖν πάντων γνώ-
μης γενομένης λέγειν ἠρξάμην·

Ἐχθὲς ἐντεῦθεν ἀπαλλαγείς, ὦ φίλοι, ὁμολογῶ ὅτι πάνυ φροντίζων
ὑπὲρ τῆς πρὸς Ἀππίωνα μελλούσης ἔσεσθαι ζητήσεως ὕπνου τυχεῖν οὐκ ἐδυ-
νάμην. ἀγρυπνοῦντος δέ μου εἰσέδραμεν τὰ ἐν Ῥώμῃ πρὸς αὐτόν μοι
μεμηχανημένα. ἦν δὲ τοιαῦτα. ἐκ παιδὸς ἐγὼ Κλήμης ἀληθείας ἐρῶν καὶ
ζητῶν τὰ ψυχῇ διαφέροντα καὶ εἰς ἀνασκευὰς καὶ κατασκευὰς δαπανῶν τοὺς
χρόνους καὶ μηθὲν τέλειον εὑρεῖν δυνάμενος, ὑπὸ τῆς ἀνίας ἐξώκειλα εἰς
νόσον. καὶ δὴ ἐμοῦ κατακειμένου ὁ Ἀππίων ἐπιδημεῖ τῇ Ῥώμῃ, πατρι-
κὸς ὤν μοι φίλος, καὶ ἐπιξενοῦται ἐμοὶ καὶ κλινήρη μαθὼν πρὸς ἐμὲ
εἰσέρχεται ὡς ἰατρικῆς οὐκ ἀμύητος καὶ πυνθάνεται τῆς κατακλίσεως
τὴν αἰτίαν. ἐγὼ δὲ τὸν ἄνδρα οὐκ ἀγνοῶν πάνυ Ἰουδαίους δι' ἀπεχ-
θείας ἔχοντα, ὡς καὶ πολλὰ βιβλία κατ' αὐτῶν συγγεγραφέναι, καὶ
αὐτὸν Σίμωνα νῦν οὐ διὰ φιλομάθειαν αὐτὸν εἰς φιλίαν προσέμενον,
ἀλλ' ἐπειδὴ Σαμαρέα αὐτὸν οἶδεν μισοιουδαῖόν τε ὄντα καὶ κατὰ Ἰου-
δαίων προεληλυθότα, διὰ τοῦτο αὐτὸν προσῳκειώσατο, ἵνα δύναιτο
κατὰ Ἰουδαίων τι παρ' αὐτοῦ μανθάνειν. ταῦτα ἐγὼ προειδὼς περὶ
τοῦ Ἀππίωνος, ἅμα τῷ πυθέσθαι αὐτὸν τὴν αἰτίαν τῆς νόσου προσποιη-
τῶς ἀπεκρινάμην, ὅτι τὰ νέων πάσχω καὶ ἀλγῶ τὴν ψυχήν. ὁ δὲ πρὸς

ταῦτα ἔφη· Τέκνον, ὡς πατρὶ θαρσήσας λέγε, τίς σου τῆς ψυχῆς ἡ νόσος;
ἐμοῦ δὲ προσποιητῶς πάλιν ἀναστενάξαντος ὡς δὴ περὶ ἔρωτος εἰπεῖν
αἰδουμένου, διά γε τῆς σιωπῆς καὶ τοῦ κάτω νεύειν περὶ οὗ ἤθελον ἐν-
δείκνυσθαι παρεῖχον τὴν ὑπόνοιαν. ὁ δὲ ἐρᾶν με γυναικὸς ἀληθῶς
ἀναπεισθεὶς ἔφη· Οὐδέν ἐστιν ἐν τῷ βίῳ βοηθείας τυχεῖν μὴ δυνάμενον·
καὶ γὰρ αὐτὸς ὅτε νέος ἤμην, ἐρασθεὶς γυναικὸς ἀξιολογωτάτης οὐ μόνον
αὐτῆς τυχεῖν ἡγούμην ἀδύνατον εἶναι, ἀλλ' οὐδὲ προσαγορεῦσαί ποτε
ἤλπιζον· καὶ ὅμως περιτυχών τινι Αἰγυπτίῳ, πάνυ τὰ μάγων ἀκριβοῦντι,
καὶ φιλωθεὶς ἐκφαίνω μου τὸν ἔρωτα, καὶ οὐ μόνον ἑαυτόν μοι παρεῖ-
χεν πρὸς πᾶν ὃ ἐβουλόμην, ἀλλὰ δαψιλέστερον πρὸς μὲ φιλοτιμούμενος
καὶ τὴν ἐπαοιδήν, δι' ἧς ἔτυχον, διδάσκειν οὐκ ἐφθόνεσεν. ἐκ δὲ τῆς
ἐκείνου λαθραίας ὑποδείξεως πεισθεὶς τῇ τοῦ διδάξαντος ἀφθονίᾳ καὶ
ἅπαξ ἐπιτυχών, ἐπαυσάμην τοῦ ἔρωτος. ὅθεν εἰ καὶ σὺ τοιοῦτόν τι
πέπονθας ἀνθρωπίνως, θάρσησον ἡμῖν πρὸς τὸ ἀμέριμνον· ἐντὸς γὰρ
ἡμερῶν ἑπτὰ πάντως αὐτῆς ἐπιτυχεῖν σε ποιήσω. ταῦτα ἀκούσας ἐγώ,
εἰς τὸν ἐμὸν σκοπὸν ἀποβλέπων ἔφην· Σύγγνωθί μοι μὴ πάνυ πιστεύοντι
μαγείαν ὑφεστάναι· πολλῶν γὰρ πολλὰ ἐπαγγελλομένων καὶ διαψευσα-
μένων ἤδη πεπείραμαι. πλὴν δυσωπεῖ με καὶ εἰς ἐλπίδας ἄγει ἡ σὴ
ὑπόσχεσις. δέδοικα δὲ ἐνθυμούμενος μὴ ἄρα οἱ δαίμονες τοῖς μάγοις
ἐνίοτε πρὸς τὰ κελευόμενα οὐχ ὑπείκουσιν. καὶ ὁ Ἀππίων ἔφη·
Ταῦτα ἐμοὶ σοῦ μᾶλλον συγχώρει εἰδέναι. πλὴν ἵνα μὴ δοκῇς πρὸς ὃ
ἔφης, μηδὲν ἀκηκοέναι παρ' ἐμοῦ, μάθε πῶς ἀνάγκην ἔχουσιν οἱ δαί-
μονες τοῖς μάγοις ὑπείκειν περὶ ὧν κελεύονται. ὡς γὰρ ἀδύνατόν ἐστιν
στρατιώτην ἀντειπεῖν τῷ ἡγουμένῳ, αὐτοῖς τε τοῖς ἡγουμένοις οὐχ οἷόν
τε παρακοῦσαι βασιλέως (εἰ γάρ τις ἀντερεῖ τοῖς ἐφεστηκόσιν, πάντως
τιμωρίας ἀξιοῦται), οὕτως ἀδύνατόν ἐστιν τοὺς δαίμονας μὴ ὑπουργεῖν
τοῖς αὐτῶν ἡγουμένοις ἀγγέλοις. καθ' ὧν ὁρκιζόμενοι φρίττοντες εἴκου-

σιν, εὖ εἰδότες ὅτι ἀπειθήσαντες πάντως κολάζονται. ἀλλὰ καὶ αὐτοὶ οἱ ἄγγελοι κατὰ τοῦ κρείττονος ὑπὸ μάγων ὁρκιζόμενοι ὑπείκουσιν, μή-
πως ἀπειθείας κριθέντες ἀπόλωνται. εἰ γὰρ μὴ πάντα ἔμψυχα ὄντα καὶ
λελογισμένα προεώρα τὴν ἐκ τοῦ κρείττονος δίκην, σύγχυσις ἂν ἐγεγόνει,
τῶν πάντων στασιαζόντων πρὸς ἄλληλα. κἀγὼ ἔφην· Οὐκοῦν ὀρθῶς ἔχει τὰ ὑπὸ ποιητῶν καὶ φιλοσόφων λεγόμενα ὡς ἐν ᾅδου αἱ ψυχαὶ τῶν ἀσεβῶν κριθεῖσαι ἐφ' οἷς ἐτόλμησαν κολάζονται, οἷον Ἰξίωνος καὶ
Ταντάλου Τιτυοῦ τε καὶ Σισύφου καὶ τῶν Δαναοῦ θυγατέρων καὶ ὅσοι ποτὲ ἄλλοι ἐνταῦθα ἠσέβησαν; καὶ πῶς, εἴγε ταῦθ' οὕτως μὴ ἔχει, δυ-
νατὸν ἂν μαγείαν ὑφεστάναι; τοῦ δὲ εἰπόντος οὕτω τὰ ἐν ᾅδου ἔχειν, ἐγὼ ἐπυθόμην· Διὰ τί δὴ καὶ αὐτοὶ μαγείαν οὐ πεφοβήμεθα, ἐπὶ μοιχείας
πεπεισμένοι τὴν ἐν ᾅδου δίκην; μαγείᾳ γὰρ βιάσασθαι τὴν μὴ θέλουσαν
οὐ συντίθεμαι εἶναι δίκαιον. εἰ δέ τις αὐτὴν πείθειν ἐπαγγέλλεται, πρὸς
τοῦτο μετὰ τοῦ καὶ χάριν ὁμολογεῖν ἑτοίμως ἔχω. καὶ ὁ Ἀππίων ἔφη· Οὐ δοκεῖ σοι ταὐτὸν εἶναι, εἴτε μαγείᾳ αὐτῆς ἐπιτύχοις εἴτε πείσας λόγοις; κἀγὼ ἔφην· Οὐ πάντως ὅμοιον· πολὺ γὰρ ἀφέστηκεν ἀλλήλων ἑκάτερον· ὁ μὲν γὰρ ἄκουσαν γυναῖκα τῇ τῆς μαγείας βίᾳ ἐπαναγκάσας
ὡς ἐπιβουλεύσας σώφρονι χαλεπωτάτην ὑπέχει τὴν δίκην, ὁ δὲ λόγῳ πείσας καὶ ἐπὶ τῇ αὐτῆς ἐξουσίᾳ καὶ βουλῇ ποιησάμενος τὴν αἵρεσιν οὐκ
ἐβιάσατο. ἧττον δὲ οἶμαι κολασθήσεσθαι τὸν πεπεικότα τοῦ βιασα-
μένου· τοιγαροῦν εἰ μὲν πεῖσαι δύνασαι, χάριν ἕξω ἐπιτυχών, ἄλλως δὲ ἥδιόν μοι τεθνάναι μᾶλλον ἢ τὴν μὴ βουλομένην βιαίως ἐπαναγκά-
σαι. καὶ ὁ Ἀππίων ἀληθῶς διαπορῶν ἔφη· Τί με χρὴ πρὸς σὲ λέγειν; ποτὲ μὲν γὰρ ὡς ὑπὸ ἔρωτος ἐνοχλούμενος εὔχῃ ἐπιτυχεῖν, ποτὲ δὲ ὡς οὐκ ἐρῶν τῆς ἐπιθυμίας προτιμᾷς τὸν φόβον. καὶ οἴει πείσας μὲν ὡς ἀνα-
μάρτητος ἔσεσθαι ἀνεύθυνος, βίᾳ δὲ τῇ τῆς μαγείας ἐπιτυχὼν ὑφέξειν δίκην. ἀλλ' ἀγνοεῖς ὡς τὸ τέλος παντὸς πράγματος κρίνεται ὅτι γέγονεν,
οὐ τὸ πῶς γέγονεν δοκιμάζεται. καὶ σὺ δὲ ἐὰν μοιχεύσῃς οὐ δήπου μα-
γείᾳ μὲν δυνηθεὶς ὡς ἀσεβήσας κριθήσῃ, πείσας δὲ τῆς κατὰ τὴν μοι-
χείαν ἁμαρτίας ἀπολυθήσῃ; κἀγὼ ἔφην· Διὰ τὸ ἐρᾶν πάντως μοι προ-

κειμένου τυχεῖν τῆς ἐρωμένης, ἀνάγκη μέν μοι ἑλέσθαι θάτερον, αἱρήσομαι δέ, εἰ οἷόν τε, κολακεῦσαι μᾶλλον ἢ μαγεῦσαι. ἀλλ' οὐδὲ κολακείᾳ πείθειν αὐτὴν ῥᾴδιον· πάνυ γάρ ἐστιν ἡ γυνὴ φιλόσοφος. καὶ ὁ Ἀππίων ἔφη· Ταύτῃ μᾶλλον εὔελπίς εἰμι πείσειν αὐτὴν δυνήσεσθαι ὡς αὐτὸς θέλεις, εἴπεργε προσομιλῆσαι αὐτῇ δυνάμεθα. κἀγὼ ἀπεκρινάμην· Ἀδύνατον. καὶ ὁ Ἀππίων ἐπύθετο, εἰ ἐπιστεῖλαι αὐτῇ δυνατόν ἐστιν. κἀγὼ ἔφην· Δυνατὸν τοῦτό γε. καὶ ὁ Ἀππίων ἔφη· Ἔτι τῇ νυκτὶ ταύτῃ συνγράψω βιβλίον, μοιχείας ἐγκώμιον, ὅπερ σὺ παρ' ἐμοῦ λαβὼν
διαπέμψεις αὐτῇ, καὶ ἐλπίζω ὅτι πεισθεῖσα συνθήσεται. καὶ συγγράψας
ὁ Ἀππίων ἐκεῖνο τὸ βιβλίον ἐδίδου ἐμοί, περὶ οὗ καὶ ἐν τῇ νυκτὶ ταύτῃ ἐνενόησα καὶ εὐκαίρως ἔχειν αὐτὸ ὑπεμνήσθην σὺν ἄλλοις βιβλίοις οἷς
μεθ' ἑαυτοῦ ἐπιφέρομαι. διηγησάμενος δὲ ταῦτα ἔδειξα τοῖς παροῦσι τὸ βιβλίον καὶ βουλομένοις ἐπακοῦσαι ἀνέγνων καὶ δὴ ἀναγνοὺς ἔφην·
Αὕτη ἐστίν, ἄνδρες, ἡ τῶν Ἑλλήνων παιδεία, γενναίαν ὑπόθεσιν ἔχουσα
πρὸς τὸ ἀδεῶς ἐξαμαρτάνειν. τὸ δὲ βιβλίον ἦν οὕτως ἔχον·

Ὁ ἐρῶν τῇ ἐρωμένῃ (ἀνωνύμως διὰ τοὺς ἐκ τῶν ἀνοήτων ἀνθρώπων νόμους) ἐπιταγαῖς Ἔρωτος τοῦ πάντων πρεσβυτάτου παιδὸς χαίρειν. ἔγνων
σε φιλοσοφίᾳ προσανέχουσαν καὶ ἀρετῆς ἕνεκα τὸν τῶν κρειττόνων ζη-
λοῦσαν βίον. τίνες δὲ ἂν εἶεν κρείττονες ἢ θεοὶ μὲν ἁπάντων, ἀνθρώπων
δὲ οἱ φιλόσοφοι; οὗτοι γὰρ μόνοι ἴσασιν τῶν ἔργων ποῖα μέν ἐστιν φύσει
κακὰ ἢ καλά, ποῖα δὲ τῇ τῶν νόμων θέσει οὐκ ὄντα νομίζεται. αὐτίκα γοῦν τὴν λεγομένην μοιχείαν πρᾶξίν τινες ὑπειλήφασιν εἶναι κακήν, καίτοι καλὴν κατὰ πάντα ὑπάρχουσαν· εἰς γὰρ τὴν τοῦ βίου πολυγονίαν
ἐπιταγαῖς Ἔρωτος γίνεται. Ἔρως δέ ἐστιν ὁ πάντων θεῶν πρεσβύτατος·
ἄνευ γὰρ δὴ Ἔρωτος οὐ στοιχείων, οὐ θεῶν, οὐκ ἀνθρώπων, οὐ ζόων ἀλόγων, οὐ τῶν λοιπῶν ἁπάντων μίξις ἢ γένεσις γενέσθαι δύναται. πάντες
γάρ τοι ὄργανά ἐσμεν τοῦ Ἔρωτος. αὐτὸς δὲ ὁ δι' ἡμῶν τεχνίτης, παντὸς

τοῦ γεννωμένου ψυχαῖς ἐπιδημῶν, ἐστὶ νοῦς. ὅθεν οὐκ αὐτοὶ θέλοντες,
ἀλλ' ὅταν ὑπ' αὐτοῦ κελευσθῶμεν, τὸ ἐκείνου βούλημα ποιεῖν ἐπιθυμοῦ-
μεν. εἰ δ' ἐκείνου βουλῇ ἐπιθυμοῦντες χάριν τῆς λεγομένης σωφροσύ-
νης κρατεῖν τῆς ἐπιθυμίας ἐπιχειρήσομεν, πῶς τῷ πάντων πρεσβυτάτῳ
θεῶν τε καὶ ἀνθρώπων ἀντιπράττοντες οὐ τὰ μέγιστα ἀσεβήσομεν; ἀλλὰ
πᾶσαι μὲν ἀνεόχθωσαν αὐτῷ θύραι, πάντες δὲ μοχθηροὶ καὶ θετοὶ λυέ-
σθωσαν νόμοι, ζηλοτύποις ἀνθρώποις κείμενοι, οἵτινες ὑπὸ ἀνοίας κρατού-
μενοι καὶ τὸ εὔλογον νοεῖν μὴ βουλόμενοι, προσέτι δὲ καὶ τοὺς λεγομέ-
νους μοιχοὺς ὑφορώμενοι, ὑπ' αὐτοῦ τοῦ Διὸς διά γε τοῦ Μίνωος καὶ τοῦ
Ῥαδαμάνθυος εὐλόγως θετοῖς παίζονται νόμοις. Ἔρωτα γὰρ ἐπιδημήσαντα
ψυχαῖς οὐκ ἔστιν ἐπισχεῖν. οὐ γάρ ἐστιν ἑκούσιον τὸ τῶν ἐρώντων πά-
θος. αὐτίκα γοῦν ὁ Ζεὺς αὐτὸς ὁ τούτων νομοθέτης μυρίαις συνῆλθεν
γυναιξίν, καὶ ὑπ' ἐνίων μὲν σοφῶν ἀνδρῶν εὐεργέτης πρὸς τεκνοποιίαν
ἐνοήθη τὴν αὐτοῦ μίξιν ἀνθρώποις δωρούμενος, παρ' οἷς δὲ ἐπὶ τῇ
χάριτι ἠπίστατο ἀγνοούμενος, μετεμορφοῦτο τὴν ἰδέαν, ἵνα μήτε αὐτοὺς
λυπῇ μήτε τοῖς ὑπ' αὐτοῦ τεθεῖσιν νόμοις ἀντιπράττειν δοκῇ. δεῖ οὖν
τῇ φιλοσοφίᾳ προσανέχουσαν καλοῦ βίου χάριν μιμεῖσθαι τοὺς ὁμολο-
γουμένους κρείττονας, ὧν αἱ μίξεις μυρίαι γεγόνασιν. καὶ ὑπὲρ τοῦ
μὴ τὸν χρόνον παραναλίσκειν μάτην εἰς τὰς ἀποδείξεις τὰς πλείονας, ἀπ'
αὐτοῦ τοῦ Διὸς τοῦ πατρὸς θεῶν τε καὶ ἀνθρώπων ἄρξομαι τὰς ἐνίων
μηνύειν κοινωνίας· πασῶν γὰρ ὑπομνησθῆναι διὰ τὸ πλῆθος ἀδύνατον.
ἄκουε τοίνυν αὐτοῦ τοῦ μεγάλου Διὸς διὰ τὴν τῶν ἀνοήτων ἀνδρῶν
ζηλοτυπίαν τὰς διὰ τῆς μεταμορφώσεως λανθανούσας κοινωνίας. ἐν
πρώτοις γὰρ τῆς ἀδιαφόρου μίξεως τὴν ὑπονοουμένην τῆς μοιχείας ἁμαρ-
τίαν σοφοῖς λῦσαι θέλων, ὁπότε ἔμελλεν γαμεῖν καὶ ὡς ἐπὶ πρώτῃ

εὐνῇ κατὰ τοὺς πολλοὺς μοιχὸς εἰδὼς οὐ γινόμενος, διὰ τῆς δοκούσης (ὡς ἔφην) ἁμαρτίας τὸν ἀναμάρτητον γάμον ἐπορίσατο. ἀδελφὴν γὰρ αὐτοῦ Ἥραν οὖσαν γαμεῖ, ὁμοιωθεὶς κόκκυγος πτερῷ, ἐξ ἧς Ἥβη τε καὶ Εἰλείθυια ἐγένετο. τὴν Μῆτιν γὰρ χωρὶς τῆς πρός τινα μίξεως ἀπο-
κυίσκει, ὡς καὶ Ἥρα τὸν Ἥφαιστον. ἔτι δὲ μίγνυται ἀδελφῇ τῇ ἐξ Οὐρανοῦ καὶ Θαλάσσης αὐτῷ γενομένῃ ἀπὸ τῆς Κρόνου ἐκτομῆς, <ἐξ ἧς> Ἔρως καὶ Κύπρις, ἣν καὶ Δωδώνην λέγουσιν. μίγνυται δὲ καὶ Ἀν-
τιόπῃ τῇ Νυκτέως, σατύρῳ παρεικασμένος, ἐξ ἧς Ἀμφίων καὶ Ζῆθος γεγόνασιν. Ἀλκμήνῃ τε τῇ Ἀμφιτρύωνος γυναικὶ συνέρχεται, ὁμοιωθεὶς
Ἀμφιτρύωνι τῷ γεγαμηκότι, ἐξ ἧς Ἡρακλῆς ἐγένετο. καὶ Αἰγίνῃ τῇ Ἀσωποῦ πλησιάζει, γενόμενος ἀετός, ἐξ ἧς Αἰακὸς τίκτεται. Ἀμαλθείᾳ δὲ τῇ Φώκου ὁμοιωθεὶς ἄρκτῳ συνευνάζεται. καὶ Δανάῃ τῇ Ἀκρισίου χρυσὸς ἐπερρύη, ἐξ ἧς Περσεὺς ἀνέπτη. Καλλιστοῖ τῇ Λυκάονος ἠγριώθη
λέων, καὶ ἄλλον τίκτει Ἀρκάδα. Εὐρώπῃ τῇ Φοίνικος διὰ ταύρου συν-
ῆλθεν, ἐξ ἧς Μίνως καὶ Ῥαδάμανθυς καὶ Σαρπηδὼν ἐξέφυσαν. Εὐρυ-
μεδούσῃ τῇ Ἀχελόου μύρμηξ γενόμενος, ἐξ ἧς Μυρμιδών. Ἐρσαίου νύμφῃ γενόμενος γύψ, ἐξ ἧς οἱ ἐν Σικελίᾳ πάλαι σοφοί. εἶμα τῇ γηγε-
νεῖ ἐν Ῥόδῳ διὰ ὄμβρου συνῆλθεν, ἐξ ἧς Σπαρταῖος, Κρόνιος, Κύτος. Κασσιέπειαν ἐνύμφευσεν, ὁμοιωθεὶς τῷ γήμαντι Φοίνικι, ἐξ ἧς Ἀγχίνοος
αὐτῷ ἐξέφυ. Νεμέσει τῇ Θεστίου τῇ καὶ Λήδᾳ νομισθείσῃ κύκνος ἢ χὴν γενόμενος Ἑλένην ἐτεκνώσατο καὶ αὖθις ἀστὴρ γενόμενος Κάστορα
καὶ Πολυδεύκην ἐξέφηνεν. Λαμίᾳ ἐπεμορφώθη ἔποψ. Μνημοσύνην, αὐτὸς εἰκασθεὶς ποιμένι, Μουσῶν ἀποφαίνει μητέρα. Σεμέλην τὴν Κά-
δμου πυρσέων γαμεῖ, ἐξ ἧς Διόνυσον τελεῖ. Περσεφόνην αὐτὸς ἐκνυμ-
φεύει τὴν θυγατέρα, αὐτὸς ὁμοιωθεὶς δράκοντι, τῇ καὶ γυναικὶ τοῦ ἀδελφοῦ αὐτοῦ Πλούτωνος εἶναι νομισθείσῃ. καὶ ἄλλαις πολλαῖς καὶ δίχα μεταμορφώσεως μίγνυται, ζῆλον τῶν ἀνδρῶν οὐκ ἐχόντων ὡς ἐφ'
ἁμαρτίᾳ, ἀλλ' εὖ εἰδότων ὅτι ἀφθόνως ταῖς γυναιξὶν αὐτῶν κοινωνῶν γεννᾷ, χαριζόμενος αὐτοῖς Ἑρμεῖς, Ἀπόλλωνας, Διονύσους, Ἐνδυμίωνας
καὶ ὅσους ἄλλους εἰρήκαμεν, ἐκ μίξεως αὐτοῦ κάλλει διαπρεπεστά-
τους. καὶ ἵνα μὴ εἰς ἄπειρον ἐξήγησιν τὸν χρόνον δαπανῶ, πάντων μετὰ

Διὸς θεῶν ἀφθόνους εὑρήσεις κοινωνίας, οἱ ἀνόητοι δὲ μοιχείας λέγουσι
τῶν θεῶν μηδὲ τῶν ἀρρένων τὰς μίξεις φυλασσομένων ὡς αἰσχράς, ἀλλὰ ἐπιτηδευόντων καὶ τοῦτο ὡς εὐπρεπές. αὐτίκα γοῦν αὐτὸς ὁ Ζεὺς
Γανυμήδους ἐρᾷ, –Ποσειδῶν Πέλοπος–Ἀπόλλων Κινύρου, Ζακύνθου, Ὑακίνθου, Φόρβαντος, Ὕλα, Ἀδμήτου, Κυπαρίσσου, Ἀμύκλα, Τρωίλου, Βράγχου, Τυμναίου, Πάρου, Ποτνιέως, Ὀρφέως–Διόνυσος δὲ Ἀδώνιδος, Ἀμπέλου, Ὑμεναίου, Ἑρμαφροδίτου, Ἀχιλλέως–ὁ δὲ Ἀσκληπιὸς Ἱπολύτου–καὶ Ἥφαιστος Πηλέως–Πὰν δὲ Δάφνιδος–ὁ
δὲ Ἑρμῆς Περσέως, Χρύσου, Θέρσου, Ὀδρύσου–Ἡρακλῆς δὲ Ἀβδήρου, Δρύοπος, Ἰοκάστου, Φιλοκτήτου, Ὕλα, Πολυφήμου, Αἴμονος, Χώνου,
Εὐρυσθέως. πάντων οὖν σοι τῶν ἐπισημοτέρων θεῶν ἐκ μέρους τοὺς ἔρωτας παρεθέμην, φιλτάτη, ἵν' εἰδῇς ὅτι μόνοις ἀνθρώποις τοῖς ἀνοήτοις περὶ τούτου γίνεται ζηλοτυπία. διὸ καὶ θνητοὶ τυγχάνουσιν καὶ λυπηρῶς τὸν βίον διατελοῦσιν, ὅτι τὰ δόξαντα τοῖς θεοῖς καλὰ αὐτοὶ
διὰ τὸν αὐτῶν ζῆλον κακὰ εἶναι ἀπεφήναντο. μακαρία οὖν ἔσῃ τοῦ λοι-
ποῦ μιμουμένη θεοὺς καὶ οὐκ ἀνθρώπους. ἄνθρωποι γὰρ τὴν νομι-
ζομένην σωφροσύνην ἰδόντες σε διαφυλάσσουσαν, διὰ τὸ ἴδιον πάθος ἐπαινοῦσιν μέν, οὐκ ὠφελοῦσιν δέ· θεοὶ δὲ ἐξομοιουμένην σε ἑαυτοῖς ὁρῶντες καὶ ἐπαινέσουσιν καὶ ὠφελήσουσιν. λόγισαι γάρ μοι πόσας ἡμείψαντο ἐρωμένας, ὧν τὰς μὲν κατηστέρισαν, τινῶν δὲ καὶ τέκνα καὶ
συνεργοὺς εὐηργέτησαν. αὐτίκα γοῦν Ζεὺς κατηστέρισεν Καλλιστώ, τὴν
λεγομένην ἄρκτον μικράν, ἣν καὶ κυνὸς οὐρὰν προσαγορεύουσίν τινες. Πο-
σειδῶν Δελφῖνα διὰ τὴν Ἀμφιτρίτην ἐνέταξεν τῷ οὐρανῷ καὶ Ὠρίωνα τὸν ἐξ Εὐρυάλης τῆς Μίνω δι' Εὐρυάλην τὴν μητέρα τῶν ἄστρων κατ-
ηξίωσεν. Διόνυσος τὸν Ἀριάδνης στέφανον. Ζεὺς τὸν ἀετὸν συνεργή-
σαντα ἐπὶ τῇ Γανυμήδους ἁρπαγῇ καὶ αὐτὸν τὸν Γανυμήδην ἐν Ὑδρηχόου
τιμῇ ἔταξεν καὶ ταῦρον δι' Εὐρώπην ἐτίμησεν. ἀλλὰ καὶ Κάστορα καὶ Πολυδεύκην καὶ Ἑλένην Λήδᾳ χαριζόμενος ἐποίησεν ἀστέρας καὶ Περσέα
διὰ Δανάην καὶ Ἀρκάδα διὰ Καλλιστώ, Παρθένον τὴν καὶ Δίκην διὰ Θέμιν, Ἡρακλέα διὰ Ἀλκμήνην. καὶ οὐκέτι μηκύνω πλέον· μακρὸν δὲ

τὸ κατ' εἶδος λέγειν ὅσους ἄλλους διὰ πολλὰς ἐρωμένας εὐεργετήκασιν
οἱ θεοὶ ταῖς πρὸς ἀνθρώπους κοινωνίαις, ἃς οἱ ἀνόητοι ὡς κακὰς πράξεις
ἀπαγορεύουσιν, οὐκ εἰδότες ὅτι ἡδονή ἐστιν ἡ μεγάλη ἐν ἀνθρώποις ἀπό-
λαυσις. τί δέ; καὶ τῶν σοφῶν οἱ περιβόητοι οὐχ ἡδονὴν προκρίνουσιν
καὶ αἷς ἐβουλήθησαν ἐμίγησαν; ὧν πρῶτος ὁ τῆς Ἑλλάδος διδάσκαλος,
περὶ οὗ αὐτὸς ὁ Φοῖβος ἔφη· «Ἀνδρῶν ἁπάντων Σωκράτης σοφώτατος»,
οὐκ ἐν τῇ εὐνομωτάτῃ πόλει [τῇ Λακεδαίμονι] κοινὰς προτίθησι τὰς γυ-
ναῖκας καὶ ὑπὸ τῷ τρίβωνι τὸν καλὸν Ἀλκιβιάδην καλύπτει; καὶ ὁ Σω-
κρατικὸς δὲ Ἀντισθένης περὶ τοῦ δεῖν τὴν λεγομένην μοιχείαν μὴ ἀπο-
σείεσθαι γράφει. ἀλλὰ καὶ ὁ τούτου μαθητὴς Διογένης Λαδι οὐκ ἐπὶ
μισθῷ, τῷ φέρειν αὐτὴν ἐπ' ὤμων, δημοσίᾳ κοινωνεῖ μετὰ παρρησίας;
οὐκ Ἐπίκουρος ἡδονὴν προκρίνει; οὐκ Ἀρίστιππος μυρισθεὶς ὅλον αὐτὸν
Ἀφροδίτῃ χαρίζεται; οὐ Ζήνων ἀδιαφορεῖν αἰνισσόμενος διὰ πάντων τὸ
θεῖον εἶναι λέγει, ἵνα γνώριμον τοῖς συνετοῖς γένηται, ἵνα, ᾧ ἄν τις μιγῇ,
ὡς ἑαυτῷ μίγνυται, καὶ περισσὸν τὸ ἀπαγορεύειν τὰς λεγομένας μοιχείας
ἢ μίξεις μητρὸς ἢ θυγατρὸς ἢ ἀδελφῆς ἢ παίδων; Χρύσιππος δὲ ἐν ταῖς
ἐρωτικαῖς ἐπιστολαῖς καὶ τῆς ἐν Ἄργει εἰκόνος μέμνηται, πρὸς τῷ
τοῦ Διὸς αἰδοίῳ φέρων τῆς Ἥρας τὸ πρόσωπον. οἶδα ὅτι ταῦτα
τοῖς ἀληθείας ἀμυήτοις φοβερὰ καὶ αἴσχιστα καταφαίνεται, ἀλλ' οὐ τοῖς
Ἑλλήνων θεοῖς καὶ φιλοσόφοις, οὐ τοῖς Διονύσου καὶ Δήμητρος μυστη-
ρίοις. ἀλλ' ἐφ' ἅπασιν τούτοις (ἵνα μὴ πάντων θεῶν καὶ φιλοσόφων
τοὺς βίους λέγων παραναλίσκω τοὺς χρόνους) δύο ἔστωσάν σοι μέγιστοι
σκοποί, θεῶν μὲν Ζεύς, ἀνδρῶν δὲ φιλοσόφων Σωκράτης. τὰ δὲ λοιπὰ
ἐξ ὧν σοι γράψας ὑπέμνησα συνεῖσα ἔπεχε, μήποτε ἐραστήν σου λυπή-
σῃς· ἐπεὶ ὡς θεοῖς καὶ ἐρῶσιν τὰ ἐναντία πράξασα ἀσεβὴς κριθεῖσα τὴν

προσήκουσαν ὑφέξει τιμωρίαν· ἐὰν δὲ παντὶ ἐραστῇ ἑαυτὴν παράσχῃς,
ὡς θεοὺς μιμουμένη τῆς παρ' αὐτῶν τεύξῃ εὐεργεσίας. τὰ δὲ λοιπά,
φιλτάτη, μεμνημένη περὶ ὧν σοι ἐξέφηνα μυστηρίων, διὰ γραμμάτων
μοι τὴν σὴν δεῖξον προαίρεσιν. ἔρρωσό μοι.

Ἐγὼ τοίνυν λαβὼν τὸ βιβλίον τοῦτο παρὰ τοῦ Ἀππίωνος ὡς ὄντως
διαπέμψων αὐτὸ τῇ ἐρωμένῃ, ἐπλασάμην ὡς ἐκείνης πρὸς ταῦτα ἀντιγραψά-
σης, καὶ τῇ ὑστεραίᾳ ἐλθόντι αὐτῷ ἀπέδωκα τῷ Ἀππίωνι ὡς δῆθεν τὴν παρ'
ἐκείνης ἀντιγραφὴν οὕτως ἔχουσαν·

[Ἀντίγραφον ἐπιστολῆς πρὸς Ἀππίωνα ὡς παρὰ τῆς ἐρωμένης.] Θαυ-
μάζω πῶς ἐπὶ σοφίᾳ με ἐπαινέσας ὡς ἀνοήτῳ γράφεις. εἰς γὰρ σὸν πάθος
πεῖσαί με θελήσας ἐκ τῶν περὶ τοὺς θεοὺς μυθολογημάτων ἐποιήσω τὰ
παραδείγματα, ἔρωτα τὸν πάντων πρεσβύτατον (ὡς ἔφης) ἐπὶ πάντων θεῶν
καὶ ἀνθρώπων βλασφημῆσαι μὴ φοβηθείς, ὅπως τὴν ἐμὴν φθείρῃς ψυχὴν
καὶ τὸ ἐμὸν σῶμα περιυβρίσῃς. ἔρως γὰρ θεῶν οὐκ ἔστιν ἀρχηγέτης ὁ
ἐν ταῖς ἐπιθυμίαις. εἰ γὰρ ἑκὼν ἐπιθυμεῖ, αὐτός ἐστιν ἑαυτοῦ πάθος καὶ
κόλασις, καὶ θεὸς οὐκ ἂν εἴη ὁ πάσχων ἑκών· εἰ δὲ ἄκων ἐρᾷ τῆς μίξεως καὶ τὰς
ἡμετέρας διερχόμενος ψυχὰς ὥσπερ δι' ὀργάνων τῶν ἡμετέρων σωμάτων εἰς
τὰς τῶν νοητῶν φέρεται συνουσίας, ὁ τοῦτον ἐρᾶν ποιῶν καὶ φέρων μείζων
αὐτοῦ τυγχάνει· καὶ πάλιν αὐτοῦ ἐκείνου τοῦ φέροντος ἑτέρῳ πόθῳ φερο-
μένου, μείζων ἄλλος ὁ φέρων ἐκεῖνον εὑρίσκεται καὶ εἰς ἀπέραντον ἐπανα-
φορὰ τῶν ἐρώντων γίνεται, ὅ ἐστιν ἀδύνατον. οὕτως οὐκ ἔστιν οὔτε ὁ φέρων
οὔτε ὁ φερόμενος, ἀλλ' αὐτοῦ τοῦ ἐρῶντος τὸ ἐπιθυμητικόν ἐστιν πάθος,
ἐλπίδι αὐξόμενον καὶ ἀπογνώσει μειούμενον. οἱ δὲ κρατεῖν αἰσχρᾶς
ἐπιθυμίας μὴ βουλόμενοι τῶν θεῶν καταψεύδονται, ἵνα περὶ ὧν πράττου-

σιν τοὺς θεοὺς ὡς προτέρους δράσαντας ὑποδεικνύντες ἀπαλλάσσωνται
τῆς μέμψεως. εἰ γὰρ παιδοποιίας ἕνεκεν καὶ οὐκ ἀσελγείας οἱ λεγόμενοι
θεοὶ τὰς μοιχείας ἐπετέλουν, τί καὶ τοῖς ἄρσεσιν ἐμίγνυντο; ἀλλὰ χα-
ριζόμενοι (φησίν) ταῖς ἐρωμέναις κατηστέριζον αὐτάς. οὐκοῦν πρὸ τούτου
οὐκ ἦσαν ἀστέρες, μέχρις ὅτε ἀσελγείας προφάσει ὑπὸ μοιχῶν ὁ οὐρα-
νὸς ἄστροις ἐκοσμήθη; πῶς δὲ καὶ οἱ τῶν κατηστερισμένων ἔκγονοι ἐν
ᾅδου κολάζονται, ὅ τε Ἄτλας βαρούμενος καὶ ὁ Τάνταλος δίψῃ ἀνιώμε-
νος καὶ ὁ Σίσυφος ἐρείδων πέτραν, Τιτυὸς τὰ σπλάγχνα διορυττόμενος,
Ἰξίων περὶ τροχὸν ἀπαύστως κυλινδούμενος; πῶς δὲ καὶ οἱ ἐρασταί,
θεοὶ ὄντες, οὓς ἐμίαναν κατηστέριζον, ἑαυτοῖς τοῦτο μὴ χαρισάμενοι; οὐκ
ἄρα ἦσαν θεοί, ἀλλὰ τυράννων αἰνίγματα. Κρόνου γὰρ ἐν τοῖς Καυκασίοις
ὄρεσιν (οὐκ ἐν οὐρανῷ ἀλλ' ἐν γῇ) τάφος τις δείκνυται, ἀνδρὸς
ἀγρίου καὶ τεκνοβόρου. ἀλλὰ καὶ τοῦ ἀσελγοῦς Διός, τοῦ μυθικοῦ,
τοῦ ὁμοίως τὴν θυγατέρα Μῆτιν καταπιόντος, ἐν Κρήτῃ θεωρεῖται
τάφος. καὶ ἐν τῇ Ἀχερουσίᾳ δὲ λίμνῃ Πλούτωνος καὶ Ποσειδῶνος <ἐν
Τήνῳ>, Ἡλίου δὲ ἐν Ἄτροις καὶ Σελήνης ἐν Κάρραις, Ἑρμοῦ δὲ ἐν Ἑρ-
μουπόλει, Ἄρεως ἐν Θρᾴκῃ, Ἀφροδίτης ἐν Κύπρῳ, Διονύσου ἐν Θήβαις
καὶ τῶν ἄλλων ἐν ἄλλοις τόποις. πλὴν φαίνονται αὐτῶν τῶν λεχθέν-
των θεῶν οἱ τάφοι· ἄνθρωποι γὰρ ἦσαν καὶ ταῦτα μοχθηροὶ καὶ μάγοι.
οὐδὲ γὰρ ἄλλως μονοκράτορες ἐγεγόνεισαν (Ζεὺς λέγω ὁ μυθικὸς καὶ
Διόνυσος), εἰ μὴ τῇ μεταμορφώσει ὧν ἤθελον ἐπεκράτουν εἰς ὅπερ αὐ-
τοὶ ἤθελον. εἰ δὲ τούτων δεῖ ζηλοῦν τοὺς βίους, μὴ μόνον τὰς μοιχείας,
ἀλλὰ καὶ τὰς τραπέζας αὐτῶν μιμώμεθα. ὁ γὰρ Κρόνος τὰ αὐτοῦ
τέκνα κατέπιεν καὶ Ζεὺς ὁμοίως τὴν αὐτοῦ θυγατέρα. καὶ τί δεῖ
λέγειν; Πέλοψ πάντων θεῶν δεῖπνον ἐγένετο. ὅθεν καὶ ἡμεῖς πρὸ τῶν
ἀθεμίτων γάμων ὅμοιον δεῖπνον τοῖς θεοῖς ἐπιτελέσωμεν. οὕτω γὰρ
ἂν εἴη τὸ δεῖπνον τῶν γάμων ἄξιον. ἀλλὰ τοῦτο οὐκ ἂν ὑποσταίης
ποτέ, ὡς οὐδὲ ἐγὼ τὸ μοιχήσασθαι. πρὸς τούτοις δέ μοι ἔρωτος ὡς
δυνατοῦ θεοῦ ἀπειλεῖς χόλον. ἔρως θεὸς οὐκ ἔστιν οἷος δοκεῖ, ἀλλ' ἐκ
τῆς τοῦ ζόου κράσεως πρὸς διαδοχὴν τοῦ βίου κατὰ πρόνοιαν τοῦ τὰ

πάντα ἐνεργήσαντος συμβαίνουσα ἐπιθυμία, ἵνα τὸ πᾶν γένος μηδεπώ-
ποτε ἐπιλείπῃ, ἀλλὰ προφάσει ἡδονῆς ἐκ τῆς τοῦ μέλλοντος τελευτᾶν
οὐσίας πάλιν ἄλλος γένηται, νομίμῳ προεκπεφυκὼς γάμῳ, ὅπως πρὸς
τὸ γηροτροφεῖν τὸν αὐτοῦ πατέρα γνώσῃ· ὅπερ ποιεῖν οἱ ἐκ μοιχείας
γεγονότες οὐκ ἂν ἐδύναντο, φύσιν στοργῆς πρὸς τοὺς γεννήσαντας οὐκ
ἔχοντες. ἐπεὶ οὖν διαδοχῆς ἕνεκεν καὶ γνησίας ἐπαυξήσεως, ὡς ἔφην,
ἡ ἐπιθυμία συμβαίνει ἡ ἐρωτική, χρὴ τοὺς γονεῖς, σωφροσύνης
προνοουμένους, τοὺς αὐτῶν παῖδας πρὸ τῆς ἐπιθυμίας διὰ τῶν σωφρονι-
ζόντων βιβλίων προπαιδεύειν καὶ τοῖς κρείττοσιν αὐτοὺς προεθίζειν λό-
γοις (ὅτι δευτέρα φύσις ἡ συνήθεια), πρὸς τούτοις δὲ πυκνῶς αὐτοὺς τὰς
κολάσεις ὑπομιμνήσκειν τὰς ἐκ τῶν νόμων, ἵνα ὥσπερ χαλινῷ τῷ φόβῳ
χρώμενοι ταῖς ἀτόποις μὴ συντρέχωσιν ἡδοναῖς. προσήκει δὲ καὶ
πρὸ τοῦ τὴν ἐπιθυμίαν ἐπακμάσαι γάμῳ τὸ φυσικὸν τῆς ἡλικίας πληρο-
φορεῖν πάθος, πρότερον πείσαντας εἰς εἶδος ἑτέρας γυναικὸς μὴ ἀτενί-
ζειν. ὁ γὰρ νοῦς ἡμῶν, ὁπόταν τὰ πρῶτα τῇ τέρψει τὸ εἶδος τῆς ἐρωμέ-
νης ἀπομάξηται, ὥσπερ ἐν κατόπτρῳ ἐνορῶν ἀεὶ τὴν μορφὴν διὰ τῆς μνήμης
βασανίζεται· καὶ μὴ τυγχάνων μὲν τῆς ἐπιθυμίας, τῆς ἐπιτυχίας μελετᾷ
τὰς ὁδούς, ἐπιτυχὼν δὲ μᾶλλον αὔξεται, ὥσπερ τὸ πῦρ τῆς ὕλης εὐπο-
ροῦν, καὶ μάλισθ' ὅταν τῇ ψυχῇ τοῦ ἐρῶντος πρὸ τοῦ πάθους προεν-
τετυπωμένος μὴ προϋπάρξῃ φόβος. ὡς γὰρ ὕδωρ πῦρ κατασβέννυσιν,
οὕτως καὶ φόβος τῆς ἀλόγου ἐπιθυμίας ἐστὶ σβεστήριος. ὅθεν ἐγὼ ἔκ
τινος Ἰουδαίου τὰ θεῷ πρέποντα καὶ νοεῖν καὶ ποιεῖν ἐκμαθοῦσα, εὐ-
άλωτος πρὸς μοιχείαν ὑπὸ ψευδῶν μύθων οὐ γίνομαι. θέλοντι δέ σοι
καὶ σπουδάζοντι σωφρονεῖν, φλεγμαινούσῃ ψυχῇ πρὸς ἔρωτα βοηθοίη
θεὸς καὶ τὴν ἴασιν παράσχοι.
Ἐπακούσας δὲ ὁ Ἀππίων τῆς ὑποκρίτου ἀντιγραφῆς ἔφη· Μήτι
ἀλόγως Ἰουδαίους μισῶ; νῦν γοῦν ταύτην τίς ποτε συντυχὼν Ἰουδαῖος
καὶ εἰς τὴν θρησκείαν μεταγαγὼν ἀνέπεισε σωφρονεῖν, καὶ ἀδύνατόν
ἐστιν

τοῦ λοιποῦ αὐτὴν εἰς κοινωνίαν ἑτέρου τινὸς συνελθεῖν, ὅτι οἱ τοιοῦτοι
τὸν θεὸν ὡς παντεπόπτην τῶν πράξεων προθέμενοι σφόδρα σωφρονεῖν
ἐνκαρτεροῦσιν ὡς λαθεῖν μὴ δυνάμενοι. ταῦτα ἀκούσας ἔφην τῷ Ἀππίωνι·
Νῦν σοι τὰ ἀληθῆ ὁμολογήσω. ἐγὼ γυναικὸς οὐκ ἠράσθην οὐδὲ ἄλλου
τινός, πάνυ μου τῆς ψυχῆς δεδαπανημένης πρὸς ἄλλας ἐπιθυμίας καὶ
πρὸς ἀληθῶν δογμάτων εὕρεσιν· καὶ μέχρι τοῦ νῦν πολλὰς γνώμας φιλο-
σόφων διασκοπήσας πρὸς οὐδένα αὐτῶν ἔνευσα ἢ πρὸς τὸ Ἰουδαίων μόνον,
ἐμπόρου τινὸς αὐτῶν ὀθόνας πιπράσκοντος ἐνταῦθα τῇ Ῥώμῃ ἐπιδεδημη-
κότος καὶ ἔκ τινος συντυχίας ἀγαθῆς ἁπλούστερόν μοι τὸ μοναρχικὸν φρόνη-
μα παραθεμένου. ἀκούσας δέ μου τῆς ἀληθείας ὁ Ἀππίων, ὁ ἀλόγως
μισῶν τὸ Ἰουδαίων καὶ τί ποτέ ἐστιν αὐτῶν τὸ πιστὸν οὔτε εἰδὼς οὔτε
εἰδέναι θέλων, ἀκρίτως ὀργισθεὶς τῇ σιωπῇ ἐξ αὐτῆς ἤδη τῆς Ῥώμης ἀπηλ-
λάσσετο, καὶ ἔκτοτε νῦν πρῶτον αὐτῷ συντετυχηκὼς τὸν ἐξ ἐκείνου τοῦ χρό-
νου θυμὸν ὑποπτεύω εἰκότως. πλὴν ἐφ' ὑμῶν αὐτοῦ πεύσομαι τί ἂν ἔχοι
λέγειν περὶ τῶν λεγομένων θεῶν, ὧν οἱ βίοι παντοπαθεῖς εἶναι μυθολο-
γούμενοι, πρὸς τὴν τοῦ ὁμοίου μίμησιν ἐπίτηδες °δονται δημοσίᾳ,
ὧν πρὸς τοῖς ἀνθρωπίνοις πάθεσιν (ὡς ἔφην) καὶ οἱ κατὰ τόπον δείκ-
νυνται τάφοι.

Ταῦτα οἱ ἑταῖροι προακούσαντες ἐμοῦ καὶ μαθεῖν τὰ ἑξῆς ποθοῦντες
συνῆλθόν μοι ὡς ἐπισκεψόμενοι Ἀππίωνα. καὶ δὴ λελουμένον αὐτὸν ἤδη
κατελαμβάνομεν ἐφ' ἑτοίμῳ τραπέζῃ, διόπερ ὀλίγα ἠκριβολογησάμεθα εἰς
τὸν περὶ θεῶν λόγον. ὁ δέ (οἶμαι) συνεὶς ἡμῶν τὴν προαίρεσιν, εἰς τὴν
ἐπιοῦσαν ἔχειν τι εἰπεῖν ὑπέσχετο περὶ θεῶν καὶ τὸν αὐτὸν προεδήλωσεν
ἡμῖν τόπον ὡς ἐκεῖ διαλεξόμενος. ἡμεῖς δὲ σὺν τῇ ὑποσχέσει, χάριν ὁμολογή-

σαντες αὐτῷ, οἴκαδε ἕκαστος ἀπεχωρήσαμεν.

[ΟΜΙΛΙΑ Σ.]

Τρίτῃ δὲ ἡμέρᾳ εἰς τὸ προωρισμένον τῆς Τύρου χωρίον σὺν τοῖς οἰκειοτάτοις ἐλθὼν ἔγωγε εὑρίσκω τὸν Ἀππίωνα, Ἀννουβίωνός τε καὶ Ἀθηνοδώρου καθεζόμενον μέσον καὶ μετὰ πολλῶν ἄλλων τῶν ἐκ παιδείας ἀνδρῶν ἡμᾶς ἀναμενόντων. καὶ ὅμως οὐδὲν καταπλαγεὶς προσαγορεύσας ἀντικαθέζομαι τῷ Ἀππίωνι, ὃς μετ' οὐ πολὺ λέγειν ἤρξατο· Βούλομαι πρῶτος ἀρξάμενος ἐντεῦθεν ἤδη ταχέως ἐλθεῖν ἐπὶ τὸ ζητούμενον. πρὸ τοῦ σε, τέκνον Κλήμης, ἡμῖν παρεῖναι, Ἀννουβίων οὗτος καὶ Ἀθηνόδωρος, οἱ χθὲς ἅμα τοῖς ἄλλοις ἐπακούσαντές σου διαλεγομένου, ἀφηγήσαντό μοι, πῶς ἐν τῇ Ῥώμῃ συνερχόμενός σοι ὡς ἐρῶντι πολλὰ τῶν θεῶν κατεψευσάμην, εἰπὼν αὐτοὺς παιδεράστας, ἀσελγεῖς, μιγνυμένους μητράσιν ἀδελφαῖς θυγατράσιν καὶ μυρίαις μοιχείαις ἐνεχομένους. ἀλλ' ἐχρῆν σε, ὦ τέκνον, εἰδέναι ὅτι μὴ τοιαῦτα περὶ θεῶν φρονῶν ἔγραφον, ἀλλὰ στοργῇ τῇ πρὸς σὲ τὰ ἀληθῆ λέγειν ἀπεκρυπτόμην, ἅπερ, εἰ νῦν ἐθέλεις, παρ' ἐμοῦ ἄκουσον.

Τῶν πάλαι ἀνδρῶν οἱ σοφώτατοι, πᾶσαν ἀλήθειαν αὐτοὶ καμάτῳ μεμαθηκότες, τοὺς ἀναξίους καὶ μὴ ὀρεγομένους θείων μαθημάτων ἀπεκρύψαντο τὴν ἐπιστήμην λαβεῖν. οὔτε γὰρ ἀπ' Οὐρανοῦ καὶ τῆς μητρὸς αὐτοῦ Γῆς γεγόνασιν παῖδες δώδεκα, ὡς ὁ μῦθος καταριθμεῖ· ἄρρενες μὲν Ὠκεανός, Κοῖος, Κρῖος, Ὑπερίων, Ἰαπετός, Κρόνος· θήλειαι δὲ Θεία, Θέμις, Μνημοσύνη, Δημήτηρ, Τηθύς, Ῥέα· οὔτε τῇ ἐξ ἀδάμαντος ἅρπῃ τὰ αἰδοῖα Κρόνος Οὐρανοῦ τοῦ πατρὸς ἐκτεμών (ὥς φατε) εἰς βυθὸν ἀπέρριψεν. ἀλλ' οὐδ' ἐκ τῆς ἀποτομῆς τοῦ Οὐρανοῦ σταγόνων ῥυέντος αἵματος ἡ Ἀφροδίτη ἐγένετο

οὐδ' αὖ Κρόνος τῇ Ῥέᾳ μιγεὶς καὶ γεννήσας Πλούτωνα πρῶτον κατέπιεν,
διά τινα Προμηθέως θεσμὸν, δεδιὼς μήποτε γεννηθὲν ἐξ αὐτοῦ βρέφος
γενναιότερον αὐτοῦ γενόμενον ἀφέληται αὐτὸν τῆς βασιλείας. οὐ τὸν Πο-
σειδῶνα δεύτερον γεννήσας ὁμοίως κατέπιεν. οὐ μετὰ τούτους τὸν Δία
γεννηθέντα ἡ μήτηρ κατακρύψασα ἡ Ῥέα ἀπαιτήσαντι τῷ Κρόνῳ κατα-
πιεῖν λίθον ἀντέδωκεν. οὐ καταποθεὶς τοὺς προκαταποθέντας θλίψας
ἐξῶσεν, ὡς προελθεῖν πρῶτον μὲν τὸν πρῶτον καταποθέντα Πλούτωνα,
ἐπ' αὐτῷ δὲ Ποσειδῶνα [καὶ τρίτον τὸν Δία]. οὐδέ γε (ὥς φασιν) μητρὸς
προνοίᾳ διασωθεὶς ὁ Ζεὺς καὶ εἰς οὐρανὸν ἀναβάς, τὸν πατέρα τῆς βασι-
λείας καθεῖλεν. οὐ πατρὸς ἀδελφοὺς ἐκόλασεν. οὐκ εἰς πόθον γυναικῶν
θνητῶν κατῆλθεν. οὐκ ἀδελφαῖς ἢ θυγατράσιν, οὐκ ἀδελφῶν γυναιξίν,
οὐ παισὶν αἰσχρῶς συνεγένετο. οὐδὲ Μῆτιν γεννήσας κατέπιεν, ἵνα ἀπ'
ἐνκεφάλου μὲν τὴν Ἀθηνᾶν ἀναφύσῃ ἐκ τῆς Μήτιδος, ἐκ δὲ τοῦ
μηροῦ τὸν Διόνυσον τέκῃ, ὃν ὑπὸ Τιτάνων ἐσπαράχθαι λέγουσιν. οὐ
δεῖπνον ἐπὶ τῷ Θέτιδος καὶ Πηλέως γάμῳ συντελεῖ. οὐ τὴν Ἔριν τῶν
γάμων ἀπεώσατο. οὐχ αὕτη ἡ Ἔρις ἀτιμασθεῖσα μάχην καὶ στάσιν τοῖς
ἑστιωμένοις ἐπενόησεν. οὐ μῆλον χρύσεον ἐκ τῶν Ἑσπερίδων κήπων
λαβοῦσα ἐπέγραψεν «Δῶρον τῇ καλῇ». ἔπειτα μυθολογοῦσιν ὡς Ἥρα
τε καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη εὑρίσκουσι τὸ μῆλον καὶ φιλονεικοῦσαι
ἔρχονται πρὸς τὸν Δία· αἷς αὐτὸς μὲν οὐκ ἔκρινεν, δι' Ἑρμοῦ δὲ πρὸς
τὸν ποιμένα Πάριν κριθησομένας περὶ κάλλους ἐξέπεμψεν. ἀλλ' οὔτε
ἐκρίθησαν θεαὶ οὔτε ὁ Πάρις τῇ Ἀφροδίτῃ τὸ μῆλον ἀπέδωκεν. οὐκ
Ἀφροδίτη τιμηθεῖσα τῷ τῆς Ἑλένης αὐτὸν ἀντετίμησεν γάμῳ. οὐ γὰρ
ἂν τῇ τῆς θεᾶς τιμῇ πρόφασις ἐγίνετο παμφύλου πολέμου καὶ ταῦτα ἐπ'
ὀλέθρῳ τοῦ τὴν τιμὴν ἀπειληφότος καὶ ἀγχιστεύοντος τῷ τῆς Ἀφροδίτης
γένει. ἀλλά (ὡς ἔφην), ὦ τέκνον, ἔχει τινὰ λόγον τὰ τοιαῦτα οἰκεῖον
καὶ φιλόσοφον, ἀλληγορίᾳ φρασθῆναι δυνάμενον, ὥστε σε ἀκούσαντα
θαυμάσαι. κἀγὼ ἔφην· Δέομαι μή με ἀναβαλλόμενος βασανίσῃς. καὶ

ὃς ἔφη· Μηδὲν φοβηθῇς· οὐ γὰρ ὑπερθήσομαι, ἀλλ' ἄρξομαι ἤδη λέγειν.

Ἦν ποτε ὅτε οὐδὲν <ἦν> πλὴν χάος καὶ στοιχείων ἀτάκτων ἔτι συν-
πεφορημένων μίξις ἀδιάκριτος, τοῦτο καὶ τῆς φύσεως ὁμολογούσης καὶ
τῶν μεγάλων ἀνδρῶν οὕτως ἔχειν νενοηκότων. καὶ μάρτυρα τῶν μεγά-
λων ἐν σοφίᾳ τὸν μέγιστον Ὅμηρον αὐτόν σοι παρέξομαι, εἰπόντα περὶ
τῆς ἀνέκαθεν συγχύσεως· «Ἀλλὰ ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γέ-
νοισθε», ὡς ἐκεῖθεν ἁπάντων τὴν γένεσιν ἐσχηκότων καὶ μετὰ ἀνάλυσιν
τῆς ὑγρᾶς καὶ γηίνης οὐσίας εἰς τὴν πρώτην πάλιν ἀποκαθισταμένων φύσιν,
ὅ ἐστιν χάος. Ἡσίοδος δὲ ἐν τῇ θεογονίᾳ λέγει· «Ἤτοι μὲν πρώτιστα χάος
ἐγένετο». τὸ δὲ «ἐγένετο» δῆλον ὅτι γεγενῆσθαι ὡς γενητὰ σημαίνει,
οὐ τὸ ἀεὶ εἶναι ὡς ἀγένητα. καὶ Ὀρφεὺς δὲ τὸ χάος ὡῷ παρεικάζει, ἐν ᾧ
τῶν πρώτων στοιχείων ἦν ἡ σύγχυσις. τοῦτο Ἡσίοδος χάος ὑποτίθεται,
ὅπερ Ὀρφεὺς ὠὸν λέγει γενητόν, ἐξ ἀπείρου τῆς ὕλης προβεβλημένον,
γεγονὸς δὲ οὕτω· τῆς τετραγενοῦς ὕλης ἐμψύχου οὔσης καὶ ὅλου
ἀπείρου τινὸς βυθοῦ ἀεὶ ·έοντος καὶ ἀκρίτως φερομένου καὶ μυρίας
ἀτελεῖς κράσεις [εἰς] ἄλλοτε ἄλλως ἐπαναχέοντος καὶ διὰ τοῦτο αὐτὰς ἀνα-
λύοντος τῇ ἀταξίᾳ, καὶ κεχηνότος ὡς εἰς γένεσιν ζόου δεθῆναι μὴ δυ-
ναμένου, συνέβη ποτέ, αὐτοῦ τοῦ ἀπείρου πελάγους ὑπὸ ἰδίας φύσεως
περιωθουμένου, κινήσει φυσικῇ εὐτάκτως ·υῆναι ἀπὸ τοῦ αὐτοῦ εἰς τὸ
αὐτὸ ὥσπερ ἴλιγγα καὶ μῖξαι τὰς οὐσίας, καὶ οὕτως ἐξ ἑκάστου τῶν πάν-
των τὸ νοστιμώτατον, ὅπερ πρὸς γένεσιν ζόου ἐπιτηδειότατον ἦν, ὥσπερ
ἐν χώνῃ κατὰ μέσου ·υῆναι τοῦ παντὸς καὶ ὑπὸ τῆς πάντα φερού-
σης ἴλιγγος χωρῆσαι εἰς βάθος καὶ τὸ περικείμενον πνεῦμα ἐπισπά-
σασθαι καὶ ὡς εἰς γονιμώτατον συλληφθὲν ποιεῖν κριτικὴν σύστασιν.
ὥσπερ γὰρ ἐν ὑγρῷ φιλεῖ γίνεσθαι πομφόλυξ, οὕτως σφαιροειδὲς πανταχό-
θεν συνελήφθη κύτος. ἔπειτα αὐτὸ ἐν ἑαυτῷ κυηθέν, ὑπὸ τοῦ περιειλη-

φότος θειώδους πνεύματος ἀναφερόμενον, προέκυψεν εἰς φῶς μέγιστόν
τι τοῦτο ἀποκύημα, ὡς ἂν ἐκ παντὸς τοῦ ἀπείρου βυθοῦ ἀποκεκυημένον
ἔμψυχον δημιούργημα καὶ τῇ περιφερείᾳ τῷ ὠῷ προσεοικὸς καὶ τῷ τά-
χει τῆς πτήσεως. Κρόνον οὖν τὸν χρόνον μοι νόει, τὴν δὲ Ῥέαν
τὸ ·έον τῆς ὑγρᾶς οὐσίας, ὅτι χρόνῳ φερομένη ἡ ὕλη ἅπασα ὥσπερ
ὠὸν τὸν πάντα περιέχοντα σφαιροειδῆ ἀπεκύησεν οὐρανόν· ὅπερ κατ'
ἀρχὰς τοῦ γονίμου μυελοῦ πλῆρες ἦν ὡς ἂν στοιχεῖα καὶ χρώματα παν-
τοδαπὰ ἐκτεκεῖν δυνάμενον, καὶ ὅμως παντοδαπὴν ἐκ μιᾶς οὐσίας τε
καὶ χρώματος ἑνὸς ἔφερε τὴν φαντασίαν. ὥσπερ γὰρ ἐν τῷ τοῦ ταὼ
γεννήματι ἓν μὲν τοῦ ὠοῦ χρῶμα δοκεῖ, δυνάμει δὲ μυρία ἔχει ἐν
ἑαυτῷ τοῦ μέλλοντος τελεσφορεῖσθαι χρώματα, οὕτως καὶ τὸ ἐξ ἀπείρου
ὕλης ἀποκυηθὲν ἔμψυχον ὠὸν ἐκ τῆς ὑποκειμένης καὶ ἀεὶ ·εούσης ὕλης
κινούμενον παντοδαπὰς ἐκφαίνει τροπάς. ἔνδοθεν γὰρ τῆς περιφερείας
ζῷόν τι ἀρρενόθηλυ εἰδοποιεῖται προνοίᾳ τοῦ ἐνόντος ἐν αὐτῷ θείου
πνεύματος, ὃν Φάνητα Ὀρφεὺς καλεῖ, ὅτι αὐτοῦ φανέντος τὸ πᾶν ἐξ
αὐτοῦ ἔλαμψεν, τῷ φέγγει τοῦ διαπρεπεστάτου τῶν στοιχείων πυρὸς ἐν
τῷ ὑγρῷ τελεσφορουμένου. καὶ οὐκ ἄπιστον, ὅτι καὶ ἐπὶ λαμπυρίδων
δείγματος ἕνεκα ἡ φύσις ἡμῖν ὁρᾶν ὑγρὸν φῶς ἐδωρήσατο. τὸ μὲν οὖν
πρωτοσύστατον ὠὸν ὑποθερμανθὲν ὑπὸ τοῦ ἔσωθεν ζόου ·»γνυται, ἔπειτα
δὲ μορφωθὲν προέρχεται ὁποῖόν τι καὶ Ὀρφεὺς λέγει «κρανίου σχισθέντος
πολυχανδέος ὠοῦ». καὶ οὕτω μεγάλῃ δυνάμει αὐτοῦ τοῦ προεληλυθότος
φανέντος, τὸ μὲν κύτος τὴν ἁρμονίαν λαμβάνει καὶ τὴν διακόσμησιν ἴσχει,
αὐτὸς δὲ ὥσπερ ἐπ' ἀκρωρείας οὐρανοῦ προκαθέζεται καὶ ἐν ἀπορρήτοις
τὸν ἄπειρον περιλάμπων αἰῶνα. ἡ δὲ τοῦ κύτους ἔνδοθεν γόνιμος ὑπολειφ-
θεῖσα ὕλη, ὡς ἐν πολλῷ τῷ χρόνῳ ὑποκειμένης ἕως φυσικῆς ὑποζέουσα
ἡ θερμότης τὰς πάντων διέκρινεν οὐσίας. τὸ μὲν γὰρ κατώτερον αὐτῆς

πρῶτον ὥσπερ ὑποστάθμη ὑπὸ τοῦ βάρους εἰς τὰ κάτω ὑποκεχώρηκεν, ὃ διὰ
τὴν ὁλκότητα καὶ διὰ τὸ ἐμβριθὲς καὶ πολὺ τῆς ὑποκειμένης οὐσίας πλῆθος
Πλούτωνα προσηγόρευσαν, ᾅδου τε καὶ νεκρῶν βασιλέα εἶναι ἀποφηνά-
μενοι. ταύτην μὲν οὖν τὴν πρώτην καὶ πολλήν, ·υπαρὰν καὶ τραχεῖαν οὐσίαν
ὑπὸ Κρόνου, τοῦ χρόνου, καταποθῆναι λέγουσιν φυσικῶς διὰ τὴν κάτω
ὑπονόστησιν αὐτῆς. μετὰ δὲ τὴν πρώτην ὑποστάθμην τὸ συρρυὲν ὕδωρ καὶ
πρώτῃ ἐπιπολάσαν ὑποστάσει Ποσειδῶνα προσηγόρευσαν. τὸ δὲ λοιπὸν
τρίτον τὸ καθαρώτατον καὶ κορυφαιότατον ἅτε διαυγὲς ×ν πῦρ Ζῆνα
ὠνόμασαν διὰ τὴν ἐν αὐτῷ ζέουσαν φύσιν· ἀνωφερὲς γὰρ ×ν τὸ πῦρ πρὸς μὲν
τὰ κάτω ὑπὸ χρόνου, τοῦ Κρόνου, οὐ κατεπόθη, ἀλλ' (ὡς ἔφην) ἡ πυρώδης
οὐσία ζωτική τε καὶ ἀνωφερὴς οὖσα εἰς αὐτὸν ἀνέπτη τὸν ἀέρα, ὃς καὶ
φρονιμώτατός ἐστι διὰ τὴν καθαρότητα. τῇ οὖν ἰδίᾳ θερμότητι ὁ Ζεύς
(τουτέστιν ἡ ζέουσα οὐσία) τὸ καταλειφθὲν ἐν τῷ ὑποκειμένῳ ὑγρῷ τὸ
ἰσχνότατον καὶ θεῖον ἀνιμᾶται πνεῦμα, ὅπερ Μῆτιν ἐκάλεσαν. κατὰ
κορυφῆς δὲ αὐτοῦ ἐλθὸν τοῦ αἰθέρος καὶ συνποθὲν ὑπ' αὐτοῦ, ὥσπερ
ὑγρὸν θερμῷ μιγέν, τὸν ἀεικίνητον παλμὸν ἐνποιῆσαν γεννᾷ τὴν σύνεσιν,
ἣν καὶ Παλλάδα ἐπονομάζουσιν διὰ τὸ πάλλεσθαι, τεχνικωτάτην οὖσαν
φρόνησιν, ᾗ χρώμενος τὸν πάντα ἐτεχνήσατο κόσμον ὁ αἰθέριος τεχνίτης.
ἀπ' αὐτοῦ δὲ τοῦ διήκοντος Διός (τοῦ θερμοτάτου αἰθέρος) ὁ ἀὴρ μέχρι
τῶν ἐνταῦθα διικνεῖται τόπων, ἣν ἐπονομάζουσιν Ἥραν. καὶ ὡς δὴ τῆς
τοῦ αἰθέρος καθαρωτάτης οὐσίας ὑποβεβηκυῖα, ὡς θήλεια τὴν καθαρότητα
πρὸς σύγκρισιν τοῦ κρείττονος, ἀδελφὴ Διὸς κατὰ τὸ εἰκὸς ἐνομίσθη, ὡς
ἐκ τῆς αὐτῆς οὐσίας γεγενημένη· γαμετὴ δὲ διὰ τὸ ὡς γυναῖκα ὑπο-

κεῖσθαι. παραλαμβάνεται δὲ ἡ μὲν Ἥρα πρὸς ἀέρων εὐκρασίαν, διὸ καὶ γονιμωτάτη ἐστίν· ἡ δὲ Ἀθηνᾶ, ἣν καὶ Παλλάδα λέγουσιν, διὰ τὸ ἄκρως θερμὸν γένεσίν τινος ποιῆσαι μὴ δυναμένη, παρθένος ἐνο-
μίσθη. ὁμοίως δὲ καὶ Ἄρτεμις ἑρμηνευομένη, ἣν εἰς τὸν κατώτατον μυχὸν τοῦ ἀέρος παραλαμβάνουσιν, καὶ δι' ἀκρότητα κρύους ἄγονον οὖσαν
ὁμοίως παρθένον ἐκάλεσαν. Διόνυσον δὲ ὡς φρενῶν θολωτικὸν ὀνομά-
ζουσιν τὴν ἀπὸ τῶν ἄνω τε καὶ κάτω ἀτμῶν θολερὰν καὶ μεθύουσαν σύστασιν. τὸ δὲ κατωτέρω τῆς γῆς ὕδωρ, ἓν ×ν τῇ φύσει καὶ διὰ πάν-
των τῶν χερσαίων πόρων διεῖρον καὶ εἰς πολλὰ διαιρούμενον (ὥσπερ συγκοπτόμενον), Ὄσιριν ἐκάλεσαν. λαμβάνουσι δὲ καὶ Ἄδωνιν εἰς ὡραί-
ους καρπούς, Ἀφροδίτην εἰς μίξιν καὶ γένεσιν, Δήμητρα εἰς γῆν, Κόρην εἰς σπέρματα καὶ Διόνυσόν τινες εἰς ἄμπελον. καὶ πάντα τὰ τοιαῦτα ὁμοίως τοιαύτην τινὰ ἀλληγορίαν ἔχοντα νόει μοι· Ἀπόλλωνα
δὲ ἥλιον τὸν περιπολοῦντα εἶναι νόμιζε, γονὴν ὄντα τοῦ Διός, ὃν καὶ Μίθραν ἐκάλεσαν, ἐνιαυτοῦ συμπληροῦντα περίοδον. αὗται δὲ αἱ μετα-
μορφώσεις τοῦ πανταχῆ διήκοντος Διὸς αἱ πολλαὶ νοείσθωσάν σοι τροπαί,
τὰς δὲ μυρίας αὐτοῦ γυναῖκας ἐνιαυτοὺς ἢ γενεὰς ἐπινόει. ἀπ' αὐτοῦ γὰρ
τοῦ αἰθέρος ἡ διικνουμένη τὸν ἀέρα δύναμις ἑκάστῳ ἐνιαυτῷ καὶ γενεᾷ συνουσιάζουσα διαφόρως αὐτὸν τρέπει καὶ οὕτως γεννᾷ ἢ φθείρει τὰ
ὡραῖα. καὶ παῖδες μὲν λέγονται οἱ ὡραῖοι καρποί, αἱ δὲ πρὸς τοὺς ἄρρενας
μίξεις αἱ κατ' ἐνίους καιροὺς ἀκαρπίαι.

Ταῦτα τοῦ Ἀππίωνος ἀλληγοροῦντος, σύννους ὢν ἐγὼ ἔδοξα τοῖς ὑπ'
αὐτοῦ λεγομένοις μὴ παρακολουθεῖν, διὸ τὸν λόγον ἐγκόψας ἔφη μοι· Εἰ
μὴ παρακολουθεῖς οἷς λέγω, τί καὶ τὴν ἀρχὴν διαλέγομαι; κἀγὼ ἀπεκρινά-
μην· Μή με ὑπολάμβανε ἀναισθήτως ἔχειν τῶν ὑπὸ σοῦ λεγομένων· πάνυ γὰρ αὐτὰ συνίημι, ἅτε δὴ οὐ πρῶτον αὐτῶν ἀκηκοώς. ἵνα δὲ γνῷς

ὅτι οὐκ ἀγνοῶ τὰ ὑπὸ σοῦ λεγόμενα, τὰ μὲν σοὶ ·ηθέντα ἐπιτεμοῦμαι, τῶν
δὲ παραλειφθέντων σοι κατὰ ἀκολουθίαν, ὡς παρ' ἑτέρων ἤκουσα, ἀποπληρώ-
σω τὰς ἀλληγορίας. καὶ ὁ Ἀππίων ἔφη· Ποίησον οὕτως ὡς λέγεις. κἀγὼ
ἀπεκρινάμην· Παρίημι νῦν ἐπ' ἀκριβὲς λέγειν τὸ ἐκ τῆς ἀπείρου ὕλης κατὰ
ἐπιτυχίαν κράσεως ἀποκυηθὲν ἔμψυχον ὠόν, οὗ ·αγέντος κατά τινας
ἀρρενόθηλυς ἐξέθορεν Φάνης. καὶ πάντ' ἐκεῖνα ἐπιτέμνομαι, μέχρις οὗ
τὸ ·αγὲν κύτος τὴν ἁρμονίαν ἔλαβεν, ὑπολειφθείσης αὐτοῦ μυελώδους
ὕλης, καὶ τὸν λόγον τῶν ὑπ' αὐτῆς ἔνδοθεν γενομένων ἐπὶ κεφαλαίων
μετὰ τῶν ἀκολούθων ἐπιτρέχω. ἐγεννήθη γάρ (ὡς λέγεις) ἐκ Κρόνου
καὶ Ῥέας (ὑπό τε χρόνου καὶ ὕλης) τὰ μὲν πρῶτα Πλούτων, ὡς ἡ κάτω
παραχωρήσασα ὑποστάθμη–δεύτερα δὲ Ποσειδῶν, ὃς ἡ μέση ἐστὶν
ὑγρὰ οὐσία ἐπιπολάσασα τῇ κάτω ὁλκοτάτῃ φύσει–ἡ δὲ τρίτη ἀνω-
τάτη τε καὶ αἰθὴρ οὖσα, ὅσπερ ἐστὶν Ζεύς, ἥτις οὐ κατεπόθη, ἀλλὰ
θερμὴ οὖσα ἰσχὺς καὶ ἀνωφερῆ ἔχουσα τὴν φύσιν ὥσπερ ὑπό τινος
·ιπῆς εἰς τὸν ἄνω ἡγεμονικώτατον ἀνέπτη αἰθέρα. δεσμὰ δὲ τὰ
Κρόνου ἐστὶν ἡ σύμπηξις οὐρανοῦ καὶ γῆς, ὡς καὶ ἄλλων ἀλληγορούντων
ἀκήκοα, ἡ δὲ ἀποκοπὴ τῶν μορίων ὁ τῶν στοιχείων χωρισμὸς καὶ διά-
κρισις, ὅτι πάντα ἐκ τῆς ἰδίας φύσεως ἀπετμήθη καὶ ἀφωρίσθη καθ'
ἑαυτὰ τετάχθαι ἕκαστον· καὶ οὐκέτι γεννᾷ χρόνος, ἀλλὰ τὰ γεννηθέντα
δι' αὐτοῦ νόμῳ φύσεως ποιεῖται τὰς διαδοχάς. ἡ δὲ ἐκ τοῦ βυθοῦ ἀνα-
κύψασα Ἀφροδίτη ἡ ἐκ τοῦ ὑγροῦ γόνιμος οὐσία, ᾗ τὸ θερμὸν πνεῦμα
μιγὲν τὸν τῆς μίξεως ποιεῖται ἔρωτα καὶ τελεσιουργεῖ τοῦ κόσμου τὸ
κάλλος. τὸ δὲ συμπόσιον τὸ γαμήλιον, ἔνθα τὸ δεῖπνον ἐτέλει Ζεὺς
ὑπέρ τε τῆς Νηρηίδος Θέτιδος καὶ τοῦ καλοῦ Πηλέως, ἀλληγορίαν ἔχει
ταύτην, ἵνα γνῷς ὅτι καὶ ἄνευ σοῦ, Ἀππίων, τὰ τοιαῦτα ἠκούσαμεν.
τὸ μὲν δὴ συμπόσιον ὁ κόσμος, οἱ δὲ δώδεκα τὰ οὐράνια τῶν μοιρῶν
περιστηρίγματα, ἅτινα ζόδια καλοῦσιν–Προμηθεὺς ἡ προμήθεια,
ὑφ' ἧς τὰ πάντα ἐγένετο–Πηλεὺς πηλὸς ὁ ἀπὸ γῆς εἰς ἀνθρώπου γέ-
νεσιν περινοηθεὶς καὶ μιγεὶς τῇ Νηρηίδι, τουτέστιν ὕδατι. ἐκ δὲ τῆς
τῶν δύο μίξεως (ὕδατός τε καὶ γῆς) ὁ πρῶτος οὐ γεννηθεὶς ἀλλὰ πλα-
σθεὶς τέλειος καὶ διὰ τὸ μαζοῖς χείλη μὴ προσενεγκεῖν Ἀχιλλεὺς προση-
γορεύθη· ἔστι δὲ αὐτὸς καὶ ἀκμή, ἥτις ἐὰν ἐπιθυμίαν–Πολυξένην ὡς

ἀληθείας ἀλλοτρίαν οὖσαν καὶ ξένην–<...> ἰῷ ὄφεως ἀναιρεῖται, βέλει
κατὰ πτέρναν καὶ κατὰ ἴχνος ἐνέρποντος τοῦ θανάτου. Ἥρα τοίνυν
καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη καὶ Ἔρις καὶ μῆλον καὶ Ἑρμῆς καὶ κρίσις
καὶ ποιμὴν τοιοῦτόν τινα νοῦν ὑπαινίσσεται· Ἥρα σεμνότης, Ἀθηνᾶ ἡ
ἀνδρεία, Ἀφροδίτη αἱ ἡδοναί, Ἑρμῆς ὁ ἑρμηνευτικὸς λόγος, ὁ ποιμὴν
Πάρις ἡ ἀλόγιστος ὁρμὴ καὶ βάρβαρος. ἐὰν οὖν κατὰ τὴν ἀκμὴν τῆς ἡλι-
κίας ὁ τὴν ψυχὴν ποιμαίνων λογισμὸς τύχῃ ὢν βάρβαρος καὶ παρα-
λιπὼν τὰ συμφέροντα (ἀνδρείαν τε καὶ σωφροσύνην παρωσάμενος) μόνας
ἕληται τὰς ἡδονὰς καὶ μόνῃ τῇ ἐπιθυμίᾳ τὴν νίκην ἀποδῷ, ὡς παρ'
αὐτῆς τὰ τέρποντα ἀντιλαμβάνων, ἐπ' ὀλέθρῳ ἑαυτοῦ τε καὶ τῶν αὐτοῦ
ὁ μὴ ὀρθῶς κρίνας τὴν τέρψιν λήμψεται. Ἔρις δέ ἐστιν ἡ φιλονεικοῦσα
κακία. τὸ δὲ τῶν Ἑσπερίδων χρυσοῦν μῆλον ὁ πλοῦτος ἂν εἴη, ὃς
ἐνίοτε καὶ τοὺς σώφρονας (ὥσπερ τὴν Ἥραν) πρὸς ·αθυμίαν παράγειν
ἐπίσταται καὶ τοὺς ἀνδρείους (ὥσπερ τὴν Ἀθηνᾶν) εἰς τὰ μὴ αὐτοῖς
πρέποντα φιλονεικοτέρους ἀπεργάζεται καὶ ψυχῆς κάλλος (ὥσπερ Ἀφρο-
δίτην) προφάσει τρυφῆς ἀπολλύει. συντόμως ἐρῶ· πάντας εἰς κακὴν
ἔριν ἀνερεθίζει ὁ πλοῦτος. ὁ δὲ τὸν τοῦ πλούτου ἡγεμόνα καὶ
φύλακα ὄφιν ἀνελὼν Ἡρακλῆς ὁ γνήσιος καὶ φιλόσοφός ἐστι νοῦς, ὃς πά-
σης κακίας γυμνὸς ὢν ἐκπερινοστεῖ τὸν κόσμον, ἐπιδημῶν ταῖς ψυχαῖς
καὶ σωφρονίζων τοὺς ἐντυγχάνοντας, λέγω δὲ ἀνθρώπους ἐοικότας λέου-
σιν τολμηροῖς ἢ ἐλάφοις δειλαῖς ἢ κάπροις ἀγρίοις ἢ ὕδραις πολυτρόποις.
ὁμοίως δὲ καὶ τὰ ἄλλα πάντα ὅσα ἀθλῆσαι λέγεται Ἡρακλῆς, νοερᾶς ἀρε-
τῆς ἐστιν αἰνίγματα. αὐτάρκως δὲ νῦν ἐχέτω τὰ εἰρημένα· εἰς γὰρ
ἕκαστον εἰπεῖν οὐδὲ ὁ σύμπας χρόνος ἀρκέσει. πλὴν θαυμάζω πῶς
ταῦτα σαφῶς καὶ εὐσεβῶς καὶ ὠφελίμως ἀκαλύπτῳ τῇ εὐθείᾳ δηλοῦσθαι
δυνάμενα οἱ πλαγίοις ἀποκρύψαντες αἰνίγμασιν καὶ μύθοις αὐτὰ προκα-
λύψαντες κακοῖς ὑπὸ σοῦ ἔμφρονες καὶ σοφοὶ εἶναι λέγονται, οἵτινες

ὥσπερ ὑπὸ κακοῦ προαχθέντες δαίμονος σχεδὸν τοὺς πάντας ἐνήδρευσαν
ἀνθρώπους. ἢ γὰρ οὐκ ἔστιν ταῦτα αἰνίγματα, ἀλλ' ἀληθῆ τῶν θεῶν
ἁμαρτήματα, καὶ ἐλέγχειν αὐτοὺς οὐκ ἔδει οὐδὲ τὴν ἀρχὴν αὐτὰ τοῖς
ἀνθρώποις εἰς μίμησιν προτιθέναι–ἢ αἰνιγματωδῶς ἐλέχθη τὰ ὑπὸ
τῶν θεῶν ψευδῶς πεπραγμένα, καὶ ἥμαρτον, ὦ Ἀππίων, ὅτι οἱ ὑπὸ σοῦ
ὀνομαζόμενοι σοφοὶ τὰ σεμνὰ ἀσέμνοις μύθοις καλύψαντες ἁμαρτεῖν τοὺς
ἀνθρώπους προετρέψαντο καὶ ταῦτα ὑβρίσαντες οὓς καὶ θεοὺς εἶναι
ἐνόμισαν. διόπερ μὴ σοφούς, ἀλλὰ κακοὺς δαίμονας τοὺς τοιούτους
νόμιζε, οἵτινες κακὰς ὑποθέσεις ἔργων καλῶν προεβάλλοντο, ἵνα οἱ θέ-
λοντες μιμηταὶ γενέσθαι τῶν κρειττόνων τὰς τῶν λεγομένων θεῶν ζηλῶ-
σιν πράξεις, ἃς διαλεγόμενος τῇ πρὸ ταύτης ἡμέρᾳ οὐκ ἀπεκρυψάμην,
λέγω δὲ πατροφονίας, τεκνοκτονίας, μίξεις ἀσεβεῖς μητέρων θυγατέρων
ἀδελφῶν, μοιχείας τε ἀπρεπεῖς καὶ ἀρρενομιξίας καὶ μιαρὰς ἀρρητουργίας,
πρὸς ἄλλαις μυρίαις τοιαύταις ἀθεμίτοις μίξεσιν. ὧν ἀσεβέστεροι οἱ ταῦτα
ἀληθῆ δοκεῖν εἶναι θέλοντες, ἵνα τὰ ὅμοια ποιοῦντες μὴ αἰδῶνται.
οἵπερ εἴγε εὐσεβεῖν ἐβούλοντο, ἐχρῆν αὐτούς (ὅπερ ἀρτίως εἶπον), εἰ
καὶ ὄντως οἱ θεοὶ τὰ περὶ αὐτῶν δόμενα διεπράξαντο κακά, τιμῇ τῇ
πρὸς θεοὺς εὐπρεπεστέροις τισὶ μύθοις τὰ ἄσεμνα ἐπισκέπειν καὶ μὴ
τοὐναντίον (ὥς φατε) καλῶν αὐτοῖς πράξεων γεγενημένων κακὰ καὶ
ἄσεμνα περιβάλλειν σχήματα, ἅτινα ἀλληγορούμενα καὶ διὰ καμάτων
μόγις νοηθῆναι δύναται καί, ὅταν νοηθῇ τισιν, ἐκείνοις μὲν ἀντὶ τοῦ πολ-
λοῦ μόχθου παρέσχον τὸ μὴ πλανηθῆναι, ἐξὸν μὴ μοχθῆσαι, τοὺς δὲ
πλανηθέντας ἄρδην ἀπώλεσαν. πλὴν τοὺς εἰς τὸ σεμνότερον ἀλλη-
γοροῦντας αὐτὰς ἀποδέχομαι, ὥσπερ τοὺς ἐκ τῆς Διὸς κεφαλῆς αἰνιξα-
μένους ἀναπηδῆσαι τὴν φρόνησιν. ἴσως δὲ ἐκεῖνό μοι πιθανώτερον ὅτι
μοχθηρῶν ἀνδρῶν δόξαν θεῶν ἀπενεγκαμένων ἐκεῖναι ἐτολμήθησαν
αἱ ὕβρεις. ἁπάντων δὲ τῶν θεῶν τὴν ποιητικὴν ἀλληγορίαν οὐκ
ἀκόλουθον εὑρίσκομεν. αὐτίκα γοῦν ἐπὶ τῆς διακοσμήσεως τῶν ὅλων
ποτὲ μὲν φύσιν λέγουσιν ποιηταί, ποτὲ δὲ νοῦν ἀρχηγὸν γενέσθαι τῆς
ὅλης δημιουργίας. ἐκ φύσεως μὲν γὰρ τῶν στοιχείων τὴν πρώτην κίνη-

σιν καὶ σύμμιξιν γεγονέναι, ὑπὸ δὲ τῆς τοῦ νοῦ προνοίας διακεκοσμῆσθαι.
καὶ ἀποφηνάμενοι μὲν φύσει δεδημιουργῆσθαι τὸ πᾶν, μὴ δυνάμενοι δὲ ἀνεπιλήπτως τοῦτο ἀποδεικνύναι διὰ τὸ τῆς δημιουργίας ἔντεχνον, παρεμπλέκουσιν καὶ τοῦ νοῦ τὴν πρόνοιαν, ὡς συναρπάσαι καὶ τοὺς πάνυ σοφοὺς δυνάμενοι. ἡμεῖς δέ φαμεν πρὸς αὐτούς· Εἰ μὲν ἐξ αὐτομάτου φύσεως ὁ κόσμος γέγονεν, πῶς ἔτι ἀναλογίαν καὶ τάξιν εἴληφεν;
ἅπερ ὑπὸ μόνης ὑπερβαλλούσης φρονήσεως γενέσθαι δυνατόν ἐστιν καὶ
καταληφθῆναι ὑπὸ ἐπιστήμης τῆς μόνης ταῦτα ἀκριβοῦν δυναμένης. εἰ
δὲ φρονήσει τὰ πάντα τὴν σύγκρασιν καὶ διακόσμησιν εἴληφεν (ὅπερ ἀνάγκη μὴ ἄλλως ἔχειν), πῶς ἔτι ἐκ τοῦ αὐτομάτου συμβῆναι ταῦτα γενέσθαι δυνατὸν ἦν; οἱ τοίνυν τὰ θεῖα ἐπὶ τὸ αἴσχιον ἀλληγορῆσαι θελήσαντες (οἷον τὴν Μῆτιν καταποθῆναι ὑπὸ Διός) εἰς ἀπορίαν ἐνπεπτώκασιν, οὐ συνιέντες ὅτι οἱ πλαγίως φυσιολογήσαντες περὶ θεῶν καὶ
τὸ εἶναι θεοὺς αὐτοὺς ἀνῃρήκασιν, τὰ εἴδη αὐτῶν διὰ τῆς ἀλληγορίας εἰς τὰς τοῦ κόσμου οὐσίας διαλύσαντες. πιθανώτερον οὖν λέγειν ὅτι οἱ
ὑπ' αὐτῶν δόμενοι θεοὶ κακοί τινες γεγόνασιν μάγοι, οἵτινες ἄνθρωποι
ὄντες μοχθηροί, μαγείᾳ μεταμορφούμενοι γάμους διέλυον, βίους διέφθειρον, τοῖς δὲ πάλαι οὐκ εἰδόσιν τί ποτ' ἔστιν μαγεία δι' ὧν ἔπραττον ἐδόκουν εἶναι θεοί· ὧν κατὰ πόλεις καὶ οἱ μόροι καὶ οἱ τάφοι φαίνονται. αὐτίκα γοῦν (ὡς καὶ ἄλλοτε εἶπον) ἐν τοῖς Καυκασίοις ὄρεσιν Κρόνου τινὸς σῆμα ἀνθρώπου δείκνυται, τυράννου ἀγρίου καὶ τεκνοκτόνου. ὁ δ' ἐκείνου υἱός, Ζεὺς τὸ ὄνομα, χείρων γενόμενος, μαγείας δυνάμει κοσμοκράτωρ ἀναφανεὶς πολλοὺς διαλύει γάμους καὶ τὸν πατέρα
σὺν τοῖς θείοις κολάζει καὶ οὕτως τελευτήσαντος τὸν τάφον Κρῆτες ἐπι-
δεικνύουσιν. ἐν δὲ τῇ Μεσοποταμίᾳ κεῖνται Ἥλιος μέν τις ἐν Ἄτροις, Σελήνη
δέ τις ἐν Κάρραις, Ἑρμῆς ἐν Αἰγύπτῳ τις ἄνθρωπος, Ἄρης ἐν Θρᾴκῃ, Ἀφρο-
δίτη ἐν Κύπρῳ, Ἀσκληπιὸς ἐν Ἐπιδαύρῳ· καὶ ἄλλων πολλῶν τοιούτων φαί-

νονται τάφοι. οὕτως προφανῶς τοῖς ὀρθῶς νοοῦσιν ἄνθρωποι γεγε-
νῆσθαι ὡμολόγηνται. καὶ οἱ μὲν συνχρονοῦντες αὐτοῖς, ὑπαισθόμενοι
αὐτοὺς θνητοὺς γεγονέναι, ἀμελέστερον αὐτοῖς ἀποθανοῦσιν
προσεῖχον,
ὁ δὲ πολὺς χρόνος δόξαν θεῶν αὐτοῖς περιέθηκεν. καὶ μὴ θαύμαζε εἰ
οἱ κατὰ Ἀσκληπιὸν καὶ Ἡρακλέα γενόμενοι ἐξηπατήθησαν ἢ κατὰ Διό-
νυσον ἢ κατὰ ἄλλον τινὰ τῶν τότε, ὅπου καὶ Ἕκτορα ἐν Ἰλίῳ καὶ Ἀχιλ-
λέα ἐν Λεύκῃ τῇ νήσῳ οἱ ἐκεῖ προσκυνοῦσιν, Πάτροκλον Ὀπούντιοι,
τὸν Μακεδόνα Ἀλέξανδρον Ῥόδιοι. ἀλλὰ καὶ παρ' Αἰγυπτίοις ἔτι καὶ
νῦν ἄνθρωπος ὡς θεὸς πρὸ τοῦ θανάτου προσκυνεῖται. καὶ τοῦτο μὲν
ἧττόν ἐστιν ἀσέβημα ὅτι ζῶντος ἀνθρώπου θείας τιμὰς νομίζουσιν Αἰγύπ-
τιοι, ἀλλὰ τὸ πάντων γελοιότατον ὅτι καὶ πτηνὰ καὶ ἑρπετὰ καὶ ζῷα πάντα
προσκυνοῦσιν. οὐδὲν γὰρ κρίσει νοοῦσιν ἢ ποιοῦσιν οἱ πολλοὶ τῶν
ἀνθρώπων.
τὸ δὲ πάντων αἴσχιστον ἰδέ μοι· τὸν Δία αὐτόν, ὃν[τα] πατέρα θεῶν
τε καὶ ἀνθρώπων λέγουσιν, Λήδᾳ συνεσχηματισμένον [ὃν πολλοὶ δία]
ἀναγράψαντες ἐν πίνακι δημοσίᾳ ἀνατιθέασιν. πρὸς δὲ τὴν ἐκδικίαν ταύ-
της τῆς ὕβρεως ἤθελον εἰ τὸν τοῦ καιροῦ βασιλέα αὐτῶν γράψαν-
τες ἐπὶ αἰσχρᾶς πλοκῆς, ὥσπερ ἐπὶ τοῦ Διὸς τετολμήκασιν ποιῆσαι,
οὕτω ποιήσαντες ἀνέθεσαν δημοσίᾳ, ἵνα κἂν ἀπὸ τῆς ὀργῆς τοῦ
προσκαίρου βασιλέως (καὶ ταῦτα ἀνθρώπου ὄντος) μάθωσι κολασθέν-
τες ὡς δεῖ τὴν δέουσαν ἀπονέμειν τιμήν. ταῦτα δέ σοι λέγω οὐχ ὡς αὐτὸς
ἤδη ἐπιγνοὺς τὸν ὄντως θεόν, ἀλλ' εὐγνωμονῶν ὁμολογῶ· Εἰ καὶ τί θεὸς
οὐκ οἶδα, ἀλλ' οὖν γε σαφῶς, ὅτι θεός, νομίζω εἰδέναι. αὐτίκα γοῦν
τὰ πρῶτα τέσσαρα στοιχεῖα θεὸς εἶναι οὐ δύναται τὰ ὑπὸ ἄλλου γενό-
μενα, οὐχ ἡ μίξις, οὐχ ἡ κρᾶσις, οὐχ ἡ γένεσις, οὐ τὸ πᾶν περιέχον ὁρα-
τὸν κύτος οὐδὲ ἡ ἐν τῷ ᾄδῃ συρρέουσα ὑποστάθμη, οὐ τὸ ἐπιπολάζον
ὕδωρ, οὐχ ἡ ζέουσα οὐσία, οὐχ ὁ ἐξ αὐτῆς μέχρι τῶν ἐνταῦθα διήκων
ἀ»ρ. τά τε γὰρ στοιχεῖα τέσσαρα εἴτε ἀλλήλων διεστάλκει, ἄνευ τινὸς
μεγάλου τεχνίτου μιγῆναι πρὸς ζόου γένεσιν οὐκ ἐδύνατο–εἴτε ἀεὶ
ἀλλήλοις συνῆπτο, καὶ οὕτως ὑπὸ τεχνίτου νοῦ πρὸς τὸ οἰκεῖον τῶν
τοῦ ζόου μελῶν καὶ μερῶν συναρμόζεται, ἵνα τὴν ἑκάστου πρὸς
ἕκαστον ἀναλογίαν ἀποσόζειν δύνηται καὶ τὴν ἕξιν εὐπερίγραφον

ἔχῃ καὶ τὰ ἔνδοθεν πάντα τὴν προσήκουσαν ἁρμονίαν λαμβάνῃ· ὁμοίως
τε καὶ τοὺς οἰκείους τόπους ἑκάστου μετὰ πάσης εὐμορφίας ὁ τεχνίτης
νοῦς ἀκριβοῖ. συνελὼν ἐρῶ· καὶ τὰ ἄλλα, ὅσα ποτὲ ζῷον δεῖ ἔχειν, οὐδὲν
ἐνέλειπε τῷ μεγάλῳ τούτῳ ζόῳ τῆς ὅλης περιφορᾶς. οὕτως ἀνάγκη
τινὰ εἶναι νοῦν ἀγέννητον τεχνίτην, ὃς τὰ στοιχεῖα ἢ διεστῶτα συνήγαγεν
ἢ συνόντα ἀλλήλοις πρὸς ζόου γένεσιν τεχνικῶς ἐκέρασεν καὶ ἓν ἐκ πάν-
των ἔργον ἀπετέλεσεν· ἀδύνατον γὰρ ἄνευ τινὸς νοῦ μείζονος πάνυ σοφὸν
ἔργον ἀποτελεῖσθαι. οὐδὲ μὴν ἔρως εἶναι δύναται πάντων τεχνίτης, οὐκ
ἐπιθυμία, οὐκ ἰσχύς, οὐκ ἄλλο τι τοιοῦτον, ἅτινα παθητὰ συμβαίνειν
καὶ ἀποβαίνειν πέφυκεν. ἀλλ' οὐδὲ τὸ ὑφ' ἑτέρου φερόμενόν ἐστιν θεὸς
οὐδέ γε τὸ ὑπὸ χρόνου ἢ φύσεως ἀλλοιούμενον καὶ εἰς τὸ μηκέτι εἶναι
ἀναλυόμενον.

Ταῦτά μου διαλεγομένου πρὸς τὸν Ἀππίωνα, ἀπὸ Καισαρείας ἐπέ-
στη Πέτρος, καὶ συνδρομαὶ τῶν ὄχλων ἐγένοντο ἐν τῇ Τύρῳ, σπευδόν-
των ὑπαντᾶν αὐτῷ καὶ χάριν τῇ ἐπιδημίᾳ ὁμολογεῖν. καὶ ὁ μὲν Ἀππίων
ὑπεχώρει μετὰ Ἀννουβίωνος καὶ Ἀθηνοδώρου μόνων, οἱ δὲ ἄλλοι πάντες
ὡς ἀπαντησόμενοι τῷ Πέτρῳ ὡρμήσαμεν. πρῶτος δὲ ἐγὼ πρὸ τῶν πυλῶν
ἀποδεξάμενος αὐτὸν ἐπὶ τὴν ξενίαν ἦγον. ὡς δὲ ἐγενόμεθα, τοὺς μὲν ὄχλους
ἀπελύσαμεν, αὐτῷ δὲ ἀξιώσαντί με τὰ πραχθέντα λέγειν οὐδὲν ἀπεκρυπτό-
μην, ἀλλ' ἐμήνυον τάς τε τοῦ Σίμωνος διαβολὰς καὶ τὰς τερατώδεις φαντασίας
ὑπ' αὐτοῦ γεγενημένας καὶ ὅσας ἔπεμψεν νόσους μετὰ τὴν ἐκ τῆς βουθυσίας
ἑστίασιν καὶ ὅτι ἐκ τῶν νοσούντων οἱ μὲν αὐτόθι κατέμειναν ἐν τῇ Τύρῳ, οἱ
δὲ τῷ Σίμωνι ἅμα τῷ ἐμὲ ἐλθεῖν συνεξεληλύθεισαν εἰς τὴν Σιδῶνα, ὡς

ὑπ' αὐτοῦ θεραπευθησόμενοι, καὶ ὅτι ἐμάνθανον μηδένα αὐτῶν ἰάσεως
ὑπ' αὐτοῦ τετυχηκέναι, καὶ τὴν πρὸς Ἀππίωνά μοι γεγενημένην διάλεξιν τῷ
Πέτρῳ διηγησάμην. ὁ δὲ στοργῆς καὶ προτροπῆς χάριν ἐπαινέσας με καὶ
εὐλογήσας, ἁλῶν μεταλαβών, διὰ τοὺς καμάτους τῆς ὁδοιπορίας τῇ
ἀναγκαιοτάτῃ ἡσυχίᾳ τοῦ ὕπνου ἑαυτὸν ἐπέτρεπεν.

[ΟΜΙΛΙΑ Ζ.]

Τετάρτῃ δὲ ἡμέρᾳ τῆς ἐν Τύρῳ ἡμῶν ἐπιδημίας ὑπὸ τὸν ὄρθρον προεληλυθότι τῷ Πέτρῳ ἀπήντων πλησιόχωροί τε οὐκ ὀλίγοι καὶ αὐτῆς
Τύρου πάνπολλοι καὶ ἐπεφώνουν λέγοντες· Ὁ θεὸς διὰ σοῦ ἡμᾶς ἐλεείτω,
διὰ σοῦ θεραπευέτω. ὁ δὲ Πέτρος ἔστη ἐπὶ λίθου τινὸς ὑψηλοῦ πρὸς τὸ δύνασθαι πᾶσιν ὁρᾶσθαι καὶ προσαγορεύσας θεοσεβεῖ νόμῳ οὕτως ἤρξατο· Θεῷ τῷ κτίσαντι τὸν οὐρανὸν καὶ τὸ σύμπαν οὐ λείπει πρόφασις πρὸς σωτηρίαν τῶν σόζεσθαι θελόντων. ὅθεν μηδὲ ἐπὶ τοῖς δοκοῦσιν φαύλοις ὑπὸ προπετείας τις αὐτὸν ὡς μὴ φιλάνθρωπον αἰτιάσθω.
τῶν γὰρ συμβαινόντων ἀνθρώπῳ τὰ τέλη ἀνθρώποις μὲν ἄγνωστα, ὡς ἐπὶ κακῷ ὑποπτευόμενα, θεῷ δὲ ὡς ἀποβησόμενα εὐτυχῶς γνώριμα. αὐτίκα γοῦν Σίμων ἀριστερὰ τοῦ θεοῦ δύναμις ὢν καὶ τῶν τὸν θεὸν οὐκ εἰδότων ἐπὶ κακοποιίᾳ τὴν ἐξουσίαν ἔχων νόσοις ὑμᾶς περιβαλεῖν
ἠδυνήθη, αἵτινες διὰ τὴν τοῦ θεοῦ ἀγαθὴν πρόνοιαν γενέσθαι συγχωρη-
θεῖσαι ἠνάγκασαν ὑμᾶς, τὸν ἰᾶσθαι δυνάμενον περιβλεψαμένους καὶ εὑρόντας, προφάσει τῆς τοῦ σώματος θεραπείας τὰ θεῷ δοκοῦντα ἀνα-
δεξαμένους πεισθῆναι φρονεῖν, ἵνα οὕτως ἅμα τοῖς σώμασι σωθησομένοις
καὶ τὰς ψυχὰς σώας ἔχητε. μανθάνω οὖν ὡς βουθυτήσας εἱστίασεν ὑμᾶς
ἐν μέσῃ τῇ ἀγορᾷ καὶ οὕτως ὑμεῖς οἴνῳ πολλῷ παρενεχθέντες ἅμα τοῖς πονηροῖς δαίμοσιν τὸν ἄρχοντα αὐτῶν ἐφιλοφρονεῖσθε καὶ οὕτως
ὑμῶν οἱ πλεῖστοι ὑπὸ τῶν παθῶν κατελήφθησαν, ἀγνοίας αἰτίᾳ καθ' ἑαυτῶν ἰδίαις χερσὶν ἐπισπασάμενοι τὸ τοῦ ὀλέθρου ξίφος. οὐ γὰρ ἂν τὴν καθ' ὑμῶν ἔσχον ἐξουσίαν οἱ δαίμονες, εἰ μὴ πρότερον τῷ ἄρχοντι αὐτῶν ὁμοδίαιτοι ἐγεγόνειτε. οὕτω γὰρ ἀπ' ἀρχῆς ὑπὸ τοῦ πάντα κτίσαντος θεοῦ δυσὶν ἑκάστοτε ἄρχουσι, δεξιῶν τε καὶ εὐωνύμων, ὡρίσθη νόμος, μὴ ἔχειν ἑκάτερον αὐτῶν ἐξουσίαν, ἐὰν μὴ πρότερόν τινι
ὁμοτράπεζος γένηται, ὃν εὖ ποιῆσαι ἢ κακῶσαι βούλεται. ὥσπερ οὖν τῶν

δαίμοσιν ἀποδεδομένων θυμάτων μεταλαβόντες τῷ τῆς κακίας ἡγεμόνι κατεδουλώθητε, οὕτως, ἂν τούτων παυσάμενοι τῷ θεῷ διὰ τοῦ ἀγαθοῦ καὶ δεξιοῦ ἡγεμόνος προσφύγητε, ἀθύτοις τιμαῖς ποιοῦντες ἃ βούλεται, εὖ ἴστε ὅτι σὺν τῇ τοῦ σώματος ἰάσει καὶ τὰς ψυχὰς ὑγιαινούσας ἕξετε. αὐτὸς γὰρ μόνος διὰ τῆς ἀριστερᾶς ἀναιρῶν διὰ τῆς δεξιᾶς ζωοποιῆσαι δύναται, ὁμοίως δὲ καὶ πατάξαι καὶ ἀναστῆσαι κείμενον. διὰ τοῦτο πρῶτον ὑπὸ τοῦ προδρόμου Σίμωνος προαπατηθέντες,
θεῷ τὰς ψυχὰς ἀπεθάνετε καὶ τὰ σώματα ἐπατάχθητε· δύνασθε δὲ ὁμοίως τὸ
δεύτερον διὰ τῆς μετανοίας (ὡς ἔφην) τὰ θεῷ ἀρέσκοντα ἀναδεξάμενοι καὶ
τὰ σώματα ἀναρρῶσαι καὶ τὰς ψυχὰς ἀναλαβεῖν. ἔστιν δὲ τὰ ἀρέσκοντα τῷ
θεῷ τὸ αὐτῷ προσεύχεσθαι, αὐτὸν αἰτεῖν ὡς πάντα νόμῳ κριτικῷ διδόντα,
«τραπέζης δαιμόνων» ἀπέχεσθαι, νεκρᾶς μὴ γεύεσθαι σαρκός, μὴ ψαύειν
αἵματος, ἐκ παντὸς ἀπολούεσθαι λύματος. τὰ δὲ λοιπὰ ἑνὶ λόγῳ ὡς οἱ θεὸν
σέβοντες ἤκουσαν Ἰουδαῖοι, καὶ ὑμεῖς ἀκούσατε ἅπαντες ἐν πολλοῖς σώ-
μασιν μίαν γνώμην ἀναλαβόντες· Ἅπερ ἕκαστος ἑαυτῷ βούλεται καλά,
τὰ αὐτὰ βουλευέσθω καὶ τῷ πλησίον. οὕτω δ' ἂν ὑμῶν ἕκαστος νοήσειεν τὸ καλόν, εἰ ἑαυτῷ διαλεχθείη τὰ τοιαῦτα· Οὐ θέλεις φονευθῆναι,
ἕτερον μὴ φονεύσῃς· οὐ θέλεις τὴν σὴν ὑφ' ἑτέρου μοιχευθῆναι γυναῖκα,
τὴν ἑτέρου μὴ μοίχευε γαμετήν· οὐ θέλεις τι τῶν σῶν κλαπῆναι, ἑτέρου
μὴ κλέπτε μηδέν. καὶ οὕτως ἀφ' ὑμῶν αὐτῶν τὸ εὔλογον συννοοῦντες καὶ ποιοῦντες, θεῷ προσφιλεῖς γενόμενοι, ἐπιτεύξεσθε τῆς ἰάσεως, ἐπεὶ
καὶ ἐν τῷ παρόντι αἰῶνι βασανισθήσεσθε τὰ σώματα καὶ ἐν τῷ μέλλοντι
κολασθήσεσθε τὰς ψυχάς. τοιαῦτα ὑπὸ τοῦ Πέτρου ἐν ὀλίγαις ἡμέραις κατηχηθέντες καὶ ἰαθέντες ἐβαπτίσθησαν, ἐπί τε τοῖς λοιποῖς αὐτοῦ θαύμασιν οἱ λοιποὶ πάντες ἐν μέσαις ταῖς ἀγοραῖς πανδημεὶ ἐπὶ

σποδοῦ καὶ σάκκου ἐκαθέζοντο, μετανοοῦντες ἐπὶ τοῖς πρότερον ἡμαρ-
τημένοις. καὶ οἱ ἐν Σιδῶνι ταῦτα ἀκούσαντες τὰ ὅμοια ἐποίησαν καὶ
ἱκέτας πρὸς τὸν Πέτρον ἀπέστελλον ὡς αὐτοὶ διὰ τὰς νόσους πρὸς αὐτὸν
ἐλθεῖν μὴ δυνάμενοι. ὁ Πέτρος δὲ ἡμερῶν οὐ πολλῶν ἐνδιατρίψας τῇ
Τύρῳ καὶ κατηχήσας τοὺς ἐν αὐτῇ ἅπαντας καὶ παντοδαπῶν αὐτοὺς
ἀπαλλάξας παθῶν ἐκκλησίαν τε συστησάμενος καὶ ἀπὸ τῶν ἑπομένων
αὐτῷ πρεσβυτέρων ἐπίσκοπον αὐτοῖς καταστήσας ὥρμησεν εἰς Σιδῶνα.
ὁ δὲ Σίμων μαθὼν ἥκοντα τὸν Πέτρον εὐθὺς ἀπέδρα εἰς Βηρυτὸν μετὰ
Ἀππίωνος καὶ τῶν αὐτοῦ ἑταίρων.

Τοῦ δὲ Πέτρου εἰσιόντος εἰς τὴν Σιδῶνα πολλοὺς ἐν κλίναις φέροντες
πρὸ αὐτοῦ ἐτίθεσαν. ὁ δὲ πρὸς αὐτοὺς ἔφη· Μὴ τοίνυν νομίσητε ἐμέ τι
δύνασθαι πρὸς ὑμετέραν ἴασιν, ἄνδρα θνητὸν καὶ αὐτὸν πολλοῖς πάθεσιν
ὑποπεσεῖν δυνάμενον· ὑφηγεῖσθαι δὲ ὑμῖν τὸν τρόπον δι' οὗ σωθῆναι
δυνήσεσθε οὐ φθονῶ, καὶ αὐτὸς παρὰ τοῦ τῆς ἀληθείας προφήτου μαθὼν
τοὺς προωρισμένους τοῦ θεοῦ «πρὸ καταβολῆς κόσμου» ὁρισμούς, λέγω δὲ
ἐπὶ ποίαις κακαῖς πράξεσιν τοὺς ἀνθρώπους ἔταξεν ὑπὸ τοῦ τῆς κακίας
ἡγεμόνος κακοῦσθαι, ὁμοίως τε ἐπὶ ποίαις ἀγαθαῖς πράξεσιν ὥρισεν πρότερον
πιστεύσαντας αὐτῷ ἰωμένῳ τὰ σώματα σόζεσθαι, ἔπειτα καὶ τὰς ψυχὰς
ἐπανορθοῦσθαι πρὸς τὸ ἀνώλεθρον. ταύτας τοίνυν τάς τε ἀγαθὰς καὶ κακὰς
πράξεις εἰδὼς προμηνύω ὑμῖν ὡς ὁδοὺς δύο, ὑποδεικνύων διὰ ποίας μὲν βαδί-
ζοντες ἀπόλλυνται, ποίᾳ δὲ ὁδεύοντες ἀποσόζονται, θεῷ ὁδηγούμενοι. ἡ μὲν
οὖν τῶν ἀπολλυμένων ὁδὸς πλατεῖα μὲν καὶ ὁμαλωτάτη, ἀπολλύουσα
δὲ ἄνευ τοῦ πόνου, ἡ δὲ τῶν σῳζομένων στενὴ μὲν καὶ τραχεῖα, σόζουσα
δὲ πρὸς τῷ τέλει τοὺς διαπορευθέντας ἐπιπόνως. τούτων δὲ τῶν δύο ὁδῶν

προκαθέζεται ἀπιστία καὶ πίστις, καὶ ὁδεύουσιν διὰ μὲν ἀπιστίας οἱ τὰς
ἡδονὰς προκρίναντες, διὰ δὲ .... συζητεῖν τὸ συμφέρον οὐ διεφύλαξαν.
ἀγνοοῦσιν μέντοι ὡς οὐκ ἀνθρωπίνοις ὅμοια τὰ θεοῦ βουλήματα. πρῶτον
μὲν γὰρ οἶδεν τὰ πάντων διανοήματα, καὶ οὐκ ἐν τῷ ἐνχειρῆσαι μόνον,
ἀλλὰ καὶ ἐν τῷ ἐννοῆσαι ἕκαστος εὐθύνεται. πολλῷ δὲ ἧττον ἀσεβοῦσιν
οἱ ἐνχειροῦντες καλὰ νοεῖν καὶ ἀποτυγχάνοντες τῶν μηδὲ ὅλως ἐνχει-
ρούντων τοῖς καλοῖς. ὅτι αὐτῷ τῷ θεῷ ἔδοξεν τὸν ἐν γνώσει τῶν καλῶν
παραπίπτοντα κατὰ λόγον τῶν ἀνθρωπίνων παραπτωμάτων μετρίως κολα-
σθέντα σωθῆναι. οἱ δὲ τὴν ἀρχὴν καὶ τοῦ γνῶναι τὸ κρεῖττον ἐξημελη-
κότες, κἂν μυρία ἕτερα πράξωσιν καλά, ἐν ᾗ δὲ αὐτὸς ὥρισεν θρησκείᾳ
μὴ γένωνται, ἀμελείας ἔγκλημα λαβόντες τῇ μεγίστῃ ἀποσβεσθήσον-
ται κολάσει παντελῶς. ἡ δὲ ὑπ' αὐτοῦ ὁρισθεῖσα θρησκεία ἐστὶν αὕτη·
Τὸ μόνον αὐτὸν σέβειν καὶ τῷ τῆς ἀληθείας μόνῳ πιστεύειν προφήτῃ
καὶ «εἰς ἄφεσιν ἁμαρτιῶν» βαπτισθῆναι καὶ οὕτως διὰ τῆς ἀγνοτάτης βα-
φῆς ἀναγεννηθῆναι θεῷ διὰ τοῦ σόζοντος ὕδατος, «τραπέζης δαιμό-
νων» μὴ μεταλαμβάνειν (λέγω δὲ εἰδωλοθύτων, νεκρῶν, πνικτῶν, θηρια-
λώτων, αἵματος), μὴ ἀκαθάρτως βιοῦν, ἀπὸ κοίτης γυναικὸς λούεσθαι,
αὐτὰς μέντοι καὶ ἄφεδρον φυλάσσειν, πάντας δὲ σωφρονεῖν, εὖ ποιεῖν, μὴ
ἀδικεῖν, παρὰ τοῦ πάντα δυναμένου θεοῦ ζωὴν αἰώνιον προσδοκᾶν, εὐχαῖς
καὶ δεήσεσιν συνεχέσιν αἰτουμένους αὐτὴν λαβεῖν. τοιαῦτα καὶ ἐν τῇ Σι-
δῶνι τοῦ Πέτρου παραινοῦντος, ἡμέραις ὀλίγαις πολλῶν κἀκεῖ μετανοη-
σάντων καὶ πιστευσάντων καὶ θεραπευθέντων ἐκκλησίαν συνέστησεν καὶ
τῶν συνεπομένων αὐτῷ πρεσβυτέρων τινὰ καταστήσας αὐτοῖς ἐπίσκοπον
ἐξῄει τῆς Σιδῶνος.

Ὡς δὲ εὐθὺς ἐπέβη τῆς Βηρυτοῦ, σεισμὸς ἐγένετο. καὶ οἱ ὄχλοι προσ-
ιόντες τῷ Πέτρῳ, Βοήθει, ἔλεγον· πεφοβήμεθα γάρ (ἔφασαν), μὴ ἄρα
ἄρδην πάντες ἀπολώμεθα. τότε ὁ Σίμων τολμήσας ἅμα τῷ Ἀππίωνι
καὶ Ἀννουβίωνι καὶ Ἀθηνοδώρῳ καὶ τοῖς λοιποῖς ἑταίροις αὐτοῦ δη-
μοσίᾳ τοῖς ὄχλοις κατὰ τοῦ Πέτρου ἐβόα· Φεύγετε, ἄνδρες, τὸν ἄνδρα τοῦ-
τον· μάγος ἐστίν, πιστεύσατε, καὶ τὸν σεισμὸν αὐτὸς ἐποίησεν ἡμῖν καὶ
τὰς νόσους ἐκίνησεν αὐτός, ἵνα ὑμᾶς καταπλήξηται ὡς αὐτὸς ὢν θεός.
καὶ πολλὰ τοιαῦτα ὡς ὑπὲρ δύναμιν ἀνθρωπίνην δυναμένου τοῦ Πέτρου
κατεψεύδοντο οἱ περὶ τὸν Σίμωνα. ἡσυχίαν δὲ αὐτῷ παρασχόντων τῶν
ὄχλων ὁ Πέτρος βραχὺ ὑπομειδιάσας καταπληκτικῇ τῇ παρρησίᾳ, Ἄνδρες,
εἶπεν, ἅπερ οὗτοι λέγουσιν, θεοῦ θέλοντος ποιεῖν δυνατὸς εἶναι ὁμολογῶ,
πρὸς δὲ τούτοις ἕτοιμός εἰμι, ἐὰν μὴ πείθησθέ μοι περὶ ὧν λέγω, τὴν
πᾶσαν ὑμῶν ἐκβαθρεῦσαι πόλιν. τῶν δὲ ὄχλων φοβηθέντων καὶ ἑτοίμως
ποιήσειν ἐπαγγειλαμένων ὅπερ ἂν ὑπ' αὐτοῦ κελεύωνται, Μηδεὶς ὑμῶν,
ἔφη ὁ Πέτρος, μήτε ὁμιλείτω τούτοις τοῖς γόησιν μήτε ἀναμιγνύσθω. οἱ
δὲ ὄχλοι ἅμα τῷ ἀκοῦσαι τοῦ κελεύσματος τοῦ συντόμου ξύλα λαβόντες
ἐδίωκον αὐτούς, ἕως αὐτοὺς παντελῶς τῆς πόλεως ἐξήλασαν. καὶ εἰσελθόντες
οἱ νοσοῦντες αὐτῶν καὶ δαιμονῶντες πρὸς ποσὶν τοῦ Πέτρου ἑαυτοὺς ἐρ-
ρίπτουν. ὁ δὲ ταῦτα βλέπων καὶ τὴν κατάπληξιν αὐτῶν ἀναλῦσαι θέλων
πρὸς αὐτοὺς ἔφη· Ἐγὼ σεισμοὺς καὶ πᾶν ὅ, τι βούλομαι ποιεῖν εἰ ἐδυνά-
μην, Σίμωνα οὐ λέγω ὅτι μετὰ τῶν αὐτοῦ ἑταίρων ἐξωλόθρευον (οὐ γὰρ
ἐπὶ φθορᾷ ἀνθρώπων ἀπέσταλμαι), ἀλλὰ φίλον ἐμαυτῷ αὐτὸν ἂν ἐποιησάμην,

ἵνα μή μου τὸ ἀληθὲς διαβάλλων κήρυγμα πολλοῖς ἐμποδίζῃ πρὸς σωτηρίαν.
εἰ δ' ἐμοὶ πιστεύετε, αὐτός ἐστιν μάγος, αὐτὸς διάβολος, αὐτὸς κακίας
ὑπηρέτης κατὰ τῶν ἀγνοούντων τὸ ἀληθές· καὶ διὰ τοῦτο ἁμαρτάνουσι
νόσους ἐνεργεῖν δύναται, συνεργοὺς ἔχων τοὺς ἁμαρτάνοντας τῆς κατ'
αὐτῶν δυνάμεως. ἐγὼ δὲ θεοῦ τοῦ πάντα πεποιηκότος εἰμὶ δοῦλος,
τοῦ δεξιοῦ αὐτοῦ προφήτου μαθητής. διὸ ἐκείνου ἀπόστολος ὢν ἀλη-
θεύω. ἀγαθῷ γὰρ ὑπηρετῶν καὶ νόσους ἀπελαύνω· ἐπέμφθην γὰρ
δεύτερος· ἐπεὶ προηγεῖται μὲν νόσος, ἕπεται δὲ ἴασις, δι' ἐκείνου μὲν
οὖν τοῦ κακοποιοῦ μάγου τῷ θεῷ ἀπιστήσαντες ἐνοσήσατε, δι' ἐμοῦ
δὲ ἐάν τε αὐτῷ πιστεύσητε, ἰαθήσεσθε. οὕτω γὰρ τοῦ δυνατοῦ τὴν
πεῖραν λαβόντες, ἐπὶ τὸ εὖ ποιεῖν τραπόμενοι καὶ τὰς ψυχὰς ἀνασωθῆναι
δυνηθείητε. ταῦτα αὐτοῦ λέγοντος οἱ πάντες γονυπετεῖς πρὸ τῶν
αὐτοῦ ἔκειντο ποδῶν. ὁ δὲ εἰς οὐρανὸν ἄρας τὰς χεῖρας καὶ τῷ θεῷ
προσευξάμενος ἰάσατο τοὺς πάντας ἐκ μόνης εὐχῆς. οὐκ ὀλίγων δὲ
ἡμερῶν παραμείνας τοῖς Βηρυτίοις καὶ πολλοὺς τῇ μοναρχικῇ θρησκείᾳ
συνεθίσας καὶ βαπτίσας, ἀπὸ τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἕνα
ἐπίσκοπον αὐτοῖς καταστήσας, εἰς τὴν Βύβλον ἐξῄει. καὶ γενόμενος ἐκεῖ καὶ
μαθών, ὅτι Σίμων οὐδὲ μιᾶς ἡμέρας αὐτοῖς προσέμεινεν, ἀλλ' εὐθέως εἰς Τρί-
πολιν ὥρμησεν, ὀλίγων ἡμερῶν αὐτοῖς ἐπιμείνας καὶ θεραπεύσας οὐκ ὀλίγους
καὶ ταῖς βίβλοις αὐτοὺς ἐνασκήσας, κατ' ἴχνος τοῦ Σίμωνος εἰς τὴν Τρίπολιν
ἐπορεύετο, μεταδιώκειν αὐτὸν μᾶλλον, οὐχ ὑποφεύγειν προῃρημένος.

[ΟΜΙΛΙΑ Η.]

Εἰς δὲ τὴν Τρίπολιν εἰσιόντι τῷ Πέτρῳ οἱ φιλομαθέστεροι ἔκ τε τῆς Τύρου καὶ Σιδῶνος Βηρυτοῦ τε καὶ Βύβλου καὶ ἐκ τῶν πλησιοχώρων πολλοὶ συνεισῄεσαν. οὐχ ἥκιστα δὲ τῶν ἀπ' αὐτῆς τῆς πόλεως ὄχλων συνδρομαὶ ἐγίνοντο ἱστορεῖν βουλομένων αὐτόν. συνετύγχανον οὖν ἡμῖν ἐν τοῖς προαστείοις οἱ ὑπ' αὐτοῦ ἐκπεμφθέντες ἀδελφοὶ τά τε ἄλλα τὰ κατὰ τὴν πόλιν καὶ τὰ πραττόμενα τῷ Σίμωνι ἐξακριβῶσαι, ὅπως ἐλθόντες ὑφηγήσωνται. ἀποδεξάμενοι <...> αὐτὸν ἐπὶ τὴν Μαροόνου ἦγον οἰκίαν. ὁ δὲ ἐπ' αὐτῷ τῷ τῆς ξενίας πυλῶνι ἤδη γεγονώς, ἐπιστραφεὶς τοῖς ὄχλοις ὑπέσχετο μετὰ τὴν ἐπιοῦσαν περὶ θεοσεβείας αὐτοῖς διαλεχθῆναι. εἰσελθόντος δὲ αὐτοῦ οἱ πρόοδοι τοῖς συνεληλυθόσιν ξενίας ηὐτρέπιζον. οὐκ ἀπελείποντο δὲ οὐδὲ οἱ ἀποδεχόμενοι καὶ ξενίζοντες τῆς τῶν ἀξιούντων προθυμίας. τούτων δὲ οὐδὲν εἰδὼς ὁ Πέτρος, ἀξιωθεὶς ὑφ' ἡμῶν τροφῆς μεταλαβεῖν ἔφη μὴ μεταλήψεσθαι πρότερον αὐτός, πρὶν ἢ τοὺς συνεληλυθότας αὐτῷ διαναπαύσασθαι. ἀποκρινομένων δὲ ἡμῶν ὅτι· Ἔφθη τοῦθ' οὕτως γεγενῆσθαι, προφάσει τῆς πρὸς σὲ στοργῆς σπουδῇ πάντας αὐτοὺς ὑποδεξαμένων, ὡς τοὺς μὴ ἐσχηκότας οὓς ξενίσουσιν ὑπερβαλλόντως λελυπῆσθαι, ὁ Πέτρος ἀκούσας καὶ ἡσθείς, τῆς ὀξείας φιλανθρωπίας εὐλογήσας αὐτοὺς ἐξῆλθεν καὶ θαλάσσῃ λουσάμενος εἰσελθὼν καὶ σιτίων σὺν τοῖς προόδοις μεταλαβὼν ἑσπέρας ἐπικαταλαβούσης ὕπνωσεν. ὑπὸ δὲ τὰς δευτέρας τῶν ἀλεκτρυόνων φωνὰς διυπνισθεὶς εὗρεν ἡμᾶς ἐγρηγορότας. ἦμεν δὲ σὺν αὐτῷ οἱ πάντες ἓξ καὶ δέκα, αὐτὸς ὁ Πέτρος κἀγὼ ὁ Κλήμης Νικήτης τε καὶ Ἀκύλας καὶ οἱ προοδεύσαντες δώδεκα. προσαγορεύσας οὖν ἡμᾶς ἔφη· Σήμερον

τοῖς ἔξω μὴ σχολάζοντες ἀλλήλοις ἐσμὲν εὔσχολοι. διὸ ἐγὼ μὲν ὑμῖν τὰ μετὰ τὴν ἀπὸ Τύρου ἔξοδον γεγενημένα διηγήσομαι, ὑμεῖς δὲ ἐμοὶ τὰ ἐνταῦθα ὑπὸ τοῦ Σίμωνος πεπραγμένα καὶ ἀκριβέστερον ἐξηγήσασθε.
ἀμειψαμένων οὖν ἀλλήλους ταῖς ἐν μέρει διηγήσεσιν εἰσῄει τις τῶν συνήθων ἀπαγγέλλων Πέτρῳ ὅτι· Σίμων μαθών σε ἐπιδημήσαντα τὴν ἐπὶ
Συρίαν ὥρμησεν ὁδόν, οἱ δὲ ὄχλοι τὴν μίαν ταύτην νύκτα ὡς ἐνιαυτοῦ χρόνον ἡγησάμενοι καὶ ἀναμένειν τὴν δοθεῖσαν ὑπὸ σοῦ προθεσμίαν μὴ
δυνάμενοι, πρὸ τῶν θυρῶν ἑστήκασιν κατὰ συστάσεις καὶ συλλόγους, ἀλλήλοις περὶ τῆς τοῦ Σίμωνος διαβολῆς διαλαλοῦντες ὅτι μετεωρίσας
αὐτοὺς καὶ ἐπὶ πολλοῖς κακοῖς σε ἐλέγξειν ἐλθόντα ὑποσχόμενος, ἐπιδη-
μήσαντα γνοὺς νύκτωρ ἔφυγεν· πλὴν ἐπιθυμοῦσιν αὐτοῖς ἀκοῦσαί σου
οὐκ οἶδα πόθεν φήμη τις ἐπέπεσεν ὡς μέλλοντός σου σήμερον αὐτοῖς διαλέγεσθαι. ἵνα οὖν μὴ ἐπὶ πολὺ καμόντες ἀλόγως διαλύωνται, τί χρή
σε ποιεῖν, αὐτὸς γινώσκεις.

Καὶ ὁ Πέτρος θαυμάσας τῶν ὄχλων τὴν σπουδὴν ἀπεκρίνατο· Ὁρᾶτε,
ἀδελφοί, πῶς οἱ τοῦ κυρίου ἡμῶν λόγοι ἐμφανῶς τελοῦνται. μέμνημαι γὰρ
αὐτοῦ εἰπόντος· «Πολλοὶ ἐλεύσονται ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, ἄρκτου
τε καὶ μεσημβρίας, καὶ ἀνακλιθήσονται εἰς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ
καὶ Ἰακώβ. ἀλλὰ καὶ «πολλοί (φησίν) κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί». τὸ μὲν
οὖν ἐλθεῖν αὐτοὺς κληθέντας πεπλήρωται. ἐπεὶ δὲ οὐκ αὐτῶν ἐστιν τοῦτο
ἴδιον, ἀλλὰ τοῦ καλέσαντος αὐτοὺς θεοῦ καὶ ἐλθεῖν πεποιηκότος, ἐπὶ τούτῳ
μόνῳ μισθὸν οὐκ ἔχουσιν, ὅτι μὴ αὐτῶν ἴδιον, ἀλλὰ τοῦ ἐνεργήσαντος. ἐὰν
δὲ μετὰ τὸ κληθῆναι καλὰ πράξωσιν, ὅπερ ἐστὶν αὐτῶν ἴδιον, τότε ἐπὶ τούτῳ
μισθὸν ἕξουσιν. οὐδὲ γὰρ Ἑβραῖοι Μωυσεῖ πιστεύοντες καὶ τὰ δι'
αὐτοῦ ·ηθέντα μὴ φυλάσσοντες σόζονται, ἐὰν μὴ τὰ ·ηθέντα αὐτοῖς

φυλάξωσιν. ὅτι καὶ τὸ Μωυσεῖ πιστεῦσαι αὐτοὺς οὐχὶ τῆς αὐτῶν βουλῆς γέγονεν, ἀλλὰ τοῦ θεοῦ τοῦ εἰρηκότος Μωυσεῖ· «Ἰδοὺ παραγίνομαι
ἐγὼ πρὸς σὲ ἐν στύλῳ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς
σὲ καὶ σοὶ πιστεύσωσιν εἰς τὸν αἰῶνα». ἐπεὶ οὖν Ἑβραίοις τε καὶ τοῖς ἀπὸ ἐθνῶν κεκλημένοις τὸ διδασκάλοις ἀληθείας πιστεῦσαι ἐκ θεοῦ γέ-
γονεν, τῶν καλῶν πράξεων ἰδίᾳ κρίσει ἑκάστῳ ποιεῖν ἀπολελειμμένων,
ὁ μισθὸς τοῖς εὖ πράσσουσιν δικαίως ἀποδίδοται. οὔτε γὰρ ἂν Μωυσέως οὔτε τῆς τοῦ Ἰησοῦ παρουσίας χρεία ἦν, εἴπερ ἀφ' ἑαυτῶν τὸ εὔλογον νοεῖν ἐβούλοντο, οὐδὲ ἐν τῷ πιστεύειν διδασκάλοις καὶ κυρίους
αὐτοὺς λέγειν ἡ σωτηρία γίνεται. τούτου γὰρ ἕνεκεν ἀπὸ μὲν Ἑβραίων
τὸν Μωυσῆν διδάσκαλον εἰληφότων καλύπτεται ὁ Ἰησοῦς, ἀπὸ δὲ τῶν Ἰησοῦ πεπιστευκότων ὁ Μωυσῆς ἀποκρύπτεται· μιᾶς γὰρ δι' ἀμφοτέρων
διδασκαλίας οὔσης τὸν τούτων τινὶ πεπιστευκότα ὁ θεὸς ἀποδέχεται.
ἀλλὰ τὸ πιστεύειν διδασκάλῳ ἕνεκα τοῦ ποιεῖν τὰ ὑπὸ τοῦ θεοῦ λεγόμενα γίνεται. ὅτι δὲ τοῦθ' οὕτως ἔχει, αὐτὸς ὁ κύριος ἡμῶν λέγει·
«Ἐξομολογοῦμαί σοι, πάτερ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἔκρυψας ταῦτα
ἀπὸ σοφῶν πρεσβυτέρων καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις θηλάζουσιν».
οὕτως αὐτὸς ὁ θεὸς τοῖς μὲν ἔκρυψεν διδάσκαλον ὡς προεγνωκόσιν ἃ δεῖ πράττειν, τοῖς δὲ ἀπεκάλυψεν ὡς ἀγνοοῦσιν ἃ χρὴ ποιεῖν. οὔτε οὖν
Ἑβραῖοι περὶ ἀγνοίας Ἰησοῦ καταδικάζονται διὰ τὸν κρύψαντα, ἐάν γε
πράττοντες τὰ διὰ Μωυσέως ὃν ἠγνόησαν μὴ μισήσωσιν–οὔτ' αὖ οἱ ἀπὸ
ἐθνῶν ἀγνοήσαντες τὸν Μωυσῆν διὰ τὸν καλύψαντα καταδικάζονται,
ἐάνπερ καὶ οὗτοι πράσσοντες τὰ διὰ τοῦ Ἰησοῦ ·ηθέντα μὴ μισήσωσιν
ὃν ἠγνόησαν. καὶ οὐκ ἐν τῷ τοὺς διδασκάλους κυρίους καλεῖν, τὰ δὲ δού-
λων μὴ ποιεῖν ὠφελοῦνταί τινες. τούτου γὰρ ἕνεκεν ὁ Ἰησοῦς ἡμῶν πρός
τινα πυκνότερον κύριον αὐτὸν λέγοντα, μηδὲν δὲ ποιοῦντα ὧν αὐτὸς προσέτασσεν ἔφη· «Τί με λέγεις· Κύριε, κύριε, καὶ οὐ ποιεῖς ἃ λέγω;» οὐ

γὰρ ὠφελήσει τινὰ τὸ λέγειν, ἀλλὰ τὸ ποιεῖν. ἐκ παντὸς οὖν τρόπου κα-
λῶν ἔργων χρεία, πλὴν εἴ τις καταξιωθείη τοὺς ἀμφοτέρους ἐπιγνῶναι ὡς μιᾶς
διδασκαλίας ὑπ' αὐτῶν κεκηρυγμένης, οὗτος ἀνὴρ ἐν θεῷ πλούσιος κατη-
ρίθμηται, τά τε ἀρχαῖα νέα τῷ χρόνῳ καὶ τὰ καινὰ παλαιὰ ὄντα νενοηκώς.

Ταῦτα τοῦ Πέτρου λέγοντος οἱ ὄχλοι ὥσπερ ὑπό τινος κληθέντες εἰσῄεσαν ἔνθα ὁ Πέτρος ἦν. ὁ δὲ τὸν πολὺν ὄχλον ἰδὼν ὥσπερ ποταμοῦ
ἥσυχον ·εὖμα πράως προσρέοντα, ἔφη τῷ Μαροόνῃ· Ποῦ σοι τόπος ἐνταῦθα
μᾶλλον τοὺς ὄχλους χωρεῖν δυνάμενος; τοῦ δὲ Μαροόνου εἰς τὸν ὕπαιθρον
κεκηπευμένον προάγοντος εἴποντο οἱ ὄχλοι. ὁ δὲ Πέτρος ἐπί τινος βά-
σεως ἀνδριάντος οὐ πάνυ ὑψηλῆς ἐπιστάς, ἅμα τῷ τὸν ὄχλον θεοσεβεῖ
ἔθει προσαγορεῦσαι, εἰδὼς πολλοὺς ἐκ τῶν παρεστώτων ὄχλων ὑπὸ
δαιμόνων τε καὶ πολλῶν παθῶν ἐκ πολλῶν χρόνων ἐνοχλουμένους, βρύχον-
τάς τε μετὰ οἰμωγῆς καὶ πίπτοντας μετὰ ἱκεσίας, ἐπιτιμήσας αὐτοῖς καὶ ἡσυ-
χίαν ἔχειν προστάξας καὶ τὴν ἴασιν μετὰ τὸ διαλεχθῆναι ὑποσχόμενος
τοῦ λέγειν ἤρξατο οὕτως·

Ἀρχόμενος τὸν ὑπὲρ θεοσεβείας λόγον ποιεῖσθαι τοῖς παντελῶς ἀγνοοῦσι
τὰ πάντα καὶ ὑπὸ τῶν τοῦ ἀντικειμένου ἡμῖν Σίμωνος διαβολῶν ἐσπιλω-
μένοις τὸν νοῦν, ἀναγκαῖον ἡγησάμην πρῶτον ὑπὲρ τοῦ μὴ δεῖν μέμφεσθαι
τὸν τὰ πάντα πεποιηκότα θεὸν τὸν λόγον ποιήσασθαι, οὐκ ἄλλοθεν ἀρχό-
μενος ἢ ἀπ' αὐτῆς τῆς κατὰ πρόνοιαν ὑπ' αὐτοῦ εὐκαίρως ὑποβληθείσης
προφάσεως, ἵνα γνωσθῇ ὡς εὐλόγως οἱ πολλοὶ ὑπὸ πολλῶν δαιμόνων συνεσχέ-
θησαν καὶ ὑπὸ ἀλλοκότων παθῶν κατελήφθησαν, ὅπως καὶ ἐν τούτῳ τὸ τοῦ

θεοῦ δίκαιον φανῇ. καὶ οἱ δι' ἄγνοιαν μεμφόμενοι αὐτὸν κἂν νῦν μαθόντες
ὡς δεῖ φρονεῖν, δι' εὐφημίας τε καὶ εὐποιίας τοῦ προτέρου ἐγκλήματος
ἑαυτοὺς ἀνακαλέσονται, αἰτίαν τοῦ κακοῦ τολμήματος τὴν ἄγνοιαν εἰς τὴν
συγγνώμην προθέμενοι. ἔχει δὲ οὕτως· τοῦ μόνου ἀγαθοῦ θεοῦ τὰ πάντα
καλῶς πεποιηκότος καὶ παραδεδωκότος τῷ κατ' εἰκόνα αὐτοῦ γενομένῳ
ἀνθρώπῳ, ὁ γεγονὼς τῆς τοῦ πεποιηκότος αὐτὸν πνέων θειότητος, ἀληθὴς
προφήτης ὢν καὶ εἰδὼς τὰ ὅλα, εἰς τιμὴν τοῦ πάντα αὐτῷ δωρησαμένου
πατρὸς καὶ εἰς σωτηρίαν τῶν ἐξ αὐτοῦ γενομένων υἱῶν, ὡς πατὴρ γνήσιος
πρὸς τοὺς ὑπ' αὐτοῦ γενομένους παῖδας ἀποσόζων τὸ εὔνουν, βουλόμε-
νος αὐτοὺς πρὸς τὸ συμφέρον αὐτοῖς φιλεῖν θεὸν καὶ φιλεῖσθαι ὑπ'
αὐτοῦ, τὴν πρὸς φιλίαν αὐτοῦ ἄγουσαν ἐξέφηνεν ὁδόν, διδάξας ποίαις
ἀνθρώπων πράξεσιν ὁ μόνος καὶ πάντων δεσπότης θεὸς εὐφραίνεται, καὶ
τὰ ἐκείνῳ δοκοῦντα ἐκφήνας νόμον αἰώνιον ὥρισεν τοῖς ὅλοις, μήτε πο-
λέμῳ ἐμπρησθῆναι δυνάμενον μήθ' ὑπὸ ἀσεβοῦς τινος ὑπονοθευόμενον
μήτε ἑνὶ τόπῳ ἀποκεκρυμμένον, ἀλλὰ πᾶσιν ἀναγνωσθῆναι δυνά-
μενον. ἦν οὖν αὐτοῖς ἐκ τῆς πειθαρχίας τοῦ νόμου πάντα ἄφθονα,
τὰ τῶν καρπῶν κάλλιστα, τὰ τῶν ἐτῶν τέλεια καὶ ἄλυπα καὶ ἄνοσα, μετὰ
πάσης τῆς τῶν ἀέρων εὐκρασίας ἀδεῶς δεδωρημένα. οἱ δὲ ἐπεὶ
μὴ πρῶτον τῶν κακῶν ἐπειράθησαν, πρὸς τὴν τῶν ἀγαθῶν δωρεὰν
ἀναισθήτως ἔχοντες ὑπὸ τῆς ἀφθόνου τροφῆς καὶ τρυφῆς εἰς ἀχαριστίαν
ἐξετρέποντο, ὡς νομίσαι αὐτοὺς μήδ' εἶναι πρόνοιαν, ἐπεὶ μὴ πρότερον
καμόντες ἐπὶ δικαιοσύνης ὡς μισθὸν τὰ ἀγαθὰ εἰλήφεσαν, ἅτε μηδενὸς
αὐτῶν ἢ πάθει τινὶ ἢ νόσῳ ἢ ἄλλῃ τινὶ ἀνάγκῃ ὑποπεσόντος, ἵνα (ὡς
ἀνθρώποις φίλον ἐστὶν ὑπὸ τῆς κακῆς δι' ἁμαρτίας κακωθεῖσιν) ἑαυτοῖς

τὸν ἰᾶσθαι δυνάμενον περιβλέψωνται θεόν. ἀλλὰ γὰρ εὐθέως μετὰ τὴν
ἐκ τῆς ἀφοβίας καὶ ἀδεοῦς τρυφῆς καταφρόνησιν ὥσπερ ἐξ ἁρμονίας
τινὸς ἀκολούθως ἐφηρμοσμένης δικαία τις αὐτοῖς ἀπήντησεν τιμωρία,
τὰ μὲν ἀγαθὰ ὡς βλάψαντα ἀπωθοῦσα, τὰ δὲ κακὰ ὡς ὠφελήσοντα
ἀντεισφέρουσα.

Τῶν γὰρ τὸν οὐρανὸν ἐνοικούντων πνευμάτων οἱ τὴν κατωτάτω
χώραν κατοικοῦντες ἄγγελοι, ἀχθεσθέντες ἐπὶ τῇ τῶν ἀνθρώπων εἰς θεὸν
ἀχαριστίᾳ αἰτοῦνται εἰς τὸν ἀνθρώπων ἐλθεῖν βίον, ἵνα ὄντως ἄνθρωποι
γενόμενοι, ἐπὶ πολιτείᾳ πλείονι τοὺς εἰς αὐτὸν ἀχαριστήσαντας ἐλέγξαντες
αὐτόθι τῇ κατ' ἀξίαν ἕκαστον ὑποβάλωσιν τιμωρίᾳ. ὁπότε οὖν αἰτήσαντες
ἔλαβον, πρὸς πᾶσαν ἑαυτοὺς μετέβαλον φύσιν, ἅτε θειωδεστέρας ὄντες οὐσίας
καὶ ·ᾳδίως πρὸς πάντα μετατρέπεσθαι δυνάμενοι. καὶ ἐγένοντο λίθος τίμιος
καὶ μαργαρίτης περίβλεπτος πορφύρα τε εἰ τύχοι καλλίστη καὶ χρυσὸς ἔνδο-
ξος καὶ πᾶσα πολυτίμιος ὕλη. καὶ τῶν μὲν εἰς χεῖρας, τῶν δὲ εἰς κόλπον
ἐνέπιπτον καὶ ὑπὸ αὐτῶν ἑκόντες ἐκλέπτοντο, μετεβάλλοντο δὲ καὶ εἰς τετρά-
ποδα καὶ εἰς ἑρπετὰ νηκτά τε καὶ πτηνὰ καὶ εἰς πᾶν ὅπερ ἤθελον. ἅτινα καὶ οἱ
παρ' ὑμῖν ποιηταὶ ἀφοβίας αἰτίᾳ ὡς ἔτυχεν °δουσιν, ἐνὶ τοίνυν τὰς πάντων
πολλὰς καὶ διαφόρους πράξεις ἀπονέμοντες. πλὴν ὅτε ταῦτα γενόμενοι
τοὺς διαρπάσαντας αὐτοὺς πλεονέκτας ἤλεγξαν καὶ εἰς τὴν ἀνθρώ-
πων φύσιν ἑαυτοὺς μετέβαλον, ἵνα ὁσίως πολιτευσάμενοι καὶ τὸ δυνα-
τὸν τοῦ πολιτεύεσθαι δείξαντες τοὺς ἀχαρίστους εὐθύναις ὑποβάλωσιν,
ἐπειδὴ ὄντως τὰ πάντα ἄνθρωποι ἐγίνοντο καὶ τὴν ἐπιθυμίαν ἔσχον τὴν
ἀνθρωπίνην, ὑπὸ ταύτης κρατούμενοι εἰς γυναικῶν μίξιν ὤλισθον, αἷς

συμπλακέντες καὶ μιασμῷ παγέντες καὶ τῆς πρώτης δυνάμεως παντελῶς
κενωθέντες τὰ ἐκ πυρὸς τραπέντα μέλη εἰς τὸ πρῶτον αὐτῶν τῆς ἰδίας
φύσεως ἀμίαντον μετασυγκρῖναι οὐκ ἐξίσχυσαν. τῷ γὰρ βάρει τῷ ὑπὸ
τῆς ἐπιθυμίας εἰς σάρκα τελευτήσαντος αὐτῶν τοῦ πυρός, τὴν ἀσεβοῦσαν
ὥδευσαν ὁδὸν κάτω· σαρκὸς γὰρ αὐτοὶ δεσμοῖς πεπεδημένοι κατέσχηνται
καὶ ἰσχυρῶς δέδενται, οὗ ἕνεκεν εἰς οὐρανοὺς ἀνελθεῖν οὐκέτι ἐδυνήθη-
σαν. μετὰ γὰρ συνουσίαν, ὃ τὸ πρῶτον ἐγίνοντο ἀπαιτηθέντες καὶ παρα-
σχεῖν μηκέτι δυνηθέντες, διὰ τὸ ἄλλο τι μετὰ μιασμὸν ἑαυτοὺς ποιῆσαι
μὴ δύνασθαι ἀρέσκειν τε ταῖς ἐρωμέναις βουλόμενοι ἀνθ' ἑαυτῶν τοὺς
τῆς γῆς μυελοὺς ὑπέδειξαν, λέγω δὲ τὰ ἐκ μετάλλων ἄνθη, χρυσόν,
χαλκόν, ἄργυρον, σίδηρον καὶ τὰ ὅμοια, σὺν τοῖς τιμιωτάτοις ἅπασιν
λίθοις. σὺν τούτοις δὲ τοῖς μαγευθεῖσιν λίθοις καὶ τὰς τέχνας τῶν πρὸς
ἕκαστα πραγμάτων παρέδοσαν καὶ μαγείας ὑπέδειξαν καὶ ἀστρονομίαν
ἐδίδαξαν δυνάμεις τε ·ιζῶν καὶ ὅσα ποτὲ ὑπὸ ἀνθρωπίνης ἐννοίας εὑρε-
θῆναι ἀδύνατον, ἔτι δὲ χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ὁμοίων χύσιν τάς
τε τῶν ἐσθήτων ποικίλας βαφάς. καὶ πάνθ' ἁπλῶς, ὅσαπερ πρὸς κόσμου
καὶ τέρψεώς ἐστι γυναικῶν, τῶν ἐν σαρκὶ δεθέντων δαιμόνων ἐστὶν
εὑρέματα. ἐκ δὲ τῆς νόθου μίξεως αὐτῶν ἄνθρωποι ἐγένοντο νό-
θοι, πολλῷ γε τῶν ἀνθρώπων κατὰ κορυφὴν μείζους, οὓς οἱ μετὰ ταῦτα
γίγαντας ὠνόμασαν, οὐ δρακοντόποδες ὄντες καὶ πρὸς θεὸν πόλεμον
ἀράμενοι, ὡς οἱ βλάσφημοι τῶν Ἑλλήνων °δουσιν μῦθοι, ἀλλὰ θηριώδεις
τὸν τρόπον καὶ μείζους μὲν ἀνθρώπων τὰ μεγέθη, ἐπείπερ ἐξ ἀγγέλων
ἐγένοντο, ἀγγέλων δὲ ἐλάττους, ἐπείπερ ἐκ γυναικῶν γεγέννηντο. ὁ
οὖν θεὸς εἰδὼς αὐτοὺς πρὸς τὸ θηριῶδες ἐξηγριωμένους καὶ πρὸς τὴν
ἑαυτῶν πλησμονὴν τὸν κόσμον οὐκ ἔχοντας αὐτάρκη (πρὸς γὰρ ἀνθρώ-
πων ἀναλογίαν ἐδημιουργήθη καὶ χρῆσιν ἀνθρωπίνην), ἵνα μὴ ἐνδείᾳ

τροφῆς ἐπὶ τὴν παρὰ φύσιν τῶν ζόων βορὰν τρεπόμενοι ἀνεύθυνοι δοκῶσιν εἶναι, ὡς δι' ἀνάγκην τοῦτο τετολμηκότες, μάννα αὐτοῖς ὁ παν-
τοδύναμος θεὸς ἐπώμβρισεν ἐκ ποικίλης ἐπιθυμίας, καὶ παντὸς οὗπερ ἐβούλοντο ἀπήλαυον· οἱ δ' ὑπὸ νόθου φύσεως τῷ καθαρῷ τῆς τροφῆς οὐκ ἀρεσκόμενοι, μόνης τῆς τῶν αἱμάτων γεύσεως ἐγλίχοντο. διὸ καὶ πρῶτοι σαρκῶν ἐγεύσαντο. οἱ δὲ σὺν αὐτοῖς ἄνθρωποι τὸ ὅμοιον τότε πρῶτον ποιεῖν ἐζήλωσαν. οὕτως εἴτε ἀγαθοὶ εἴτε κακοὶ οὐ γεννώ-
μεθα, ἀλλὰ γινόμεθα καὶ ἐθισθέντες δυσαποσπάστως ἔχομεν. τῶν δὲ ἀλόγων ζόων τότε ἐπιλιπόντων, οἱ νόθοι ἄνθρωποι καὶ ἀνθρωπίνων σαρκῶν ἐγεύσαντο· οὐκέτι γὰρ αὐτοῖς ἦν μακρὰν τὴν ἰδίαν διαφθεῖραι
σάρκα, πρότερον ἐν ἑτέραις μορφαῖς αὐτῆς γευσαμένοις. ἐπὶ δὲ τῇ πολλῇ τῶν αἱμάτων ·ύσει ὁ καθαρὸς ἀὴρ ἀκαθάρτῳ ἀναθυμιάσει μιαν-
θεὶς καὶ νοσήσας τοὺς ἀναπνέοντας αὐτὸν νοσώδεις ἀπειργάζετο, ὡς τοὺς
ἀνθρώπους λοιπὸν ἀώρους ἀποθνῄσκειν. ἡ δὲ γῆ ἐκ τούτων σφόδρα μιαν-
θεῖσα πρῶτον τότε τὰ ἰοβόλα καὶ λυμαντικὰ ζῷα ἐξέβρασεν. τῶν οὖν πάντων πρὸς τὸ χεῖρον χωρησάντων διὰ τοὺς θηριώδεις δαίμονας, ὁ θεὸς αὐτοὺς ὥσπερ κακὴν ζύμην ἐξελεῖν ἐβουλεύετο, ἵνα μὴ ἀπὸ σπορᾶς κακῆς κατ' ἀκολουθίαν ἑκάστη γενεὰ τῇ πρὸ αὐτῆς ἐξομοιουμένη,
ὁμοίως ἀσεβοῦσα τὸν ἐσόμενον αἰῶνα σῳζομένων ἀνδρῶν κενώσῃ. τούτου δὴ ἕνεκεν ἑνί τινι δικαίῳ μετὰ τῶν ἐξ αὐτοῦ τριῶν σὺν ταῖς αὐ-
τῶν γυναιξὶν ἅμα τοῖς λοιποῖς ἐν λάρνακι διασόζεσθαι προαγγείλας ὕδωρ εἰς κατακλυσμὸν ἐπέκλυσεν, ἵνα πάντων ἀναλωθέντων ὁ κόσμος
κατεκκαθαρισθεὶς αὐτῷ τῷ ἐν λάρνακι διασωθέντι εἰς δευτέραν βίου ἀρχὴν καθαρὸς ἀποδοθῇ. καὶ δὴ οὕτως ἐγένετο. ἐπεὶ οὖν αἱ τῶν τε-
θνεώτων γιγάντων ψυχαὶ τῶν ἀνθρωπείων ψυχῶν μείζους ἦσαν, ἅτε δὴ καὶ τοῖς σώμασιν ὑπερέχουσαι, ὡς καινὸν γένος καινῷ καὶ τῷ ὀνό-
ματι προσηγορεύθησαν. οἷς ἐπηλύτοις τῷ κόσμῳ ὡς δεῖ βιοῦν ὑπὸ θεοῦ
δι' ἀγγέλου νόμος ὡρίσθη. ὄντες γὰρ νόθοι τῷ γένει ἐκ πυρὸς ἀγγέλων
καὶ αἵματος γυναικῶν καὶ διὰ τοῦτο ἰδίου τινὸς γένους ἐπιθυμεῖν μέλλον-
τες, δικαίῳ τινὶ προελήφθησαν νόμῳ. ἐξεπέμφθη γὰρ αὐτοῖς ὑπὸ τοῦ

θεοῦ ἄγγελός τις, τὴν αὐτοῦ βουλὴν μηνύων καὶ λέγων· Τάδε δοκεῖ τῷ παντεπόπτῃ θεῷ μηδενὸς ἀνθρώπων ὑμᾶς κυριεύειν μηδὲ παρενοχλεῖν
μηδενί, ἐὰν μή τις ἑκὼν ἑαυτὸν ὑμῖν καταδουλώσῃ προσκυνῶν ὑμᾶς καὶ θύων καὶ σπένδων καὶ τῆς ὑμετέρας μεταλαμβάνων τραπέζης ἢ ἕτερόν τι ὧν οὐ χρὴ ἐκτελῶν ἢ αἷμα χέων ἢ σαρκῶν νεκρῶν γευόμενος
ἢ θηρίου λειψάνου ἢ τμητοῦ ἢ πνικτοῦ ἢ ἄλλου τινὸς ἀκαθάρτου ἐμπι-πλάμενος. τῶν δὲ νόμῳ ἐμῷ προσφευγόντων οὐ μόνον οὐ ψαύσετε, ἀλλὰ καὶ τιμὴν δώσετε καὶ ἐκ προσώπου φεύξεσθε. ὅτι γὰρ ἂν αὐτοῖς δικαίοις οὖσι καθ' ὑμῶν δοκῇ, τοῦθ' ὑμᾶς δεήσει παθεῖν. ἐὰν δέ τινες τῶν ἐμοὶ προσκειμένων ἐξαμάρτωσιν ἢ μοιχευσάμενοι ἢ μαγεύσαντες ἢ
ἀκαθάρτως βιώσαντες ἢ ἄλλο τι τῶν ἐμοὶ μὴ δοκούντων πράξαντες, τότε
ἐξ ἐμῆς κελεύσεως πάσχειν τι αὐτοὺς ὑφ' ὑμῶν ἢ ὑφ' ἑτέρων δεήσει· οἷς καὶ μετανοήσασιν, τὴν μετάνοιαν κρίνας εἴτε ἀξία ἐστὶν συγγνώμης
εἴτε καὶ οὔ, τὴν ἀπόφασιν ποιήσομαι. ταῦτα οὖν μνημονεύειν καὶ ποιεῖν
ὀφείλετε εὖ εἰδότες, ὅτι οὐδὲ αἱ ἐνθυμήσεις ὑμῶν λαθεῖν αὐτὸν δυνήσονται.
τοιαῦτα παρακελευσάμενος αὐτοῖς ὁ ἄγγελος ἀπηλλάγη. ὑμεῖς δὲ ἔτι τοῦτον ἀγνοεῖτε τὸν νόμον, ὅτι προσκυνῶν τις δαίμονας ἢ θύων ἢ τραπέζης αὐτοῖς κοινωνῶν ὑπόδουλος αὐτοῖς γενόμενος ὡς ὑπὸ κακῶν
δεσποτῶν πάσης τῆς ἐξ αὐτῶν μεθέξει τιμωρίας· καὶ διὰ τὴν ἄγνοιαν ταύτην τοῖς αὐτῶν βωμοῖς προσφθαρέντες καὶ αὐτῶν ἐκπληρωθέντες ὑπὸ
τὴν αὐτῶν ἐξουσίαν γεγόνατε καὶ παντὶ τρόπῳ ὑβριζόμενοι τὰ σώματα
ἀγνοεῖτε. εἰδέναι δὲ ὑμᾶς χρὴ ὅτι οὐδενὸς οἱ δαίμονες ἔχουσιν ἐξουσίαν,
ἐὰν μὴ πρότερόν τις αὐτοῖς ὁμοδίαιτος γένηται, ὁπότε οὐδὲ ὁ αὐτῶν ἄρχων παρὰ τὸν ὑπὸ τοῦ θεοῦ κατ' αὐτῶν κείμενον νόμον ποιεῖν τι δύ-
ναται· διὸ ἐξουσίαν τινὸς οὐκ ἔχει μὴ προσκυνήσαντος αὐτόν· ἀλλ' οὐδὲ
λαβεῖν τις παρ' αὐτῶν δύναταί τι ὧν θέλει, ἀλλ' οὐδὲ βλαβῆναι οὐδέν, ὡς ἐκεῖθεν δύνασθε μαθεῖν.

Τῷ γὰρ τῆς εὐσεβείας ἡμῶν βασιλεῖ προσῆλθέν ποτε ὁ πρόσκαιρος βασι-
λεύς, οὐ βίαν ποιῶν (οὐ γὰρ ἐξῆν), ἀλλὰ προτρέπων καὶ ἀναπείθων, ὅτι
τὸ πεισθῆναι ἐπὶ τῇ ἑκάστου κεῖται ἐξουσίᾳ. προσελθὼν οὖν, ὡς τῶν παρόν-
των ὢν βασιλεὺς τῷ τῶν μελλόντων βασιλεῖ ἔφη· Πᾶσαι αἱ τοῦ νῦν κόσμου
βασιλεῖαι ὑπόκεινται ἐμοί, ἔτι τε ὁ χρυσὸς καὶ ὁ ἄργυρος καὶ πᾶσα ἡ τρυφὴ
τοῦ κόσμου τούτου ὑπὸ ταῖς ἐμαῖς ἐστιν ἐξουσίαις· διὸ πεσὼν προσκύνησόν
μοι, καὶ δώσω σοι πάντα ταῦτα. ταῦτα δὲ ἔλεγεν εἰδὼς ὅτι μετὰ τοῦ προσκυ-
νῆσαι καὶ τὴν κατ' αὐτοῦ εἶχεν ἐξουσίαν καὶ οὕτως τῆς μελλούσης δόξης
καὶ βασιλείας αὐτὸν ἀφῄρει. καὶ πάντα εἰδὼς οὐ μόνον αὐτὸν οὐ προσ-
εκύνησεν, ἀλλ' οὐδὲ τῶν ὑπ' αὐτοῦ δεδομένων λαβεῖν τι ἠθέλησεν·
ἑαυτὸν γὰρ σὺν τοῖς ἑαυτοῦ κατενεχύραζεν, ὅπερ ἐστὶν μὴ ἐξεῖναι τοῦ
λοιποῦ τῶν αὐτῷ ἀποδοθέντων μηδὲ ψαῦσαι ἔτι. ἀποκρινάμενος οὖν
ἔφη· «Γέγραπται· Κύριον τὸν θεόν σου φοβηθήσῃ καὶ αὐτῷ λατρεύσεις
μόνῳ». πλὴν ὁ τῶν ἀσεβῶν βασιλεὺς κατὰ πολλὰ τὸν τῶν εὐσεβῶν
βασιλέα πρὸς τὸ ἑαυτοῦ βούλημα παράγειν πειρώμενος καὶ μὴ δυνηθεὶς
ἐπαύσατο, πρὸς τὰ λοιπὰ τῆς πολιτείας θηρεύειν αὐτὸν ἐπιχειρῶν. ὑμεῖς δὲ
τὸν προορισθέντα νόμον ἀγνοοῦντες διὰ τῶν κακῶν πράξεων ὑπὸ τὴν ἐξου-
σίαν αὐτοῦ ἐγένεσθε, διὸ σῶμα καὶ ψυχὴν ἐμιάνθητε καὶ ἐν μὲν τῷ
παρόντι ὑπό τε παθῶν καὶ δαιμόνων ἐνυβρίζεσθε, ἐν δὲ τοῖς μέλλουσιν
τὰς ψυχὰς κολασθησομένας ἕξετε. τοῦτο δὲ οὐχ ὑμεῖς μόνοι ὑπὸ
ἀγνοίας πεπόνθατε, ἀλλὰ καί τινες τοῦ ἡμετέρου ἔθνους, οἵτινες ἐπὶ
κακαῖς πράξεσιν ὑπὸ τοῦ τῆς κακίας ἡγεμόνος προληφθέντες, ἔπειτα ὥσπερ
ἐπὶ δεῖπνον ὑπὸ πατρὸς υἱῷ τελοῦντος γάμους κληθέντες οὐχ ὑπήκουσαν.
ἀντὶ δὲ τῶν ἀπειθησάντων διὰ τὴν πρόληψιν ὁ τοὺς γάμους τῷ υἱῷ
τελῶν πατὴρ διὰ τοῦ προφήτου τῆς ἀληθείας ἐκέλευσεν ἡμῖν εἰς τὰς διεξ-

όδους τῶν ὁδῶν ἐλθοῦσιν (ὅ ἐστιν πρὸς ὑμᾶς) καθαρὸν ἔνδυμα γάμου περιβαλεῖν (ὅπερ ἐστὶν βάπτισμα, ὃ εἰς ἄφεσιν γίνεται τῶν πεπραγμένων
ὑμῖν κακῶν) καὶ τοὺς ἀγαθοὺς εἰς τὸ θεοῦ δεῖπνον εἰσάγειν ἐκ τῆς μεταμελείας, εἰ καὶ τὴν ἀρχὴν ἀπελείφθησαν τῆς εὐωχίας. ἔνδυμα
οὖν εἰ βούλεσθε γενέσθαι θείου πνεύματος, σπουδάσατε πρῶτον ἐκδύσα-
σθαι τὸ ·υπαρὸν ὑμῶν προκάλυμμα (ὅπερ ἐστὶν ἀκάθαρτον πνεῦμα) καὶ
μιαρὸν περίβλημα. τοῦτο δὲ οὐκ ἄλλως ἀποδύσασθαι δύνασθε, ἐὰν μὴ πρότερον ἐπὶ καλαῖς πράξεσιν βαπτισθῆτε, καὶ οὕτω καθαροὶ σώματί τε
καὶ ψυχῇ γενόμενοι τῆς ἐσομένης ἀιδίου βασιλείας ἀπολαύσετε. μήτε οὖν εἰδώλοις πιστεύετε μήτε τραπέζης αὐτοῖς κοινωνεῖτε μιαρᾶς, μὴ φονεύετε, μὴ μοιχεύετε, μὴ μισήσητε οὓς μὴ δίκαιον, μὴ κλέπτετε μηδὲ
κακαῖς τισιν ὅλως πράξεσιν ἐπιβάλλεσθε. ἐπεὶ τῶν ἐσομένων ἀγαθῶν στερηθέντες τῆς ἐλπίδος, ἐν μὲν τῷ παρόντι ὑπό τε κακῶν δαιμόνων καὶ
χαλεπῶν παθημάτων συνελασθήσεσθε, ἐν δὲ τῷ ἐσομένῳ αἰῶνι ἀιδίῳ κολασθήσεσθε πυρί. τὰ μὲν οὖν σήμερον ὑμῖν ·ηθέντα αὐτάρκως ἔχει, λοιπὸν δὲ ὑμῶν οἱ μὲν ὑπὸ παθημάτων ὀχλούμενοι πρὸς τὴν ἴασιν παρα-
μείνατε, τῶν δὲ ἄλλων οἱ βουλόμενοι μετ' εἰρήνης πορεύεσθε.

Ταῦτα αὐτοῦ εἰπόντος οἱ πάντες παρέμειναν, οἱ μὲν τοῦ θεραπευθῆναι χάριν, οἱ δὲ τοῦ ἱστορῆσαι τοὺς τῆς θεραπείας ἐπιτυγχάνοντας. ὁ δὲ Πέτρος τὰς χεῖρας αὐτοῖς ἐπιθεὶς μόνον καὶ εὐξάμενος ἰάσατο, ὡς
τοὺς μὲν παραχρῆμα θεραπευθέντας γενέσθαι περιχαρεῖς, τοὺς δὲ ἱστορή-
σαντας ὑπερθαυμάσαι τε καὶ εὐφημήσαντας τὸν θεὸν βεβαίας ἐλπίδος πιστεύειν, ἅμα τοῖς θεραπευθεῖσιν ἐπὶ τὰ ἑαυτῶν ἀπιέναι, ἐντολὴν ἔχον-
τας πρωίτερον τῇ ὑστεραίᾳ συνελθεῖν. ἀπελθόντων δὲ αὐτῶν, ἐκεῖ μείνας
ὁ Πέτρος μετὰ τῶν συνήθων, τροφῆς μεταλαβὼν διανέπαυεν ἑαυτὸν τῷ
ὕπνῳ.

[ΟΜΙΛΙΑ Θ.]

Τῇ μὲν οὖν ἐπιούσῃ ἡμέρᾳ ὁ Πέτρος ἅμα τοῖς ἑταίροις ἐξιὼν καὶ ἐπὶ τὸν πρὸ μιᾶς τόπον ἐλθὼν καὶ ἐπιστὰς ἤρξατο λέγειν· Ὁ θεὸς τοὺς πάλαι ἀνθρώπους ἀσεβήσαντας πάντας ὕδατι διαφθείρας, ἐκ πάντων ἕνα εὐσεβῆ εὑρὼν ἐν λάρνακι μετὰ τριῶν αὐτοῦ υἱῶν καὶ γυναικῶν σωθῆναι ἐποίησεν. ὅθεν συνιδεῖν ἔστιν αὐτοῦ τὴν φύσιν, ὄχλου μὲν ἀσεβούντων οὐ φροντίζουσαν, ἑνὸς δὲ εὐσεβοῦς σωτηρίας οὐκ ἀμελοῦσαν.
πασῶν οὖν μείζων ἐστὶν ἀσέβεια τὸ τὸν μόνον πάντων καταλείψαντα δεσπότην πολλοὺς τοὺς οὐκ ὄντας ὡς ὄντας σέβειν θεούς. ἐὰν οὖν ἐμοῦ ὑμῖν ὑφηγουμένου καὶ δεικνύντος ὅτι τοῦτό ἐστι τὸ μέγιστον ἁμάρτημα, ὃ πάντας ὑμᾶς ἀπολέσαι δύναται, τὸν ὑμέτερον ὑποδράμῃ νοῦν ὅτι οὐκ ἀπόλλυσθε, πολλοὶ ὄντες ὄχλοι, ἠπάτησθε· ἔχετε γὰρ τοῦ πάλαι κατακλυσθέντος κόσμου τὸ ὑπόδειγμα. καίτοι ἐκείνων μὲν τὸ ἁμάρτημα πολὺ ἧττον ἦν τοῦ καθ' ὑμᾶς· ἐκεῖνοι γὰρ εἰς τοὺς ὁμοίους ἠσέβουν ἢ φονεύοντες ἢ μοιχεύοντες, ὑμεῖς δὲ εἰς τὸν τῶν ὅλων ἀσεβεῖτε
θεόν, ἀντ' αὐτοῦ ἢ καὶ σὺν αὐτῷ ἄψυχα ἀγάλματα σέβοντες καὶ τὸ θεῖον αὐτοῦ ὄνομα πάσῃ ἀναισθήτῳ ὕλῃ ἐπιρρίψαντες. πρῶτον μὲν οὖν δεδυστυχήκατε, μὴ γνωρίσαντες τὴν διαφορὰν τὴν μεταξὺ μοναρχίας
καὶ πολυαρχίας, ὅτι ἡ μὲν μοναρχία ὁμονοίας ἐστὶν παρεκτική, ἡ δὲ πο-
λυαρχία πολέμων ἐξεργαστική. τὸ γὰρ ἓν ἑαυτῷ οὐ μάχεται, τὰ δὲ πολλὰ πρόφασιν ἔχει τὴν πρὸς ἕτερον μάχην ἐπιχειρεῖν.

Αὐτίκα γοῦν εὐθὺ μετὰ τὸν κατακλυσμὸν ὁ Νῶε τριακόσια ἐπιζήσας ἔτη
μετὰ τῶν ἐξ αὐτοῦ γενομένων ὄχλων ἐν ὁμονοίᾳ διετέλει, τοῦ μό-
νου θεοῦ κατ' εἰκόνα ὑπάρξας βασιλεύς. μετὰ δὲ τὴν αὐτοῦ τελευτὴν πολλοὶ τῶν ἐξ αὐτοῦ βασιλείας ὠρέχθησαν καὶ πρὸς τὸ βασιλεῦσαι σπεύδοντες τὸ πῶς δυνηθείη ἕκαστος ἐπενόει. καὶ ὁ μὲν πολέμῳ, ἄλλος δόλῳ, ἕτερος πειθοῖ καὶ ἄλλος ἄλλως, ὧν εἷς τις ἀπὸ γέ-
νους ὢν Χάμ, τοῦ ποιήσαντος τὸν Μεστρέμ, ἐξ οὗπερ τὰ Αἰγυπτίων καὶ Βαβυλωνίων καὶ Περσῶν ἐπλήθυνε φῦλα. ἐκ τοῦ γένους τούτου γίνεταί τις κατὰ διαδοχὴν μαγικὰ παρειληφὼς ὀνόματι Νεβρώδ, ὥσπερ
γίγας ἐναντία τῷ θεῷ φρονεῖν ἑλόμενος, ὃν οἱ Ἕλληνες Ζωροάστρην προσηγόρευσαν. οὗτος μετὰ τὸν κατακλυσμὸν βασιλείας ὀρεχθεὶς καὶ

μέγας ὢν μάγος, τοῦ νῦν βασιλεύοντος κακοῦ τὸν ὡροσκοποῦντα κόσμον
ἀστέρα πρὸς τὴν ἐξ αὐτοῦ βασιλείας δόσιν μαγικαῖς ἠνάγκαζε τέχναις.
ὁ δέ (ἅτε δὴ ἄρχων ὢν καὶ τοῦ βιαζομένου τὴν ἐξουσίαν ἔχων) μετὰ
ὀργῆς τὸ τῆς βασιλείας προσέχεε πῦρ, ἵνα πρός τε τὸν ὁρκισμὸν εὐγνω-
μονήσῃ καὶ τὸν πρώτως ἀναγκάσαντα τιμωρήσηται. ἐκ ταύτης οὖν
τῆς ἐξ οὐρανοῦ χαμαὶ πεσούσης ἀστραπῆς ὁ μάγος ἀναιρεθεὶς Νεβρώδ,
ἐκ τοῦ συμβάντος πράγματος Ζωροάστρης μετωνομάσθη διὰ τὸ τὴν
τοῦ ἀστέρος κατ' αὐτοῦ ζῶσαν ἐνεχθῆναι ῥοήν. οἱ δὲ ἀνόητοι τῶν τότε
ἀνθρώπων ὡς διὰ τὴν εἰς θεὸν φιλίαν κεραυνῷ μεταπεμφθεῖσαν τὴν
ψυχὴν νομίσαντες, τοῦ σώματος τὸ λείψανον κατορύξαντες, τὸν μὲν
τάφον ναῷ ἐτίμησαν ἐν Πέρσαις, ἔνθα ἡ τοῦ πυρὸς καταφορὰ γέγονεν,
αὐτὸν δὲ ὡς θεὸν ἐθρήσκευσαν. τούτῳ τῷ ὑποδείγματι καὶ οἱ λοιποὶ
ἐκεῖσε τοὺς κεραυνῷ θνῄσκοντας ὡς θεοφιλεῖς θάπτοντες ναοῖς τιμῶσιν
καὶ τῶν τεθνεώτων ἰδίων μορφῶν ἱστᾶσιν ἀγάλματα. ἐντεῦθεν ὁμοίως
ἐζήλωσαν καὶ τῶν κατὰ τόπους οἱ δυναστεύσαντες, ὧν οἱ πλεῖστοι τῶν
αὐτοῖς ἠγαπημένων καὶ μὴ κεραυνῷ θνῃσκόντων τοὺς τάφους ναοῖς καὶ
ξοάνοις τιμῶντες καὶ βωμοὺς ἀνάπτοντες ὡς θεοὺς προσκυνεῖσθαι
προσέταξαν. πολλῷ δὲ ὕστερον διὰ τὸν πολὺν χρόνον ὑπὸ τῶν μετα-
γενεστέρων ὄντως θεοὶ εἶναι ἐνομίσθησαν. ὅμως τῆς ὑπαρχῆς μιᾶς
οὔσης, βασιλείας πολλαὶ διαιρέσεις τοῦτον ἐγένοντο τὸν τρόπον. Πέρσαι
πρῶτοι τῆς ἐξ οὐρανοῦ πεσούσης ἀστραπῆς λαβόντες ἄνθρακας τῇ οἰκείᾳ
διεφύλαξαν τροφῇ, καὶ ὡς θεὸν οὐράνιον προτιμήσαντες τὸ πῦρ,
ὡς πρῶτοι προσκυνήσαντες ὑπ' αὐτοῦ τοῦ πυρὸς πρῶτοι βασιλείας
τετίμηνται. μεθ' οὓς Βαβυλώνιοι ἀπὸ τοῦ ἐκεῖ πυρὸς ἄνθρακας κλέ-
ψαντες καὶ διασώσαντες εἰς τὰ ἑαυτῶν καὶ προσκυνήσαντες καὶ αὐτοὶ
ἀκολούθως ἐβασίλευσαν, Αἰγύπτιοι δὲ ὁμοίως πράξαντες καὶ τὸ
πῦρ ἰδίᾳ διαλέκτῳ Φθάε καλέσαντες, ὃ ἑρμηνεύεται Ἥφαιστος, οὗ
τῷ ὀνόματι καὶ ὁ παρ' αὐτοῖς πρῶτος βασιλεύσας προσαγορεύεται.

τοῦτον μὲν οὖν τὸν τρόπον χρησάμενοι καὶ οἱ κατὰ τόπον βασιλεύσαντες καὶ ἵδρυμα ποιήσαντες καὶ βωμοὺς εἰς τιμὴν τοῦ πυρὸς ἀνάψαντες τῆς μὲν βασιλείας οἱ πλεῖστοι ἀπεσβέσθησαν, τοῦ δὲ τὰ ξόανα σέβειν οὐκ ἐπαύσαντο διὰ τὴν κακὴν τῶν μάγων ἐπίνοιαν εὑρόν-
των αὐτοῖς προφάσεις κρατεῖν αὐτοὺς πρὸς τὴν ματαίαν λατρείαν δυνα-
μένας· ἱδρύσαντες γὰρ αὐτὰ μαγικαῖς τελεταῖς ἑορτὰς αὐτοῖς ὥρισαν ἔκ
τε θυμάτων, σπονδῶν, αὐλῶν τε καὶ κρότων, ὧν προφάσει οἱ ἀνόητοι ἀπατώμενοι, καίτοι τῆς βασιλείας αὐτῶν ἀφαιρεθείσης, αὐτοὶ τῶν παρ-
ελθουσῶν θρησκειῶν οὐκ ἀπολείπονται· ἐπὶ τοσοῦτον τῆς ἀληθείας διὰ τὴν ἡδυπάθειαν προετίμησαν τὴν πλάνην. οἳ καὶ μετὰ μέθην παρα-
βώμιον ἐπολολύζουσιν, τῆς ψυχῆς ἐκ βάθους ὥσπερ δι' ὀνείρων αὐτοῖς
τὴν μέλλουσαν ἐπὶ ταῖς τοιαύταις αὐτῶν πράξεσιν προαγγελλούσης τιμω-
ρίαν.

Πολλῶν οὖν ἐν βίῳ παρελθουσῶν θρησκειῶν πάρεσμεν φέροντες ὑμῖν (οἱ ἀγαθοὶ ἔμποροι) ἐκ προγόνων ἡμῖν παραδοθείσης καὶ φυλαχθεί-
σης θρησκείας ὡς σπέρματα φυτῶν, δεικνύντες καὶ ἐπὶ τῇ ὑμετέρᾳ κρίσει καὶ ἐξουσίᾳ τιθέντες. τὸ ὑμῖν δοκοῦν ἐπιλέξασθε. ἐὰν μὲν οὖν τὰ ἡμέτερα ἕλησθε, οὐ μόνον δαίμονας καὶ τὰ ἐκ δαιμόνων πάθη φυγεῖν δυνήσεσθε, ἀλλ' αὐτοὶ αὐτὰ φυγαδεύοντες καὶ ἱκετευόμενοι ὑπ'
αὐτῶν καὶ τῶν εἰσαεὶ ἐσομένων ἀγαθῶν ἀπολαύσετε. ἐπείγε τοὐν-
αντίον ἐν μὲν τῷ νῦν βίῳ ὑπὸ δαιμόνων ἀλλοκότοις πάθεσιν ἐνυβριζό-
μενοι, ἐπὶ τῇ ἐκ τοῦ σώματος ἀπαλλαγῇ καὶ τὰς ψυχὰς εἰσαεὶ κολα-
σθησομένας ἕξετε, τὰ ἀληθῆ οὐ θεοῦ καταδικάζοντος, ἀλλὰ κακῶν πρά-
ξεων τοιαύτην ἐχουσῶν κρίσιν. οἱ γὰρ δαίμονες διὰ τῆς αὐτοῖς ἀπο-
δοθείσης τροφῆς ἐξουσίαν ἔχοντες ὑπὸ τῶν ὑμετέρων χειρῶν εἰς τὰ ὑμέτερα εἰσκρίνεται σώματα. ἐνδομυχήσαντες γὰρ πολλῷ τῷ χρόνῳ καὶ τῇ ψυχῇ ἀνακίρνανται. καὶ διὰ τὴν ἀμέλειαν τῶν ἑαυτοῖς βοηθεῖν μὴ νοούντων ἢ καὶ μὴ βουλομένων, τούτων αὐτῶν ἐπὶ τῇ τοῦ σώματος λύσει ἡ ψυχὴ τῷ δαίμονι ἡνωμένη ἀνάγκην ἔχει φέρεσθαι ὑπ' αὐτοῦ εἰς οὓς βούλεται τόπους. τὸ δὲ πάντων χαλεπώτατον, ἐπὰν ἐν τῇ τῶν ὅλων συντελείᾳ ὁ δαίμων τὰ πρῶτα εἰς τὸ καθαῖρον πῦρ ἀποδοθῇ, ἡ

συγκραθεῖσα αὐτῷ ψυχὴ ἀνάγκην ἔχει αὐτὴ μὲν ἀπορρήτως κολάζεσθαι,
ὁ δὲ δαίμων ἥδεσθαι. ἡ γὰρ ἐκ φωτὸς οὖσα τὴν ἀλλόφυλον τοῦ πυρὸς φλόγα μὴ φέρουσα βασανίζεται, ὁ δὲ ἐν τῇ τοῦ γένους αὐτοῦ ὢν οὐσίᾳ μεγάλως ἥδεται, δεσμὸς δύσρηκτος γενόμενος τῆς ὑπ' αὐτοῦ συμποθείσης ψυχῆς. τὸ δὲ τοὺς δαίμονας γλίχεσθαι εἰς τὰ ἀνθρώπων εἰσδύειν σώματα, αἰτία αὕτη. πνεύματα ὄντες καὶ τὴν ἐπιθυμίαν ἔχοντες εἰς βρωτὰ καὶ ποτὰ καὶ συνουσίαν, μεταλαμβάνειν δὲ μὴ δυνά-
μενοι διὰ τὸ πνεύματα εἶναι καὶ δεῖσθαι ὀργάνων τῶν πρὸς τὴν χρῆσιν ἐπιτηδείων, εἰς τὰ ἀνθρώπων εἰσίασιν σώματα, ἵνα ὥσπερ ὑπουργούντων ὀργάνων τυχόντες, ὧν θέλουσιν, ἐπιτυχεῖν δυνατοὶ ὦσιν,
εἴτε βρωτῶν, διὰ τῶν ἀνθρώπου ὀδόντων, εἴτε συνουσίας, διὰ τῶν ἐκείνου αἰδοίων. ὅθεν πρὸς τὴν τῶν δαιμόνων φυγὴν ἡ ἔνδεια καὶ ἡ νηστεία καὶ ἡ κακουχία οἰκειότατόν ἐστιν βοήθημα. εἰ γὰρ τοῦ μεταλαμβάνειν χάριν εἰσέρχονται εἰς ἀνθρώπου σῶμα, δῆλον ὅτι κακουχίᾳ
φυγαδεύονται. ἀλλ' ἐπειδὴ ἔνια δεινότερα τυγχάνοντα προσφιλονεική-
σαντα καίτοι τιμωρούμενα τῷ τιμωρουμένῳ προσμένει σώματι, διὰ τοῦτο
χρὴ προσφεύγειν θεῷ εὐχαῖς καὶ δεήσεσιν ἀπεχομένους τε πάσης ἀκαθάρτου προφάσεως, ὅπως ἡ τοῦ θεοῦ χεὶρ εἰς ἴασιν αὐτοῦ ἐπιψαῦσαι δυνηθῇ ὡς ἁγνοῦ καὶ πιστεύοντος. δεῖ δὲ καὶ ἐν ταῖς εὐχαῖς τὸ θεῷ προσπεφευγέναι ὁμολογεῖν καὶ διαμαρτύρεσθαι τὴν τοῦ δαίμονος οὐκ ἀπείθειαν, ἀλλὰ βραδυτῆτα. πάντα γὰρ τῷ πιστεύοντι γίνεται, ἀπιστοῦντι δὲ οὐδέν. ὅθεν αὐτοὶ οἱ δαίμονες, εἰδότες ὧν ἐπικρατοῦσιν
τῆς πίστεως τὴν ποσότητα, ἀναλογοῦσαν ἐπιμετροῦσιν αὐτῶν τὴν ἐπιμονήν.
διὰ τοῦτο τοῖς ἀπιστοῦσιν ἐπιμένουσιν, τοῖς δὲ δυσπίστοις ἐνβραδύνουσιν,
τοῖς δὲ παντάπασιν πιστεύσασι καὶ εὖ πράττουσιν οὐδὲ πρὸς ·οπὴν ὥρας συνεῖναι δύνανται. ἡ γὰρ ψυχὴ τῇ πρὸς θεὸν πίστει ὡς εἰς ὕδατος φύσιν τραπεῖσα τὸν δαίμονα ὡς σπινθῆρα πυρὸς ἀποσβέννυσιν. κάματος οὖν ἐστιν ἑκάστῳ ἐννοηθῆναι τὴν τοῦ ἐν αὐτῷ δαίμονος φυγήν.
ἀνακιρνάμενοι γὰρ ταῖς ψυχαῖς, ὅπως τις τῆς αὐτοῦ σωτηρίας ἀμελήσῃ,

ἐνθυμήσεις πρὸς ἃ βούλονται ὑποβάλλουσιν εἰς τὸν ἑκάστου νοῦν. ὅθεν
πολλοὶ οὐκ εἰδότες, πόθεν ἐνεργοῦνται, ταῖς τῶν δαιμόνων κακαῖς ὑπο-
βαλλομέναις ἐπινοίαις ὡς τῷ τῆς ψυχῆς αὐτῶν λογισμῷ συντίθενται.
διὸ πρὸς τοὺς σόζειν αὐτοὺς δυναμένους ἐλθεῖν ὀκνηρότεροι γίνονται
καὶ [τοὺς] ὑπ' αὐτῶν τῶν ἐνεδρευόντων δαιμόνων ἀναλισκόμενοι ἀγνοοῦσιν.
ὑπὸ μὲν οὖν τῶν ταῖς ψυχαῖς αὐτῶν ἐνδομυχούντων δαιμόνων ἐπιδίδοται
αὐτοῖς ἐνθυμεῖσθαι ὡς οὐ δαίμονος ἐνοχλοῦντος, ἀλλὰ σωματικῆς νόσου
(οἷον ἢ ὕλης δριμείας ἢ χολῆς ἢ φλέγματος ἢ αἵματος ἀμετρία ἢ μή-
νιγγος φλεγμονῆς ἢ ἄλλου τινός). εἰ δὲ καὶ τοῦτο ἦν, οὐδὲ αὐτὸ
ἀπήλλακται δαίμονος εἶδος εἶναι. ἡ γὰρ καθόλου καὶ γεώδης ψυχή,
αἰτίᾳ πάντων βρωτῶν διικνουμένη, ὑπὸ τῆς πλείονος τροφῆς ἐπὶ πλεῖον
προσληφθεῖσα, αὐτὴ μὲν ὡς συγγενεῖ ἑνοῦται τῷ πνεύματι (ὅπερ ἐστὶν
ἀνθρώπου ψυχή), τὸ δὲ τῆς τροφῆς ὑλῶδες τῷ σώματι ἑνωθὲν ὡς δεινὸς
αὐτῷ ὑπολείπεται ἰός. διὸ ἐπὶ πάντων καλὸν ἡ αὐτάρκεια. τινὲς δὲ
τῶν κακούργων δαιμόνων ἄλλως ἐνεδρεύουσιν, τὴν ἀρχὴν οὐδὲ ὅτι εἰσὶν
ἐνφαίνοντες, ὅπως ἡ κατ' αὐτῶν σπουδὴ μὴ γένηται, εὐκαίρως δὲ
ὀργῆς προφάσει, ἔρωτος ἢ ἄλλου τινὸς ἤτοι ξίφει ἢ βρόχῳ ἢ κρημνῷ ἢ
ἑτέρῳ τινὶ τὸ σῶμα αἰφνιδίως ἐνυβρίζουσιν καὶ εἰς τέλος κολασθησο-
μένας καθιστᾶσιν τῶν ἀνακεκραμένων τὰς ἠπατημένας αὐτοῖς ψυχάς,
ὡς ἔφαμεν, εἰς τὸ καθάρσιον χωρήσαντες πῦρ. ἄλλοι δὲ ἄλλως ἐνεδρευό-
μενοι οὐ προσίασιν ἡμῖν, ταῖς τῶν κακούργων δαιμόνων ἐνθυμήσεσιν
ἀπατώμενοι ὡς ὑπὸ μὲν τῶν θεῶν αὐτῶν ταῦτα πάσχοντες διὰ τὴν
πρὸς αὐτοὺς ἀμέλειαν, θυσίαις δὲ αὐτοὺς διαλλάσσειν δυνάμενοι, καὶ
ὅτι μὴ χρὴ αὐτοὺς ἡμῖν προσιέναι, ἀλλὰ τοὐναντίον φεύγειν καὶ μισεῖν.
καὶ ὁμῶς μισοῦσιν καὶ φεύγουσιν τοὺς μᾶλλον ἐλεῶντας καὶ ἐπ' εὐεργε-
σίᾳ αὐτοὺς διώκοντας. μισοῦντες οὖν καὶ φεύγοντες ἡμᾶς ἐνεδρεύ-
ονται, οὐκ εἰδότες πόθεν αὐτοῖς τὰ ἐναντία τῇ αὐτῶν σωτηρίᾳ φρονεῖν

γίνεται· οὔτε γὰρ ἡμεῖς αὐτοὺς μὴ βουλομένους πρὸς σωτηρίαν νεῦσαι
βιάσασθαι δυνάμεθα (ἐπεὶ μὴ τοσαύτην νῦν κατ' αὐτῶν ἔχομεν ἐξουσίαν)
οὔτε αὐτοὶ ἀφ' ἑαυτῶν τὴν κακὴν τοῦ δαίμονος ἐνθύμησιν νοῆσαι δύ-
νανται (οὐ γὰρ ἴσασιν ὅθεν αὐτοῖς αἱ τῶν κακῶν ἐνθυμήσεις ὑποβάλλον-
ται). εἰσὶν δὲ [οὗτοι], οὓς οἱ δαίμονες καθ' ἃς βούλονται μορφὰς ἐπι-
φαινόμενοι φοβοῦσιν. ἔσθ' ὅτε δὲ καὶ τοῖς νοσοῦσιν θεραπείας συντάσ-
σουσιν καὶ οὕτως τοῖς προηπατημένοις θεῶν δόξαν ἀποφέρονται καὶ
τοῦ δαίμονας εἶναι τοὺς πολλοὺς λανθάνουσιν, ἀλλ' οὐχ ἡμᾶς τοὺς
εἰδότας αὐτῶν τὸ μυστήριον, τίνος ἕνεκα τοιαῦτα πράττουσιν, ἑαυτοὺς
κατ' ὄναρ καθ' ὧν τὴν ἐξουσίαν ἔχουσι μεταμορφοῦντες. καὶ οὓς μὲν
φοβοῦσιν, οἷς δὲ χρηματίζουσιν καὶ θυσίας ἀπαιτοῦσιν καὶ συνεστιᾶσθαι
κελεύουσιν, ἵνα αὐτῶν τὰς ψυχὰς συνπίνωσιν. ὡς γὰρ οἱ δεινοὶ ὄφεις
τοῖς αὐτῶν πνεύμασιν τοὺς στρουθοὺς ἐπισπῶνται, οὕτω καὶ αὐτοὶ
τοὺς μεταλαμβάνοντας τῆς αὐτῶν τραπέζης (διά γε τῶν βρωτῶν καὶ
ποτῶν ἀνακραθέντες αὐτῶν τῷ νῷ) εἰς τὸ ἴδιον αὐτῶν ἐπισπῶνται βού-
λημα, μεταμορφοῦντες ἑαυτοὺς κατ' ὄναρ κατὰ τὰς τῶν ξοάνων ἰδέας,
ἵνα τὴν πλάνην αὐξήσωσιν. τὸ γὰρ ξόανον οὔτε ζῷόν ἐστιν οὔτε θεῖον
ἔχει πνεῦμα, ὁ δὲ ὀφθεὶς δαίμων τῇ μορφῇ ἀπεχρήσατο. πόσοις κατ'
ὄναρ ὁμοίως ἄλλοις ὤφθησαν καὶ ὕπαρ συναντήσαντες ἀλλήλοις [πρὸς] τὸ
κατ' ὄναρ ἀντιβάλλοντες οὐ συνεφώνησαν; ὥστε οὐκέτι ὄναρ ἐπιφάνεια
ἐκεῖνό ἐστιν, ἀλλ' ἢ δαίμονός ἐστιν ἢ ψυχῆς [τὰ] ἐπιγενήματα τοῖς παριοῦσι
φόβοις καὶ ἐπιθυμίᾳ ἀποδιδούσης τὰς ἰδέας· ἡ γὰρ φόβῳ τὸν νοῦν πληγεῖσα,
διὰ ὀνείρων τὰς ἰδέας ἀποκυίσκει. εἰ δὲ τὰ ξόανα οἴεσθε ὡς ἔνπνοα ὑπάρ-
χοντα τὰ τοιαῦτα ἐνεργεῖν δύνασθαι, ἐπὶ ζυγοῦ ἐπιστήσαντες αὐτά, ἴσου
ὄντος τοῦ κανόνος, τὸ ἀντίρροπον ἐπὶ τῆς ἑτέρας πλάστιγγος θέντες,
ἀξιώσατε αὐτὰ ἢ ὁλκότερα γενέσθαι ἢ κουφότερα, καὶ οὕτως ἐὰν γένη-

ται, ἔνπνοά ἐστιν· ἀλλ' οὐ γίνεται· εἰ δὲ ἔσται, οὔπω τὸ τοιοῦτο θεός ἐστιν.
καὶ γὰρ δακτύλῳ δαίμονος τοῦτο γενέσθαι δύναται. καὶ σκώληκες κινοῦνται,
καὶ θεοὶ οὐ λέγονται. ὅτι δὲ πρὸς τὰς προλήψεις ἡ ἑκάστου ψυχὴ ἰδέας
δαιμόνων ἀπεικονίζει καὶ οὐχ οἱ λεγόμενοι θεοὶ ἐπιφαίνονται, σαφές ἐστιν ἐκ
τοῦ Ἰουδαίοις μὴ ἐπιφαίνεσθαι. ἀλλ' ἐρεῖ τις· Πῶς οὖν χρηματίζουσιν τὰ
μέλλοντα προσημαίνοντες; καὶ τοῦτο ψεῦδός ἐστιν. δεδόσθω δὲ ἀλήθεια
εἶναι, οὔπω τὸ τοιοῦτο θεός ἐστιν. οὐ γὰρ εἴ τι μαντεύεται, θεός ἐστιν· ὅτι καὶ
πύθωνες μαντεύονται, ἀλλ' ὑφ' ἡμῶν ὡς δαίμονες ὁρκιζόμενοι φυγα-
δεύονται. ἀλλ' ἐρεῖ τις· Ἐνίοις θεραπείας προστάσσουσιν. ψεῦδός ἐστιν·
δεδόσθω δὲ οὕτως ἔχειν, οὔπω τὸ τοιοῦτο θεός ἐστιν. καὶ γὰρ ἰατροὶ
ἰῶνται πολλοὺς καὶ θεοὶ οὔκ εἰσιν. ἀλλά (φησίν) ἰατροὶ οὐ πάντως
ἰῶνται ἐκείνους, ὧν τὴν πρόνοιαν ποιοῦνται, οὗτοι δὲ καὶ χρηματίσαντες
ἰῶνται. ἀλλ' ἴσασιν οἱ δαίμονες τὰ ὄντως πρὸς ἕκαστον πάθος προσῳ-
κειωμένα βοηθήματα· διὸ ἰατροὶ ἐπιστήμονες ἰᾶσθαι δυνάμενοι, καὶ
ταῦτα τὰ ὑπὸ ἀνθρώπων ἰαθῆναι δυνάμενα, ἀλλὰ καὶ μαντικὰ ὄντα καὶ
εἰδότα πότε ἕκαστον ἐξ αὐτομάτου θεραπεύεται, τότε συντάσσουσιν τὰς
θεραπείας, ἵνα ἑαυτοὺς ἐπιγράφωσιν. ἐπεὶ διὰ τί μετὰ πολὺν χρόνον
χρηματίζουσιν τὰς ἰάσεις; διὰ τί δέ, εἰ πάντα δύνανται, ἄνευ τοῦ προσ-
φέρειν τι τὴν ἴασιν οὐ ποιοῦνται; τίνος δὲ ἕνεκα τισὶν μὲν εὐξαμένοις
θεραπείας προστάσσουσιν, ἐνίοις δὲ ἔσθ' ὅτε καὶ οἰκειοτέροις οὖσιν οὐ
χρηματίζουσιν; οὕτως ὁπόταν ἐξ αὐτομάτου θεραπεία μέλλῃ γίνεσθαι,
ἐπαγγέλλονται, ἵνα ἑαυτοὺς ἐπιγράψωσιν. ἄλλοι δὲ νοσήσαντες καὶ
εὐξάμενοι ἐξ αὐτομάτου ὑγιάναντες, οὓς ἐπεκαλέσαντο, ἐπέγραψαν καὶ
ἀναθήματα ἐποίησαν. οἱ μέντοι γε μετὰ εὐχὴν διαφωνήσαντες τὰς
ἀποτυχίας ἀναθεῖναι οὐ δύνανται. πλὴν εἰ οἱ συγγενεῖς τῶν τεθνεώτων

<ἢ> ἐξ αὐτῶν τινες συνεζήτησαν τὰς ἀποτυχίας, πλείονας ἂν εὑρήκειτε
τὰς ἀποτυχίας τῶν ἐπιτευγμάτων. ἀλλ' οὐδεὶς προειλημμένος αὐτοῖς τὸν
κατ' αὐτῶν ἔλεγχον ἐκφᾶναι θέλει αἰδούμενος ἢ φοβούμενος, ἀλλὰ τοὐναντίον
τὰ πιστὰ αὐτῶν ἀτοπήματα συνκρύβουσιν. πόσοι δὲ καὶ καταψεύδονται
χρηματισμοὺς καὶ θεραπείας ἐξ αὐτῶν ἀποτελεσθείσας καὶ ταύτας βεβαι-
οῦνται μετὰ ὅρκων; πόσοι δὲ ἐπὶ μισθῷ ἑαυτοὺς ἐξέδωκαν, δι' ἐνίων
ἐπινοιῶν πάσχειν τινὰ ἀναδεξάμενοι καὶ οὕτως κηρύξαντες, αὐτῶν τὸ
πάθος ἀντιπαθείᾳ ἀποκατασταθέντες, κεχρηματίσθαι τὴν θεραπείαν
λέγουσιν, ἵνα τὸ ἀναίσθητον ἐπιγράψωσιν σέβασμα; πόσα δὲ αὐτῶν ἐκ
καταρχῆς μαγικῇ τέχνῃ ἐτελέσθη, ἵνα ὀνειροπολῇ καὶ χρηματίζῃ; καὶ
ὅμως μακρῷ χρόνῳ καὶ ταῦτα διεφώνησεν. πόσοι δὲ νῦν τὰ τοιαῦτα
κρατύνειν θέλοντες γοητεύουσιν; πλὴν οὐκ εἴ τι μαντικόν ἐστιν ἢ θερα-
πευτικόν, τοῦτο θεός ἐστιν. ὁ γὰρ θεὸς πάντα δύναται. ἐκεῖνος γάρ ἐστιν
ἀγαθὸς καὶ δίκαιος, νῦν πᾶσιν μακροθυμῶν, ἵνα οἱ βουλόμενοι ἐφ' οἷς
ἔπραξαν κακοῖς μεταμεληθέντες καὶ πολιτευσάμενοι ἐν ἡμέρᾳ, ᾗ τὰ πάντα
κρίνεται, τῶν κατ' ἀξίαν ἀπολαύσωσιν.

Διὸ νῦν ἄρξασθε ἀγαθῆς γνώσεως αἰτίᾳ θεῷ πειθόμενοι ἀντιλέγειν
ὑμῶν ταῖς κακαῖς ἐπιθυμίαις καὶ ἐννοίαις, ἵνα δυνηθῆτε ἀνακαλέσασθαι
τὴν πρώτην τῇ ἀνθρωπότητι παραδοθεῖσαν σωτήριον θρησκείαν. οὕτω
γὰρ ὑμῖν ἑξαυτῆς ἀνατελεῖ τὰ ἀγαθά, ἅτινα λαβόντες πεῖραν τῶν κακῶν
τοῦ λοιποῦ καταλείψετε. ἀλλὰ τῷ δεδωκότι εὐχαριστήσατε, μετὰ τοῦ τῆς
εἰρήνης βασιλέως εἰσαεὶ τῶν ἀπορρήτων ἀπολαύοντες ἀγαθῶν. ἐν δὲ τῷ παρ-
όντι, ἀενάῳ ποταμῷ ἢ πηγῇ ἐπεί γε κἂν θαλάσσῃ ἀπολουσάμενοι ἐπὶ
τῇ τρισμακαρίᾳ ἐπονομασίᾳ οὐ μόνον τὰ ἐνδομυχοῦντα ὑμῖν πνεύματα
ἀπελάσαι δυνήσεσθε, ἀλλ' αὐτοὶ μηκέτι ἁμαρτάνοντες καὶ θεῷ ἀνενδοιά-

στως πιστεύοντες τὰ ἄλλων κακὰ πνεύματα καὶ δαιμόνια χαλεπὰ σὺν τοῖς δεινοῖς πάθεσιν ἀπελάσετε. ἐνίοτε δὲ μόνον ἐνιδόντων ὑμῶν φεύ-
ξονται· ἴσασιν γὰρ τοὺς ἀποδεδωκότας ἑαυτοὺς τῷ θεῷ, διὸ τιμῶντες αὐτοὺς πεφοβημένοι φεύγουσιν, ὥσπερ ἐχθὲς ἑωράκατε πῶς ἐμοῦ ἀνα-
θεμένου μετὰ τὴν προσομιλίαν εὔξασθαι ὑπὲρ τῶν πασχόντων, αὐτὰ [τὰ
πάθη] τῇ πρὸς τὴν θρησκείαν τιμῇ ἀνέκραγεν, βραχεῖαν ὥραν στέξαι μὴ δυνηθέντα. μὴ οὖν νομίσητε ὅτι ἡμεῖς ἄλλης φύσεως ὄντες κατὰ τοῦτο δαίμονας οὐ φοβούμεθα. τῆς γὰρ αὐτῆς ὑμῖν ἐσμεν φύσεως, ἀλλ'
οὐ θρησκείας. διὸ ὑμῶν οὐ πολύ, ἀλλὰ τὸ πᾶν κρείττονες ὄντες καὶ ὑμᾶς τοιούτους γενέσθαι οὐ φθονοῦμεν, ἀλλὰ τοὐναντίον συμβουλεύομεν,
εἰδότες ὅτι τοὺς θεῷ προσοικειωθέντας ταῦτα πάντα ἀγνώστως προτιμᾷ
καὶ φοβεῖται. ὅνπερ γὰρ τρόπον Καίσαρος χιλιάρχῳ οἱ ὑποκείμενοι στρατιῶται διὰ τὴν τοῦ δεδωκότος ἐξουσίαν τὸν εἰληφότα οἴδασι τιμᾶν
τοσοῦτον ὥστ' ἂν τοὺς ἐφεστῶτας λέγειν τούτῳ· Ἐλθέ, καὶ ἔρχεσθαι καὶ ἄλλῳ· Πορεύου, καὶ πορεύεσθαι, οὕτως καὶ ὁ θεῷ ἑαυτὸν ἀποδούς,
πιστὸς ὤν, δαίμοσίν τε καὶ πάθεσιν μόνον λέγων ἀκούεται, καὶ ὑποχω-
ροῦσιν δαίμονες πολὺ ἰσχυρότεροι ὄντες τῶν κελευόντων. ἀφράστῳ γὰρ
δυνάμει τὸν ἑκάστου νοῦν ὁ θεὸς ὑποτάσσει ᾧ βούλεται. ὡς γὰρ τὸν Καίσαρα πεφόβηνται ὄντα ἄνθρωπον πολλοὶ ἡγεμόνες μετὰ πασῶν τῶν
παρεμβολῶν καὶ πόλεων, τῆς ἑκάστου καρδίας <τὴν> τῶν ὅλων εἰκόνα προ-
τιμᾶν σπευδούσης (θεοῦ γὰρ βουλῇ τὰ πάντα δεδουλωμένα φόβῳ τὴν αἰτίαν οὐκ οἶδεν), οὕτω καὶ τὸν θεῷ προσφεύγοντα καὶ τὴν δικαίαν πίστιν
ὥσπερ εἰκόνα αὐτοῦ ἐν τῇ αὐτοῦ βαστάζοντα καρδίᾳ πάντα τὰ παθοποιὰ
πνεύματα τιμᾷ καὶ φεύγει, φυσικῇ τινι ὁδῷ πεφοβημένα.

Ἀλλ' ὅμως κἂν πάντες δαίμονες μετὰ πάντων τῶν παθῶν ὑμᾶς φεύγωσιν, οὐκ ἔστιν ἐν τούτῳ μόνον χαίρειν, ἀλλ' ἐν τῷ δι' εὐαρεστίαν

τὰ ὀνόματα ὑμῶν ἐν οὐρανῷ ὡς ἀεὶ ζώντων ἀναγραφῆναι. οὕτω καὶ τὸ
θεῖον ἅγιον πνεῦμα χαίρει ὅτι τὸν θάνατον νενίκηκεν ἄνθρωπος· τὸ
γὰρ δαίμονας φυγαδεύειν εἰς τὴν ἄλλου ἴασιν γίνεται. ταῦτα δὲ λέγομεν
οὐχ ὡς ἀρνούμενοι τὸ μὴ δεῖν ἄλλοις βοηθεῖν, ἀλλ' ὅτι μὴ χρὴ ἐπὶ τούτῳ
τυφωθέντας ἑαυτῶν ἀμελεῖν. ἔσθ' ὅτε δέ τινας ἀνόμους ἄνδρας
δαίμονες φεύγουσιν δι' ὄνομα τίμιον καὶ ἐνεδρεύονται ὅ τε ἀπελάσας καὶ
<ὁ> ἱστορήσας· ὁ μὲν ἀπελάσας ὡς διὰ δικαιοσύνην προτιμηθεὶς οὐκ εἰδὼς
τοῦ δαίμονος τὸ κακοῦργον (ἅμα τε γὰρ τὸ ὄνομα τετίμηκεν καὶ τῇ φυγῇ
τὸν ἀσεβῆ εἰς οἴησιν δικαιοσύνης περιβαλὼν τοῦ μὴ μετανοεῖν ἠπάτησεν),
ὁ δὲ ἱστορήσας ὡς εὐσεβεῖ συνχρησάμενος τῷ ἀπελάσαντι πρὸς τὴν ὁμοίαν
πολιτείαν σπεύσας ἀπόλλυται. ἐνίοτε δὲ καὶ τοὺς μὴ θεῷ προσκειμένους
ὅρκους φεύγειν ὑποκρίνονται, ἵν' ἀπατήσαντες αὐτοὺς ὅτε θελήσωσιν ἀνέ-
λωσιν.

Καὶ τοῦτο οὖν ὑμᾶς εἰδέναι βουλόμεθα ὅτι, ἐὰν μή τις ἑκὼν ἑαυτὸν δαί-
μοσιν δοῦλον ἐκδόῃ (ὡς τάχιον εἶπον), ὁ δαίμων τὴν κατ' αὐτοῦ ἐξουσίαν
οὐκ ἔχει. ἕνα οὖν θεὸν σέβειν ἑλόμενοι καὶ «τραπέζης δαιμόνων» ἀπο-
σχόμενοι καὶ σωφροσύνην μετὰ φιλανθρωπίας καὶ δικαιοσύνης ἀναδεξάμενοι
καὶ τρισμακαρίᾳ ἐπονομασίᾳ εἰς ἄφεσιν ἁμαρτιῶν βαπτισάμενοι τῷ ὅσον
δύνασθε ἐπὶ τὸ τέλειον τῆς ἁγνείας ἑαυτοὺς ἐπιδιδόναι δύνασθε κολάσεως
ἀιδίου ·υσθέντες αἰωνίων ἀγαθῶν κληρονόμοι καταστῆναι. ταῦτα εἰπὼν
τοῖς ὑπὸ παθῶν ὀχλουμένοις προσιέναι ἐκέλευσεν, καὶ οὕτως πολλοὶ
πείρᾳ τῶν ἐχθὲς θεραπευθέντων συνεληλυθότες προσῄεσαν· ὁ δὲ τὰς
χεῖρας αὐτοῖς ἐπιθεὶς καὶ εὐξάμενος, ἐξαυτῆς ἰασάμενος, ἐντειλάμενος

αὐτοῖς καὶ τοῖς ἄλλοις ὀρθρίτερον συνεδρεύειν, αὐτὸς λουσάμενος καὶ τρο-
φῆς μεταλαβὼν ὕπνωσεν.

[ΟΜΙΛΙΑ Ι.]

Τῇ μὲν οὖν ἐν Τριπόλει τρίτῃ ἡμέρᾳ ὀρθρίτερον ἐξ ὕπνου ἐγερθεὶς ὁ Πέτρος εἰς τὸν κῆπον εἰσῄει, ἔνθα ἦν ὑδροχοεῖον μέγα, εἰς ὃ διηνεκῶς πλούσιον ἔρρεεν ὕδωρ. ἐκεῖ λουσάμενος, εἶθ' οὕτως εὐξάμενος
ἐκαθέσθη, ἡμᾶς δὲ περικαθεζομένους καὶ εἰς αὐτὸν ἀτενίζοντας ὥσπερ
ἀκοῦσαί τι βουλομένους συνεὶς ἔφη· Πολλή μοι δοκεῖ εἶναι διαφορὰ τῶν ἀγνοούντων πρὸς τοὺς πεπλανημένους. ὁ γὰρ ἀγνοῶν ἐοικέναι μοι
δοκεῖ ἀνδρὶ ἐπ' εὐθηνουμένην πόλιν μὴ ὁρμᾶν βουληθέντι διὰ τὸ ἀγνοεῖν
τὰ ἐκεῖ καλά, ὁ δὲ πεπλανημένος μαθόντι μὲν τὰ κατὰ τὴν πόλιν ἀγαθά,
ἐν δὲ τῷ ὁρμᾶν κατὰ τὴν ὁδὸν τρίβον παραλλάξαντι καὶ διὰ τοῦτο πλα-
νωμένῳ. οὕτως οὖν μοι δοκεῖ πολλὴν διαφορὰν εἶναι τῶν εἴδωλα σε-
βόντων πρὸς τοὺς ἐν θεοσεβείᾳ ἁλωμένους. οἵ τε γὰρ εἴδωλα σέβοντες
ἀγνοοῦσιν τὴν αἰώνιον ζωήν (οὗ εἵνεκεν οὐδὲ ὀρέγονται αὐτῆς· ὃ γὰρ μὴ ἴσασιν, ἀγαπᾶν οὐ δύνανται), οἱ δὲ τὸν ἕνα θεὸν σέβειν ἑλόμενοι καὶ αἰώνιον ζωὴν τοῖς ἀγαθοῖς δεδομένην μεμαθηκότες ἐάν τι παρὰ τὰ
δοκοῦντα τῷ θεῷ ἢ πιστεύσωσιν ἢ ποιήσωσιν, ἐοίκασιν τοῖς τὴν μὲν πόλιν τῆς τιμωρίας ἐκβεβηκόσιν ἐλθεῖν εἰς τὴν εὐθηνουμένην καὶ ἐν τῇ ὁδῷ
τῆς εὐθείας πλανηθεῖσιν.

Ταῦτα αὐτοῦ διαλεγομένου ἡμῖν εἰσῄει τις τῶν ἡμετέρων ὁ ἐπὶ τῷ ἀπαγ-
γέλλειν αὐτῷ τὰ τοιαῦτα καθεστηκὼς λέγων· Πολλοὶ ὄχλοι, κύριέ μου Πέτρε,
πρὸ τῶν θυρῶν ἑστήκασιν. ἐπιτρέψαντος οὖν αὐτοῦ πολὺς ἐπεισῆλθεν ὄχλος.
ὁ δὲ ἐγερθεὶς καὶ τῇ ἐχθὲς βάσει ἐπιστάς, τῷ τῆς θεοσεβείας ἔθει προσαγορεύ-
σας ἔφη· Θεοῦ τοῦ τὸν οὐρανὸν κτίσαντος καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν

αὐτοῖς πεποιηκότος (ὡς ὁ ἀληθὴς εἴρηκεν ἡμῖν προφήτης) ὁ ἄνθρωπος κατ'
εἰκόνα καὶ καθ' ὁμοίωσιν γεγονὼς ἄρχειν τε καὶ κυριεύειν κατεστάθη,
λέγω δὲ τῶν ἐν ἀέρι καὶ γῇ καὶ ὕδασιν, ὡς ἐξ αὐτοῦ τοῦ πράγματος
ἔστιν συνιδεῖν ὅτι τῇ ἑαυτοῦ συνέσει τὰ μὲν ἐν ἀέρι φέρει κάτω, τὰ ἐν
βυθῷ ἀνάγει ἄνω, τὰ ἐν γῇ ἀγρεύει, καίτοιγε κατ' ἀλκὴν αὐτοῦ πολλῷ
μείζονα ὄντα, λέγω δὲ ἐλέφαντας καὶ λέοντας καὶ τὰ τούτοις παραπλήσια.
ὅτε μέντοι δίκαιος ἐτύγχανεν, καὶ πάντων παθημάτων ἀνώτατος ἦν,
ὡς ἀθανάτῳ σώματι τοῦ ἀλγεῖν πεῖραν λαβεῖν μὴ δυνάμενος· ὅτε δὲ
ἥμαρτεν (ὡς ἐχθὲς καὶ τῇ πρὸ αὐτῆς ἐδείξαμεν), ὡς δοῦλος γεγονὼς τῆς
ἁμαρτίας πᾶσιν ὑπέπεσεν τοῖς παθήμασιν, πάντων καλῶν δικαίᾳ κρίσει
στερηθείς. οὐ γὰρ εὔλογον ἦν τοῦ δεδωκότος ἐγκαταλειφθέντος τὰ δο-
θέντα παραμένειν τοῖς ἀγνώμοσιν. ὅθεν ἐξ ὑπερβαλλούσης αὐτοῦ εὐ-
σπλαγχνίας πρὸς τὸ ἀπολαβεῖν ἡμᾶς ἅμα τοῖς πρώτοις καὶ τὰ ἐσόμενα
αἰώνια ἀγαθὰ τὸν αὐτοῦ ἔπεμψεν προφήτην. ὁ δὲ προφήτης ἡμᾶς πρὸς
ὑμᾶς λέγειν ὑμῖν ἃ δεῖ φρονεῖν καὶ ποιεῖν ἐνετείλατο. ἐλέσθαι οὖν [ὃ]
ἐπὶ τῇ ὑμετέρᾳ κεῖται ἐξουσίᾳ. ἃ μὲν οὖν δεῖ φρονεῖν, ἐστὶν ταῦτα· τὸν
πάντα πεποιηκότα σέβειν θεόν, ὃν ἂν ἀπολάβητε τῷ νῷ, ὑπ' αὐτοῦ ἀπο-
λήψεσθε ἅμα τοῖς πρώτοις καλοῖς καὶ τὰ ἐσόμενα αἰώνια ἀγαθά. πεῖσαι
οὖν ἑαυτοὺς πρὸς τὰ συμφέροντα δυνήσεσθε, ἐάνπερ τῷ ἐμφωλεύ-
οντι ἐν τῇ ὑμετέρᾳ καρδίᾳ δεινῷ ὄφει ὥσπερ ἐπᾴδοντες λέγητε· «Κύριον
τὸν θεὸν φοβηθήσῃ καὶ αὐτῷ μόνῳ λατρεύσεις». ἐκ παντὸς οὖν λογισμοῦ
συνφέρει τὸ αὐτὸν μόνον φοβεῖσθαι οὐχ ὡς ἄδικον, ἀλλ' ὡς δίκαιον. καὶ
γὰρ ἄδικόν τις φοβεῖται μὴ ἀδίκως ἀναιρεθῇ, καὶ τὸν δίκαιον μὴ ἁμαρτίᾳ
φωραθεὶς τιμωρηθῇ. δύνασθε οὖν ἑνὶ τῷ πρὸς αὐτὸν φόβῳ πολλῶν τῶν

ἐπιβλαβῶν ἀπαλλαγῆναι φόβων. ἕνα γὰρ τὸν πάντων κύριον καὶ ποιητὴν ἐὰν
μὴ φοβῆσθε, πάντων τῶν κακῶν δοῦλοι ἐπὶ τῇ ἑαυτῶν βλάβῃ ἔσεσθε,
λέγω δὲ δαιμόνων καὶ παθημάτων καὶ παντὸς ἥδήτινι τρόπῳ βλάπτειν δυνα-
μένου. θαρσήσαντες οὖν πρόσιτε τῷ θεῷ, οἱ τὴν ἀρχὴν ἐπὶ τῷ πάντων ἄρ-
χειν καὶ κυριεύειν γεγενημένοι, οἵτινες ἔχετε αὐτοῦ ἐν μὲν τῷ σώματι τὴν
εἰκόνα, ὁμοίως τε ἔχετε ἐν τῷ νῷ τῆς γνώμης τὴν ὁμοιότητα. ἐπεὶ οὖν
ἀλόγοις ζόοις ἐοικότα πράξαντες [τῆς ψυχῆς] τὴν ἀνθρώπου ψυχὴν
ἀπωλέσατε, ὥσπερ χοῖροι γενόμενοι δαιμόνων αἰτήματα ἐγένεσθε. ἐὰν οὖν
τοῦ θεοῦ νόμον ἀναδέξησθε, ἄνθρωποι γίνεσθε. οὐ γὰρ οἷον ἀλόγοις ζόοις
ἔστιν εἰπεῖν· «Οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις» καὶ τὰ ἑξῆς. διὸ μὴ
φθονέσητε ἑαυτοῖς εἰς τὴν πρώτην ἀνακαλούμενοι εἰσελθεῖν εὐγένειαν. δυνα-
τὸν γάρ ἐστιν, ἐὰν τῷ θεῷ διὰ τῶν ἀγαθῶν πράξεων ἐξομοιωθῆτε· καὶ
διὰ τὴν ὁμοιότητα υἱοὶ ἐκείνου εἶναι λογισθέντες πάντων δεσπόται ἀπο-
καταστῆναι δυνήσεσθε.

Ἄρξασθε οὖν ἀποδύεσθαι τῶν κενῶν εἰδώλων τοὺς ἐπιβλαβεῖς φόβους,
ὅπως τὴν ἄδικον φύγητε δουλείαν· δεσπόται γὰρ γεγόνασιν ὑμῶν ἐκεῖνοι, οἳ
καὶ εἰς δούλους ὑμῖν ἄχρηστοι τυγχάνουσιν. λέγω δὲ περὶ ὕλης τῶν ἀψύχων
ἀγαλμάτων τῶν μηδὲ πρὸς τὸ δουλεύειν ὑμῖν χρησιμευόντων. οὔτε γὰρ ἀκούει
οὔτε βλέπει οὔτε αἰσθάνεται, ἀλλ' οὐδὲ μὴν κινηθῆναι δύναται. ἢ γὰρ
βούλεταί τις ὑμῶν οὕτως ὁρᾶν ὡς ὁρᾷ καὶ ἀκούειν ὡς ἀκούει καὶ
αἰσθάνεσθαι καὶ κινεῖσθαι; ἀλλ' ἀπείη τοιαύτῃ λοιδορίᾳ λοιδορεῖν πάνθ'
ὁντινοῦν ἄνθρωπον, εἰκόνα περιφέροντα θεοῦ, εἰ καὶ τὴν ὁμοιότητα
ἀπώλεσεν. τοὺς γοῦν θεοὺς ὑμῶν τοὺς χρυσέους καὶ ἀργυρέους ἢ καὶ ἐξ
ἄλλης τινὸς ὕλης γεγενημένους εἰς τὴν πρώτην αὐτῶν φύσιν ἀποκαταστή-

σατε, εἴς τε φιάλας λέγω καὶ λεκάνας καὶ τὰ λοιπὰ πάντα, ὅσα ὑμῖν πρὸς
ὑπηρεσίαν χρήσιμα εἶναι δύναται, καὶ τὰ ὑμῖν ἀπ' ἀρχῆς δοθέντα ἀγαθὰ
ἀποκατασταθῆναι δυνηθήσεται. ἀλλ' ἴσως ἐρεῖτε· Οὐκ ἐῶσιν ἡμᾶς τοῦτο
ποιῆσαι οἱ τῶν ἐφεστώτων νόμοι. καλῶς ὅτι νόμοι, καὶ οὐκ αὐτῶν τῶν
εἰκαίων σεβασμάτων ἡ μὴ οὖσα δύναμις. πῶς οὖν αὐτοὺς θεοὺς νενομί-
κατε, ὑπὸ ἀνθρωπίνων νόμων ἐκδικουμένους, ὑπὸ κυνῶν φρουρουμένους,
ὑπὸ μοχλῶν φυλασσομένους; καὶ ταῦτα ἐὰν χρύσεα <ᾖ> ἢ ἀργύρεα ἢ
χάλκεα· τὰ γὰρ λίθινα ἢ ὀστράκινα ὑπὸ τῆς ἀτιμίας φυλάσσεται, ὅτι
οὐδεὶς ἀνθρώπων λίθινον ἢ ὀστράκινον ὀρέγεται κλέψαι θεόν. ὥστε
μεγάλῳ κινδύνῳ ὑπόκεινται οἱ ἐκ πολυτελεστέρας ὕλης γεγενημένοι ὑμῶν
θεοί. πῶς δὴ καὶ θεοί εἰσιν, κλεπτόμενοι, χωνευόμενοι, σταθμιζόμενοι,
φρουρούμενοι; ὦ τῶν ταλαιπώρων ἀνθρώπων φρένες, νεκρῶν νεκρότερα
δεδιότων· οὐδὲ γὰρ νεκρὰ αὐτὰ λέγειν δύναμαι τὰ μηδέποτε ζήσαντα,
ἐκτὸς εἰ μὴ τάφοι ἀρχαίων ἀνθρώπων εἰσίν. ἐνίοτε γὰρ ἐπιβάς τις ἀγνώ-
στοις τόποις οὐκ οἶδεν οὓς ὁρᾷ ναούς, πότερόν ποτε νεκρῶν ἀνδρῶν
μνήματά ἐστιν ἢ τῶν λεγομένων θεῶν· πυθόμενος δὲ καὶ ἀκούσας ὅτι
θεῶν, προσεκύνησεν οὐκ αἰδεσθείς, ὅτι εἰ μὴ ἐξετάσας μεμαθήκει, διὰ
τὸ ἴσον τῆς ὁμοιότητος ὡς νεκροῦ μνημεῖον ἂν παρεληλύθει. πλὴν οὐ
χρή με πρὸς τὴν τῆς τοιαύτης δεισιδαιμονίας <πλάνην> πολλὴν παρέχειν
ἀπόδειξιν. ῥᾴδιον γάρ ἐστιν τῷ θέλοντι νοῆσαι ὅτι οὐδέν ἐστιν, ἐκτὸς εἰ μή τις
οὐ βλέπει <... οὐ βλέπει>. πλὴν κἂν νῦν ἄκουσον ὅτι οὐκ ἀκούει, καὶ νόησον
ὅτι οὐ νοεῖ. χεῖρες γὰρ αὐτὸ θανόντος ἀνθρώπου ἐποίησαν. εἰ δὲ ὁ ποιήσας
ἐτελεύτησεν, πῶς τὸ ὑπ' αὐτοῦ γεγονὸς οὐ λυθήσεται; τί οὖν θνητοῦ ἔργον
προσκυνεῖς, παντελῶς ἀναίσθητον ὄν; ὁπότε οἱ λογισμοὺς ἔχοντες οὐδὲ

τὰ ζῷα προσκυνοῦσιν οὐδὲ στοιχεῖα τὰ ὑπὸ θεοῦ γεγενημένα κολακεύ-
ουσιν, λέγω δὲ οὐρανόν, ἥλιον, σελήνην, ἄστρα, γῆν, θάλασσαν καὶ πάντα
τὰ ἐν αὐτοῖς, ὀρθῶς κρίνοντες μηδὲ τὰ ὑπ' αὐτοῦ γενόμενα προσκυνεῖν,
ἀλλὰ τὸν τούτων δημιουργὸν καὶ πάροχον σέβειν θεόν. ἐπὶ τούτῳ
γὰρ καὶ αὐτὰ χαίρει ὅτι τὴν τοῦ πεποιηκότος τιμὴν οὐδεὶς αὐτοῖς προσ-
ῆψεν. αὐτοῦ γὰρ μόνου ἐστὶν ἡ ἔντιμος δόξα τοῦ μόνου ἀγενήτου,
ὅτι τὰ λοιπὰ πάντα γενητὰ τυγχάνει. ὡς οὖν τοῦ ἀγενήτου ἴδιον τὸ θεὸς
εἶναι, οὕτως πᾶν ὁτιοῦν γενόμενον θεὸς τῷ ὄντι οὐκ ἔστιν. πρὸ πάντων
οὖν ἐννοηθῆναι ὀφείλετε τὴν τοῦ ἐν ὑμῖν ἀπατῶντος ὄφεως κακοῦργον
ἐπίνοιαν, ὃς φρονίμως ὑμᾶς ἀπατᾷ ὑποσχέσει κρείττονος λογισμοῦ, ἕρπων
ὑμῶν ἐκ τοῦ ἐγκεφάλου εἰς τὸν νωτιαῖον μυελὸν καὶ μέγα κέρδος ἡγού-
μενος τὴν ὑμετέραν ἀπάτην. εἰδὼς γὰρ τὸν ἀπ' ἀρχῆς νόμον ὅτι,
ἐὰν ὑμᾶς εἰς ὑπόνοιαν ὠνδήποτε λεγομένων θεῶν ἐνέγκῃ, μόνον ἵνα εἰς
τὸ τῆς μοναρχίας ἀγαθὸν ἁμάρτητε, κέρδος αὐτῷ γίνεται ἡ ὑμῶν κατα-
στροφή, λόγῳ δὲ τούτῳ· ὅτι γῆν ἤσθιεν καταδικασθείς, τὸν δι' ἁμαρτίαν
εἰς γῆν λυθέντα [γῆν γενόμενον] ἐσθίειν ἔχει ἐξουσίαν, τῶν ψυχῶν ὑμῶν
εἰς τὴν τοῦ πυρὸς αὐτοῦ γαστέρα χωρουσῶν. ἵνα οὖν ταῦτα πάθητε, πᾶσαν
τὴν καθ' ὑμῶν ὑμῖν ὑποβάλλει οἴησιν. <ὑπ'> αὐτοῦ γὰρ πᾶσαι αἱ κατὰ
τῆς μοναρχίας ἀπατηλοὶ τῷ νῷ ὑμῶν ἐπὶ βλάβῃ ἐνσπείρονται ὑπο-
λήψεις. πρῶτον μὲν ἵνα μὴ τοὺς τῆς θεοσεβείας ἀκούσαντες λόγους τὴν τῶν
κακῶν αἰτίαν ἀπελάσητε ἄγνοιαν, προφάσει γνώσεως ἐνεδρεύει δούς,
τὰ μὲν πρῶτα μιᾷ τῇ κατὰ πάντων προλήψει χρώμενος, ἥτις ἐστὶν τὸ
νομίζειν καλῶς βεβουλεῦσθαι ὅτι, ἐὰν μή τις ἀκούσῃ τοῦ τῆς θεοσεβείας

λόγου, οὐκ ἔστιν «ἔνοχος τῇ κρίσει». διὸ καὶ οὕτως ἀπατώμενοί τινες ἀκούειν οὐ θέλουσιν, ἵνα ἀγνοῶσιν, οὐκ εἰδότες ὅτι ἡ ἄγνοια αὐτὴ καθ'
αὐτὴν ἱκανὸν θανάσιμόν ἐστιν φάρμακον. οὐ γάρ, εἴ τις προσλάβοι θα-
νασίμου φαρμάκου ἀγνοῶν, οὐκ ἀποθνῄσκει. οὕτως φυσικῶς αἱ ἁμαρτίαι
ἀναιροῦσιν τὸν ἁμαρτάνοντα, κἂν ἀγνοῶν πράσσῃ ἃ μὴ δεῖ. εἰ δὲ ἐπὶ παρακοῇ λόγων κρίσις γίνεται, πολλῷ μᾶλλον ὁ θεὸς ὀλοθρεύσει τοὺς μὴ θελήσαντας τὴν εἰς αὐτὸν θρησκείαν ἀναδέξασθαι. ὁ γὰρ μὴ θέλων μαθεῖν, ἵνα μὴ ἔνοχος ᾖ, ἤδη ὡς εἰδὼς κρίνεται. ἔγνω γὰρ ὃ μὴ ἀκοῦσαι θέλει· ὥστε οὐδὲν δύναται πρὸς ἀπολογίαν ἐπίνοια πρὸς «καρ-
διογνώστην» θεόν. διὸ φεύγετε τοῦ ὄφεως τὴν πανοῦργον ὑποβαλλο-
μένην ὑμῶν τῷ νῷ ἐνθύμησιν. ἵνα δὲ καὶ ὄντως ἀγνοήσας τις τὸν παρόντα βίον τελευτήσῃ, ἔγκλημα ἕξει, ὅτι βιώσας χρόνον οὐκ ἔγνω, τίς
αὐτῷ τε καὶ τῶν αὐτῷ ἐπιχορηγηθεισῶν τροφῶν ὑπῆρξεν εὐεργέτης, καὶ [ὅτι] ὡς ἀναίσθητος καὶ ἀχάριστος πολὺ ἀνάξιος δοῦλος τῆς τοῦ θεοῦ
ἀποδοκιμάζεται βασιλείας. πάλιν τε ὑποβάλλει ὑμῖν ὁ δεινὸς ὄφις ὑπό-
ληψιν τοῦτο νοεῖν καὶ λέγειν τοῦτο αὐτό, ὃ σχεδὸν οἱ πλεῖστοι ὑμῶν λέγουσιν· Ἴσμεν καὶ ἡμεῖς ὅτι εἷς ἐστιν ὁ πάντων κύριος, ἀλλὰ καὶ οὗτοι
θεοί εἰσιν. ὅνπερ γὰρ τρόπον εἷς ἐστιν ὁ Καῖσαρ, ἔχει δὲ ὑπ'
αὐτὸν τοὺς διοικητάς (ὑπατικούς, ἐπάρχους, χιλιάρχους, ἑκατοντάρχους,
δεκαδάρχους), τὸν αὐτὸν τρόπον ἑνὸς ὄντος τοῦ μεγάλου θεοῦ ὥσπερ Καίσαρος καὶ αὐτοὶ κατὰ τὸν τῶν ὑποκειμένων ἐξουσιῶν λόγον θεοί εἰσιν, ὑποκείμενοι μὲν ἐκείνῳ, διοικοῦντες δὲ ἡμᾶς. ἀκούσατε οὖν οἱ ταύτην τὴν ὑπόνοιαν ὡς δεινῷ ὑπαλειφθέντες ἰῷ ὑπ' αὐτοῦ (λέγω δὲ τοῦ
παραδείγματος τὴν κακὴν ὑπόνοιαν), ὅπως εἰδῆτε τί καλὸν καὶ τί πονη-
ρόν· οὔπω γὰρ ἀνεβλέψατε, ὅτι οὐδὲ τοῖς προβαλλομένοις ὑφ' ὑμῶν ἑνορᾶτε. εἰ γάρ φατε ὡς εἰς τὸν τοῦ Καίσαρος λόγον τὸν θεὸν
ἔχειν τὰς ὑποκειμένας ἐξουσίας (τοὺς λεγομένους θεούς), οὐδὲ οὕτως τῷ ὑμῶν στοιχεῖτε παραδείγματι. εἰ γὰρ ἐστοιχεῖτε, ἐχρῆν τοῦτ' εἰδέναι

ὅτι ὡς οὐκ ἔξεστιν τὸ Καίσαρος ὄνομα ἑτέρῳ δοῦναι (λέγω δὴ ἢ ὑπάτῳ
ἢ ἐπάρχῳ ἢ χιλιάρχῳ ἢ ἑτέρῳ τινί), ὅτι ὁ διδοὺς οὐ ζήσεται καὶ ὁ λαμ-
βάνων ἀναιρεθήσεται, οὕτως ἐκ τοῦ ὑμετέρου παραδείγματος τὸ
θεοῦ ὄνομα ἑτέρῳ δοθῆναι οὐκ ἔξεστιν· ἐπεὶ ὁ πειραθεὶς εἴτε λαβεῖν εἴτε
δοῦναι ἀπόλλυται. εἰ δὲ ἡ ἀπ' ἀνθρώπου ὕβρις δίκην παρέχει, πολλῷ
μᾶλλον οἱ ἑτέρους θεοὺς λέγοντες ὡς θεὸν ὑβρίσαντες αἰωνίῳ ὑποκείσονται
κολάσει. καὶ εὐλόγως, ὅτι τὸ εἰς τὴν αὐτοῦ μοναρχίαν παραδοθὲν ὑμῖν
τιμᾶν ὄνομα πάσῃ εἰ ἠδυνήθητε ὑπεβάλετε ὕβρει· οὐ γὰρ τὸ ὄντως ἐστὶν
αὐτοῦ ὄνομα θεός, ἀλλ' ὑμεῖς τέως παρειληφότες ὑβρίσατε ὃ ἐδόθη ὑμῖν,
ἵνα ὡς ἂν αὐτῷ χρήσησθε, εἰς τὸ ὄντως αὐτοῦ ὄνομα λογισθῇ· ὑμεῖς δὲ
αὐτὸ πάσῃ ὕβρει ὑπεβάλετε. αὐτίκα γοῦν τῶν Αἰγυπτίων [ὑμῶν] οἱ ἀρχη-
γέται, οἱ περὶ μετεωρολογίας αὐχοῦντες καὶ τῶν ἄστρων τὰς φύσεις δια-
κρίνειν ἐπαγγελλόμενοι, ὑπὸ κακῆς αὐτοῖς ἐνδομυχούσης ὑπονοίας πάσῃ αὐτὸ
ἀτιμίᾳ ὅσον τὸ κατ' αὐτοὺς ὑπέβαλαν. οἱ μὲν γὰρ αὐτῶν παρέδοσαν βοῦν
τὸν λεγόμενον Ἄπιν σέβειν, οἱ δὲ τράγον, οἱ δὲ αἴλουρον, οἱ δὲ ὄφιν, ἀλλὰ
καὶ ἰχθὺν καὶ κρόμμυα καὶ γαστρῶν πνεύματα καὶ ὀχετοὺς καὶ ἀλόγων
ζόων μέλη <σὺν> καὶ ἄλλοις μυρίοις πάνυ αἰσχροῖς ἀτοπήμασιν.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ἐγέλασεν ὁ παρεστηκὼς ὄχλος. καὶ ὁ
Πέτρος ἔφη πρὸς τὸν γέλωτα· Γελᾶτε ὑμεῖς τὰ ἐκείνων, οὐκ εἰδότες πολλῷ
μᾶλλον ὑπ' ἐκείνων γελώμενοι. πλὴν τὰ ἀλλήλων γελᾶτε· τὰ γὰρ ἴδια ὑπὸ
συνηθείας κακῆς εἰς ἀπάτην ἀχθέντες οὐ βλέπετε. ὅτι δὲ ὄντως ὀρθῶς
καταγελᾶτε τῶν Αἰγυπτίων, σύνφημι, ἐπεὶ ἄλογα ζῷα λογικοὶ ὄντες προσκυ-
νοῦσιν, τὰ πάντως θνῄσκοντα. πῶς δὲ κἀκεῖνοι ὑμῶν καταγελῶντες λέγουσιν,

ἀκούσατε· ἡμεῖς (φησίν) εἰ καὶ θνήσκοντα προσκυνοῦμεν, ἀλλά γε κἂν
ζήσαντά ποτε, ὑμεῖς δὲ τὰ μηδέποτε ζήσαντα σέβεσθε. πρὸς τούτοις
φασίν· Τοῦ ἑνὸς θεοῦ τιμᾶν θέλοντες τὴν μορφὴν καὶ μὴ εὑρόντες ποία ἐστίν,
πᾶσαν μορφὴν προτιμᾶν εἱλόμεθα. καὶ ὁμῶς τοιαῦτά τινα λέγοντες ὀρθότερον
ὑμῶν οἴονται φρονεῖν. διὸ καὶ ὑμεῖς ἀποκρίνασθε πρὸς αὐτούς· Ψεύδεσθε·
οὐ γὰρ τιμῇ τῇ πρὸς τὸν ὄντως θεὸν αὐτὰ σέβεσθε· πᾶσαν γὰρ ἂν μορφὴν
προσεκυνεῖτε οἱ πάντες, οὐχ ὡς ἐποιεῖτε. οἱ μὲν γὰρ ὑμῶν κρόμμυον ὑπονοή-
σαντες εἶναι τὸ θεῖον καὶ <οἱ> γαστρὸς πνεύματα σέβοντες πολεμοῦσιν·
καὶ οὕτως ὁμοίως οἱ πάντες ἕν τι προτιμήσαντες τὰ ἄλλων ψέγετε. δια-
φόρῳ δὲ γνώμῃ τοῦ αὐτοῦ ζόου μελῶν ὃς μὲν ἄλλο σέβει, ἕτερος δὲ τὸ
ἕτερον. πλὴν αὐτῶν <οἱ> ἔτι τὰ τοῦ ὀρθοῦ λογισμοῦ πνέοντες, αἰδούμε-
νοι ἐπὶ τῷ προδήλῳ αἰσχρῷ, εἰς ἀλληγορίας αὐτὰ ἄγειν πειρῶνται, δι'
ἑτέρας ἐπινοίας τὰ τῆς ἀπάτης αὐτῶν θανάσιμα κρατύνειν βουλόμενοι.
ὅμως καὶ τὰς ἀλληγορίας διηλέγξαμεν ἄν, εἴπερ ἐκεῖ ἦμεν, ὧν τὸ το-
σοῦτον μωρὸν ἐπεκράτησεν πάθος μεγίστην τῇ ἐπινοίᾳ ἐνποιῆσαι νόσον.
οὐ γὰρ χρὴ τὴν ἔμπλαστρον προσφέρειν ἐπὶ τὸ ὑγιεινὸν μέρος τοῦ σώ-
ματος, ἀλλ' ἐπὶ τὸ πάσχον. ἐπεὶ οὖν ὑμεῖς διὰ τοῦ γελάσαι τὰ Αἰγυ-
πτίων ἐφάνητε μὴ παθόντες τὰ ἐκείνων, περὶ οὗ ὑμεῖς πεπόνθατε, εὔλο-
γον ἦν παρόντα με ὑμῖν τὴν ἴασιν τοῦ ἐν ὑμῖν πάθους παρέχειν. ὁ
θεὸν σέβειν αἱρούμενος πρὸ πάντων εἰδέναι ὀφείλει τί μόνον τῆς θεοῦ
φύσεως ἴδιόν ἐστιν, ὃ ἄλλῳ προσεῖναι ἀδύνατον, ἵνα εἰς τὸ ἰδίωμα αὐτοῦ
ἀποβλέπων καὶ παρ' ἑτέρῳ αὐτὸ μὴ εὑρίσκων, ἑτέρῳ τὸ θεῷ εἶναι
μὴ ἀπατηθῇ δοῦναί ποτε. ἔστιν δὲ ἴδιον θεοῦ τοῦτον μόνον εἶναι,
ὡς πάντων ποιητήν, οὕτως καὶ κρείττονα. κρεῖττόν ἐστιν δυνάμει μὲν
τὸ ποιοῦν τοῦ ποιουμένου, πρὸς μέγεθος τὸ ἄπειρον τοῦ πεπερασμένου,
πρὸς εἶδος τὸ εὐμορφότατον, πρὸς εὐδαιμονίαν τὸ μακαριώτατον, πρὸς

νοῦν τὸ τελειότατον. ὁμοίως δὲ καὶ ἐν τοῖς ἄλλοις αὐτὸς ἀπαραβλήτως
τὴν ὑπεροχὴν ἔχει. ἐπεὶ οὖν (ὡς ἔφην) ἴδιον θεοῦ τὸ αὐτὸν εἶναι τῶν
ὅλων κρείττονα, ὑπ' αὐτοῦ δὲ ὁ πάντα περιέχων γέγονε κόσμος, ἀνάγκη
πᾶσα λέγειν μηδὲν τῶν ὑπ' αὐτοῦ γεγονότων αὐτῷ δύνασθαι τὴν ἴσην
ἔχειν σύγκρισιν. ὁ δὲ μὴ ἔχων τὸ ἀπαράβλητον καὶ ἀνυπέρβλητον
καὶ πάντη πάντοθεν ἀνενδεὲς θεὸς εἶναι οὐ δύναται. εἰ δὲ ὁ πᾶς κόσμος
τοῦτο εἶναι οὐ δύναται, καθὸ γεγένηται, πόσῳ γε μᾶλλον τὰ μόρια αὐτοῦ
οὐκ ἂν εὐλόγως κληθείη θεός. μόρια δὲ λέγω τοὺς ὑφ' ὑμῶν λεγομένους
θεούς, ἐκ χρυσοῦ καὶ ἀργύρου χαλκοῦ τε καὶ λίθου ἢ καὶ ἐξ ἄλλης ὕλης
ἡστινοσοῦν γεγονότα, καὶ ταῦτα ὑπὸ θνητῆς χειρὸς δεδημιουργημένα.
ὅμως δὲ πρὸς ταῦτα ἴδωμεν οἷα δι' ἀνθρώπου στόματος ὁ δεινὸς ὄφις
φαρμάσσει τοῖς ἐμπαιγμοῖς τοὺς ἐξαπατωμένους.

Λέγουσι γὰρ οἱ πολλοί· Τῶν σεβασμάτων ἡμῶν σέβομεν οὐ τὸν χρυσὸν
οὐδὲ τὸν ἄργυρον οὐδὲ ξύλον ἢ λίθον (ἴσμεν γὰρ καὶ ἡμεῖς ὅτι ταῦτα
οὐδέν ἐστιν ἢ ἄψυχος ὕλη καὶ ἀνθρώπου θνητοῦ τέχνη), ἀλλὰ τὸ
κατοικοῦν ἐν αὐτοῖς πνεῦμα, τοῦτο θεὸν λέγομεν. ὅρα τῶν ταῦτα
λεγόντων τὴν κακοήθειαν. ἐπεὶ γὰρ τὸ φαινόμενον εὐέλεγκτόν ἐστιν
ὅτι οὐδέν ἐστιν, κατέφυγον ἐπὶ τὸ ἀόρατον, ὡς ἐπ' ἀδήλῳ τινὶ
ἐλεγχθῆναι μὴ δυνάμενοι. πλὴν συνομολογοῦσιν ἡμῖν οἱ τοιοῦτοι ἐπὶ
μέρους ὅτι τὸ ἥμισυ τῶν παρ' αὐτοῖς ἱδρυμάτων θεὸς οὐκ ἔστιν, ἀλλ'
ἀναίσθητος ὕλη. λοιπὸν δὲ περιλείπεται δεῖξαι αὐτοῖς πῶς πιστεύουσιν
ὅτι θεῖον ἔχει πνεῦμα. ἀλλ' ἐπιδεῖξαι ἡμῖν οὐ δύνανται ὅτι ἔστιν, ἐπεὶ
μὴ ἔστιν, καὶ αὐτοῖς ἑωρακέναι οὐ πιστεύομεν. ἡμεῖς αὐτοῖς ὅτι
θεῖον οὐκ ἔχει πνεῦμα τὰς ἀποδείξεις παρέξομεν, ὅπως τοῦ δοκεῖν αὐτὰ
ἔνπνοα εἶναι οἱ φιλαλήθεις τὸν ἔλεγχον ἀκούσαντες τῆς λυσσώδους ὑπο-
νοίας ἀποτράπωνται. τὸ μὲν δὴ πρῶτον, εἰ ὡς ἔνπνοα ὄντα σέβεσθε
αὐτά, <τί> καὶ ἀνθρώπων ἀρχαίων τάφους προσκυνεῖτε, τῶν ὁμολογου-
μένως οὐδὲν πνεῦμα θεῖον ἐσχηκότων; οὕτως οὐδὲ κατὰ τοῦτο
ἀληθεύετε.

πλὴν εἰ ὄντως ἔνπνοα ἦν τὰ σεβάσματα ὑμῶν, ἀφ' ἑαυτῶν ἂν ἐκινεῖτο,
φωνὴν ἂν εἶχεν, τὴν ἐπ' αὐτοῖς ἀράχνην ἀπεσείετο, τοὺς αὐτοῖς ἐπιβου-
λεῦσαι θέλοντας καὶ κλέπτοντας ἀπεωθεῖτο ἄν, τοὺς τὰ ἀναθήματα ἀπο-
συλῶντας συνελάμβανεν ἂν ·ᾳδίως. νῦν δὲ τούτων οὐδὲν ποιοῦσιν, ἀλλ'
ὡς κατάδικοι (καὶ μάλιστα οἱ τιμιώτεροι αὐτῶν) φρουροῦνται, ὡς καὶ
τὴν ἀρχὴν εἰρήκαμεν. τί δέ; οὐ φόρους καὶ τέλη ὑπὲρ αὐτῶν ἀπαιτοῦσιν
ὑμᾶς οἱ δυνάσται ὡς πολλὰ καρπιζομένους τῶν ἐκεῖ; τί δέ; οὐ πολλάκις
ὑπὸ πολεμίων διηρπάγησαν καὶ συντριβέντες διενεμήθησαν; οὐχὶ καὶ
τῶν ἔξω θρησκευόντων αὐτοὶ πλέον οἱ ἱερεῖς, ἐπὶ τῇ ἀχρήστῳ θρη-
σκείᾳ ἑαυτῶν κατεγνωκότες, τῶν ἀναθημάτων πολλὰ ὑφαιροῦνται; ναί
φησιν, ἀλλὰ προνοίᾳ αὐτῶν ἐφωράθησαν. ψεῦδός ἐστιν. πόσοι γὰρ οὐκ
ἐφωράθησαν αὐτῶν; εἰ δὲ διὰ τὸ ἐνίους συνειλῆφθαι δύναμιν αὐτοὺς ἔχειν
λέγουσιν, πεπλάνηνται. καὶ γὰρ τῶν τυμβωρύχων τινὲς μὲν εὑρίσκονται,
τινὲς δὲ λανθάνουσιν, καὶ οὐ δήπου γε τῇ τῶν νεκρῶν δυνάμει οἱ συλληφθέν-
τες ἐφωράθησαν. τοιοῦτόν τι καὶ περὶ τοὺς κλεπτομένους καὶ συλωμέ-
νους θεοὺς ἔστιν ἡμῖν νοεῖν. ἀλλά (φησίν) οὐ πεφροντίκασιν τῶν ξοάνων
αὐτῶν οἱ ἐν αὐτοῖς ὄντες θεοί. τί οὖν αὐτὰ ὑμεῖς τημελεῖτε σμήχοντες
καὶ πλύνοντες καὶ καθαίροντες, στεφανοῦντες, ἐπιθύοντες; διόπερ ἐντεῦ-
θεν συννοήσατε μηδὲ ὀρθῷ λογισμῷ ποιοῦντες. ὡς γὰρ τοῖς νεκροῖς ἐπι-
κλαίετε, οὕτω καὶ τοῖς θεοῖς ὑμῶν ἐπιθύετε καὶ σπένδετε. οὐκέτι μέν-
τοι τοῦτο οὐδὲ τῷ τοῦ Καίσαρος καὶ τῶν ὑπ' αὐτὸν ἐξουσιῶν συμφωνεῖ
παραδείγματι, διοικητὰς αὐτοὺς λέγειν, ὁπότε ὑμεῖς αὐτῶν τὴν πᾶσαν
ποιεῖσθε πρόνοιαν, ὡς προεῖπον, κατὰ πάντα τημελοῦντες ὑμῶν τὰ ἱδρύ-

ματα. αὐτὰ γὰρ οὐδὲν δυνάμενα οὐδὲν ποιεῖ. ἐπεὶ εἴπατε ἡμῖν·
Τί διοικοῦσιν; τί ποιοῦσιν τοιοῦτον ὁποῖόν τι οἱ κατὰ τόπον ἡγούμενοι;
τί δὲ ἐνεργοῦσιν τοιοῦτον ὁποῖον οἱ τοῦ θεοῦ ἀστέρες; ἢ μήτι φαίνουσιν ὡς ὁ
ἥλιος, οἷς λύχνους ὑμεῖς ἅπτετε; μὴ ὥσπερ τὰ νέφη ὑετοὺς φέρει, καὶ
αὐτοὶ φέρειν ὄμβρους δύνανται, οἱ μηδὲ ἑαυτοὺς κινεῖν δυνάμενοι, ἐὰν
μὴ ἄνθρωποι ἐπιλάβωνται; ἢ καρποὺς παρέχονται τὸν αὐτὸν τῇ γῇ τρό-
πον, οἷς ὑμεῖς θυσίας χορηγεῖτε; οὕτως οὐδὲν δύνανται. εἰ δὲ καὶ
ποιεῖν τι ἐδύναντο, οὐκ ἂν αὐτοὺς ὀρθῶς θεοὺς ἐλέγετε, ὁπότε οὐδὲ
τὰ στοιχεῖα ὀνομάζειν ἔξεστιν θεούς, δι' ὧν τὰ ἀγαθὰ χορηγεῖται. ἀλλὰ
τὸν μόνον τάξαντα αὐτὰ πρὸς τὴν ἡμετέραν χρῆσιν ἐκτελεῖν τὰ πάντα
καὶ κελεύσαντα ἀνθρώπῳ ὑπηρετεῖν, μόνον ὀρθῷ λόγῳ θεὸν ὀνομάζομεν.
οὗ τῆς εὐεργεσίας ὑμεῖς μὴ αἰσθανόμενοι τὰ ὑμῖν δοῦλα ἀπονεμηθέντα
στοιχεῖα καθ' αὐτῶν δεσπόζειν ἀνηγορεύσατε. καὶ τί περὶ στοιχείων δεῖ
λέγειν; ὁπότε καὶ ἄψυχα ἀγάλματα πεποιηκότες οὐ μόνον προσκυνεῖτε,
ἀλλ' ὡς δοῦλοι κατὰ πάντα αὐτοῖς ὑποτετάχθαι ἀξιοῦτε. διὰ τοῦτο δι'
ὧν παρεφρονήσατε, δαίμοσιν ὑποχείριοι γεγόνατε. πλὴν διὰ τῆς εἰς αὐτὸν
τὸν θεὸν ἐπιγνώσεως ἐκ τῶν καλῶν πράξεων δύνασθε δεσπόται γενέσθαι
πάλιν καὶ δαίμοσιν ὡς δούλοις ἐπιτάξαι καὶ ὡς υἱοὶ θεοῦ αἰωνίου βασιλείας
κληρονόμοι καταστῆναι.

Ταῦτα εἰπὼν ἐκέλευσεν τοὺς δαιμονῶντας καὶ νόσοις ἐγκατειλημ-
μένους αὐτῷ προσφέρεσθαι, προσενεχθεῖσι δὲ τὰς χεῖρας ἐπιθεὶς καὶ
προσευξάμενος ἀπέλυσεν αὐτοὺς ὑγιαίνοντας, ὑπομιμνήσκων αὐτοὺς καὶ
τοὺς λοιποὺς ὄχλους ἐνταῦθα παρεδρεύειν, ὅσων ἂν ἡμερῶν ἐπιδημῶν δια-
λέγηται. τῶν οὖν ἄλλων ἀναχωρησάντων ὁ Πέτρος ἐν τῷ ἐκεῖ ὑδροχοείῳ
λουσάμενος σὺν τοῖς θελήσασι, χαμαὶ στρωθῆναι κελεύσας ὑπό τινα πυκνὴν

τῶν δένδρων κόμην διὰ τὴν σκιάν, κατ' ἀξίαν ἕκαστον κατακλιθῆναι ἐποίησεν· καὶ οὕτως τροφῆς μετελάβομεν. εὐλογήσας οὖν καὶ ἐπευχαριστήσας
τῷ θεῷ ἐπὶ τῷ εὐφρανθῆναι κατὰ τὴν Ἑβραίων συνήθη πίστιν, ἔτι πολ-
λῆς οὔσης ὥρας, πυνθάνεσθαι ἡμᾶς περὶ ὧν θέλομεν ἐπέτρεψεν. καὶ ὅμως
εἴκοσι οὖσιν ἡμῖν ἐν μέρει ἑκάστῳ πυθομένῳ ἐπέλυσεν. ἤδη δὲ ἑσπέρας
ἐπικαταλαβούσης εἰς τὸν εὐρύτατον τῆς ξενίας οἶκον εἰσελθόντες ἅμα
αὐτῷ ἐκεῖ οἱ πάντες ὑπνώσαμεν.

[ΟΜΙΛΙΑ ΙΑ.]

Τῇ μὲν οὖν τετάρτῃ ἐν Τριπόλει ἡμέρᾳ ὁ Πέτρος ἐγερθεὶς καὶ ἐγρη-
γορότας ἡμᾶς εὑρών, προσαγορεύσας ἐξῄει εἰς τὸ ὑδροχοεῖον, ὅπως λου-
σάμενος εὔξηται, ὁμοίως τε καὶ ἡμεῖς ἀκολούθως ἐποιήσαμεν. συνευξαμένοις
οὖν καὶ προκαθεσθεῖσιν τὸν περὶ τοῦ δεῖν ἁγνεύειν ἐποιεῖτο λόγον. καὶ
ἐπειδὴ λοιπὸν ἡμέρα γεγόνει, τοῖς ὄχλοις εἰσελθεῖν ἐπέτρεψεν. εἰσελθόντος
δὲ τοῦ ὄχλου πολλοῦ συνήθως προσαγορεύσας λέγειν ἤρξατο· Ἐπειδὴ
πολλῇ τῇ καθ' ὑμῶν ὑφ' ὑμῶν γενομένῃ ἀμελείᾳ ὁ νοῦς τὰς πολλὰς καὶ
βλαβερὰς τῶν θρησκειῶν ὑπονοίας ἐξέφυσεν καὶ γεγόνατε ὥσπερ γῆ
ἀπορίᾳ γεωργοῦ χερσεύσασα· πολλοῦ πρὸς κάθαρσιν δεῖσθε χρόνου, ἵνα τὸν
μεταδιδόμενον ὑμῖν λόγον ἀληθῆ ὥσπερ καλὸν σπόρον ὁ νοῦς λαβὼν μὴ
κακαῖς φροντίσιν συνπνίξας ἄκαρπον καταστήσῃ πρὸς τὰ σόζειν δυνάμενα
ἔργα. διὸ χρὴ τοὺς πεφροντικότας τῆς ἑαυτῶν σωτηρίας συνεχέστερον
ἐπακούειν, ὅπως τὰ ἐκ μακρῶν χρόνων ἀτοπήματα πληθυνθέντα βραχεῖ τῷ
περιλειπομένῳ χρόνῳ συνεχεῖ σπουδῇ πρὸς κάθαρσιν ἀναλογῆσαι δυνηθῇ.
ἐπεὶ οὖν ἕκαστος ἄδηλον ἔχει τοῦ ἰδίου χρόνου τὸ τέλος, σπεύσατε τὰς πολλὰς
τῶν καρδιῶν ὑμῶν ἐξελεῖν ἀκάνθας, μὴ κατ' ὀλίγον· οὐ γὰρ δυνήσεσθε
καθαρθῆναι, ἐπὶ πολὺ γὰρ ἐχερσεύσατε. οὐκ ἄλλως δὲ τὸ πολὺ τῆς σπουδῆς
πρὸς κάθαρσιν ὑμῶν ἀναδέξασθαι ὑπομενεῖτε, ἐὰν μήγε αὐτοῖς ὀργισθέν-
τες ἐπιπλήξητε περὶ ὧν ὡς ἀχρεῖοι δοῦλοι ἐνηδρεύθητε συνθέμενοι ταῖς
κακαῖς ὑμῶν ἐπιθυμίαις, ἵνα τὴν δικαίαν ὑμῶν <ὀργὴν> τῷ νῷ ὡς πῦρ

χερσευσάσῃ ἀρούρῃ ἐπαφεῖναι δυνηθῆτε. εἰ μὲν οὖν οὐκ ἔχετε δίκαιον πῦρ (τὴν κατὰ τῶν κακῶν ἐπιθυμιῶν ὀργὴν λέγω), μάθετε ἀπὸ ποίων καλῶν ἐνηδρεύθητε καὶ πρὸς ποίαν κόλασιν κατηρτίσθητε καὶ ὑπὸ τίνος
ἡπατήθητε, καὶ οὕτως ὑμῶν ὁ νοῦς νήψας καὶ ὥσπερ πῦρ ὑπὸ τῆς τοῦ πέμψαντος ἡμᾶς διδασκαλίας ἐξαφθεὶς εἰς ὀργήν, τὰς ἀκάνθας τῆς ἐπιθυμίας
ἀναλῶσαι δυνηθῇ. πιστεύσατέ μοι ὅτι θελήσαντες πάντα κατορθῶσαι δυνήσεσθε.

Θεοῦ τοῦ ἀοράτου ἐστὲ εἰκών. ὅθεν οἱ εὐσεβεῖν βουλόμενοι μὴ τὰ εἴδωλα
λεγέτωσαν θεοῦ εἰκόνα εἶναι καὶ διὰ τοῦτο δεῖν αὐτὰ σέβειν. εἰκὼν γὰρ
θεοῦ ὁ ἄνθρωπος. ὁ εἰς θεὸν εὐσεβεῖν θέλων ἄνθρωπον εὐεργετεῖ, ὅτι εἰκόνα θεοῦ τὸ ἀνθρώπου βαστάζει σῶμα, τὴν δὲ ὁμοιότητα οὐκέτι πάντες,
ἀλλὰ ἀγαθῆς ψυχῆς ὁ καθαρὸς νοῦς. πλὴν ὡς ἡμεῖς οἴδαμεν τὸν ἄνθρωπον
«κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν» γεγονότα τοῦ θεοῦ, εἰς τοῦτον ὑμᾶς εὐσεβεῖν λέγομεν, ἵνα εἰς θεόν, οὗπέρ ἐστιν εἰκών, ἡ χάρις λογισθῇ. τιμὴν οὖν
τῇ τοῦ θεοῦ εἰκόνι (ὅπερ ἐστὶν ἄνθρωπος) προσφέρειν δεῖ οὕτως· πεινῶντι
τροφήν, διψῶντι ποτόν, γυμνητεύοντι ἔνδυμα, νοσοῦντι πρόνοιαν, ξένῳ στέ-
γην καὶ τῷ ἐν εἱρκτῇ ὄντι ἐπιφαινόμενον βοηθεῖν ὡς δυνατόν ἐστιν. καὶ
ἵνα μὴ τὸ κατ' εἶδος λέγω, πάντα ὅσα ἑαυτῷ τις θέλει καλά, ὡσαύτως ἄλλῳ χρῄζοντι παρεχέτω, καὶ τότε αὐτῷ εἰς τὴν τοῦ θεοῦ εἰκόνα εὐσεβή-
σαντι δύναται ἀγαθὸς λογισθῆναι μισθός· ᾧ λόγῳ εἰ καὶ ταῦτα ποιεῖν μὴ ἀναδέξηται, ὡς ἀμελήσας τῆς εἰκόνος κολασθήσεται. οἷον οὖν ἔστιν
λέγειν ποτὲ ὅτι εὐσεβείας τῆς εἰς θεὸν χάριν πᾶσαν μορφὴν σεβόμενοι, τὸν
ἄνθρωπον τὴν ὄντως εἰκόνα θεοῦ ὄντα ἐν πᾶσιν ἐνυβρίζοντες, φονεύοντες,
μοιχεύοντες, κλέπτοντες καὶ κατὰ πολλὰ ἄλλα ἀτιμάζοντες; ἐχρῆν δὲ μηδὲν
κακὸν πράττειν, δι' ὃ ἄνθρωπος λυπεῖται· νῦν δὲ πάντα πράττετε, δι'

ἃ ἄνθρωπος ἀθυμεῖ· ἀδικία γὰρ καὶ ἀθυμία γίνεται διὰ τοῦ φονεύεσθαι
καὶ ἀφαιρεῖσθαι τὰ αὐτοῦ καὶ ὅσα ἄλλα ἴστε ἅπερ παθεῖν οὐ θέλετε. ὑμεῖς
δὲ ἑρπετῷ τινι κακούργῳ πρὸς κακίαν ἀπατηθέντες ὑπονοίᾳ πο-
λυθέου γνώσεως, εἰς μὲν τὴν ὄντως εἰκόνα (ὅπερ ἐστὶν ἄνθρωπος) ἀσε-
βεῖτε, εἰς δὲ τὰ ἀναίσθητα εὐσεβεῖν δοκεῖτε. τινὲς δὲ λέγουσιν· Εἰ
μὴ ἤθελεν αὐτὰ εἶναι, οὐκ ἂν ἦν, ἀλλ' ἀνῃρεῖτο ἄν. φημὶ κἀγώ· Τοῦτο
πάντως ἔσται, ὅταν πάντες τὴν αὐτῶν πρὸς αὐτὸν δείξωσιν προαίρεσιν,
καὶ οὕτως ἀλλαγὴ τοῦ νῦν γενήσεται κόσμου. πλὴν εἰ καὶ οὕτως ἠθέ-
λετε αὐτὸν ποιῆσαι, ἵνα μηδὲν τῶν προσκυνουμένων ὑπῆρχεν, εἴπατε
ἡμῖν τί τῶν ὄντων οὐκ ἐθρησκεύσατε. οὐχ οἱ μὲν ὑμῶν τὸν ἥλιον, οἱ δὲ
σελήνην, οἱ δὲ ὕδωρ, οἱ δὲ γῆν, οἱ δὲ τὰ ὄρη, οἱ δὲ φυτά, οἱ δὲ τὰ
σπέρματα, οἱ δὲ καὶ ἄνθρωπον (ὡς ἐν Αἰγύπτῳ) προσκυνοῦσιν; ἐχρῆν
οὖν τὸν θεὸν μηδὲν ἐᾶσαι, ἀλλὰ μηδὲ ἡμᾶς, ἵνα μηδὲν ἂν ἦν τὸ προσ-
κυνούμενον μήτε τὸ προσκυνοῦν. ἀληθῶς τοῦτο βούλεται γενέσθαι ὁ
ἐν ὑμῖν δεινὸς ἐνδομυχῶν ὄφις, ὃς οὐ φείδεται ὑμῶν. ἀλλ' οὐχ οὕτως
ἔσται. οὐδὲν γὰρ ἁμαρτάνει τὸ προσκυνούμενον· βίαν γὰρ πάσχει ὑπὸ
τοῦ προσκυνεῖν αὐτὸ θέλοντος. εἰ γὰρ ὑπὸ πάντων ἀνθρώπων ἄδικος
γίνεται κρίσις, ἀλλ' οὐχ ὑπὸ θεοῦ. οὐ γὰρ δίκαιόν ἐστιν τὴν αὐτὴν τι-
μωρίαν ἀναδέξασθαι τὸν πάσχοντα καὶ τὸν διαθέμενον, ἐκτὸς εἰ μὴ
αὐτὸς ἑκὼν ἀναδέξηται τὴν τοῦ μόνου τιμιωτάτου τιμήν. ἀλλά (φησίν)
ἐχρῆν αὐτοὺς τοὺς προσκυνοῦντας ἀναιρεῖσθαι ὑπὸ τοῦ ὄντως θεοῦ, ἵνα
ἄλλος τοῦτο μὴ ποιῇ. ἀλλ' οὐκ εἶ σοφώτερος τοῦ θεοῦ, ἵνα αὐτῷ ὡς φρονι-
μώτερος γνώμην δῷς. οἶδεν ὃ ποιεῖ. πᾶσιν γὰρ ἐν ἀσεβείᾳ οὖσιν
μακροθυμεῖ, ὡς ἐλεήμων καὶ φιλάνθρωπος πατήρ, εἰδὼς ὅτι καὶ ἐξ
ἀσεβῶν εὐσεβεῖς γίνονται. καὶ αὐτῶν τῶν σεβόντων τὰ αἰσχρὰ καὶ
ἀναίσθητα πολλοὶ νήψαντες τοῦ μὲν αὐτὰ σέβειν καὶ ἁμαρτάνειν ἐπαύ-
σαντο, τῷ δὲ ὄντως θεῷ προσ<φυγόν>τες εὐχαῖς ... καὶ Ἕλληνες ἐσώ-
θησαν. ἀλλὰ τὴν ἀρχὴν ἔδει ποιῆσαι ἡμᾶς μηδὲ ὅλως περὶ τοιούτων
ἐνθυμεῖσθαι. ταῦτα λέγοντες ἀγνοεῖτε τί ἐστιν τὸ αὐτεξούσιον καὶ πῶς

δυνατόν ἐστιν ἀγαθοὺς τῷ ὄντι εἶναι. ὅτι ὁ ἰδίᾳ προαιρέσει ὢν ἀγαθὸς
ὄντως ἀγαθός ἐστιν, ὁ δὲ ὑφ' ἑτέρου ἀνάγκης ἀγαθὸς γενόμενος ὄντως
οὐκ ἔστιν, ὅτι μὴ ἰδίᾳ προαιρέσει ἐστὶν ὅ ἐστιν. ἐπεὶ οὖν τὸ ἑκάστου ἐλεύ-
θερον ἀποτελεῖ τὸ ὄντως ἀγαθὸν καὶ δεικνύει τὸ ὄντως κακόν, ἐν ἑκάστῳ
γενέσθαι ἐχθρὸν ἢ φίλον διὰ τῶν ὑποθέσεων ὁ θεὸς ἐμηχανήσατο. οὔ
φησιν, ἀλλὰ πᾶν ὃ ἐνθυμούμεθα, αὐτὸς ἡμᾶς ποιεῖ νοεῖν. παύσασθε·
τί πλεῖον βλασφημεῖτε οἱ τοῦτο λέγοντες; εἰ γὰρ πᾶν, ὅτι ἂν ἐνθυ-
μηθῶμεν, ἀπ' αὐτοῦ ἐνεργούμεθα, αὐτὸν αἴτιον λέγετε πορνειῶν,
ἀσελγειῶν, πλεονεξιῶν καὶ πάσης βλασφημίας. παύσασθε δυσφημοῦν-
τες, οἱ εὐφημεῖν καὶ πᾶσαν τιμὴν αὐτῷ ἀπονέμειν ὀφείλοντες. καὶ μὴ λέ-
γετε· Οὐκ ἐπιδικάζεται ὁ θεὸς τιμῆς. εἰ γὰρ αὐτὸς οὐδενὸς ἐπιδικάζεται,
ἀλλ' οὖν γε ἡμᾶς ἐχρῆν εἰς τὸ δίκαιον ἀφορῶντας τὸν ἐν πᾶσιν ἡμᾶς
εὐεργετήσαντα εὐχαρίστῳ ἀμείψασθαι φωνῇ. ἀλλά (φησίν) κρεῖττον
ποιοῦμεν ἅμα αὐτῷ καὶ πᾶσιν εὐχαριστοῦντες. ἀλλὰ ταῦτα λέγοντες
οὐκ ἴστε τὴν καθ' ὑμῶν ἐπιβουλήν. ὡς γάρ, ὁπόταν ἕνα κάμνοντα πολλοὶ
ἰατροὶ θεραπεύειν ἐπαγγέλλωνται μηδὲν δυνάμενοι, εἷς δέ τις ὄντως
ἰᾶσθαι δυνάμενος τὴν αὐτοῦ ἀντίδοτον μὴ προσφέρῃ λογισάμενος ὅτι,
ἂν αὐτὸς θεραπεύσῃ, ἄλλοι ἐπιγράφονται, οὕτω καὶ ὁ θεὸς μετὰ πολλῶν
ἀξιούμενος τῶν μηδὲν δυναμένων οὐκ εὐεργετεῖ. τί οὖν; (φησίν) ὁ θεὸς
ἐπὶ τούτῳ ἀγανακτεῖ, ἐάν γε αὐτοῦ θεραπεύοντος ἄλλος ἐπιγραφῇ;
φημί, εἰ καὶ μὴ ἀγανακτεῖ, ἀλλ' οὖν γε οὐ θέλει τῆς ἀπάτης συνεργὸς
γενέσθαι. αὐτοῦ γὰρ εὐεργετήσαντος καὶ τὸ μηδὲν ποιῆσαν εἴδωλον
ὡς δυνηθὲν πιστοῦται. ἀλλὰ κἀγώ φημι ὅτι, εἰ μὴ φυσικῶς ἠδίκητο <ὁ>
πρὸς ἀναίσθητα ἐπτοημένος, ἴσως ἂν καὶ τοῦτο ὑπομεμενήκει· διὸ νήψατε
ὑπὲρ τῆς σωτηρίας τὰ εὔλογα νοεῖν. ὁ θεὸς γὰρ ἀνενδεὴς ὢν αὐτὸς
οὐδενὸς δεῖται οὔτε βλάπτεται. ἡμῶν γάρ ἐστιν τὸ ὠφελεῖσθαι ἢ βλά-
πτεσθαι. ὅνπερ γὰρ τρόπον Καῖσαρ οὔτε βλασφημούμενος βλάπτεται
οὔτε εὐχαριστούμενος ὠφελεῖται, ἀλλὰ τοῦ εὐχαριστοῦντος μὲν γίνεται τὸ

ἀκίνδυνον, τοῦ δὲ βλασφημοῦντος ὄλεθρος, οὕτως οἱ θεὸν εὐφημοῦντες
αὐτὸν μὲν οὐδὲν ὠφελοῦσιν, ἑαυτοὺς δὲ σόζουσιν, ὁμοίως καὶ οἱ βλασφη-
μοῦντες αὐτὸν μὲν οὐκ ἀδικοῦσιν, αὐτοὶ δὲ ὀλοθρεύονται. ἀλλά (φησίν)
οὐχ ὁμοίως ἐπ' ἀνθρώπου καὶ θεοῦ. σύμφημι κἀγὼ ὅτι οὐχ ὁμοίως. μεί-
ζων γὰρ ἡ κόλασις <τῷ> εἰς μείζονα ἀσεβήσαντι, ἥττων δὲ τῷ εἰς τὸν
ἥττονα ἁμαρτήσαντι. ὡς οὖν πάντων μείζων ὁ θεός, οὕτως μείζονα
ὑφέξει κόλασιν ὁ εἰς αὐτὸν ἀσεβήσας ὡς εἰς μείζονα ἁμαρτήσας, οὐκ
αὐτοῦ αὐτόχειρος ἀμυνομένου, ἀλλὰ πάσης τῆς κτίσεως ἐπὶ τούτῳ ἀγα-
νακτούσης καὶ φυσικῶς ἐπεξερχομένης. οὐ γὰρ δώσει τῷ βλασφήμῳ οὐχ
ἥλοις τὸ φῶς, οὐ γῆ τοὺς καρπούς, οὐ πηγὴ τὸ ὕδωρ, οὐκ ἐν ᾅδῃ τῇ ψυ-
χῇ ὁ ἐκεῖ καθεστὼς ἄρχων τὴν ἀνάπαυσιν, ὁπότε καὶ νῦν ἐπὶ τῆς
τοῦ κόσμου προθεσμίας ὑφεστώσης παραγανακτεῖ πᾶσα ἡ κτίσις. διὸ
οὔτε τελείως οὐρανὸς ὑετοὺς παρέχει οὔτε γῆ τοὺς καρπούς, διὸ οἱ
πλείονες λυμαίνονται. ἀλλὰ καὶ αὐτὸς ὁ ἀὴρ θυμῷ ὑπεκκαιόμενος πρὸς
λοιμώδη κρᾶσιν μεταβάλλεται. πλὴν ὅσων ἀπολαύομεν ἀγαθῶν, τῷ
αὐτοῦ ἐλέῳ εἰς τὴν ἡμετέραν φιλανθρωπίαν βιάζεται τὴν κτίσιν. οὕτως
ὑμῖν τοῖς ἀτιμάζουσιν τὸν τῶν ὅλων δημιουργὸν ἡ πᾶσα κτίσις χαλεπαί-
νει. κἂν γὰρ τῇ τοῦ σώματος λύσει τὴν κόλασιν ἐκφύγητε, πῶς τὴν
ψυχὴν ὑμῶν ἄφθαρτον οὖσαν διὰ τῆς φθορᾶς φυγεῖν δυνήσεσθε; ἀθάνατος
γὰρ ἡ ψυχὴ καὶ τῶν ἀσεβῶν, οἷς ἄμεινον ἦν μὴ ἄφθαρτον αὐτὴν ἔχειν.
κολαζομένη γὰρ ὑπὸ τοῦ ἀσβέστου πυρὸς ἀπεράντῳ τιμωρίᾳ καὶ
μὴ θνῄσκουσα, ἐπὶ κακῷ τῷ αὐτῆς τέλος λαβεῖν οὐκ ἔχει. ἀλλ' ἴσως ἐρεῖ τις
ὑμῶν· Φοβεῖς ἡμᾶς, Πέτρε. διδάξατε οὖν ἡμᾶς πῶς σιγῶντες ἐροῦμεν
τὰ ὄντα ὡς ἔστιν· ἄλλως γὰρ αὐτὰ ὑμῖν σημαίνειν οὐ δυνάμεθα. ἐάν τε
σιγήσωμεν, ἐνεδρεύεσθε ὑπὸ τῶν κακῶν διὰ τὴν ἄγνοιαν–ἐάν τε λαλή-
σωμεν, ὡς ἐπὶ ψευδεῖ ὑποθέσει φοβοῦντες ὑμᾶς ὑποπτευόμεθα. πῶς οὖν

ἐπᾴσωμεν τῷ εἰς τὴν ὑμετέραν <καρδίαν> κακῷ ἐνδομυχοῦντι <ὄφει>
καὶ πανούργως ὑποσπείροντι ὑμῖν τὰς θεῷ ἐχθραινούσας ὑπονοίας;
προφάσει τῆς πρὸς θεὸν φιλίας διαλλάγητε ἑαυτοῖς· ὑπὲρ γὰρ τῆς ὑμῶν
σωτηρίας γίνεται ἡ μετὰ εὐποιίας πρὸς αὐτὸν καταφυγή. ἔχθρα τίς ἐστιν
θεῷ ἐν ὑμῖν ἄλογος ἐπιθυμία· ὑπονοίᾳ γὰρ φρονήσεως τὴν ἄγνοιαν κρα-
τύνει. ἄλλοι δὲ λέγουσιν· Οὐ πεφρόντικεν ἡμῶν ὁ θεός. καὶ τοῦτο ψεῦ-
δός ἐστιν. εἰ γὰρ ὄντως οὐκ ἐφρόντιζεν, οὐκ ἂν οὐδὲ τὸν ἥλιον αὐτοῦ
ἀνέτελλεν ἐπὶ ἀγαθοὺς καὶ πονηροὺς οὔτε τὸν ὑετὸν αὐτοῦ ἔφερεν ἐπὶ
δικαίους καὶ ἀδίκους. ἕτεροι δὲ λέγουσιν· Εὐσεβέστεροί ἐσμεν καὶ αὐτὸν
καὶ τὰ ἀγάλματα σέβοντες. οὐκ οἶμαι, εἰ τοῦτο λέγων τις ἐρεῖ βασιλεῖ· Τὴν
ἴσην σοι ἀπονέμω τιμήν, οἵαν καὶ τοῖς νεκροῖς καὶ τῇ ἐρριμμένῃ κοπρίᾳ·
οὐκ οἴομαι εἰ καλῶς ἀπαλλάξει. ἀλλ' ἐρεῖ τις· Κοπρίαν λέγεις τὰ σεβάσματα
ἡμῶν; ναί φημι. ἄχρηστα γὰρ ὑμῖν αὐτὰ ἐποιήσατε, εἰς τὸ σέβειν καταριθμή-
σαντες, τῆς οὐσίας αὐτῶν ἴσως ἄλλο τι ἢ εἰς χρῆσιν κόπρου εὐχρηστησάσης.
νῦν δὲ οὐδὲ εἰς τοῦτο χρησιμεύει, ὅτε μετασχηματίσαντες προσκυνεῖτε.
πῶς δὲ καὶ εὐσεβέστεροι εἶναί φατε οἱ πάντων ἀσεβέστατοι, ταύτῃ
αὐτῇ τῇ μιᾷ καὶ ἀσυγκρίτῳ ἁμαρτίᾳ ψυχῆς ὄλεθρον ὀφείλοντες τὰ
ἀληθῆ ἐὰν ἐπιμείνητε; ὡς γὰρ εἴ τις υἱὸς πολλὰ εὐεργετούμενος ὑπὸ
τοῦ πατρὸς ἑτέρῳ τινὶ τῷ μὴ πατρὶ τὴν ὀφειλομένην τῷ πατρὶ ἀποδόη
τιμήν, πάντως ἀποκληρονόμος γίνεται· ἐπὰν δὲ κατὰ γνώμην τοῦ πα-
τρὸς βιοὺς εὐχαριστῇ ἐπὶ ταῖς εὐεργεσίαις, εὐλόγως κληρονόμος γίνε-
ται. ἄλλοι δὲ λέγουσιν· Ἀσεβεῖν μέλλομεν, ἐὰν τὰ παραδοθέντα ἡμῖν ἐκ
πατέρων σεβάσματα καταλείψωμεν· ὅμοιον γάρ ἐστιν τῷ παραθήκην
φυλάξαι. οὐκοῦν τούτῳ τῷ λόγῳ κἂν λῃστοῦ τις ᾖ πατρὸς ἢ αἰσχρο-
βίου, οὐκ ὀφείλει ὁ υἱὸς νήψας τὸ κρεῖττον ἑλέσθαι, ἵνα μὴ ἀσεβήσῃ καὶ
μὴ τὰ ἴσα τοῖς γονεῦσιν ποιῶν ἁμαρτάνῃ; πῶς δὴ ἀνόητοι οἱ λέγοντες·

Ταῦτα προσκυνοῦμεν, ἵνα μὴ αὐτῷ ὀχλῶμεν. ὡς ὀχλουμένου θεοῦ ἐφ' οἷς εὐφημεῖται, μὴ ὀχλουμένου δὲ ἐφ' οἷς ἀχαριστούμενος βλασφημεῖται. διὰ τί οὖν, ὁπόταν ἐποχὴ ὑετοῦ γένηται, πρὸς οὐρανὸν τὰ πάντα ἀφορῶντες εὐχὰς καὶ λιτὰς ἀπονέμετε; καὶ ὅταν ἐπιτύχητε, τάχιον ἐπιλανθάνεσθε; ἀμήσαντες γὰρ ἢ τρυγήσαντες εὐθέως τοῖς μηθὲν οὖσιν εἰδώλοις τὰς ἀπαρχὰς ἀπονέμετε, τάχιον ἐπιλανθανόμενοι τοῦ εὐεργετήσαντος θεοῦ. καὶ οὕτως εἰς ἅλση καὶ εἰς τοὺς ναοὺς γενόμενοι θυσίας ἐπιτελοῦντες εὐωχεῖσθε. διὰ τοῦτο οἱ μὲν ὑμῶν λέγουσιν· Παρηγορίας καὶ τοῦ εὐωχεῖσθαι χάριν καλῶς ταῦτα ἐπινενόηται. ὦ ἀνόητοι, ὑμεῖς τοῦ λεγομένου γένεσθε δίκαιοι κριταί. εἴπερ γὰρ καὶ ἐχρῆν ἐνταῦθα εἰς εὐφρασίαν σώματος ἑαυτὸν δοῦναι, ποία εὐωχία ἀμείνων, ἡ ἐν ποταμοῖς καὶ ὕλαις καὶ ἄλσεσιν, ἔνθα εἰλαπίναι καὶ συμπόσια καὶ κατάσκιοι τόποι, ἢ ὅπου ἀπόνοια δαιμόνων καὶ χειρῶν τομαὶ καὶ αἰδοίων ἀποκοπαὶ καὶ οἶστροι καὶ μανίαι καὶ τριχῶν κόμαι καὶ κόμποι καὶ ἐνθουσιασμοὶ καὶ ὀλολυγαὶ καὶ πάντα ἐκεῖνα τὰ μεθ' ὑποκρίσεως εἰς κατάπληξιν τῶν ἀνοήτων γινόμενα, ὅπως τὰς αὐτῶν ὀφειλομένας εὐχὰς καὶ εὐχαριστίας καὶ νεκρῶν νεκροτέροις προσενέγκητε; καὶ διὰ τί χαίροντες ταῦτα ποιεῖτε; ἐπεὶ οὐ θέλει ὑμῖν ὁ ἐμφωλεύων εἰπεῖν ὄφις, ὃς ἐνέσπειρεν ὑμῖν τὴν ἄκαρπον ἐπιθυμίαν, λέγων ὑπομνήσω. ἔχει δὲ οὕτως· παρὰ τῇ τοῦ θεοῦ θρησκείᾳ κηρύσσεται νήφειν, σωφρονεῖν, ὀργῆς κρατεῖν, ἀλλότρια μὴ νοσφίζεσθαι, δικαίως βιοῦν, ἐπιεικῶς, εὐσταθῶς, πράως, κολάζειν ἑαυτὸν μᾶλλον ἐν ταῖς ἐνδείαις ἢ μὴ ἔχοντα ἑτέρου ἀδίκως ἀφελόμενον κορεσθῆναι. παρὰ δὲ τοῖς λεγομένοις θεοῖς τὰ ἐναντία γίνεται. καὶ ἔνια εἰς κατάπληξιν δικαιοσύνης παραγγέλλεται, ἅπερ εἰ καὶ πάντα ποιεῖτε τὰ παραγγέλματα, μία ἡ πρὸς θεὸν ἄγνοια ἱκανὴ τυγχάνει πρὸς τὴν καθ'

ὑμῶν τιμωρίαν. πλὴν συνερχόμενοι εἰς τοὺς ὑφ' ὑμῶν αὐτοῖς δοθέντας
τόπους ἡδέως μεθύσκεσθε καὶ βωμοὺς ἀνάπτετε, ὧν ἡ κνίσα ·εμβομένη καὶ
τὰ τυφλὰ καὶ κωφὰ πνεύματα διὰ τῆς ὀσφρήσεως ἄγει εἰς τὸν τῆς ἐξουσίας
αὐτῶν τόπον. καὶ οὕτως τῶν ἐκεῖ οἱ μὲν ἐνθουσιασμῶν, οἱ δὲ βρωτῶν
ἀλλοκότων ἐμπίμπλανται, οἱ δὲ ἐπὶ τὸ ἀσελγαίνειν τρέπονται, οἱ δὲ ἐπὶ
κλοπὰς καὶ φόνους. ἡ γὰρ τοῦ ἐκεῖ αἵματος ἀναθυμίασις καὶ ἡ τῶν οἴνων
σπονδὴ καὶ αὐτὰ καροῖ τὰ ἀκάθαρτα πνεύματα, ἅτινα ἐνδομυχοῦντα εἰς
ὑμᾶς φιληδόνως ἔχειν τὰ ἐκεῖ ποιοῦσιν καὶ δι' ὀνείρων ὑμᾶς φαντασίαις
ψευδέσιν περιβάλλουσιν καὶ μυρίοις παθήμασιν τιμωροῦσιν. προφάσει γὰρ
τῶν λεγομένων ἱεροθύτων χαλεπῶν δαιμόνων ἐμπίπλασθε, οἳ καὶ φρονί-
μως ὑμᾶς λανθάνοντες ἀναιροῦσιν, ἵνα μὴ συνῆτε ὑμῶν τὴν ἐπιβουλήν. προ-
φάσει γάρ τινος ἐπηρείας ἢ ἀνάγκης ἢ ἔρωτος ἢ ὀργῆς ἢ λύπης ἢ ἀγχόνῃ ἢ
ὕδατι πνίξαντες ἢ ἀπὸ κρημνοῦ ·ίψαντες ἢ αὐτοχειρίᾳ ἢ ἀποπληξίᾳ ἢ
ἑτέρῳ τινὶ πάθει τοῦ ζῆν μεθιστᾶσιν. ἡμῶν δὲ οὐδεὶς τοιοῦτόν τι παθεῖν
δύναται, ἀλλ' αὐτοὶ ὑφ' ἡμῶν κολάζονται, ὁπόταν εἴς τινα εἰσιόντες βρα-
δέως ἐξιέναι ἡμᾶς παρακαλῶσιν. ἀλλ' ἐρεῖ τις ἴσως· Τοιούτοις πάθεσιν καὶ
θεοσεβῶν τινες ὑποπίπτουσιν. φημὶ ὅτι τοῦτο ἀδύνατον. θεοσεβὴς γὰρ
οὗτός ἐστιν, ὃν ἐγώ φημι, ὁ ὄντως θεοσεβής, οὐχ ὃς ἂν μόνον λέγηται,
ὁ δὲ ὄντως ὢν τοῦ δοθέντος αὐτῷ νόμου ἐκτελεῖ τὰς πρ<οστ>άξεις. ἐάν
τις ἀσεβήσῃ, εὐσεβὴς οὐκ ἔστιν. ὅνπερ τρόπον ἐὰν ὁ ἀλλόφυλος τὸν νό-
μον πράξῃ, Ἰουδαῖός ἐστιν, μὴ πράξας δὲ Ἕλλην· ὁ γὰρ Ἰουδαῖος
πιστεύων θεῷ ποιεῖ τὸν νόμον, δι' ἧς πίστεως καὶ τὰ ἄλλα τὰ ὄρεσιν
ἐοικότα καὶ βαροῦντα μεθίστησιν πάθη. ὁ δὲ μὴ ποιῶν τὸν νόμον δῆ-
λον ὅτι ἐκ τοῦ μὴ πιστεύειν θεῷ λειποτακτεῖ καὶ οὕτως ὡς οὐκ Ἰου-

δαῖος ἁμαρτωλὸς διὰ τὴν ἁμαρτίαν ἐπικρατεῖται ὑπὸ τῶν εἰς τὸ τιμω-
ρεῖν τοὺς ἁμαρτάνοντας καθεστώτων παθῶν, βουλῇ θεοῦ τῇ ἀπ' ἀρχῆς
ὁρισθείσῃ δικαίως. <οὕτως καὶ> τοῖς σέβουσιν αὐτὸν παραπτωμάτων χάριν
ἡ τιμωρία ἕπεται, ὃ γίνεται, ἵνα ὡς ὀφείλημα διὰ τῆς βασάνου ἀπαιτήσασα
τὴν ἁμαρτίαν τοὺς ἐπιστρέψαντας καθαροὺς ἐν τῇ τῶν ὅλων παραστήσῃ
κρίσει. ὡς γὰρ τοῖς κακοῖς ἡ ἐνταῦθα τρυφὴ εἰς ζημίαν αἰωνίων ἀγαθῶν
γίνεται, οὕτως αἱ τιμωρίαι τοῖς παραπίπτουσιν Ἰουδαίοις πέμπονται
εἰς ἔκπραξιν, ἵνα ἐνταῦθα ἀπολαβόντες τὸ παράπτωμα τῆς ἐκεῖ ἀπαλλα-
γῶσιν αἰωνίας κολάσεως. ὑμεῖς δὲ ταῦτα εἰπεῖν οὐ δύνασθε· οὐ
γὰρ πιστεύετε τὰ ἐκεῖ εἶναι ὡς ἡμεῖς λέγομεν, λέγω δή, ὅπου πᾶσιν ἡ
ἀνταπόδοσις γίνεται. οὗ ἕνεκεν ἀγνοοῦντες τὸ συμφέρον ὑπὸ τῶν προσ-
καίρων ἡδονῶν μὴ λαβεῖν τὰ αἰώνια ἐνεδρεύεσθε. διὸ ἡμεῖς τοῦ συμ-
φέροντος ὑμῖν τὰς ἀποδείξεις ποιεῖν πειρώμεθα, ἵνα πληροφορηθέντες περὶ
τῶν τῆς θεοσεβείας ἐπαγγελμάτων διὰ τῶν ἀγαθῶν πράξεων δυνηθῆτε
σὺν ἡμῖν τὸν ἄλυπον αἰῶνα κληρονομῆσαι. μέχρι μὲν οὖν γνωρίζετε
ἡμᾶς <ἀληθεύοντας>, μὴ χαλεπαίνετε ἡμῖν ὡς ψευδομένοις περὶ ὧν ὑμῖν
θέλομεν καλῶν. τὰ γὰρ ἡμῖν νομισθέντα ἀληθῆ τε καὶ ἀγαθά, ταῦτα ὑμῖν
φέρειν οὐκ ἐφθονέσαμεν, ἀλλὰ τοὐναντίον ἐσπεύσαμεν συγκληρονόμους
ὑμᾶς ποιῆσαι ἀγαθῶν ὧν ἡμεῖς νενομίκαμεν. οὕτω γὰρ χρὴ πρὸς τοὺς ἀπί-
στους λέγειν. ὅτι δὲ ἀληθεύομεν ὄντως περὶ ὧν λέγομεν, οὐκ ἄλλως δυνήσεσθε
εἰδέναι, ἐὰν μὴ πρότερον φιλαλήθως ὑπακούσητε. διὸ ἐπὶ τοῦ παρόντος,
κἂν τὰ μυρία ὑμᾶς ὁ ἐν ὑμῖν ἐνδομυχῶν ὄφις, κακοὺς ὑποβαλὼν λογισμοὺς
καὶ ἀσχολίας, ἐνεδρεύειν θέλῃ, ἀλλ' οὖν γε ὑμεῖς ὀφείλετε ταύτῃ μᾶλλον
προσφιλονεικοῦντες αὐτῷ συνεχῶς ἡμῶν ἐπακούειν. δεῖ γὰρ συνεδρεύοντας

ὑμᾶς τοὺς σφόδρα ἠπατημένους εἰδέναι πῶς χρὴ ἐπᾴδειν αὐτῷ. ἄλλως δὲ ἀδύ-
νατον. ἐπᾴδειν δὲ λέγω τῷ λογισμῷ ἀντιτάσσεσθαι ταῖς κακαῖς αὐτοῦ
συμβουλίαις, μεμνημένους ὅτι ὑποσχέσει γνώσεως ἀπ' ἀρχῆς τῷ κόσμῳ θά-
νατον ἐξειργάσατο.

Ὅθεν ὁ τῆς ἀληθείας προφήτης πολὺ τὸν κόσμον πεπλανημένον εἰδὼς
καὶ τῇ κακίᾳ συνθέμενον ἰδὼν οὐκ ἠγάπησεν τὴν πρὸς αὐτὸν εἰρήνην ὡς ἐκ
πλάνης συνοῦσαν, ὅτι εἰς τέλος ἐπιφέρει <τὴν ὀργὴν> πᾶσιν τοῖς πρὸς κακίαν
ὁμογνωμονοῦσιν. <ἀλλὰ γνῶσιν> παραθεὶς ἀντὶ πλάνης, τοῖς νήψασιν ὥσπερ
πῦρ ἐμβαλὼν τὴν κατὰ τοῦ ἐνεδρεύσαντος ὀργήν, μαχαίρᾳ ἐοικότα
προτείνας λόγον ἀναιρεῖ τὴν ἄγνοιαν τῇ γνώσει, ὥσπερ τέμνων καὶ
χωρίζων ζῶντας ἀπὸ τῶν νεκρῶν. τῆς μὲν οὖν κακίας ὑπὸ τῆς
νομίμου γνώσεως νικωμένης πόλεμος συνεῖχε τὸ πᾶν. σωτηρίας γὰρ
χάριν υἱὸς ὑπείξας ἀπειθοῦς ἐχωρίζετο πατρὸς ἢ καὶ πατὴρ τέκνου ἢ
τεκοῦσα θυγατρὸς ἢ θυγάτηρ μητρὸς καὶ ἁπαξαπλῶς συγγενεῖς
συγγενῶν καὶ φίλοι συνήθων. καὶ μήτις λεγέτω· Πῶς τοῦτο δίκαιον,
χωρίζεσθαι γονεῖς τέκνων καὶ τέκνα γονέων; δίκαιον καὶ πάνυ. εἰ γὰρ
συνόντες μετὰ τοῦ μηδὲν αὐτοὺς ὠφελεῖν καὶ συναπώλλυντο αὐτοῖς,
πῶς οὐ δίκαιον χωρισθῆναι τὸν σόζεσθαι θέλοντα ἀπὸ τοῦ μὴ
θέλοντος, συναπολέσθαι δὲ καὶ <συναπολέσαι> βουλομένου; πρὸς
τούτοις οὐδὲ αὐτοὶ οἱ τὸ κρεῖττον νενοηκότες χωρισθῆναι ἤθελον, ἀλλὰ
συνεῖναι καὶ ὠφελεῖν αὐτοὺς τῇ τῶν κρειττόνων ὑφηγήσει, ὅθεν οἱ ἀπει-
θεῖς ἐπακούειν αὐτῶν μὴ θέλοντες αὐτοὶ αὐτοὺς ἐπολέμουν, χωρίζοντες,
διώκοντες, μισοῦντες. οἱ δὲ ταῦτα πάσχοντες, ἐλεῶντες αὐτοὺς ὑπὸ ἀγνοίας
ἐνεδρευομένους, διδασκαλίᾳ φρονήσεως ηὔχοντο ὑπὲρ τῶν τὰ κακὰ αὐτοὺς
διατιθεμένων, τὴν ἄγνοιαν τοῦ ἁμαρτήματος αἰτίαν εἶναι μεμαθηκότες.
αὐτὸς γὰρ ὁ διδάσκαλος προσηλωθεὶς ηὔχετο τῷ πατρὶ τοῖς αὐτὸν ἀναι-

ροῦσιν ἀφεθῆναι τὸ ἁμάρτημα εἰπών· «Πάτερ, ἄφες αὐτοῖς τὰς ἁμαρτίας
αὐτῶν, οὐ γὰρ οἴδασιν ἃ ποιοῦσιν». μιμηταὶ οὖν γινόμενοι τοῦ διδα-
σκάλου καὶ αὐτοὶ ἐν οἷς ἔπασχον ὑπὲρ τῶν διατιθεμένων ηὔχοντο ὡς
ἐδιδάχθησαν. οὕτως οὐ γονεῖς μισοῦντες ἐχωρίζοντο, ὁπότε καὶ ὑπὲρ
τῶν μὴ γονέων μὲν ὄντων, ἐχθρῶν δὲ γενομένων ἐποιοῦντο τὰς εὐχὰς
καὶ ἀγαπᾶν πειρῶνται ὡς ἐκελεύσθησαν. εἴπατε δέ μοι ὑμεῖς πῶς τοὺς
γονεῖς ἀγαπᾶτε; εἰ μὲν ὡς τὸ δίκαιον ἀεὶ σκοποῦντες, συνεύχομαι·
εἰ δὲ ὡς ἔτυχεν, οὐκέτι· δύνασθε γὰρ καὶ μικρᾷ προφάσει τούτων γε-
νέσθαι ἐχθροί. εἰ δὲ εἰδότες ἀγαπᾶτε, εἴπατε ἡμῖν τί ἐστιν «γονεῖς».
ἐρεῖτε· Γένους ἀρχηγέται. διὰ τί οὖν τὸ τῶν ὅλων γένος οὐκ ἠγαπή-
σατε, εἴπερ δικαίῳ φρονήματι τοῦτο ποιεῖν ἐπανείλεσθε; ἀλλ' ἔτι καὶ
νῦν ἐρεῖτε· Οὐχ ἑωράκαμεν αὐτόν. διὰ τί οὖν μὴ ζητήσαντες τὰ ἀναί-
σθητα κολακεύετε; τί δέ; εἰ καὶ δύσκολον ἦν ὑμῖν γνῶναι τί θεός, τὸ
μέντοι τί οὐ θεὸς μὴ εἰδέναι οὐκ ἐδύνασθε, ἵνα λογίσησθε ὅτι θεός ἐστιν
οὐ ξύλον, οὐ λίθος, οὐ χαλκός, οὐκ ἄλλο τι ἐκ φθαρτῆς γεγονὸς
ὕλης. ἢ γὰρ οὐχ ὑπὸ σιδήρου ἐτορεύθησαν–καὶ ὁ τορεύσας
σίδηρος ὑπὸ πυρὸς ἐμαλάχθη–καὶ τὸ πῦρ αὐτὸ σβέννυται ὑπὸ ὕδατος;
τὸ δὲ ὕδωρ οὐχ ὑπὸ πνεύματος τὴν κίνησιν ἔχει–καὶ τὸ πνεῦμα ἀπὸ
τοῦ τὰ ὅλα πεποιηκότος θεοῦ τὴν ἀρχὴν τῆς ἐκτάσεως ἔχει; οὕτως
γὰρ ὁ προφήτης εἴρηκεν Μωσῆς· «Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν
καὶ τὴν γῆν. ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω
τῆς ἀβύσσου, καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος». ὅπερ καὶ
λέγοντος τοῦ θεοῦ [τὸ πνεῦμα] ὥσπερ χεὶρ αὐτοῦ τὰ πάντα δημιουρ-
γεῖ, φῶς ἀπὸ σκότους χωρίζον καὶ μετὰ τὸν ἀόρατον οὐρανὸν τὸν φαινό-
μενον ἐφαπλῶσαν, ἵνα τὰ ἄνω τοῖς τοῦ φωτὸς ἀγγέλοις οἰκηθῇ, τὰ δὲ
κάτω ὑπὸ ἀνθρώπου ἅμα τοῖς δι' αὐτὸν γενομένοις πᾶσιν διοικηθῇ.
διὰ γὰρ σὲ τὸν ἄνθρωπον ὁ θεὸς ἐκέλευσεν τὸ ἐπὶ προσώπου τῆς
γῆς ὑποχωρῆσαι ὕδωρ, ἵνα καρποὺς ἡ γῆ σοι προσενέγκαι δυνηθῇ–
καὶ τρηδόνας ἐποίησεν, ἵνα σοι παράσχῃ πηγὰς καὶ ποταμῶν ·εἴθρα
φανῇ καὶ ζῷα ἐκβρασθῇ–συνελὼν ἐρῶ, ἵνα πάντα σοι παραστῆναι
δυνηθῇ. ἢ γὰρ οὐ διὰ σὲ ἄνεμοι πρὸς καρπῶν ἐπιγονὴν πνέουσιν καὶ
ὑετοὶ φέρονται καὶ τροπαὶ γίνονται; αὐτίκα γοῦν ἥλιος καὶ σελήνη
ἅμα

τοῖς ἄλλοις <ἄστροις> διὰ σὲ τὰς ἀνατολὰς καὶ δύσεις ἐκτελοῦσιν καὶ πο-
ταμοὶ καὶ λίμναι ἅμα ταῖς θαλάσσαις ὑπηρετοῦσιν. ὅθεν σοὶ τῷ ἀναισθή-
τῳ ὥσπερ ἡ μείζων ἐδόθη τιμή, οὕτως ἀχαριστήσαντι ἡ μείζων διὰ
πυρὸς κόλασις προητοίμασται, ὅτι γνῶναι οὐκ ἠθέλησας ὃν πρὸ
πάντων ἔδει γνῶναι. κἂν νῦν δὲ ἐκ τῶν ἡττόνων ἐπίγνωθι τὴν τῶν
ὅλων αἰτίαν, λογισάμενος ὅτι τὰ πάντα τὸ ὕδωρ ποιεῖ, τὸ δὲ ὕδωρ
ὑπὸ πνεύματος κινήσεως τὴν γένεσιν λαμβάνει, τὸ δὲ πνεῦμα ἀπὸ τοῦ
τῶν ὅλων θεοῦ τὴν ἀρχὴν ἔχει. καὶ οὕτως ἔδει λογίσασθαι, ἵνα ἐπὶ λόγῳ
εἰς θεὸν καταντῆσαι δυνηθῇς, ὅπως ἐπιγνούς σου τὸ γένος καὶ πρωτο-
γόνῳ ἀναγεννηθεὶς ὕδατι κληρονόμος καταστῇς τῶν πρὸς ἀφθαρσίαν
γεννησάντων σε γονέων. διὸ ἑτοίμως πρόσελθε ὡς υἱὸς πατρί, ἵνα
τῶν ἁμαρτημάτων σου ὁ θεὸς τὴν ἄγνοιαν αἰτίαν θῇ. εἰ δὲ καὶ μετὰ
τὸ κληθῆναι οὐ θέλεις ἢ βραδύνεις, δικαίᾳ θεοῦ ἀπολῇ κρίσει, τῷ
μὴ θελῆσαι μὴ θεληθείς. καὶ μήτοι νομίσῃς ὅτι, ἐὰν πάντων τῶν ποτε
γενομένων εὐσεβῶν εὐσεβέστερος γένῃ, ἀβάπτιστος δὲ ᾖς, ἐλπίδος τυχεῖν
δυνήσει ποτέ. ταύτῃ γὰρ μᾶλλον πλείονα ὑφέξεις κόλασιν, ὅτι καλὰ
ἔργα οὐκ ἐποίησας καλῶς. καλὴ γὰρ εὐποιία, ὁπόταν ὡς θεὸς ἐκέλευ-
σεν γίνηται. σὺ δὲ εἰ οὐ θέλεις ὡς ἐκείνῳ ἔδοξεν βαπτισθῆναι, τῷ σῷ
θελήματι ὑπηρετῶν ἐχθραίνεις τῇ ἐκείνου βουλῇ. ἀλλ' ἴσως ἐρεῖ
τις· Τί συμβάλλεται πρὸς εὐσέβειαν τὸ βαπτισθῆναι ὕδατι; πρῶτον μὲν
ὅτι τὸ δόξαν θεῷ πράττεις. δεύτερον δὲ ἐξ ὕδατος ἀναγεννηθεὶς θεῷ,
αἰτίᾳ φόβου τὴν ἐξ ἐπιθυμίας πρώτην σοι γενομένην καταλλάσσεις γένε-
σιν καὶ οὕτως σωτηρίας τυχεῖν δύνῃ· ἄλλως δὲ ἀδύνατον. οὕτως γὰρ
ἡμῖν ὤμοσεν ὁ προφήτης εἰπών· «Ἀμὴν ὑμῖν λέγω, ἐὰν μὴ ἀναγεννηθῆτε
ὕδατι ζῶντι, εἰς ὄνομα πατρός, υἱοῦ, ἁγίου πνεύματος, οὐ μὴ εἰσέλθητε
εἰς τὴν βασιλείαν τῶν οὐρανῶν». διὸ προσέλθετε. ἔστιν γάρ τι ἐκεῖ ἀπ'
ἀρχῆς ἐλεῆμον ἐπιφερόμενον τῷ ὕδατι, καὶ <ἐπιγινώσκει> τοὺς βαπτιζο-
μένους ἐπὶ τῇ τρισμακαρίᾳ ἐπονομασίᾳ καὶ ·ύεται τῆς ἐσομένης κολάσεως,
ὥσπερ δῶρα προσφέρον τῷ θεῷ [ὅταν] ἀπὸ τοῦ βαπτίσματος αὐτῶν τῶν

βαπτισθέντων τὰς εὐποιίας. διὸ προσφεύγετε τῷ ὕδατι· τοῦτο γὰρ μόνον
τὴν τοῦ πυρὸς ὁρμὴν σβέσαι δύναται. τούτῳ ὁ μήπω προσελθεῖν θέλων ἔτι
τὸ τῆς λύσσης φέρει πνεῦμα, οὗ ἕνεκα ἐπὶ τῇ αὐτοῦ σωτηρίᾳ «ὕδατι ζῶντι»
προσελθεῖν οὐ θέλει. πρόσελθε οὖν, κἂν δίκαιος ᾖς κἂν ἄδικος.
δικαίῳ γὰρ ὄντι σοι μόνον ἔλειπε τὸ πρὸς σωτηρίαν βαπτισθῆναι,
ἀδίκῳ δὲ πρὸς τῷ βαπτισθῆναι εἰς ἄφεσιν τῶν ἐν ἀγνοίᾳ πεπραγμέ-
νων ὑποκαταλείπεται κατὰ ἀναλογίαν τῆς ἀσεβείας ἡ ἐπὶ τὸ βάπτι-
σμα εὐποιία. διὸ εἴτε δίκαιος εἶ εἴτε ἄδικος, σπεῦσον γεννηθῆναι θεῷ
(ὅτι ἡ ἀναβολὴ κίνδυνον φέρει διὰ τὸ ἄδηλον εἶναι τοῦ θανάτου τὴν
προθεσμίαν) τῷ ἐξ ὕδατος γεννῶντί σε πατρί, διὰ τῆς εὐποιίας τὴν
ὁμοιότητα δείξας, ὡς φιλαλήθης τὸν ἀληθῆ θεὸν τιμῶν ὡς πατέρα.
τιμὴ δὲ αὐτῷ τὸ ζῆν σε ὡς αὐτὸς δίκαιος ὢν θέλει· δικαίου δὲ θέλημα
τὸ μὴ ἀδικεῖν. ἀδικία δέ ἐστιν φονεύειν, μοιχεύειν, μισεῖν, πλεονεκτεῖν
καὶ τὰ τούτοις ὅμοια· τούτων δὲ εἴδη πολλά. πλὴν τούτοις συνεισ-
φέρειν δεῖ τί ποτε, ὃ κοινότητα πρὸς ἀνθρώπους μὲν οὐκ ἔχει, ἴδιον δὲ
θρησκείας θεοῦ τυγχάνει. λέγω δὴ τὸ καθαρεύειν, τὸ ἐν ἀφέδρῳ
οὔσῃ τῇ ἰδίᾳ γαμετῇ μὴ κοινωνεῖν, ὅτι τοῦτο ὁ θεοῦ κελεύει νόμος.
τί δέ; εἰ μὴ καὶ τῇ τοῦ θεοῦ θρησκείᾳ τὸ καθαρεύειν ἀνέκειτο, ὑμεῖς
ὡς οἱ κάνθαροι ἡδέως ἂν ἐκυλίεσθε; διὸ ὡς ἄνθρωποι ἔχοντές τι πλεῖον
τῶν ἀλόγων ζόων (τὸ λογικοὶ εἶναι) τὴν μὲν καρδίαν τῶν κακῶν οὐρα-
νίῳ καθάρατε λογισμῷ, λουτρῷ δὲ πλύνατε τὸ σῶμα. καλὸν γὰρ τὰ
ἀληθῆ τὸ καθαρεύειν, οὐχ ὡς ὅτι προηγεῖται τῆς κατὰ τὴν καρδίαν κα-
θάρσεως ἡ τοῦ σώματος ἁγνεία, ἀλλ' ὡς ὅτι ἕπεται τῷ ἀγαθῷ τὸ κα-
θάριον. καὶ γὰρ ὁ διδάσκαλος ἡμῶν ἐνίους τῶν ἐν ἡμῖν Φαρισαίων
καὶ γραμματέων, οἵ εἰσιν ἀφωρισμένοι καὶ τὰ νόμιμα ὡς γραμματεῖς
τῶν ἄλλων πλεῖον εἰδότες, ὅμως διήλεγχεν αὐτοὺς ὡς ὑποκριτάς, ὅτι
μόνα τὰ ἀνθρώποις φαινόμενα ἁγνεύοντες τὰ τῆς καρδίας καθαρὰ καὶ
θεῷ μόνῳ ὁρώμενα παρελίμπανον. ·ητῇ οὖν ταύτῃ φωνῇ ἐχρήσατο τὰ
ἀληθῆ πρὸς τοὺς ὑποκριτὰς αὐτῶν, οὐ πρὸς πάντας. ἐνίων γὰρ καὶ
ἐπακούειν ἔλεγεν, ὅτι τὴν Μωυσέως ἐπιστεύθησαν καθέδραν. πλὴν πρὸς
τοὺς ὑποκριτὰς ἔλεγεν· «Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί,
ὅτι καθαρίζετε τοῦ ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔξωθεν, ἔσωθεν δὲ

γέμει ·ύπους. Φαρισαῖε τυφλέ, καθάρισον πρῶτον τοῦ ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔσωθεν, ἵνα γένηται καὶ τὰ ἔξω αὐτῶν καθαρά». καὶ ἀληθῶς· φωτισθέντος γὰρ τοῦ νοῦ τῇ γνώσει ὁ μαθὼν δύναται ἀγαθὸς εἶναι, ᾧ παρέπεται τὸ καθαρὸν γενέσθαι. ἐκ τῆς ἔσω γὰρ διανοίας ἡ τοῦ ἔξω σώματος ἀγαθὴ γίνεται πρόνοια, ὡς ἀπό γε τῆς κατὰ τὸ σῶμα ἀναισθησίας τῆς διανοίας πρόνοια γενέσθαι οὐ δύναται. οὕτως
ὁ καθαρὸς [καὶ] τὸ ἔσω καὶ τὸ ἔξω καθᾶραι δύναται, ὁ δὲ τὰ ἔξω καθαίρων
πρὸς ἀνθρώπων τὸν ἔπαινον ἀφορῶν τοῦτο ποιεῖ καὶ ἐπαίνῳ τῶν ἱστο-
ρούντων παρὰ τῷ θεῷ οὐδὲν ἔχει. τίνι δὲ οὐ φαίνεται ὅτι κρεῖττόν ἐστιν
γυναικὶ ἐν γυναικείοις οὔσῃ μὴ συνελθεῖν ἀλλὰ καθαρθείσῃ καὶ βαπτισθείσῃ;
ἀλλὰ καὶ μετὰ κοινωνίαν βαπτίζεσθαι δεῖ. εἰ δὲ τοῦτο ποιεῖν ὀκνεῖτε, ἀναπολήσατε πῶς τὰ τῆς ἁγνείας μέρη μετεδιώκετε, ὅτε ἀναισθήτοις εἰδώλοις ἐθρησκεύετε. αἰσχύνθητε ὅτι ἐνταῦθα ὅπου ἐχρῆν οὐ τὸ πλεῖον λέγω, ἀλλὰ μόνον καὶ ὅλον τὸ τῆς ἁγνείας ἀναδέξασθαι ὀκνηρότεροι γίνεσθε. νοήσατε οὖν τὸν ἐκεῖ ὑμᾶς πεποιηκότα καὶ διανοηθήσεσθε τίς ἐστιν ὁ ἐνταῦθα ὄκνον πρὸς ἁγνείαν ὑμῖν ἐμβάλλων. ἀλλ' ἐρεῖ τις ὑμῶν· Χρὴ οὖν ἡμᾶς ποιεῖν ὅσα ἐν εἰδώλοις ἐποιοῦμεν; φημί [σοι]· Οὐχ ὅλα, ἀλλ' ὅσα καλῶς ἐποιεῖτε καὶ ἐνταῦθα πλεῖον. ὅτι γὰρ ἂν καλῶς γίνηται ἐν τῇ πλάνῃ, ἀπὸ τῆς ἀληθείας ἤρτηται, ὡς εἰ καί τι ἐν τῇ ἀληθείᾳ κακῶς γένοιτο, ἀπὸ τῆς πλάνης ἐστίν. ἀπολάβετε οὖν ὑμῶν πανταχόθεν τὰ ἴδια, μὴ τὰ ἀλλότρια, καὶ
μὴ λέγετε· Εἴ τι ποιοῦσιν οἱ πεπλανημένοι καλόν, ποιεῖν οὐκ ὀφείλομεν. τούτῳ γὰρ τῷ λόγῳ, ἐὰν μὴ φονεύῃ τις εἴδωλα σέβων, φονεύειν ὀφείλομεν, ὅτι ὁ ἐν πλάνῃ ὢν οὐ φονεύει. οὐχί, ἀλλὰ τὸ πλεῖον, ἵνα ἐὰν οἱ ἐν πλάνῃ μὴ φονεύωσιν, ἡμεῖς μηδὲ ὀργιζώμεθα–ἐὰν ὁ ἐν πλάνῃ
μὴ μοιχεύῃ, ἡμεῖς τὴν ἀρχὴν μηδὲ ἐνθυμηθῶμεν–ἐὰν ὁ ἐν
πλάνῃ τὸν ἀγαπῶντα ἀγαπᾷ, ἡμεῖς καὶ τοὺς μισοῦντας–ἐὰν ὁ ἐν πλάνῃ
δανείζῃ τοῖς ἔχουσιν, ἡμεῖς καὶ τοῖς μὴ ἔχουσιν· ἁπαξαπλῶς ὀφείλομεν οἱ τὸν ἄπειρον αἰῶνα ἐλπίζοντες κληρονομεῖν τῶν τὸν παρόντα μόνον εἰδότων τῶν ὑπὸ αὐτῶν γενομένων καλῶν κρεῖττον ποιεῖν, εἰδότες
ὅτι, ἐὰν αὐτῶν τὰ ἔργα τοῖς ἡμετέροις ἔργοις ἐν ἡμέρᾳ κρίσεως ἀνακριθέντα

ἴσα τῇ εὐποιίᾳ εὑρεθῇ, καὶ ἡμεῖς ἐναισχυνθῆναι ἔχομεν, αὐτοὶ δὲ διὰ πλάνην τὰ καθ' αὐτῶν ποιήσαντες ἀπολέσθαι. τὸ δὲ αἰσχυνθῆναι κατὰ
τοῦτο εἴρηκα ὅτι μὴ πλεῖον ἐποιήσαμεν αὐτῶν, ὧν καὶ πλεῖον ἐγνώκαμεν. εἰ δὲ αἰσχυνθῆναι ἔστιν τὴν εὐποιίαν αὐτοῖς ἴσην δείξαντας καὶ
οὐ πλεῖον, πόσῳ γε μᾶλλον, ἐὰν αὐτῶν τῆς εὐποιίας τὸ ἧττον δείξωμεν; ὅτι δὲ ὄντως ἐν ἡμέρᾳ κρίσεως ταῖς τῶν πεπλανημένων εὐποιίαις
αἱ τῶν ἀλήθειαν ἐγνωκότων ἰσάζονται πράξεις, αὐτὸς ἡμᾶς ὁ ἀψευδὴς
ἐδίδαξεν <προφήτης>, εἰπὼν πρὸς μὲν τοὺς ἀμελοῦντας ἐλθεῖν καὶ ἐπακούειν
αὐτοῦ· «Βασίλισσα νότου ἐγερθήσεται μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινεῖ
αὐτήν, ὅτι ἦλθεν ἀπὸ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε, καὶ οὐ πιστεύετε». πρὸς δὲ τοὺς
ἐν τῷ λαῷ μὴ θέλοντας μετανοῆσαι ἐπὶ τῷ κηρύγματι αὐτοῦ εἶπεν· «Ἄνδρες
Νινευῖται ἐγερθήσονται μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρινοῦσιν αὐτήν, ὅτι ἀκούσαντες μετενόησαν εἰς τὸ κήρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον <Ἰωνᾶ> ὧδε, καὶ οὐδεὶς πιστεύει». καὶ οὕτως πρὸς πᾶσαν ἀσέ-
βειαν αὐτῶν ἀντιπαραθεὶς τοὺς ἀπὸ τῶν ἐθνῶν πεποιηκότας εἰς κατάκρισιν
τῶν ἐν θεοσεβείᾳ μηδὲ τὸ ἴσον καλὸν τοῖς πεπλανημένοις πεποιηκότων,
τοὺς ἔχοντας λογισμὸν ἐνουθέτει μὴ μόνον ἴσα τοῖς ἔθνεσιν τὰ καλὰ [ἴσως] ποιεῖν, ἀλλὰ τὸ πλεῖον. ὁ δὲ λόγος μοι ἐρρύη, πρόφασιν λαβὼν
ἐκ τοῦ δεῖν φυλάσσειν τὴν ἄφεδρον καὶ ἀπὸ κοινωνίας βαπτίζεσθαι, μὴ
ἀρνεῖσθαι τὴν τοιαύτην ἁγνείαν, κἂν οἱ πεπλανημένοι αὐτὴν πράττωσιν,
ὅτι εἰς κατάκρισιν τῶν ἐν θεοσεβείᾳ εἰσὶν οἱ ἐν πλάνῃ ποιοῦντες καλῶς
μετὰ τοῦ μὴ σόζεσθαι· ὅτι ἡ τιμὴ τῆς ἁγνείας αὐτῶν ἐστιν διὰ τὴν πλάνην
καὶ οὐ διὰ θρησκείαν τοῦ ὄντως πατρὸς καὶ θεοῦ τῶν ὅλων.

Τοῦτο δὲ εἰπὼν ἀπέλυσε τοὺς ὄχλους καὶ συνήθως ἁλῶν σὺν τοῖς φιλτάτοις μεταλαβὼν ἡσύχασεν. οὕτως οὖν ποιῶν καὶ διαλεγόμενος ἑκά-
στοτε προσαγωγὰς κατὰ τὸ βέβαιον προσέφερεν τῷ τοῦ θεοῦ νόμῳ,

τοὺς νομιζομένους μετὰ τῆς νομιζομένης γενέσεως ἐλέγχων καὶ ὅτι αὐτο-
ματισμὸς μὲν οὐκ ἔστιν, ἀλλὰ κατὰ πρόνοιαν διοικεῖται ὁ κόσμος. τριῶν
οὖν μηνῶν πληρωθέντων νηστεῦσαί μοι κελεύσας ἡμερῶν, ἀγαγών με
εἰς τὰς ἐν τῇ θαλάσσῃ πλησίον οὔσας πηγάς, ὡς εἰς ἀέναον ἐβάπτισεν
ὕδωρ. οὕτως οὖν εὐωχηθέντων τῶν ἀδελφῶν ἡμῶν ἐπὶ τῇ θεοδωρήτῳ
μου ἀναγεννήσει, μετ' οὐ πολλὰς ἡμέρας τοῖς πρεσβυτέροις ἐπιστρέφων
ἐπὶ πάσης τῆς ἐκκλησίας ἐνετείλατο λέγων· Ὁ ἀποστείλας ἡμᾶς κύριος
ἡμῶν καὶ προφήτης ὑφηγήσατο ἡμῖν ὡς ὁ πονηρὸς τεσσαράκοντα ἡμέρας
διαλεχθεὶς αὐτῷ καὶ μηδὲν δυνηθεὶς πρὸς αὐτόν, ἐκ τῶν αὐτοῦ ἐπηκόων
ἐπηγγέλλετο πρὸς ἀπάτην ἀποστόλους πέμψαι. διὸ πρὸ πάντων μέμνη-
σθε <μηδένα δέχεσθαι> ἀπόστολον ἢ διδάσκαλον ἢ προφήτην μὴ πρότερον
ἀντιβαλόντα αὐτοῦ τὸ κήρυγμα Ἰακώβῳ τῷ λεχθέντι ἀδελφῷ τοῦ κυρίου
μου καὶ πεπιστευμένῳ ἐν Ἱερουσαλὴμ τὴν Ἑβραίων διέπειν ἐκκλησίαν,
καὶ μετὰ μαρτύρων προσεληλυθότα πρὸς ὑμᾶς, ἵνα μὴ ἡ κακία ἡ τῷ κυρίῳ
προσδιαλεχθεῖσα ἡμέρας τεσσαράκοντα <καὶ> μηδὲν δυνηθεῖσα, ὕστερον
ὡς ἀστραπὴ ἐξ οὐρανοῦ ἐπὶ γῆς πεσοῦσα καθ' ὑμῶν ἐκπέμψῃ κήρυκα,
ὡς νῦν ἡμῖν τὸν Σίμωνα ὑπέβαλεν προφάσει ἀληθείας ἐπ' ὀνόματι τοῦ κυ-
ρίου ἡμῶν κηρύσσοντα, πλάνην δὲ ἐνσπείροντα. οὗ χάριν ὁ ἀποστείλας
ἡμᾶς ἔφη· «Πολλοὶ ἐλεύσονται πρός με ἐν ἐνδύματι προβάτων, ἔσωθεν
δέ εἰσι λύκοι ἅρπαγες· ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς».

Καὶ ταῦτα εἰπὼν τοὺς μὲν προπομποὺς ἐξέπεμψεν εἰς Ἀντιόχειαν
τῆς Συρίας, ἐκεῖ τὴν ἑπομένην ἐπιμένειν εἰπών. τῶν οὖν πορευθέντων
ὁ Πέτρος πολλῶν πεπεισμένων ὄχλων νόσους, πάθη, δαίμονας ἀπελάσας

καὶ εἰς τὰς ἐν τῇ θαλάσσῃ πλησίον οὔσας πηγὰς βαπτίσας καὶ εὐχαριστίαν
κλάσας Μαροώνην τὸν ἀποδεξάμενον αὐτόν, ἤδη λοιπὸν τέλειον ὄντα,
ἐπίσκοπον καταστήσας καὶ πρεσβυτέρους δώδεκα ὁρίσας καὶ διακόνους
δείξας καὶ χηρικὰ συστησάμενος ὑπέρ τε τοῦ κοινῇ συμφέροντος τῆς
ἐκκλησίας [τὴν τάξιν] προσομιλήσας καὶ τῷ ἐπισκόπῳ Μαροώνῃ πείθεσθαι
συμβουλεύσας, ἤδη τριῶν μηνῶν πληρωθέντων τοῖς ἐν Τριπόλει τῆς
Φοινίκης ἀποταξάμενος τὴν ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ἐπορεύετο
ὁδόν.

[ΟΜΙΛΙΑ ΙΒ.]

Ἐκβάντες οὖν τὴν Τρίπολιν τῆς Φοινίκης ὡς ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ἐλθεῖν, αὐτῆς ἡμέρας ἐν Ὀρθωσίᾳ ἐμείναμεν ἐλθόντες. καὶ διὰ τὸ πλησίον εἶναι ἧς ἐξήλθομεν πόλεως, πάντων σχεδὸν προακηκοότων
τοῦ κηρύγματος, μιᾶς ἡμέρας ἐκεῖ μείναντες ἀπήραμεν εἰς Ἀντάραδον.
πολλῶν δὲ τῶν συνοδοιπορούντων ἡμῖν ὄντων, ὁ Πέτρος Νικήτῃ καὶ Ἀκύλᾳ προσωμίλει λέγων· Ἐπειδὴ πολὺς ὄχλος τῶν συνοδοιπορούντων
οὐ μικρὸν φθόνον ἡμῖν εἰσιοῦσιν κατὰ πόλιν ἐπισπᾶται, ἀναγκαίως ἐσκε-
ψάμην φροντίσαι πῶς μήτε οὗτοι λυπηθῶσιν κωλυθέντες συνεῖναι ἡμῖν
μήτε ἡμεῖς περίβλεπτοι γινόμενοι φθόνῳ τῷ τῆς κακίας ὑποπέσωμεν. τούτου
ἕνεκεν βούλομαί σε τὸν Νικήτην καὶ Ἀκύλαν προοδεύειν μου κατὰ συ-
στήματα δύο σποράδην μανθάνοντες τὰς τῶν ἐθνῶν εἰσέρχεσθαι πόλεις.
οἶδα δὲ ὅτι ἀθυμεῖτε τοῦτο ποιεῖν ἀκηκοότες, ἀπολειπόμενοί μου διάστημα οὐδ' ὅλων ἡμερῶν δύο. εἰδέναι οὖν ὑμᾶς θέλω ὅτι πολλα-
πλάσιον ἀγαπῶμεν ἡμεῖς οἱ πείσαντες ὑμᾶς τοὺς πεισθέντας ἤπερ ὑμεῖς
ἡμᾶς τοὺς πεπεικότας. ἀλλήλους οὖν στέργοντες, τῷ μὴ ἀλόγως ποιεῖν
ἃ θέλομεν τῆς ὠφελείας ὅσον τὸ ἐφ' ἡμῖν φροντίζωμεν. πρὸς τούτοις δὲ οὐδεμιᾶς ἡμέρας διαλεγομένου μου ἀπολιμπάνεσθε. εἰς γὰρ τὰς ἐπι-
σημοτέρας τῶν ἐπαρχιῶν πόλεις προῄρημαι (ὡς ἴστε καὶ ὑμεῖς) ἡμερῶν
ἐπιμένειν καὶ διαλέγεσθαι. καὶ τὸ νῦν εἰς τὴν ἐγγυτέραν ἡμῖν Λαοδί-
κειαν προάξατε καὶ μεθ' ἡμέρας δύο ἢ τρεῖς (ὅσον ἐπὶ τῇ ἐμῇ προαιρέσει)
καταλήψομαι ὑμᾶς. ἐπὶ δὲ τῶν πυλῶν ἐκδέξασθέ με, ὑμεῖς μόνοι διὰ τὸν θρῦλον, ἵνα οὕτως ἀψοφητὶ συνεισελθόντες ἅμα ὑμῖν ὦμεν. κἀκεῖ-
θεν ὁμοίως μετὰ τὸ ἐπιμεῖναι ἡμερῶν ἄλλοι ἀνθ' ὑμῶν εἰς τὰ ἐπέ-
κεινα κατὰ ἐφημερίας προάξωσιν τὰς ξενίας ἑτοιμάζοντες. ταῦτα

τοῦ Πέτρου εἰπόντος ἠναγκάσθησαν συνθέσθαι λέγοντες· Οὐ πάνυ ἡμᾶς,
κύριε, λυπεῖ τοῦτο πράττειν διὰ τὸ ὑπὸ σοῦ κελεύεσθαι. πρῶτον μέν, ὅτι
πάντα καλῶς νοεῖν τε καὶ συμβουλεύειν ἄξιος ὢν ὑπὸ τῆς τοῦ θεοῦ
προνοίας ἐξελέγης· πρὸς τούτοις δέ, ἐπὶ τὸ πολὺ ἡμερῶν δύο ἀνάγκῃ
τοῦ προάγειν ἀπολιμπανόμεθά σου. καὶ αὗται μὲν πολλαὶ πρὸς τὸ μὴ
σὲ τὸν κύριον ἡμῶν ὁρᾶν Πέτρον, πλὴν λογιζόμεθα ὅτι πλεῖον λυπηθή-
σονται οἱ πολὺ μακρὰν προπεμπόμενοι ὡς ἐπὶ πλεῖον ἀναμένειν σε κατὰ
πόλιν κεκελευσμένοι, ἀνιώμενοι ἐν τῷ ἐπὶ πλεῖον ἐστερῆσθαι τοῦ ὁρᾶν
σου τὸ περιπόθητον πρόσωπον. καὶ ἡμεῖς οὐκ ἐλάττονα ἐκείνων ἀθυμοῦν-
τες ὡς κελεύεις διὰ τὸ συμφέρον ποιεῖν οὐκ ἀντιλέγομεν. ὁμῶς ταῦτα
εἰπόντες προῆξαν ἐντολὴν ἔχοντες ἐν τῷ πρώτῳ πανδοχείῳ προσομιλῆσαι
τῷ συνοδοιποροῦντι ὄχλῳ, ὅπως σποράδην ἀλλήλων γενόμενοι εἰς τὰς
πόλεις εἰσέρχωνται.

Πορευθέντων οὖν αὐτῶν ἐγὼ Κλήμης μεγάλως ἔχαιρον ὅτι σὺν αὐτῷ με
ἐκέλευσεν εἶναι. καὶ ἀποκριθεὶς εἶπον· Εὐχαριστῶ τῷ θεῷ ὅτι με οὐκ ἐξαπ-
έσταλκας ὡς τοὺς ἑταίρους, ἐπειδὴ ὀδυνώμενος ἂν διαπεφωνήκειν. ὁ δὲ
ἔφη· Τί δέ; εἰ καὶ χρεία τις ἔσται πεμφθῆναί σέ που μαθημάτων χάριν, σὺ διὰ
τὸ πρὸς ὀλίγον ἀπολιμπάνεσθαί μου συμφερόντως, διὰ τοῦτο τεθνήξει; οὐχὶ
δὲ προσομιλήσας σεαυτῷ φέρειν τὰ διὰ τὴν ἀνάγκην σοι προσταγέντα εὐθύ-
μως ὑποσταίης; ἢ οὐκ οἶσθα ὅτι σύνεισιν αἰεὶ φίλοι ταῖς μνήμαις, κἂν τοῖς
σώμασιν ἀπολιμπάνωνται; ὡς ἔνιοι συνόντες τοῖς σώμασιν ἀμνημοσύνης αἰτίᾳ
τὰς ψυχὰς ἀποδημοῦσιν τοῖς φίλοις. κἀγὼ ἀπεκρινάμην· Μὴ τοίνυν νο-
μίσῃς, κύριε, ὅτι τὰ λύπης πάσχειν ἤμελλον ἀνοήτως, ἀλλὰ καὶ πάνυ

ὀρθῷ τινι λογισμῷ. ἐπεὶ γὰρ σέ, κύριέ μου, ἀντὶ πάντων ἔχω, πατρός τε καὶ
μητρὸς καὶ ἀδελφῶν καὶ συγγενῶν, αἴτιόν μοι γενόμενον διὰ τὸν θεὸν τῆς σῳζούσης ἀληθείας, ἀντὶ πάντων ἔχων σε παραμυθίας τῆς μεγίστης τυγχάνω. πρὸς τούτοις δεδιώς μου καὶ τῆς ἀκμῆς τὴν ἐκ φύσεως
ἐπιθυμίαν, ἠγωνίων μήπως ἀπολειφθείς σου, ἄνθρωπος ὢν νεώτερος, ὅπερ νῦν οὕτως ἐνστάσεως ἔχω, κἂν κατά τινα χόλον θεοῦ ἀποστῆναί σου
ἀδύνατον, εἰ ἥττων ἐπιθυμίας ἔσομαι. ἀλλ' ἐπειδὴ πολλῷ ἄμεινον καὶ
ἀσφαλέστερον συνεῖναί με σοί, τούτῳ ᾧ ὁ νοῦς μου αἰδεῖσθαι εὐλόγως
προείληφεν, διὸ πάντοτέ σοι συνεῖναι εὔχομαι. πρὸς τούτοις δὲ μέμνη-
μαί σου ἐν Καισαρείᾳ εἰπόντος· Εἴ τις βούλεταί μοι συνοδεῦσαι, εὐσεβῶς
συνοδευέτω. εὐσεβῶς δὲ ἔφης τὸ μηδένα λυπεῖν κατὰ θεόν, οἷον ἀπο-
λιπὼν γονεῖς, γυναῖκα ὁμόφρονα ἢ ἑτέρους τινὰς τῇ θεοσεβείᾳ προσκει-
μένους. ὅθεν ἐγὼ κατὰ πάντα ἐπιτήδειός εἰμί σοι συνοδοιπόρος, ᾧ εἰ καὶ τὰ μέγιστα χαρίζῃ, τὰς δούλων μοι ὑπηρεσίας συγχωρεῖς ποι-
εῖν. καὶ ὁ Πέτρος ἀκούσας γελοιάζων ἔφη· Τί οὖν οἴει, Κλήμης; μὴ ὑπ'
αὐτῆς ἀνάγκης σε εἰς δούλων μοι ταγῆναι τόπον; ἐπεὶ τίς τὰς καλὰς
καὶ πολλὰς σινδόνας μετὰ τῶν ἑπομένων μοι δακτυλίων καὶ ὑποδήσεων
φυλάξει; τίς δὲ καὶ τὰ ἡδέα καὶ πολυτελῆ ὄψα προετοιμάσει, ἅτινα ποι-
κίλα ὄντα πολλῶν καὶ τεχνιτῶν δεῖται μαγείρων, καὶ πάντα ἐκεῖνα
ὅσα ἐκτεθηλυμμένων ἀνθρώπων ὡς θηρίῳ μεγάλῳ τῇ ἐπιθυμίᾳ ἐκ πάσης
πλεονεξίας πορισθέντα ἑτοιμάζεται; πλὴν ἡ τοιαύτη σε προαίρεσις ὑπεισ-
ῆλθεν ἴσως μὴ συνέντα καὶ τὸν ἐμὸν ἀγνοοῦντα βίον ὅτι ἄρτῳ μόνῳ
καὶ ἐλαίαις χρῶμαι καὶ σπανίως λαχάνοις–καὶ ὅτι ἱμάτιόν μοι καὶ τρι-
βώνιον ὑπάρχει τοῦτ' αὐτὸ ὃ περιβέβλημαι καὶ ἑτέρου χρείαν οὐκ ἔχω
οὐδὲ ἄλλων τινῶν· ἐν γὰρ τούτοις καὶ περισσεύομαι. ὁ νοῦς γάρ μου τὰ
ἐκεῖ πάντα ὁρῶν αἰώνια ἀγαθὰ οὐδὲν τῶν ἐνταῦθα περιβλέπεται.

πλήν σου μὲν τὴν ἀγαθὴν προαίρεσιν ἀποδέχομαι καὶ θαυμάζων ἐπαινῶ
πῶς ἀνὴρ ἐκ πολυτελῶν ἐθῶν ὑπάρχων ·ᾳδίως τοῖς ἀναγκαίοις τὸν σεαυ-
τοῦ ὑπήλλαξας βίον. ἡμεῖς γὰρ ἐκ παίδων (ἐγώ τε καὶ Ἀνδρέας ὁ σύναι-
μος καὶ κατὰ θεὸν ἀδελφὸς ὢν ἐμός) οὐ μόνον ἐν ὀρφανίᾳ ἀνατραφέντες.
ἀλλὰ καὶ ὑπὸ πενίας καὶ κακουχίας εἰς ἐργατείαν ἐθισθέντες, εὐμαρῶς
νῦν τὰς τῶν ὁδῶν φέρομεν σκύλσεις. ὅθεν εἰ ἐπείθου μοι, ἐμοὶ ἂν συγκε-
χωρήκεις, ἀνδρὶ ἐργάτῃ, σοὶ τὰ δούλων ἀποπληροῦν μέρη. ἐγὼ δὲ
ἀκούσας σύντρομος ἐγενόμην καὶ ἐπίδακρυς οἷον λόγον εἶπεν ἀνήρ, οὗ
πάντες οἱ τῆς νῦν γενεᾶς ἄνθρωποι τῷ τῆς γνώσεως καὶ εὐσεβείας λόγῳ
ἥττους τυγχάνουσιν. ὁ δὲ ἰδών με σύνδακρυν τῶν δακρύων ἐπύθετο τὴν
αἰτίαν. κἀγὼ ἔφην· Τί τοιοῦτον ἥμαρτον, ἵνα μοι τοιοῦτον εἴπῃς λόγον;
καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εἰ μὲν κακῶς εἴρηκα τὸ δουλεῦσαί σοι, σὺ πρῶ-
τος ἥμαρτες, τοῦτ' ἐμοὶ ποιῆσαι ἀξιώσας. κἀγὼ ἔφην· Οὐχ ὅμοιόν ἐστιν·
ἐμοὶ μὲν γὰρ τοῦτο ποιεῖν πρέπει πάνυ, σοὶ δὲ τῷ τοῦ θεοῦ κήρυκι τὰς
ἡμετέρας σόζοντι ψυχὰς χαλεπὸν τοῦτο ποιεῖν ἐμοί. καὶ ὁ Πέτρος ἀπε-
κρίνατο· Συνεθέμην ἄν σοι, ἐπεὶ ὁ κύριος ἡμῶν ὁ ἐπὶ σωτηρίᾳ παντὸς
τοῦ κόσμου ἐληλυθώς, μόνος ὑπὲρ πάντας εὐγενὴς ὤν, δουλείαν ὑπέμεινεν,
ἵνα ἡμᾶς πείσῃ μὴ αἰδεῖσθαι τοῖς ἀδελφοῖς ἡμῶν τὰς δούλων ποιεῖν ὑπηρεσίας,
κἂν πάνυ εὐγενεῖς τυγχάνωμεν. κἀγὼ ἔφην· Εἰ μὲν νομίζω σε νικῆσαι
λόγῳ, ἀνόητός εἰμι· πλὴν χάριν ἔχω τῇ τοῦ θεοῦ προνοίᾳ ὅτι σε εἰς γο-
νέων τόπον ἔχειν κατηξιώθην. καὶ ὁ Πέτρος ἐπυνθάνετο· Οὐδεὶς δέ σου
ἀληθῶς πρὸς γένους ὑπάρχει; κἀγὼ ἀπεκρινάμην· Εἰσὶν μὲν πολλοὶ καὶ

μεγάλοι ἄνδρες, Καίσαρος πρὸς γένους ὄντες. ὅθεν τῷ ἐμῷ πατρὶ ὡς καὶ
συντρόφῳ αὐτὸς Καῖσαρ συγγενίδα συνηρμόσατο γυναῖκα, ἀφ' ἧς
τρεῖς ἐγενόμεθα υἱοί, δύο μὲν πρὸ ἐμοῦ, οἳ καὶ δίδυμοι ὄντες πάνυ ὅμοιοι ἀλλήλοις
ἐτύγχανον, ὡς αὐτὸς ὁ πατὴρ ἔλεγέν μοι. ἐγὼ γὰρ οὔτε αὐτοὺς οὔτε τὴν
τεκοῦσαν πάνυ ἐπίσταμαι, ἀλλ' ὥσπερ δι' ὀνείρων ἀμαυρὸν αὐτῶν τὸ εἶδος
ἀναφέρω. ἡ μὲν οὖν μήτηρ μου Ματτιδία ἐλέγετο, ὁ δὲ πατὴρ Φαῦστος, τῶν
δὲ ἀδελφῶν καὶ αὐτῶν ὁ μὲν Φαυστῖνος ἐκαλεῖτο, ὁ δὲ Φαυστινιανὸς ἐλέγετο.
ἐμοῦ οὖν τρίτου ἐπιγεννηθέντος αὐτοῖς ἡ μήτηρ ὄνειρον ἑωράκει (ὥσπερ
ὁ πατήρ μου ὑφηγεῖτο) ὅτι, ἐὰν μὴ τοὺς διδύμους υἱοὺς αὐτῆς ἐξαυτῆς
παραλαβοῦσα τὴν Ῥωμαίων πρὸς ἀποδημίαν ἐξέλθῃ πόλιν ἐπ' ἔτη
δέκα, πανολεθρίῳ μόρῳ ἅμα αὐτοῖς ἀποθανεῖν ἔχει. ὁ μὲν οὖν πατὴρ
φιλότεκνος ὢν σύν τε δούλοις καὶ δούλαις ἐφοδιάσας ἱκανῶς καὶ
εἰς πλοῖον ἐνβαλόμενος εἰς τὰς Ἀθήνας ἅμα παιδευθησομένους ἐξέπεμ-
ψεν, ἐμὲ δὲ μόνον υἱὸν εἰς παραμυθίαν ἔσχεν μεθ' ἑαυτοῦ. καὶ ἐπὶ τούτῳ
εὐχαριστῶ πολλά, ὅτι κἀμὲ ὁ ὄνειρος μὴ κεκελεύκει ἅμα τῇ μητρὶ
τὴν Ῥωμαίων ἐκβῆναι πόλιν. περαιωθέντος οὖν ἐνιαυτοῦ ὁ πατὴρ ἔπεμ-
ψεν εἰς Ἀθήνας χρήματα τοῖς αὐτοῦ ἅμα τε καὶ μαθεῖν τὸ πῶς διά-
γουσιν. οἱ δὲ ἀπελθόντες οὐχ ὑπέστρεψαν. τρίτῳ δὲ ἐνιαυτῷ ὁ πατὴρ
ἀθυμῶν ἑτέρους ἔπεμψεν ὁμοίως μετὰ ἐφοδίων, οἵτινες τετάρτῳ ἐνιαυτῷ
ἦλθον ἀγγέλλοντες μήτε μου τὴν τεκοῦσαν ἢ τοὺς ἀδελφοὺς
ἑωρακέναι, μήτε μὴν αὐτοὺς ταῖς Ἀθήναις ἐπιδεδημηκέναι μηδὲ ἄλλου τινὸς τῶν σὺν
αὐτοῖς ἀπεληλυθότων κἂν ἴχνος εὑρηκέναι. ὁ μὲν οὖν πατὴρ ταῦτα ἀκού-
σας καὶ ὑπὸ πολλῆς λύπης ἔκθαμβος γενόμενος καὶ οὐκ εἰδὼς ποῦ ὁρ-
μήσας ἐπὶ ζήτησιν αὐτῶν γένηται, ἐμέ τε παραλαβὼν καὶ εἰς Πόρτον
καταβὰς πολλῶν πυκνότερον ἐπυνθάνετο ποῦ ἕκαστος αὐτῶν εἶδεν ἢ
ἤκουσεν ἀπὸ τεσσάρων ἐτῶν γενόμενον ναυφράγιον. καὶ ἄλλος ἀλλαχῆ

ἔλεγεν. ὁ δὲ ἀντεπυνθάνετο εἰ ἑωράκασιν σῶμα γυναικὸς μετὰ βρεφῶν
ἐκβεβρασμένον. τῶν οὖν πολλὰ λεγόντων ἑωρακέναι πτώματα κατὰ πολλοὺς τόπους, ὁ πατὴρ ἀκούων ἐστέναζεν· πλὴν ὑπὸ σπλάγχνων θορυβούμενος ἀλόγιστα ἐπυνθάνετο, ὅτι τοσοῦτον μέγεθος θαλάττης ἐρευνᾶν ἐπειρᾶτο.
πλὴν συνγνωστὸς ἦν, ὅτι τῇ πρὸς τοὺς ζητουμένους στοργῇ ἐλπίσιν ἐβου-
κολεῖτο κεναῖς. καὶ δή ποτε ὑπὸ φροντιστὰς ποιήσας με καὶ εἰς Ῥώμην
καταλείψας δωδεκαετῆ, αὐτὸς δακρύων εἰς Πόρτον κατελθὼν καὶ εἰς πλοῖον
ἐνβάς, ἀναχθεὶς ἐπὶ τὴν ζήτησιν ἐπορεύθη. καὶ ἔκτοτε εἰς τὴν σήμερον
ἡμέραν οὔτε γράμματα ἐδεξάμην παρ' αὐτοῦ οὔτε εἰ ζῇ ἢ τέθνηκεν σαφῶς
ἐπίσταμαι. μᾶλλον δὲ ὑπονοῶ ὅτι καὶ αὐτὸς τέθνηκέν που, ἢ ὑπὸ λύπης νικη-
θεὶς ἢ ναυφραγίῳ περιπεσών. τούτου δὲ δεῖγμα ὅτι ἤδη λοιπὸν ἔκτοτε εἰκο-
στὸν ἔτος ἐστίν, ἀφ' ἧς οὐδεμίαν τινὰ περὶ αὐτοῦ ἀλήθειαν ἤκουσα. ὁ δὲ
Πέτρος ἀκούων ταῦτα ὑπὸ συμπαθείας ἐδάκρυσεν καὶ εὐθέως τοῖς συνοῦσιν
γνησίοις ἔφη· Ταῦτα εἴ τις πεπόνθει ἐν θεοσεβείᾳ, οἷα ὁ τούτου πέπονθεν
πατήρ, εὐθέως τῷ τῆς θεοσεβείας λόγῳ τὴν αἰτίαν προσῆπτεν ἐπιγράφων
τὸν πονηρόν· οὕτω καὶ τοῖς ταλαιπώροις ἔθνεσιν συμβαίνει πάσχειν, καὶ
ἀγνοοῦμεν οἱ θεοσεβεῖς. ταλαιπώρους δὲ αὐτοὺς εὐλόγως εἴρηκα, ὅτι
ἐνταῦθα ἁλῶνται καὶ τῆς ἐκεῖ ἐλπίδος οὐ τυγχάνουσιν. οἱ γὰρ ἐν θεο-
σεβείᾳ πάσχοντες τὰ θλιβερὰ εἰς ἔκπραξιν παραπτωμάτων πάσχουσιν.

Ταῦτα τοῦ Πέτρου εἰπόντος εἷς τις τῶν ἐν ἡμῖν τολμήσας ἀντὶ πάν-
των παρεκάλεσεν αὐτὸν αὔριον ὀρθρίτερον εἰς Ἄραδον τὴν κατέναντι
νῆσον εἰσπλεῦσαι, τριάκοντα οἶμαι οὐδ' ὅλους ἀπέχουσαν σταδίους, ὡς
ἐπὶ ἱστορίᾳ τῶν ἐκεῖ ἀμπελίνων δύο στύλων μέγιστα ἐχόντων πάχη.
ὁ οὖν πειθήνιος Πέτρος συνεχώρησεν εἰπών· Ἐπὰν τοῦ πλοίου ἐκβῆτε,

μὴ ἅμα οἱ πάντες εἰσέρχεσθε εἰς τὴν θεωρίαν ὧν ἐπιθυμεῖτε· οὐ γὰρ βούλομαι στρέμματα γίνεσθαι εἰς ὑμᾶς τῶν πολιτῶν. καὶ οὕτως πλεύσαντες ·οπῇ ὥρας κατήχθημεν εἰς τὴν νῆσον. ἐκβάντες δὲ τοῦ σκάφους
εἰσῄειμεν, ἔνθα οἱ ἀμπέλινοι στῦλοι ἦσαν· ὁμῶς ἅμα αὐτοῖς ἄλλος ἄλλο
τι τῶν Φειδίου ἔργων ἐθεώρει.

Πέτρος δὲ μόνος οὐκ ἀναγκαῖον ἡγήσατο ἐπὶ τὴν τῶν ἐκεῖ ἱστορίαν
γενέσθαι, γυναικὶ δέ τινι ἔξω πρὸ τῶν θυρῶν καθεζομένῃ καὶ τροφῆς χάριν μεταιτούσῃ πυκνὰ κατανοήσας ἔφη· Γύναι, τί σοι τῶν μελῶν λείπει,
ὅτι τοσαύτην ὕβριν ἀνεδέξω (λέγω δὴ τὸ προσαιτεῖν) καὶ μὴ μᾶλλον ταῖς
ὑπὸ τοῦ θεοῦ σοι δεδωρημέναις χερσὶν ἐργαζομένη τὰς ἐφημέρους πορίζῃ
τροφάς; ἡ δὲ στενάξασα ἀπεκρίνατο· Εἴθε γὰρ ἦσάν μοι χεῖρες ὑπουργεῖν
δυνάμεναι· νῦν δέ μοι σχῆμα μόνον χειρῶν φυλάσσουσιν, νεκραὶ τυγχάνουσαι,
ὑπὸ δηγμάτων ἐμῶν βεβασανισμέναι. καὶ ὁ Πέτρος ἐπύθετο· Τίς δὲ ἡ αἰτία
τοῦ σὲ τὸ χαλεπὸν τοῦτο πεπονθέναι; ἡ δὲ ἀπεκρίνατο· Ψυχῆς ἀσθένεια
καὶ πλέον οὐθέν· εἰ γὰρ ἀνδρεῖον εἶχον φρόνημα, ἦν κρημνὸς ἢ βυθός,
ὅθεν ἐμαυτὴν ·ίψασα τῶν ὀδυνώντων με παύσασθαι ἠδυνάμην κακῶν. καὶ
ὁ Πέτρος ἔφη· Τί οὖν οἴει, γύναι; ὅτι πάντως οἱ ἀναιροῦντες ἑαυτοὺς κο-
λάσεως ἀπαλλάσσονται ἢ μὴ τῇ χείρονι κολάσει ἐν ᾅδῃ αἱ τῶν οὕτως θνῃσκόντων ψυχαὶ περὶ τῆς αὐτοκτονίας κολάζονται; ἡ δὲ ἔφη· Εἴθε
ἐπεπείσμην, ὅτι ὄντως ἐν ᾅδῃ ψυχαὶ εὑρίσκονται ζῶσαι, καὶ ἠγάπων τῆς
κολάσεως καταφρονήσασα θανεῖν, ὅπως τοὺς ἐμοὺς περιποθήτους ἴδω
κἂν μίαν ὥραν. καὶ ὁ Πέτρος ἔφη· Τί ἄρα ἐστὶν τὸ λυποῦν σε, μαθεῖν ἤθε-
λον, γύναι. ἐὰν γάρ με διδάξῃς, ἀντὶ ταύτης τῆς χάριτος πληροφορήσω
σε, ὅτι ἐν ᾅδῃ ζῶσιν αἱ ψυχαί, καὶ ἀντὶ κρημνοῦ ἢ βυθοῦ φάρμακον δώσω,

ὅπως ἀβασανίστως τοῦ ζῆν τὸν βίον μεταλλάξαι δυνηθῇς.

Καὶ ἡ γυνὴ τὸ ἀμφιβόλως ·ηθὲν μὴ συνεῖσα, ἐπὶ τῇ ὑποσχέσει πεισθεῖσα τοῦ λέγειν ἤρξατο οὕτως· Γένος μὲν καὶ πατρίδα εἰπεῖν οὐκ οἴομαι πεῖσαί ποτε δυνηθῆναί τινα. πλὴν καὶ σοὶ τί διαφέρει τοῦτο μαθεῖν ἢ μόνην τὴν αἰτίαν, ἧς ἕνεκεν ὀδυνωμένη δήγμασιν τὰς ἐμὰς ἐνέκρωσα χεῖρας; πλὴν τὰ κατ' ἐμαυτὴν ὡς δυνατὸν ἀκοῦσαί σε, διηγήσομαι. ἐγὼ πάνυ εὐγενὴς ὑπάρχουσα δυνάστου τινὸς προσταγῇ ἀνδρὶ πρὸς γένους αὐτῷ ὑπάρχοντι ἐγενόμην γυνή. καὶ μετὰ δίδυμα τέκνα ἔσχον ἕτερον υἱόν. ὁ δὲ τοῦ ἐμοῦ ἀνδρὸς ἀδελφὸς μανεὶς οὐκ ἔλαττον ἠράσθη μου τῆς ταλαιπώρου, σφόδρα σωφρονεῖν ἀγαπώσης. καὶ βουλομένη μήτε τῷ ἐραστῇ συνθέσθαι μήτε τῷ ἐμῷ ἀνδρὶ ἀναθέσθαι τὸν τοῦ ἀδελφοῦ αὐτοῦ πρὸς ἐμὲ ἔρωτα, ἐλογισάμην, ἵνα μήτε μοιχησαμένη ἐμαυτὴν μιάνω μήτε τοῦ ἐμοῦ ἀνδρὸς τὴν κοίτην ὑβρίσω μήτε τῷ ἀδελφῷ τὸν ἀδελφὸν πολέμιον καταστήσω μήτε ὅλον γένος μέγα ×ν εἰς ὀνειδισμὸν πᾶσιν ὑποβάλω–ὡς ἔφην, ἐλογισάμην τὴν πόλιν μετὰ τῶν ἐμῶν διδύμων παίδων ἐκβῆναι ἐπὶ χρόνον τινά, ἕως ἂν καὶ ὁ μιαρὸς ἔρως παύσηται τοῦ ἐπὶ τῇ ἐμῇ ὕβρει κολακεύοντός με. τὸν μέντοι ἕτερον υἱὸν παρὰ τῷ πατρὶ μεῖναι εἰς παραμυθίαν κατέλιπον. πλὴν ἵνα οὕτως ταῦτα γένηται, ἐπενόησα ὄνειρον πλάσασθαι ὡς δή τινος νύκτωρ ἐπιστάντος μοι καὶ εἰρηκότος· Γύναι, ἐξαυτῆς ἅμα τοῖς διδύμοις σου τέκνοις ἐπὶ χρόνον τινά, μέχρις ὅτε μηνύσω ἐπανελθεῖν σε ἐνταῦθα, ἔκβηθι τὴν πόλιν, ἐπεὶ ἅμα ἀνδρὶ καὶ πᾶσίν σου τοῖς τέκνοις αἰφνιδίως κακῶς τελευτήσεις. ὁμῶς οὕτως ἐποίησα. ἅμα γὰρ τῷ τὸν ὄνειρον ψεύσασθαί με τῷ ἀνδρὶ αὐτὸς περίφοβος γενόμενος μετὰ τῶν δύο υἱῶν δούλων τε καὶ παιδισκῶν καὶ χρημάτων συχνῶν κατὰ πλοῦν εἰς Ἀθήνας με ἐξέπεμψεν ἐκπαιδεῦσαι τοὺς υἱούς, μέχρις ἄν (ἔφη) τῷ χρηματίσαντι

δόξῃ ἐπανιέναι σε πρὸς ἐμέ. ὁμῶς ἅμα τέκνοις ἡ τάλαινα πλέουσα ὑπὸ
ἀνέμων ἀταξίας εἰς τούτους ἀπορριφεῖσα τοὺς τόπους, νυκτὸς τῆς νηὸς
διαλυθείσης, ναυφραγίῳ περιέπεσα. πάντων δὲ θανόντων ἡ ἀτυχὴς
ἐγὼ μόνη ὑπὸ σφοδροῦ κύματος ·ιπισθεῖσα ἐπὶ πέτρας ἐρρίφην, ἐφ'
ἧς καθεσθεῖσα ἡ ἀθλία ἐλπίδι τοῦ τὰ τέκνα με ζῶντα εὑρεῖν εἰς τὸν βυ-
θὸν ἐμαυτὴν οὐκ ἔρριψα τότε ὅτε τὴν ψυχὴν μεμεθυσμένην τοῖς κύ-
μασιν ἔχουσα τοῦτο ποιῆσαι ·ᾳδίως ἐδυνάμην. πλὴν ἐπειδὴ ὄρθρος
ἐγένετο, μεγάλα βοῶσα καὶ γοερὰ κωκύουσα περιεβλεπόμην, ζητοῦσα
τῶν ἐμῶν ταλαιπώρων βρεφῶν τὰ νεκρὰ σώματα. ἐλεήσαντες οὖν με
οἱ ἐπιχώριοι, γυμνὴν ἰδόντες ἐνδύσαντές με τὸ πρῶτον, τὸν βυθὸν ἀνη-
ραύνων, τὰ ἐμὰ ζητοῦντες τέκνα. καὶ ἐπεὶ μηδὲν ηὕρισκον ὧν ἐζήτουν,
παραμυθίας χάριν τινὲς τῶν φιλοξένων γυναικῶν προσελθοῦσαι διηγοῦντο
ἑκάστη τὰ ἑαυτῆς κακά, ἵνα τῇ τῶν ὁμοίων συμφορᾷ παραμυθίας τύχω,
ὃ δὴ μᾶλλόν με ἐλύπει. οὐ γὰρ ἔφην οὕτω κακὴ εἶναι ὡς ταῖς ἄλλων
συμφοραῖς παραμυθίας τύχω. καὶ δὴ εἰς ξενίαν πολλῶν με ἄγειν ἀξιου-
σῶν μία τις τῶν ἐνταῦθα πενιχρὰ πολὺ βιασαμένη εἰς τὸ ἑαυτῆς ἐλθεῖν
ἠνάγκασε σκήνωμα, εἰποῦσά μοι· Θάρρει, γύναι· καὶ γὰρ ὁ ἐμὸς ἀνὴρ ναύ-
της ὢν κατὰ θάλασσαν τέθνηκεν, ἐν τῇ νεαζούσῃ τυγχάνων ἡλικίᾳ· καὶ
ἔκτοτε πολλῶν με ἀξιούντων πρὸς γάμον ἐγὼ χηρεύειν εἱλόμην, τὸν
ἐμὸν ποθοῦσα ἄνδρα. ἔσται δὲ ἡμῖν κοινὰ ἃ διὰ χειρῶν ἀμφότεραι
πορίζειν δυνάμεθα. καὶ ἵνα μή σοι μηκύνω τοὺς οὐκ ἀναγκαίους
λόγους, συνόκησα αὐτῇ διὰ τὴν φιλανδρίαν. καὶ μετ' οὐ πολὺ ἐμοῦ
τῆς ταλαιπώρου αἱ χεῖρες ὑπὸ τῶν δηγμάτων παρείθησαν, καὶ ἡ ὑπο-
δεξαμένη με γυνὴ ὅλη ὑπὸ πάθους τινὸς συνδεθεῖσα ἐπὶ τῆς οἰκίας
ἔρριπται. ἐπεὶ οὖν ὁ πάλαι τῶν γυναικῶν ἔλεος παρήκμασεν, ἐγὼ δὲ
καὶ ἡ κατ' οἶκον ἀμφότεραι ἐπισινεῖς τυγχάνομεν, ἐκ πολλῶν χρόνων
ἐνταῦθα (ὡς ὁρᾷς) καθέζομαι προσαιτοῦσα καὶ ὧν ἂν εὐπορήσω, καὶ
τῇ συνταλαιπώρῳ εἰς τροφὰς κομίζω. καὶ τὰ μὲν ἐμὰ ἐπὶ τοσοῦτον αὐτάρ-

κως εἰρήσθω· λοιπὸν σὺ κωλύεις τὴν ὑπόσχεσιν πληρῶσαι τοῦ δοῦναι τὸ
φάρμακον, ὅπως κἀκείνῃ ἐπιθυμούσῃ θανεῖν δῶ καὶ οὕτως κἀγὼ τοῦ ζῆν
(ὡς ἔφης) μεταλλάξαι δυνηθῶ.

Ταῦτα τῆς γυναικὸς εἰπούσης ὑπὸ λογισμῶν πολλῶν ὁ Πέτρος μετέωρος
ἐδόκει ἵστασθαι. ἐγὼ δὲ ἐπελθὼν ἔφην· Ἐκ πολλοῦ σε περιερχόμενος
ζητῶ, καὶ τὰ νῦν τί ποιοῦμεν; ὁ δὲ Πέτρος προσέταξέν μοι προάξαντι
μένειν αὐτὸν ἐπὶ τοῦ σκάφους. καὶ ἐπειδὴ ἀντειπεῖν οὐκ ἦν αὐτῷ κελεύσαντι,
ἐποίησα τὸ προσταχθέν. ὁ δὲ Πέτρος μικρᾷ τινι ὑποψίᾳ (ὡς αὐτός μοι
πάντα ὕστερον διηγήσατο) παλλόμενος τὴν καρδίαν ἐπυνθάνετο τῆς γυναικὸς
λέγων· Εἰπέ μοι, γύναι, τὸ γένος καὶ τὴν πόλιν καὶ τῶν τέκνων τὰ ὀνό-
ματα, καὶ ἤδη δίδωμί σοι τὸ φάρμακον. ἡ δὲ βίαν πάσχουσα καὶ εἰπεῖν
οὐ θέλουσα, τὸ δὲ φάρμακον λαβεῖν ἐπιθυμοῦσα, ἐσοφίσατο ἄλλα ἀντὶ
ἄλλων εἰπεῖν καὶ ὁμῶς ἔφη αὐτὴν μὴν Ἐφεσίαν εἶναι, τὸν δὲ ἄνδρα
Σικελόν, ὁμῶς καὶ τῶν τριῶν τέκνων ἤλλαξεν τὰ ὀνόματα. καὶ ὁ Πέ-
τρος νομίσας αὐτὴν ἀληθεύειν ἔφη· Οἴμοι, γύναι· ἐνόμιζον μεγάλην τινὰ
χαρὰν τὴν σήμερον ἄγειν ἡμέραν, ὑποπτεύσας σέ τινα εἶναι, ἣν ἐνόμιζον,
ἧς τὰ πράγματα ἀκούσας ἀκριβῶς ἐπίσταμαι. ἡ δὲ ἐξώρκιζεν λέ-
γουσα· Δέομαι, εἰπέ μοι, ἵνα εἰδῶ εἰ ἔστιν τις ἐν γυναιξὶν ἀθλιωτέρα
ἐμοῦ. καὶ ὁ Πέτρος ψεύδεσθαι οὐκ εἰδὼς ὑπὸ ἐλέους τοῦ πρὸς αὐτὴν
τὸ ἀληθὲς λέγειν ἤρξατο· Ἐμοί τις λοιπὸν ἤδη νεανίας ὢν παρέ-
πεται, τῶν τῆς θεοσεβείας ὀρεγόμενος λόγων, Ῥωμαίων ὑπάρχων πολί-
της, ὅστις μοι διηγήσατο πῶς πατέρα ἔχων καὶ ἀδελφοὺς δύο διδύμους
οὐδένα τούτων ὁρᾷ· ἥ τε γὰρ μήτηρ (φησίν), ὡς ὁ πατὴρ διηγεῖτό μοι,
ὄνειρον ἰδοῦσα τὴν Ῥωμαίων πόλιν ἐπὶ χρόνον τινὰ ἐξῆλθεν μετὰ τῶν
διδύμων αὐτῆς τέκνων, ἵνα μὴ κακῷ μόρῳ τελευτήσῃ, καὶ σὺν αὐτοῖς
ἐκβᾶσα οὐχ εὑρίσκεται. ὁ δὲ ταύτης μὲν ἀνήρ, αὐτοῦ δὲ πατὴρ καὶ αὐτὸς
εἰς ἐπιζήτησιν αὐτῆς ἐκβὰς οὐχ εὑρίσκεται.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ἐπιστήσασα ὡς ὑπὸ ἐκπλήξεως ἀπέψυξεν

ἡ γυνή. ὁ δὲ Πέτρος προσελθὼν καὶ ἐπισχὼν νήφειν αὐτὴν παρεκελεύσατο,
ὁμολογεῖν αὐτὴν πείθων τί ποτέ ἐστιν ὃ πάσχει. ἡ δὲ ὥσπερ ἐκ μέθης τὸ
λοιπὸν τοῦ σώματος παρεθεῖσα ὑπέστρεψεν ἑαυτὴν ὑποστῆναι δυνηθῆναι
τὸ μέγεθος τῆς ἐλπιζομένης χαρᾶς καὶ τρίψασα αὐτῆς τὸ πρόσωπον· Ποῦ
ἐστιν, ἔφη, οὗτος ὁ νεανίας; ὁ δὲ ἤδη ὅλον συνιδὼν τὸ πρᾶγμα ἔφη· Εἰπέ
μοι σὺ πρῶτον (ἄλλως γὰρ τοῦτον ἰδεῖν οὐκ ἔχεις). ἡ δὲ σπεύ-
δουσα· Ἐγώ, φησίν, εἰμὶ ἡ τοῦ νεανίσκου μήτηρ. καὶ ὁ Πέτρος ἔφη·
Τί τούτῳ ὄνομα; ἡ δέ φησιν· Κλήμης. καὶ ὁ Πέτρος εἶπεν· Αὐτός
ἐστιν, καὶ αὐτὸς ἦν ὁ πρὸ μικροῦ μοι λαλήσας, ᾧ ἀναμένειν με ἐν τῷ
πλοίῳ προσέταξα. ἡ δὲ προσπεσοῦσα τῷ Πέτρῳ παρεκάλει σπεύδειν
ἐπὶ τὸ πλοῖον ἐλθεῖν. καὶ ὁ Πέτρος· Εἴ μοι τηρεῖς τὰς συνθήκας, καὶ
τοῦτο ποιήσω. ἡ δὲ ἔφη· Πάντα ποιῶ, μόνον μοι τὸ τέκνον τὸ μονογενὲς
δεῖξον. δόξω γὰρ δι' αὐτοῦ τὰ δύο μου τὰ ἐνταῦθα τεθνηκότα ὁρᾶν
τέκνα. καὶ ὁ Πέτρος ἔφη· Ὅταν αὐτὸν ἴδῃς, ἡσύχασον μέχρις ἂν τῆς
νήσου ἐκβῶμεν. ἡ δὲ ἔφη· Οὕτως ποιήσω. λαβόμενος οὖν τῆς χειρὸς
αὐτῆς ὁ Πέτρος ἦγεν ἐπὶ τὸ πλοῖον. ἐγὼ δὲ ἰδὼν αὐτὸν χειραγωγοῦντα
γυναῖκα ἐγέλασα καὶ προσελθὼν εἰς τιμὴν αὐτοῦ ἀντ' αὐτοῦ χειραγωγεῖν
αὐτὴν ἐπειρώμην. καὶ ἅμα τῷ ἅψασθαί με τῆς χειρὸς αὐτῆς ὀλολύξασα
ὡς μήτηρ μέγα καὶ περιπλακεῖσα σφόδρα κατεφίλει με τὸν αὐτῆς υἱόν.
ἐγὼ δὲ ἀγνοῶν ὅλον τὸ πρᾶγμα ὡς μαινομένην ἀπεσειόμην, αἰδούμενος
δὲ καὶ τὸν Πέτρον ἐπικραινόμην. ὁ δὲ Πέτρος ἔφη· Ἔα· τί ποιεῖς, τέκ-
νον Κλήμης, ἀποσειόμενος τὴν σὴν οὕτως τεκοῦσαν; ἐγὼ δὲ τοῦτο ἀκού-
σας περίδακρυς γενόμενος καὶ καταπεσούσῃ τῇ τεκούσῃ προσπεσὼν κατεφί-
λουν. καὶ γὰρ ἅμα τῷ ·ηθῆναί μοι τοῦτο ἀμαυρῶς πως τὸ εἶδος ἀνεκαλού-
μην. πολλοὶ μὲν οὖν ὄχλοι συνέτρεχον ἱστορῆσαι τὴν προσαιτήτριαν γυναῖκα,

λέγοντες ἀλλήλοις ὅτι αὐτὴν ἐπέγνω ὁ υἱός, ἀνὴρ ἀξιόλογος. βουλομένοις
οὖν ἡμῖν ἐξαυτῆς σὺν τῇ μητρὶ τῆς νήσου ἐκβαίνειν ἡ μήτηρ ἔφη· Τέκνον
μοι ποθεινόν, εὔλογόν ἐστιν ἀποτάξασθαι τῇ ὑποδεξαμένῃ με γυναικί, ἥτις
πενιχρὰ οὖσα καὶ ὅλη παρειμένη ἐπὶ τῆς οἰκίας ἔρριπται. ὁ δὲ Πέτρος
ἀκούσας ἐθαύμασεν καὶ πάντες οἱ περιεστῶτες ὄχλοι τῆς γυναικὸς
τὸ ἀγαθὸν φρόνημα. καὶ εὐθέως ἐκέλευσεν ὁ Πέτρος τισὶν πορευθῆναι
καὶ τὴν γυναῖκα ἐπὶ κλίνης κομίσαι. καὶ ὁμῶς ἐνεχθείσης καὶ τεθείσης
τῆς κλίνης, πάντων τῶν ὄχλων ἀκουόντων ἔφη ὁ Πέτρος· Εἰ ἀληθείας κῆρυξ ἐγὼ τυγχάνω, εἰς τὴν τῶν παρεστώτων πίστιν, ἵνα γνῶσιν
ὅτι εἷς ἐστιν θεὸς ὁ τὸν κόσμον ποιήσας, ἐξαυτῆς ἐγερθήτω ὑγιής. καὶ
ἅμα τῷ εἰπεῖν Πέτρον ταῦτα ἡ γυνὴ ἠγέρθη ὑγιασθεῖσα καὶ τῷ Πέτρῳ
προσέπεσεν καὶ τὴν συνήθη φίλην καταφιλήσασα ἐπυνθάνετο τί εἴη
τοῦτο. ἡ δὲ ὅλον αὐτῇ τὸ πρᾶγμα τοῦ ἀναγνωρισμοῦ συντόμως διηγήσατο καὶ οἱ ἀκούσαντες κατεπλάγησαν. τότε καὶ ἡ μήτηρ τὴν ξενοδόχον
θεραπευθεῖσαν ἱστορήσασα παρεκάλει καὶ αὐτὴ ἰάσεως τυχεῖν. ὁ δὲ
ἐπιθεὶς τὴν χεῖρα καὶ αὐτὴν ἐθεράπευσεν. καὶ εἶθ' οὕτως ὁ Πέτρος περὶ θεοῦ καὶ τῆς αὐτῷ διαφερούσης θρησκείας ὁμιλήσας, προσθεὶς
ἐπὶ τέλει ὅτι· Εἴ τις βούλεται ταῦτα ἀκριβῶς μαθεῖν, εἰς Ἀντιόχειαν,
ὅπου πλειόνων ἡμερῶν περιμένειν ἔκρινα, ἐλθὼν τὰ πρὸς τὴν αὐτοῦ
σωτηρίαν μανθανέτω. οὐ γὰρ δὴ ἐμπορίας ἕνεκα ἢ στρατείας πατρίδας
καταλιμπάνειν οἴδατε καὶ εἰς μακροὺς ἀπέρχεσθαι τόπους, διὰ δὲ αἰώνιον
σωτηρίαν μηδὲ τριῶν ἡμερῶν ὁδὸν πορευθῆναι θέλετε; μετὰ μὲν οὖν
τὴν προσομιλίαν Πέτρου ἐγὼ τῇ ὑγιασθείσῃ γυναικὶ ἐπὶ παντὸς τοῦ
ὄχλου χιλίας δραχμὰς εἰς τροφὰς ἐδωρησάμην, παραθέμενος αὐτὴν ἀγα-
θῷ τινι ἀνδρί, πρώτῳ τῆς πόλεως ὄντι, φύσει μετὰ χαρᾶς τοῦτο ποιεῖν
προῃρημένῳ. ἔτι δὲ καὶ ἄλλοις πολλοῖς ἀργύρια διανείμας, ταῖς ποτε
τὴν μητέρα παραμυθησαμέναις εὐχαριστήσας διέπλευσα εἰς Ἀντάραδον
ἅμα τῇ μητρὶ καὶ Πέτρῳ καὶ τοῖς λοιποῖς ἑταίροις, καὶ οὕτως εἰς τὴν
ξενίαν ὡρμήσαμεν.

Γενομένων δὲ ἡμῶν καὶ τροφῆς μεταλαβόντων καὶ συνήθως εὐχαριστη-
σάντων, ἔτι ὥρας οὔσης ἔφην ἐγὼ τῷ Πέτρῳ· Φιλανθρωπίας ἔργον, κύριέ
μου Πέτρε, ἡ ἐμὴ ἐποίησεν μήτηρ, τῆς ξενοδόχου ὑπομνησθεῖσα γυ-
ναικός. καὶ ὁ Πέτρος ἀπεκρίνατο· Ἀρά γε, ὦ Κλήμης, ἀληθῶς νενόμικας
φιλανθρωπίας ἔργον πεποιηκέναι τὴν σὴν τεκοῦσαν, καθὸ τὴν ἀπὸ ναυφρα-
γίου αὐτὴν ὑποδεξαμένην ἠμείψατο, ἢ ὡς μητρὶ μεγάλα χαριζόμενος
τοῦτον εἴρηκας τὸν λόγον; εἰ δὲ οὐχ ὡς χαριζόμενος, ἀλλ' ὡς ἀληθεύων
ἔφης, ἔοικάς μοι ἀγνοεῖν τί πότ' ἐστιν φιλανθρωπίας μέγεθος, ἥτις ἐστὶν
ἄνευ τοῦ φυσικῶς πείθοντος ἡ πρὸς οἱονδήποτε στοργὴ καθὸ ἄνθρωπός ἐστιν.
ἀλλ' οὐδὲ τὴν ξενοδόχον τὴν ἀπὸ ναυφραγίου ὑποδεξαμένην τὴν σὴν
τεκοῦσαν οὔπω φιλάνθρωπον εἰπεῖν τολμῶ. ὑπ' ἐλέου γὰρ
κολακευθεῖσα πέπειστο εὐεργέτις γενέσθαι γυναικὸς ναυφραγίῳ
περιπεσούσης, τέκνα πενθούσης, ξένης, γυμνῆς, μεμονωμένης καὶ
σφόδρα ἐπὶ ταῖς συμφοραῖς ὀλοφυρομένης. ἐν τοσαύταις οὖν αὐτῆς
συμφοραῖς οὔσης τίς καὶ ἀσεβῶν ἰδὼν οὐκ ἂν ἠλέησεν; ὥστε οὔπω
φιλανθρωπίας ἔργον πεποιηκυῖα φαίνεται οὐδὲ ἡ ξενοδόχος γυνή,
ἀλλὰ ὑπὸ ἐλέου τοῦ ἐπὶ μυρίαις συμφοραῖς πρὸς εὐεργεσίας
κεκινημένου. πόσῳ γε μᾶλλον ἡ σὴ τεκοῦσα, βίου εὐπορέσασα καὶ τὴν
ξενοδόχον ἀμειψαμένη, φιλανθρωπίας ἔργον οὐκ ἐποίησεν, ἀλλὰ
φιλίας; πολλὴ δὲ διαφορὰ μεταξὺ φιλίας καὶ φιλανθρωπίας, ὅτι ἡ μὲν
φιλία ἐξ ἀμοιβῆς γίνεται, ἡ δὲ φιλανθρωπία ἄνευ τοῦ φυσικῶς πείθον-
τος πάντα ἄνθρωπον καθὸ ἄνθρωπός ἐστιν φιλοῦσα εὐεργετεῖ. εἰ μὲν
οὖν ἡ ἐλεήσασα ξενοδόχος καὶ ἐχθροὺς ἀδικήσαντας ἐλεῶσα εὐεργέτει,
φιλάνθρωπος ἂν ἦν. εἰ δὲ διά τι φίλη ἢ ἐχθρὰ καὶ διά τι ἐχθρὰ ἢ φίλη,
ἡ τοιαύτη τοῦ τινος αἰτίου φίλη ἐστὶν ἢ ἐχθρά, οὐ τοῦ ἀνθρώπου. κἀγὼ
ἀπεκρινάμην· Οὐ δοκεῖ σοι οὖν φιλάνθρωπος εἶναι κἂν ἡ ξενο-
δόχος ξένην ἣν οὐκ ἠπίστατο εὐεργετήσασα; καὶ ὁ Πέτρος· Ἐλεή-
μονα μὲν αὐτὴν εἰπεῖν ἐπίσταμαι, φιλάνθρωπον δὲ οὐ τολμῶ λέγειν,
ἅτε δὴ οὔτε τὴν τεκοῦσαν φιλότεκνον· ὑπ' ὠδίνων γὰρ καὶ ἀνατροφῆς
στέργειν πέπεισται. ὡς καὶ ὁ ἐρῶν ὑπὸ τῆς συνηθείας κολακεύεται
καὶ

εὐνῆς καὶ ὁ φίλος ὑπὸ τῆς ἀμοιβῆς, οὕτω καὶ ὁ ἐλεῶν ὑπὸ τῆς συμφορᾶς.
πλὴν ἐγγὺς ὁ ἐλεήμων τῷ φιλανθρώπῳ, ὅτι ἄνευ τοῦ τι θηρᾶσθαι λαβεῖν εὐεργετεῖν πείθεται. πλὴν οὔπω φιλάνθρωπός ἐστιν. κἀγὼ
ἔφην· Ἐπὶ ποίαις οὖν πράξεσιν φιλάνθρωπος εἶναί τις δύναται; καὶ ὁ Πέτρος ἀπεκρίνατο· Ἐπεὶ ὁρῶ σε γλιχόμενον ἀκοῦσαι τί πότ' ἐστιν φι-
λανθρωπίας ἔργον, οὐκ ὀκνήσω λέγειν. φιλάνθρωπός ἐστιν ὁ καὶ ἐχθροὺς
εὐεργετῶν. ὅτι δὲ οὕτως ἔχει, ἄκουσον. φιλανθρωπία ἐστὶν ἀρρενόθη-
λυς, ἧς τὸ θῆλυ μέρος ἐλεημοσύνη λέγεται, τὸ δὲ ἄρρεν αὐτῆς ἀγάπη πρὸς τὸν πλησίον ὠνόμασται· πλησίον δὲ ἀνθρώπῳ ἐστὶν ὁ πᾶς ἄνθρω-
πος, οὐχ ὅ τις ἄνθρωπος· ἄνθρωπος γάρ ἐστιν καὶ ὁ κακὸς καὶ ὁ ἀγαθὸς
καὶ ὁ ἐχθρὸς καὶ ὁ φίλος. χρὴ οὖν τὸν φιλανθρωπίαν ἀσκοῦντα μι-
μητὴν εἶναι τοῦ θεοῦ εὐεργετοῦντα δικαίους καὶ ἀδίκους, ὡς αὐτὸς ὁ θεὸς πᾶσιν ἐν τῷ νῦν κόσμῳ τόν τε ἥλιον καὶ τοὺς ὑετοὺς αὐτοῦ παρέ-
χων. εἰ δὲ θέλεις ἀγαθοὺς μὲν εὐεργετεῖν, κακοὺς δὲ μηκέτι ἢ καὶ κο-
λάζειν, κριτοῦ ἔργον ἐπιχειρεῖς πράττειν, οὐ τὸ τῆς φιλανθρωπίας σπου-
δάζεις ἔχειν. κἀγὼ ἔφην· Ἀρά γε καὶ ὁ θεὸς μέλλων τότε κρί-
νειν, ὡς διδάσκεις ἡμᾶς, οὐ φιλάνθρωπός ἐστιν; καὶ ὁ Πέτρος· Τοὐναν-
τίον λέγεις. ἐπεὶ γὰρ κρίνει, διὰ τοῦτο φιλάνθρωπός ἐστιν. φιλῶν γὰρ καὶ ἐλεῶν τοὺς ἠδικημένους τιμωρεῖ τοὺς ἠδικηκότας. κἀγὼ ἔφην· Οὐκ-
οῦν, εἰ κἀγὼ ἀγαθοὺς μὲν εὐεργετῶ, τοὺς δὲ ἀδικοῦντας καθὸ ἀνθρώ-
πους ἠδίκησαν τιμωρῶ, φιλάνθρωπός εἰμι; καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εἰ
μετὰ τοῦ πρόγνωσιν ἔχειν εἶχες καὶ τοῦ κρίνειν ἐξουσίαν, ὀρθῶς ἂν τοῦτο
ἐποίεις, διὰ μὲν τὸ εἰληφέναι τὴν ἐξουσίαν καταδικάζων οὓς ὁ θεὸς ἐδη-
μιούργησεν, διὰ δὲ τὴν πρόγνωσιν ἀπταίστως ἐν τῷ κρίνειν οὓς μὲν ὡς δι-
καίους δικαιῶν, οὓς δὲ ὡς ἀδίκους καταδικάζων. κἀγὼ ἔφην· Ὀρθῶς ἔφης

καὶ ἀληθῶς· ἀδύνατον γάρ τινα πρόγνωσιν οὐκ ἔχοντα ὀρθῶς κρῖναι. ἐνίοτε
γὰρ φαίνονταί τινες ἀγαθοί, ἀθέμιτα κρύφα διαπρασσόμενοι, ἔνιοι δὲ ἀγα-
θοὶ ὑπὸ διαβολῆς ἐχθρῶν κακοὶ ὑπολαμβανόμενοι. ἀλλ' εἰ καὶ τοῦ βασα-
νίζειν καὶ ἀνακρίνειν ἐξουσίαν τις ἔχων δικάζει, οὐδὲ οὕτως τὸ πάντως δι-
καίως αὐτῷ δικάσαι ἐγίνετο. ἔνιοι γὰρ φονεῖς ὄντες τὰς βασάνους ὑπομεί-
ναντες ὡς ἀθῷοι ἀπελύθησαν, ἕτεροι δὲ ἀθῷοι ὄντες τὰς βασάνους μὴ ὑπο-
μείναντες, ἑαυτῶν καταψευσάμενοι ὡς αἴτιοι ἐκολάσθησαν. καὶ ὁ Πέτρος·
Μετρίως, ἔφη, ἔχει καὶ ταῦτα, τὸ δὲ μεῖζον ἄκουσον. ἐνίων ἀνθρώπων
ἁμαρτανόντων ἢ εὖ πραττόντων, ὧν ποιοῦσιν ἃ μὲν ἴδια αὐτῶν ἐστιν,
ἃ δὲ ἀλλότρια, δίκαιον δὲ ἕκαστον ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασιν τιμωρεῖσθαι
ἢ ἐπὶ τοῖς ἰδίοις κατορθώμασιν εὐεργετεῖσθαι. ἀδύνατον δέ τινι πλὴν προ-
φήτῃ μόνῳ πρόγνωσιν ἔχοντι τὰ ὑπό τινος γινόμενα εἰδέναι ποῖά ἐστιν
αὐτοῦ ἴδια, ποῖα δὲ οὐκ ἦν· πάντα γὰρ δι' αὐτοῦ γινόμενα βλέπεται. κἀγὼ
ἔφην· Ἐβουλόμην μαθεῖν πῶς τῶν ἀδικημάτων ἢ κατορθωμάτων ἃ
μὲν ἴδια, ἃ δὲ ἀλλότρια. καὶ ὁ Πέτρος ἀπεκρίνατο ὅτι· Ὁ τῆς
ἀληθείας προφήτης ἔφη· «Τὰ ἀγαθὰ ἐλθεῖν δεῖ, μακάριος δέ (φησίν) δι'
οὗ ἔρχεται· ὁμοίως καὶ τὰ κακὰ ἀνάγκη ἐλθεῖν, οὐαὶ δὲ δι' οὗ ἔρχεται».
εἰ δὲ διὰ κακῶν κακὰ ἔρχεται καὶ δι' ἀγαθῶν ἀγαθὰ φέρεται, προσεῖναι
δεῖ ἑκάστῳ τὸ ἴδιον, τὸ ἀγαθὸν εἶναι ἢ κακόν, καὶ ἐξ ὧν προέπραξεν,
διὰ τοῦ ἐλθεῖν τὰ δεύτερα ἀγαθὰ ἢ κακά, ἅτινα ἴδια αὐτοῦ τῆς αἱρέσεως
ὄντα ὑπὸ τῆς τοῦ θεοῦ προνοίας διελθεῖν ᾠκονόμηται, ἐπεὶ κρίσις
αὕτη θεῷ, ὥσπερ ἐπ' ἀγῶνος τὸν διὰ πάσης κακουχίας διεληλυθότα καὶ
ἄμεμπτον εὑρεθέντα, ἐκεῖνον ζωῆς αἰωνίου καταξιοῦσθαι· οἱ γὰρ ἐν ἀγα-

θοῖς ἰδίᾳ βουλῇ προκόψαντες ὑπὸ τῶν ἰδίᾳ βουλῇ ἐν κακίᾳ παραμεινάν-
των πειράζονται, διωκόμενοι, μισούμενοι, λοιδορούμενοι, ἐπιβουλευό-
μενοι, τυπτόμενοι, πλεονεκτούμενοι, διαβαλλόμενοι, ἀγγαρευόμενοι, ἐπη-
ρεαζόμενοι, πάντα ἐκεῖνα πάσχοντες, δι' ὧν εὐλόγως δοκεῖ τὸ ὀργίζεσθαι
γίνεσθαι καὶ πρὸς ἄμυναν ὁρμᾶν. ὁ δὲ διδάσκαλος εἰδὼς ὅτι οἱ
ταῦτα ἀδίκως ποιοῦντες ἐκ προτέρων ἁμαρτημάτων κατάδικοί εἰσιν καὶ
ὅτι διὰ καταδίκων τὸ τῆς κακίας πνεῦμα ταῦτα ἐνεργεῖ, τοὺς μὲν ἀνθρώ-
πους καθὸ ἄνθρωποί εἰσιν, καὶ δι' ἁμαρτίας ὄργανα γινομένους κακίας ἐλεεῖν
συνεβούλευσεν, ὡς φιλανθρωπίαν ἀσκοῦσιν, καὶ τὸ ὅσον ἐπ' αὐτοῖς ἐστιν,
ἀδικουμένους καὶ ἀπολύειν τῆς καταδίκης τοὺς ἀδικοῦντας, ἵνα ὥσπερ
οἱ νήφοντες τοῖς μεθύουσιν βοηθῶσιν, εὐχαῖς, νηστείαις, εὐλογίαις,
μὴ ἀνθιστάμενοι, μὴ ἀμυνόμενοι, ἵνα μὴ ἐπὶ τὸ πλεῖον αὐτοὺς ἁμαρ-
τεῖν ἀναγκάσωσιν. τοῦ γὰρ παθεῖν πάντως κεκριμένου τινί, οὐκ εὔ-
λογον ἀγανακτεῖν ἐκείνῳ, δι' οὗ τὸ παθεῖν γίνεται, λογισάμενον ὅτι, εἰ
καὶ ἐκεῖνος οὐκ ἐκακούχησεν αὐτόν, διὰ τὸ πάντως κακουχηθῆναι μέλλειν
διὰ ἑτέρου τὸ παθεῖν ἦν. τί οὖν ἀγανακτῶ τῷ διαθεμένῳ, ἐμοῦ πάντως
παθεῖν κεκριμένου; ἀλλ' ἔτι μὴν εἰ τὰ αὐτὰ τοῖς κακοῖς προφάσει ἀμύ-
νης ποιοῦμεν, παρὰ τὸ πρῶτοι δεύτεροι τὸ αὐτὸ τοῖς κακοῖς οἱ ἀγαθοὶ
πράσσομεν. καί (ὡς ἔφην) οὐ χρὴ ἀγανακτεῖν ὡς εἰδότα ὅτι θεοῦ προ-
νοίᾳ οἱ κακοὶ τοὺς ἀγαθοὺς τιμωροῦσιν. οἱ οὖν τοῖς τιμωροῦσιν χαλε-
παίνοντες ὡς τοὺς ἀποστόλους θεοῦ ὑβρίζοντες ἁμαρτάνουσιν, τιμῶντες δὲ
καὶ τὰ ἐναντία τοῖς ἀδικεῖν νομιζομένοις διατιθέμενοι αὐτοὺς εἰς τὸν
θεὸν τὸν οὕτω βουλευσάμενον εὐσεβοῦσιν. κἀγὼ πρὸς ταῦτα ἀπε-
κρινάμην· Οὐκοῦν οἱ ἀδικοῦντες οὔκ εἰσιν αἴτιοι, ὅτι κρίσει θεοῦ ἀδικοῦ-
σιν τοὺς δικαίους. καὶ ὁ Πέτρος ἔφη· Καὶ πάνυ ἁμαρτάνουσιν, πρὸς γὰρ
τὸ ἁμαρτάνειν ἑαυτοὺς ἀποδεδωκότες. ὅθεν εἰδὼς ἀπ' αὐτῶν ἐκλέ-

γεται τιμωρεῖν τοὺς ἐπὶ τοῖς προτέροις ἁμαρτήμασιν μεταμεληθέντας δικαίως, ἵνα τοῖς μὲν δικαίοις διὰ τῆς τοιαύτης τιμωρίας τὰ πρὸ τῆς με-
τανοίας πραχθέντα ἀφεθῇ κακά, τοῖς δὲ τιμωροῦσιν ἀσεβέσιν κακου-
χεῖν ἐπιθυμοῦσιν καὶ μετανοεῖν μὴ θέλουσιν εἰς ἀναπλήρωσιν τῆς ἰδίας
κολάσεως δικαίους κακουχεῖν συνεχωρήθη· ἄνευ γὰρ τῆς τοῦ θεοῦ βουλῆς
οὐδὲ στρουθὸς ἐν παγίδι ἐνπεσεῖν ἔχει· οὕτως δικαίων καὶ αἱ τρίχες τῷ
θεῷ ἐναρίθμιοί εἰσιν. δίκαιος δέ ἐστιν ἐκεῖνος ὁ τοῦ εὐλόγου ἕνεκα
τῇ φύσει μαχόμενος. οἷον πᾶσιν πρόσεστιν ἐκ φύσεως φιλοῦντας φι-
λεῖν, δίκαιος πειρᾶται καὶ ἐχθροὺς ἀγαπᾶν καὶ λοιδοροῦντας εὐλογεῖν,
ἔτι μὴν καὶ ὑπὲρ ἐχθρῶν εὔχεσθαι. ἀδικοῦντας ἐλεεῖ· διὸ καὶ προσαδι-
κεῖσθαι ἀνέχεται καὶ ὁμῶς καταρωμένους εὐλογεῖ, τύπτουσιν συγχωρεῖ,
διώκουσιν ὑποχωρεῖ, μὴ ἀσπαζομένους ἀσπάζεται, τοῖς οὐκ ἔχουσιν ὧν
ἔχει κοινωνεῖ, ὀργιζόμενον πείθει, τὸν ἐχθρὸν διαλλάσσει, τὸν ἀπειθῆ
παρακαλεῖ, τὸν ἄπιστον κατηχεῖ, τὸν πενθοῦντα παραμυθεῖται, ἐπηρεαζό-
μενος στέγει, ἀχαριστούμενος οὐκ ἀγανακτεῖ. εἰς δὲ τὸ ἀγαπᾶν τὸν πλη-
σίον ὡς ἑαυτὸν ἀποδεδωκὼς πενίαν οὐ πεφόβηται, ἀλλὰ τὰ ἑαυτοῦ
μερίζων τοῖς οὐκ ἔχουσιν πένης γίνεται. ἀλλ' οὐδὲ μὴν ἁμαρτάνοντας
τιμωρεῖ. ὁ γὰρ τὸν πλησίον ἀγαπῶν ὡς ἑαυτὸν ὡς αὐτὸς ἁμαρτήσας
οἶδεν τιμωρηθῆναι μὴ θέλειν, οὕτως οὐδὲ τοὺς ἁμαρτάνοντας τιμωρεῖ.
καὶ ὡς θέλει κολακεύεσθαι καὶ εὐλογεῖσθαι καὶ τιμᾶσθαι καὶ πάντα τὰ
ἁμαρτήματα αὐτῷ συγχωρεῖσθαι, τοῦτο αὐτὸς τῷ πλησίον ποιεῖ, ὡς
ἑαυτὸν ἐκεῖνον ἀγαπῶν. ἑνὶ λόγῳ, ὃ θέλει ἑαυτῷ, θέλει καὶ τῷ πλη-
σίον. οὗτος γάρ ἐστι θεοῦ νόμος καὶ προφητῶν, αὕτη τῆς ἀληθείας ἡ
διδασκαλία. καὶ ταῦτα μὲν ἀγάπη ἡ πρὸς πάντα ἄνθρωπον τελεία τὸ
ἄρρεν μέρος ἐστὶν οὖσα τῆς φιλανθρωπίας, τὸ δὲ ἐλεεῖν τὸ θῆλυ μέρος
ἐστὶν αὐτῆς. ὅπερ ἐστὶν πεινῶντα θρέψαι καὶ ποτὸν διψῶντι παρασχεῖν
καὶ γυμνὸν ἐνδῦσαι καὶ νοσοῦντα ἐπισκέψασθαι καὶ ξένον δέξασθαι, τῷ

ἐν εἰρκτῇ κατὰ τὸ δυνατὸν ἐπιφαινόμενον βοηθεῖν, ἁπαξαπλῶς τὸν ἐν συμφοραῖς ἐλεῆσαι. ἐγὼ δὲ ἀκούσας ἔφην· Ταῦτα μὲν δυνατὸν πράττειν, ἐχθροὺς δὲ εὐεργετεῖν, πᾶσαν αὐτῶν ὑποφέροντα ἐπήρειαν, οὐκ οἴομαι δυνατὸν ἀνθρωπείᾳ προσεῖναι φύσει. καὶ ὁ Πέτρος ἀπεκρίνατο· Ὀρθῶς ἔφης· ἀθανασίας γὰρ αἰτία οὖσα ἡ φιλανθρωπία πολλοῦ δίδοται. κἀγὼ ἔφην· Πῶς οὖν σύνεστιν ἐν νῷ λαβεῖν; καὶ ὁ Πέτρος ἀπεκρίνατο· Ταύτην, ὦ φίλε Κλήμης, λαβεῖν ἔστιν, ἐὰν πληροφορηθῇ τις ὅτι οἱ ἐχθροὶ πρὸς καιρὸν κακουχοῦντες οὓς μισοῦσιν, αἰωνίου κο-
λάσεως ἀπαλλαγῆς αὐτοῖς αἴτιοι γίνονται· προσέτι δὲ αὐτοὺς ὡς εὐερ-
γέτας σφόδρα ἀγαπήσουσιν. ἡ δὲ ὁδὸς τοῦ ταύτην λαβεῖν, ὦ φίλε Κλή-
μης, μία τίς ἐστιν, ἥπερ ἐστὶν φόβος θεοῦ. ὁ γὰρ θεὸν φοβούμενος τὸν πλησίον ὡς ἑαυτὸν ἀγαπᾶν μὲν κατ' ἀρχὰς οὐ δύναται (ἐπεὶ τὸ τοιοῦτο κελεύσει οὐ προσέρχεται τῇ ψυχῇ), τῷ μέντοι πρὸς θεὸν φόβῳ τὰ ἀγαπώντων ποιεῖν δύναται καὶ εἶθ' οὕτως πράξαντι τὰ ἀγάπης τὸ ἀγαπᾶν ὡς νύμφη οὖσα προσφέρεται ὡς νυμφίῳ τῷ φόβῳ καὶ οὕτως τοὺς φιλανθρώπους τίκτουσα λογισμοὺς ἀθάνατον τίθησιν τὸν κεκτημένον
ὡς εἰκόνα θεοῦ ὁμοίαν, ὑπὸ φθορᾶς ὑβρισθῆναι μὴ δυναμένην τὴν αὐτοῦ φύσιν. ὁμῶς τὸν τῆς φιλανθρωπίας ἐκθεμένου ἡμῖν λόγον, ἐσπέ-
ρας ἐπικαταλαβούσης, εἰς ὕπνον ἐτράπημεν.

[ΟΜΙΛΙΑ ΙΓ.]

Ὄρθρου δὲ γενομένου εἰσιὼν ὁ Πέτρος ἔφη· Ὁ μὲν Κλήμης μετὰ τῆς αὐτοῦ μητρὸς Ματτιδίας καὶ τῆς ἐμῆς γυναικὸς ἅμα ἐπὶ τοῦ ὀχήματος καθεζέσθωσαν. καὶ ὁμῶς οὕτως ἐγένετο. ὁρμώντων δὲ ἡμῶν τὴν ἐπὶ Βαλαναίας ὁδὸν ἐπύθετό μου ἡ μήτηρ πῶς ὁ πατὴρ διάγει. κἀγὼ ἔφην· Ἐπὶ τὴν ζήτησίν σου καὶ τῶν διδύμων ἀδελφῶν μου Φαυστίνου τε καὶ Φαυστινιανοῦ ἐκβὰς ἀνεύρετός ἐστιν. οἶμαι δὲ ἐκ τοῦ πλείστου τελευτῆσαι αὐτόν, ἢ ναυφραγίῳ περιπεσόντα ἢ ἐν ὁδῷ σφαλέντα ἢ ὑπὸ λύπης μαρανθέντα. ἡ δὲ ἀκούσασα καὶ ἐπίδακρυς γενομένη
ἐστέναξεν λυπηθεῖσα, τῇ δὲ πρὸς ἐμὲ εὑρέσει χαίρουσα τὴν ἐκ τῆς ὑπομνήσεως λύπην μετρίως ἀπήμβλυνεν. ὁμῶς οὖν κατηντήσαμεν εἰς Βαλαναίας. τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ εἰς Πάλτον ἤλθαμεν κἀκεῖθεν εἰς Γάβαλα, τῇ δὲ ἑτέρᾳ κατηντήσαμεν εἰς Λαοδίκειαν. καὶ ἰδοὺ πρὸ τῶν θυρῶν Νικήτης καὶ Ἀκύλας ἀπήντων ἡμῖν καὶ καταφιλήσαντες ἦγον ἐπὶ
τὴν ξενίαν. ὁ δὲ Πέτρος καλὴν καὶ μεγάλην πόλιν ἰδών· Ἄξιον, ἔφη, ἐνταῦθα ἡμερῶν ἐπιμεῖναι· ὡς γὰρ ἐπίπαν τὸ πλῆθος δυνατώτερόν ἐστιν τίκτειν τοὺς ζητουμένους. ὁ μὲν οὖν Νικήτης καὶ Ἀκύλας ἐπυνθά-
νοντό μου τίς εἴη αὕτη ἡ ξένη γυνή. κἀγὼ ἔφην· Ἐμὴ μήτηρ, ἣν ἐπιγνῶναί μοι ὁ θεὸς διὰ Πέτρου τοῦ κυρίου μου ἐδωρήσατο.

Ταῦτά μου εἰπόντος ὁ Πέτρος πάντα αὐτοῖς ἐπὶ κεφαλαίων ἐξέθετο, ὡς ἅμα αὐτοὺς προοδεῦσαι ἐγὼ Κλήμης τὸ ἐμὸν γένος αὐτῷ ἐξεθέ-
μην καὶ τῆς μητρὸς τὴν ἐκ τῆς τοῦ ὀνείρου πλαστῆς προφάσεως μετὰ τῶν
διδύμων αὐτῆς τέκνων γενομένην ἀποδημίαν, ἔτι τε καὶ τοῦ πατρὸς τὴν
ἐπὶ ζήτησιν αὐτῆς ἀποδημίαν, ἔπειτα καὶ ὡς αὐτὸς Πέτρος μετὰ τὸ ἀκοῦσαι ταῦτα εἰσελθὼν εἰς τὴν νῆσον καὶ τῇ γυναικὶ συντυχὼν καὶ προσαιτοῦσαν ἰδὼν καὶ τοῦ προσαιτεῖν τὴν αἰτίαν πυθόμενος, ἔγνω αὐτῆς
γένος, ἀνατροφήν, τὸν πλαστὸν ὄνειρον καὶ τῶν τέκνων τὰ ὀνόματα ἐμοῦ τε τοῦ καταλειφθέντος παρὰ τῷ πατρὶ καὶ τῶν αὐτῇ συμπορευθέντων διδύμων τέκνων, καὶ ὡς ἐν βυθῷ ὑπενοεῖτο τεθνηκέναι. τούτων οὖν κεφαλαιωδῶς ·ηθέντων ὑπὸ Πέτρου, ὁ Νικήτης καὶ ὁ Ἀκύλας ἐκπλαγέντες ἔλεγον· Ἀρά γε, δέσποτα καὶ κύριε τῶν ἁπάντων, τοῦτο

ἀληθὲς ἢ ὄνειρός ἐστιν; καὶ ὁ Πέτρος ἔφη· Εἰ μὴ κοιμώμεθα, ἀληθὲς τυγχάνει. οἱ δὲ βραχὺ μείναντες καὶ σύννοες γενόμενοι ἔφασαν· Ἡμεῖς
ἐσμεν Φαυστῖνος καὶ Φαυστινιανός, καὶ ἀπ' ἀρχῆς σου διαλεγομένου ἀλλήλοις ἐμβλέποντες πολλὰ περὶ ἑαυτῶν κατεστοχαζόμεθα μὴ ἄρα οὐχ ἡμῖν διαφέρει τὰ λεγόμενα, λογιζόμενοι ὅτι πολλὰ παρόμοια γίνεται ἐν τῷ βίῳ· διὸ ἐσιωπῶμεν παλλόμενοι τὰς καρδίας. πρὸς δὲ τὸ τέλος τοῦ λεγομένου ἀποβλέψαντες ὅτι ἡμῖν διαφέρει τὰ λεγόμενα, τότε
ἑαυτοὺς ὡμολογήσαμεν. καὶ τοῦτ' εἰπόντες μετὰ δακρύων ἐπεισῆλθαν τῇ μητρὶ καὶ κοιμωμένην εὑρόντες ἤδη περιπλέκεσθαι ἐβούλοντο. ὁ δὲ Πέτρος ἐκώλυεν αὐτοὺς εἰπών· Ἐάσατέ με προσαγωγῶς ὑμᾶς παραστῆσαι
τῇ μητρί, μήπως ὑπὸ τῆς πολλῆς αἰφνιδίου χαρᾶς εἰς ἔκστασιν ἔλθῃ φρενῶν, ἅτε δὴ κοιμωμένη καὶ τὸ πνεῦμα ὑπὸ τοῦ ὕπνου ἀπησχολημένον
ἔχουσα.

Ὁμῶς ἐπεὶ κόρον ἔσχεν ὕπνου, διεγερθείσῃ τῇ μητρὶ ὁ Πέτρος ἤρξατο
προσαγωγῶς λέγειν· Γινώσκειν σε θέλω, γύναι, τῆς ἡμετέρας θρησκείας
τὴν πολιτείαν. ἡμεῖς ἕνα θεὸν σέβομεν τὸν πεποιηκότα ὃν ὁρᾷς κόσμον καὶ
τούτου φυλάσσομεν τὸν νόμον περιέχοντα ἐν πρώτοις αὐτὸν σέβειν μόνον
καὶ τὸ αὐτοῦ ἁγιάζειν ὄνομα τιμᾶν τε γονεῖς καὶ σωφρονεῖν βιοῦν τε δι-
καίως. πρὸς τούτοις δὲ ἀδιαφόρως μὴ βιοῦντες τραπέζης ἐθνῶν οὐκ ἀπολαύομεν, ἅτε δὴ οὐδὲ συνεστιᾶσθαι αὐτοῖς δυνάμενοι διὰ τὸ ἀκαθάρ-
τως αὐτοὺς βιοῦν. πλὴν ὁπόταν αὐτοὺς πείσωμεν τὰ τῆς ἀληθείας φρονεῖν
τε καὶ ποιεῖν βαπτίσαντες αὐτοὺς τρισμακαρίᾳ τινὶ ἐπονομασίᾳ, τότε αὐτοῖς συναλιζόμεθα. ἐπεὶ οὐδ' ἂν πατὴρ ἢ μήτηρ τυγχάνῃ ἢ γυνὴ ἢ τέκνον ἢ ἀδελφὸς ἢ ἄλλος τις ἐκ φύσεως στοργὴν ἔχων, συνεστιᾶσθαι αὐτῷ
τολμᾶν δυνάμεθα· θρησκείᾳ γὰρ διαφερόντως τοῦτο ποιοῦμεν. μὴ οὖν ὕβριν ἡγήσῃ τὸ μὴ συνεστιᾶσθαί σοι τὸν υἱόν, μέχρις ἂν τὰ αὐτὰ αὐτῷ
φρονῇς καὶ ποιῇς. ἡ δὲ ἀκούσασα ἔφη· Τί οὖν κωλύει σήμερόν με βαπτι-

σθῆναι; ἥτις πρὸ τοῦ σε ἰδεῖν τοὺς λεγομένους θεοὺς ἀπεστράφην λογισμῷ
τούτῳ ὅτι πολλὰ σχεδὸν καθ' ἡμέραν θυούσῃ αὐτοῖς ἐν ταῖς ἀνάγκαις οὐ
παρεστάθησάν μοι. περὶ δὲ μοιχείας τί δεῖ καὶ λέγειν; ὁπότε οὐδὲ ὅτε
ἐπλούτουν, τρυφή με τοῦτο ἠπάτησεν, οὐδὲ ἡ μετὰ ταύτην πενία ἐπὶ τοῦτο
ἐλθεῖν ἀναγκάσαι δεδύνηται ἀντιποιουμένης μου τῆς σωφροσύνης ὡς
μεγίστου κάλλους, ἧς ἕνεκα εἰς τοσαύτην ἦλθον περίστασιν. ἀλλ' οὐδὲ οἶμαί
σε, κύριέ μου Πέτρε, ἀγνοεῖν ὅτι ἡ πλείων ἐπιθυμία ἐξ εὐθυμιῶν γίνεται.
ὅθεν ἐγὼ ἐν εὐθυμίᾳ σωφρονέσασα, ἐν δυσθυμίᾳ πρὸς ἡδονὰς ἐμαυτὴν οὐκ
ἀποδίδωμι. ἀλλὰ μηδὲ νῦν μου κακουχίας ἀπηλλάχθαι νομίσῃς τὴν ψυχὴν
τὴν ποσῶς παραμυθίας τυχοῦσαν διὰ τὴν Κλήμεντος ἐπίγνωσιν. ἀντεισερ-
χομένη γὰρ ἡ ἐκ τῶν δύο τέκνων μου ἀπώλεια καὶ τὴν ποσῶς ἀμαυροῖ χαράν.
παραμυθήσομαι γὰρ περὶ αὐτῶν ὅτι ἐν θαλάσσῃ διεφώνησαν, ἀλλ' <οὐχ>
ὅτι πρὸς τούτοις ἐκτὸς τειχῶν θρησκείας θεοῦ φθαρέντες τὰ σώματα καὶ
τὰς ψυχὰς ἀπώλοντο. ὁ δὲ τούτων πατήρ, ἐμὸς δὲ σύμβιος (ὡς παρὰ Κλή-
μεντος ἔμαθον) ἐπί τε τὴν ἐμὴν καὶ τὴν τῶν υἱῶν ζήτησιν ἐκβάς, τοσούτοις
ἔτεσιν ἀφανής ἐστιν, πάντως δὲ ἐτελεύτησεν· καὶ γὰρ ὁ ταλαίπωρος ὑπὸ
σωφροσύνης με ἀγαπῶν φιλότεκνος ἦν. ὅθεν πάντων ἡμῶν ὑπὲρ πάντα
αὐτῷ ἠγαπημένων στερηθεὶς ὁ γέρων ὑπὸ μεγίστης ἀθυμίας διεφώνησεν.

Τῆς μητρὸς ταῦτα λεγούσης κατὰ τὴν Πέτρου παραίνεσιν ἀκούοντες
οὐκέτι στέγειν ἐδύναντο οἱ παῖδες, ἀλλ' ἐγερθέντες περιεπλέκοντο αὐτῇ
πολλὰ δακρύοντες καὶ καταφιλοῦντες. ἡ δὲ ἔφη· Τί θέλει τοῦτο εἶναι;
καὶ ὁ Πέτρος ἀπεκρίνατο· Παράστησον, ὦ γύναι, γενναίως τὸν νοῦν σου, ὅπως

τῶν σῶν ἀπολαύσῃς τέκνων. οὗτοι γάρ εἰσιν Φαυστῖνος καὶ Φαυστι-
νιανὸς οἱ υἱοί σου, οὓς ἐν βυθῷ τεθνάναι ἔλεγες. πῶς δὲ ζῶσιν ἐπὶ σοῦ
θανόντες ἐν τῇ χαλεπωτάτῃ ἐκείνῃ νυκτί, καὶ πῶς νῦν ὁ μὲν αὐτῶν Νικήτης
λέγεται, ὁ δὲ Ἀκύλας, αὐτοί σοι εἰπεῖν δυνήσονται· σὺν σοὶ γὰρ ἡμεῖς μα-
θεῖν ἔχομεν. ταῦτα τοῦ Πέτρου εἰπόντος ἡ μήτηρ χαρεῖσα σφόδρα ὑπὸ
ἐκλύσεως ὀλίγου διεφώνει. ὅτε δὲ αὐτὴν ἀνεκτησάμεθα, ἐκαθέσθη καὶ ἑαυτῆς
γενομένη ἔφη· Παρακαλῶ, τέκνα μου ποθεινά, εἴπατέ μοι τὰ μετὰ τὴν χα-
λεπὴν ἐκείνην νύκτα συμβάντα ὑμῖν.

Καὶ ὁ Νικήτης ἤρξατο λέγειν· Τῆς αὐτῆς ἐκείνης νυκτός, τοῦ πλοίου,
ὡς οἶσθα, διαλυομένου, ἡμᾶς ἄνδρες τινὲς ἐν τῷ βυθῷ λῃστεύειν μὴ φοβού-
μενοι ἀνείλαντο καὶ ἐν σκάφῃ θέντες καὶ κώπαις ἐλαύνοντες ὁτὲ μὲν παρὰ
γῆν ἔφερον, ὁτὲ δὲ καὶ τροφὰς μεταπεμπόμενοι εἰς τὴν Στράτωνος ἦγον Και-
σάρειαν· κἀκεῖ δακρύοντας ἡμᾶς λιμῷ φόβῳ τε καὶ πληγαῖς, ὅπως μή τι
προπετὲς λαλήσωμεν τῶν αὐτοῖς μὴ δοκούντων, ἔτι τε καὶ τὰ ὀνόματα ἡμῶν
ἀλλάξαντες, πωλῆσαι ἠδυνήθησαν. γυνὴ δέ τις Ἰουδαίοις προσήλυτος,
ἀξιόλογος πάνυ, ὀνόματι Ἰοῦστα, ὠνησαμένη ἡμᾶς εἰς τέκνων ἐφύλαττεν
τόπον καὶ πάσῃ ἑλληνικῇ παιδείᾳ μετὰ σπουδῆς ἐξεπαίδευσεν. ἡμεῖς δὲ ἐφ'
ἡλικίας ἔμφρονος γενόμενοι καὶ τὴν θρησκείαν ἠγαπήσαμεν καὶ τὰ τῆς παι-
δείας ἐφιλοπονέσαμεν, ὅπως πρὸς τὰ λοιπὰ ἔθνη διαλεγόμενοι ἐλέγχειν
αὐτὰ περὶ πλάνης δυνώμεθα. ἀλλὰ καὶ τὰ φιλοσόφων ἠκριβώσαμεν, ἐξαιρέ-
τως δὲ τὰ ἀθεώτατα, λέγω δὲ τὰ Ἐπικούρου καὶ Πύρρωνος, ἵνα μᾶλλον
ἀνασκευάζειν δυνώμεθα. Σίμωνι δέ τινι μάγῳ σχεδὸν σύντροφοι γενό-

μενοι, φιλίας ὁδῷ ἀπατηθῆναι ἐκινδυνεύσαμεν. ἔστιν δέ τις περὶ ἀνθρώ-
που τινὸς λόγος, οὗ φανέντος ἐν βασιλείᾳ τῶν θεοσεβησάντων ὄχλος
ἀθανάτως καὶ ἀλύπως βιῶσαι ἔχει· ὅμως ταῦτα μέν σοι, μῆτερ, ἐπὶ
καιροῦ ἀκριβέστερον ἐκτεθήσεται. πλὴν μέλλουσιν ἡμῖν ἀπατᾶσθαι ὑπὸ
τοῦ Σίμωνος ἑταῖρός τις τοῦ κυρίου ἡμῶν Πέτρου, Ζακχαῖος λεγόμενος,
προσηκάμενος ἐνουθέτησεν μὴ ἀπατηθῆναι τῷ μάγῳ, ἐπελθόντι δὲ τῷ
Πέτρῳ προσήγαγεν, ὅπως ἡμᾶς πληροφορήσας πείσῃ περὶ τῶν τῇ θεο-
σεβείᾳ διαφερόντων. διὸ καὶ σέ, μῆτερ, εὐχόμεθα ἵνα ὧν ἡμεῖς κατηξιώ-
θημεν ἀγαθῶν, τούτων καὶ σὺ μεταλάβῃς, ὅπως κοινῇ ἁλῶν καὶ τραπέζης
μεταλαβεῖν δυνηθῶμεν. αὕτη οὖν ἐστιν ἡ αἰτία, τεκοῦσα, δι' ἣν ἐνόμιζες ἡμᾶς
τεθνάναι, τῷ ἐκείνῃ τῇ χαλεπωτάτῃ νυκτὶ ὑπὸ πειρατῶν ἀρθῆναι ἐν πελάγει,
σὲ δὲ νομίζειν ἡμᾶς ἀπολωλέναι.

Ταῦτα τοῦ Φαυστίνου εἰπόντος ἡ μήτηρ ἡμῶν προσέπεσεν τῷ Πέτρῳ,
δεομένη καὶ ἀξιοῦσα ὅπως αὐτήν τε καὶ τὴν ξενοδόχον αὐτῆς μεταπεμψά-
μενος ἐξαυτῆς βαπτίσῃ, ἵνα (φησίν) μηδεμία τις ἡμέρα ἄμοιρος γένηται,
ἀφ' ἧς τὰ ἐμαυτῆς ἀπέλαβον τέκνα, ἐν ᾗ μὴ συνεστιάσθην αὐτοῖς. ταὐτὰ
οὖν καὶ ἡμῶν τῇ μητρὶ συνπαρακαλεσάντων, ὁ Πέτρος ἔφη· Τί νομίζετε;
ἐγὼ μόνος ἄσπλαγχνός εἰμι ὅτι μὴ βούλομαι ὑμᾶς συνεστιασθῆναι τῇ
μητρί, βαπτίσας αὐτὴν σήμερον; ἀλλὰ κἂν μίαν ἡμέραν πρὸ τοῦ βαπτισθῆ-
ναι νηστεῦσαι αὐτὴν δεῖ. καὶ ταῦτα ἐπεὶ ἁπλῶς τινα ὑπὲρ ἑαυτῆς
ἐφθέγξατο, ὃν ἐγὼ τῆς πίστεως αὐτῆς ἱκανὸν ἑρμηνέα συνεῖδον· ἐπεὶ πολ-
λῶν ἡμερῶν αὐτὴν ἀφελληνισθῆναι ἔδει. κἀγὼ ἔφην· Εἰπὲ ἡμῖν τίνα
ἐφθέγξατο λόγον, ὃς τὴν πίστιν αὐτῆς ἐξέφανεν. καὶ ὁ Πέτρος ἔφη·
Ἡ ἀξίωσις αὐτῆς τοῦ συνβαπτισθῆναι αὐτῇ τὴν ξενοδόχον εὐεργέτιν.
οὐκ ἂν δὲ τοῦτο τῇ ὑπ' αὐτῆς ποθουμένῃ δοθῆναι παρεκάλει, εἰ μὴ πρό-
τερον αὐτὴ διετέθη ὡς ἐπὶ μεγάλῃ τῇ τοῦ βαπτίσματος δωρεᾷ. ὅθεν

ἐγὼ πολλῶν καταγινώσκω, ὁπόταν βαπτισθέντες καὶ πιστεύειν λέγοντες
μηδὲν ἄξιον πίστεως ποιῶσιν μηδὲ οὓς ἀγαπῶσιν (λέγω δὴ γυναῖκας
αὐτῶν ἢ υἱοὺς ἢ φίλους) πρὸς τοῦτο προτρέπωνται. εἰ γὰρ πεπιστεύκασιν
ζωὴν αἰώνιον σὺν ἔργοις καλοῖς δωρεῖσθαι τὸν θεόν, ἀνυπερθέτως οὓς
ἠγάπων προετρέποντο βαπτισθῆναι. ἀλλ' ἐρεῖ τις ὑμῶν· Ἀγαπῶσιν αὐτοὺς
καὶ φροντίζουσιν αὐτῶν. τοῦτο εὔηθές ἐστιν. ἐπεὶ τί δήποτε νοσοῦντας
ὁρῶντες ἢ ἀπαγομένους τὴν ἐπὶ θανάτῳ ἢ ἄλλα τινὰ χαλεπὰ πάσχοντας
ὀδύρονται καὶ ἐλεῶσιν; οὕτως εἰ πεπιστεύκεισαν αἰώνιον πῦρ μένειν τοὺς
τὸν θεὸν μὴ σέβοντας, οὐκ ἂν ἐπαύσαντο νουθετοῦντες ἢ καὶ ἀπειθοῦντας
ὁρῶντες ὡς περὶ ἀπίστων ὀδυνώμενοι, τὴν κατ' αὐτῶν κόλασιν πεπληροφορη-
μένοι. καὶ τὰ νῦν τὴν ξενοδόχον πέμψας ἀνακρινῶ, εἰ τὸν νόμον τὸν δι' ἡμῶν
ἀγαπᾶν αἱρεῖται, καὶ οὕτως ἀκολούθως ἃ δεῖ πράξομεν. ἡ δὲ μήτηρ ὑμῶν
ἐπειδὴ πιστῶς διάκειται περὶ τοῦ βαπτίσματος, κἂν μίαν πρὸ τοῦ βαπτίσμα-
τος νηστευσάτω ἡμέραν. ἡ δὲ ὤμνυεν· Δύο τῶν διελθουσῶν ἡμερῶν,
τῇ γυναικὶ τὰ κατὰ τὸν ἀναγνωρισμὸν διηγουμένη, ὑπὸ τῆς πολλῆς χαρᾶς
τροφῆς μεταλαβεῖν οὐκ ἠδυνήθην ἢ ἐχθὲς μόνον βραχέος ὕδατος. ἐμαρ-
τύρησέ τε τῷ ὅρκῳ ἡ γυνὴ Πέτρου λέγουσα· Ἀληθῶς οὐκ ἐγεύσατο. καὶ ὁ
Ἀκύλας (μᾶλλον δὲ τοῦ λοιποῦ Φαυστινιανός) ἔφη· Οὐκοῦν οὐδὲν κωλύει
αὐτὴν βαπτισθῆναι. καὶ ὁ Πέτρος γελάσας ἀπεκρίνατο· Ἀλλ' οὐκ ἔστιν
τοῦτο νηστεία βαπτίσματος, ὃ μὴ δι' αὐτὸ γέγονεν. καὶ ὁ Φαυστῖνος ἀπε-
κρίνατο· Ἴσως οὖν ὁ θεὸς βουλόμενος ἡμῶν τὴν μητέρα μηδεμίαν ἡμέραν
τῆς ἡμῶν ἐπιγνώσεως χωρίσαι τῆς τραπέζης προῳκονόμησεν τὴν

νηστείαν. ὡς γὰρ ἐσωφρόνησεν ἐν ἀγνοίᾳ, τὸ πρέπον τῆς ἀληθείας ποιήσασα, οὕτως καὶ νῦν ὁ θεὸς ἴσως ᾠκονόμησεν αὐτὴν πρὸ μιᾶς νηστεῦσαι ἐν ἀγνοίᾳ ὑπὲρ τοῦ ἀληθοῦς βαπτίσματος, ἵνα ἀπὸ πρώτης ἡμέρας τοῦ γνωρίσαι ἡμᾶς σὺν ἡμῖν ἁλῶν μεταλαβεῖν δυνηθῇ. καὶ ὁ Πέτρος ἔφη· Μὴ ἡμᾶς νικάτω ἡ κακία, πρόφασιν εὑροῦσα τὴν πρόνοιαν καὶ τεκούσης στοργήν, ἀλλὰ μᾶλλον ὑμεῖς κἀγὼ σὺν ὑμῖν τὴν σήμερον διαμείνωμεν, καὶ αὔριον βαπτισθήσεται. οὐδὲ γὰρ ἡ ὥρα τῆς σήμερον ἡμέρας ἐπιτήδειός ἐστιν εἰς βάπτισμα. καὶ ὁμῶς οὕτως γενέσθαι οἱ πάντες συνευδοκήσαμεν.

Αὐτῆς οὖν ἐσπέρας τῆς Πέτρου οἱ πάντες διδασκαλίας ἀπηλαύομεν, δεικνύντος ἡμῖν ἐκ τῆς κατὰ τὴν μητέρα προφάσεως τίνι λόγῳ τὰ τέλη τῆς σωφροσύνης καλά, τὰ δὲ τῆς μοιχείας χαλεπὰ ὄντα ὅλῳ γένει ὄλεθρον ποιεῖν φύσιν ἔχει, κἂν μὴ ταχέως, ἀλλ' οὖν γε κἂν βραδέως. ἐπὶ τοσοῦτον δέ (φησίν) τὰ τῆς σωφροσύνης ἀρέσκει τῷ θεῷ, ὅτι καὶ τοῖς ἐν πλάνῃ οὖσιν βραχεῖάν τινα ὑπὲρ αὐτῆς ἐν τῷ νῦν βίῳ ἀπονέμει χάριν (ἡ γὰρ ἐκεῖ σωτηρία μόνοις τοῖς διὰ τὴν εἰς αὐτὸν ἐλπίδα βαπτισθεῖσιν καὶ σωφρόνως δικαιοπραγοῦσιν ἀποδίδοται), ὥσπερ ἐγνώκατε ἐπὶ τῆς ὑμετέρας μητρὸς γενόμενα, λέγω δὴ τὰ ἐπὶ τέλει καλά. ἴσως δὲ εἰ ἐμοιχήσατο, ἀνῄρητο ἄν. διὸ σωφρονέσασαν ἐλεήσας ὁ θεὸς τὸν κατ' αὐτῆς ἀπέστρεψεν φόνον καὶ τὰ ἀφαιρεθέντα τέκνα ἀπέδωκεν. ἀλλ' ἐρεῖ τις ἴσως· Πόσοι διὰ σωφροσύνην ἀπώλοντο; φημὶ ἀναισθησίας αἰτίᾳ. χρὴ γὰρ τὴν αἰσθανομένην γενομένου τινὸς ἐραστοῦ παρ' αὐτὸ φυγεῖν τὴν πρὸς αὐτὸν ἐπιμιξίαν ὡς πῦρ φλέγον ἢ λυσσῶντα κύνα. ὅνπερ τρόπον ἐποίησεν ἡ ὑμᾶς τεκοῦσα, τὸ τῆς σωφροσύνης ὄντως ἀγαπήσασα καλόν· διὸ φυλαχθεῖσα σὺν ὑμῖν αἰωνίου βασιλείας ἔλαβεν τὴν ἐπίγνωσιν. ἡ σωφρονεῖν βουλο-

μένη γυνὴ εἰδέναι ὀφείλει ὅτι φθονουμένη ὑπὸ κακίας προφάσει ἔρωτος πολλοὺς ἔχει τοὺς ἐπιβούλους, μιᾷ δὲ τῇ πρὸς τὸ σωφρονεῖν ἐνστάσει σεμνὴ μείνασα τὴν κατὰ πάντων νίκην λαβοῦσα σωθῆναι ἔχει.
καὶ γὰρ εἰ πάντα καλὰ διαπράξαιτό τις, μιᾷ τῇ πρὸς τὸ μοιχήσασθαι ἁμαρ-
τίᾳ κολασθῆναι δεῖ, <ὡς> ὁ προφήτης ἔφη. ἡ σώφρων γυνὴ τὸ τοῦ θεοῦ θέλημα ποιοῦσα τῆς αὐτοῦ πρώτης κτίσεως ἀγαθὴ ὑπόμνησις γίνε-
ται, ὅτι εἷς ὢν ὁ θεὸς ἑνὶ ἀνθρώπῳ μίαν ἔκτισε γυναῖκα. ἔτι δὲ μᾶλλον
σώφρων μένει, ἐὰν τῆς κτίσεως μὴ ἐπιλανθάνηται καὶ τὴν κόλασιν προ-
βλέπῃ καὶ τῶν αἰωνίων ἀγαθῶν τὴν ζημίαν μὴ ἀγνοῇ. ἡ σώφρων γυνὴ ἐπὶ τοῖς σόζεσθαι θέλουσιν ἡδομένη παράδειγμα εὐσεβὲς τοῖς θεο-
σεβοῦσιν τυγχάνει· ἀγαθοῦ γὰρ βίου νόμος ἐστίν. ἡ σωφρονεῖν θέλουσα τὰς
προφάσεις τῆς λοιδορίας ἐκκόπτει· ἐὰν δὲ μὴ παρέχουσα πρόφασιν λοι-
δορῆται ὡς ὑπὸ ἐχθροῦ, ὑπὸ θεοῦ εὐλογεῖται καὶ ἐκδικεῖται. ἡ σώφρων
τὸν θεὸν ποθεῖ, τὸν θεὸν φιλεῖ, τὸν θεὸν τέρπει, τὸν θεὸν δοξάζει· ἀνθρώ-
ποις πρόφασιν πρὸς λοιδορίαν οὐ παρέχει. ἡ σώφρων γυνὴ τὴν ἐκκλη-
σίαν ἀγαθῇ τιμῇ μυρίζει καὶ ἐπὶ σεμνότητι δοξάζει· ἔτι δὲ καὶ διδα-
σκάλων ἔπαινός ἐστιν καὶ συνεργὸς αὐτοῖς σωφρονοῦσι τυγχάνει. ἡ σώφρων γυνὴ ὡς νυμφίῳ τῷ υἱῷ τοῦ θεοῦ κοσμεῖται, ἐνδεδυμένη τὸ σεμνὸν φῶς. ἔστιν δὲ αὐτῇ κάλλος, ἡ ἐν τῇ ψυχῇ εὐνομία. μύρου δὲ πνέει,
τῆς ἀγαθῆς φήμης. καλὰ φάρεα ἠμφίεσται, τὴν αἰδώ, καὶ τιμίους μαργαρίτας περίκειται, τοὺς σωφρονίζοντας λόγους. λευκὴ δὲ τυγ-
χάνει, ὅταν τὰς φρένας ᾖ λελαμπρυμένη. καλῷ ἐσόπτρῳ ὁρᾷ, εἰς τὸν θεὸν ἐμβλέπουσα. καλῷ κόσμῳ χρῆται, τῷ πρὸς θεὸν φόβῳ τὴν ψυχὴν νουθετοῦσα. καλὴ [ἡ] γυνὴ οὐχ ἡ χρυσῷ πεπεδημένη, ἀλλ' ἡ τῶν προσκαίρων ἐπιθυμιῶν λελυμένη. ἡ σώφρων γυνὴ μεγάλῳ βασιλεῖ
περιπόθητός ἐστιν, αὐτῷ μεμνήστευται, αὐτῷ τετήρηται, ὑπὸ αὐτοῦ ἠγά-
πηται. ἡ σώφρων εἰς τὸ θέλεσθαι προφάσεις οὐ παρέχει ἢ τῷ αὐτῆς ἀνδρί. ἡ σώφρων ὑπὸ ἑτέρου θελομένη λυπεῖται. ἡ σώφρων τὸν ἄν-

δρα ἐνδιαθέτως φιλεῖ καὶ καταφιλεῖ καὶ κολακεύει, ἀρέσκει, δουλεύει,
πρὸς πάντα αὐτῷ πείθεται παρεκτὸς τοῦ ἀπειθεῖν θεῷ. ἡ γὰρ πειθομένη
θεῷ ἄνευ φυλάκων καὶ τὴν ψυχὴν σωφρονεῖ καὶ τὸ σῶμα καθα-
ρεύει. ἀνόητος οὖν πᾶς ἀνὴρ ὁ τὴν ἑαυτοῦ γυναῖκα χωρίζων φό-
βου θεοῦ, ὅτι ἡ θεὸν μὴ φοβουμένη οὐδὲ τὸν ἄνδρα φοβεῖται. ἐὰν
θεὸν τὸν ἀόρατα βλέποντα μὴ φοβῆται, πῶς τὴν ἀόρατον προαίρεσιν
σωφρονήσει; πῶς δὲ σωφρονήσει ἡ μὴ συνερχομένη πρὸς τοὺς σωφρο-
νίζοντας ἀκούειν λόγους; πῶς δὲ καὶ νουθεσίας τύχοι; πῶς δὲ σωφρο-
νήσει ἄνευ φυλάκων, ἐὰν τὴν ἐσομένην κρίσιν τοῦ θεοῦ μὴ διδαχθῇ
μηδὲ τὴν ἐπὶ μικρᾷ ἡδονῇ αἰώνιον ζημίαν πληροφορηθῇ; διὸ τοὐναντίον
ἄκουσαν αὐτὴν πρὸς τὸν σωφρονίζοντα ἀεὶ ἔρχεσθαι λόγον ἀνάγκασον,
κολάκευσον. πολὺ δὲ κρεῖττον, εἰ χειραγωγήσας ἥξεις, ἵνα καὶ αὐτὸς
σώφρων γένῃ· θελήσεις γὰρ σώφρων γενέσθαι, ἵνα γνώσῃ σεμνοῦ γάμου
τὸ τέλος–καὶ οὐκ ὀκνήσεις, εἰ ἀγαπᾷς, λέγω δὴ πατὴρ γενέσθαι, ἴδια
τέκνα φιλεῖν καὶ ὑπὸ ἰδίων φιλεῖσθαι τέκνων. ὁ σώφρονα γυναῖκα ἔχειν
θέλων καὶ αὐτὸς σωφρονεῖ, τὴν ὀφειλομένην εὐνὴν ἀποδίδωσιν, ταύτῃ
συνεστιᾶται, ταύτῃ σύνεστιν, σὺν αὐτῇ πρὸς τὸν σωφρονίζοντα ἔρχεται
λόγον, οὐ λυπεῖ, οὐκ εἰκῆ μάχεται, ἑαυτὸν μισητὸν οὐ ποιεῖ, ἃ δύναται
καλὰ παρέχει, ὧν μὴ ἔχει τῇ κολακείᾳ τὸ λεῖπον ἀποπληροῖ. ἡ σώφρων
γυνὴ κολακευθῆναι οὐκ ἀναμένει, κύριον τὸν ἄνδρα γνωρίζει, πενομένου
τὴν πενίαν φέρει, πεινῶντι συνπεινᾷ, ἀποδημοῦντι συναποδημεῖ, λυπού-
μενον παραμυθεῖται, κἂν προῖκα μείζονα ἔχῃ, ὡς μηδὲν ἔχουσα ὑπόκει-
ται. ὁ δὲ ἀνὴρ κἂν πένητα ἔχῃ γυναῖκα, μεγάλην προῖκα ἡγείσθω
αὐτῆς τὴν σωφροσύνην. ἡ σώφρων γυνὴ αὐταρκείᾳ βρωμάτων καὶ πο-
τῶν χρῆται, ἵνα μὴ λιπανθέντος τοῦ σώματος τῷ βάρει πρὸς ἐπιθυμίας
ἀνόμους κατασπάσῃ τὴν ψυχήν. ἀλλ' ἔτι μὴν σὺν νέοις οὐκ ἰδιάζει καὶ

τοὺς γέροντας ὑποπτεύει, γέλωτας ἀτάκτους ἀπωθεῖται, θεῷ μόνῳ ἑαυτὴν ἀπονέμουσα οὐ σφάλλεται, σεμνοὺς λόγους ἀκούουσα ἥδεται, τοὺς δὲ μὴ ἐπὶ σωφροσύνῃ λεγομένους ἀπωθεῖται. μάρτυς θεός, πολλοὶ φόνοι μοιχεία μία· καὶ τὸ δεινὸν ὅτι τῶν φόνων αὐτῆς τὸ φοβερὸν καὶ ἀσεβὲς οὐ βλέπεται. ὅτι αἵματος χυθέντος νεκρὸν κεῖται σῶμα καὶ τὸ τῆς συμφορᾶς δεινὸν πάντας ἐκπλήσσει, τῆς δὲ μοιχείας οἱ τῆς ψυχῆς φόνοι φοβερώτεροι ὄντες, ἐπεὶ μὴ ἀνθρώποις βλέπεται, τοῖς τολμῶσιν ἄοκνον τὴν ὁρμὴν παρέχουσιν. γνῶθι, ἄνθρωπε, τίνος πνοὴν ἔχεις πρὸς τὸ ζῆν, καὶ οὐ μὴ αὐτὴν μιανθῆναι θελήσεις· ὑπὸ μοιχείας μόνης μιαίνεται ἡ θεοῦ πνοὴ καὶ διὰ τοῦτο αὐτὴ τὸν μιάναντα εἰς πῦρ κατασπᾷ· σπεύδει γὰρ τὸν ὑβριστὴν αἰωνίῳ παραδοῦναι
κολάσει.

Ταῦτα λέγων ὁ Πέτρος, τὴν ἀγαθὴν καὶ σώφρονα Ματτιδίαν ὑπὸ χαρᾶς δακρύουσαν ἰδών, ὡς ἐπὶ ὑποσχέσει τῶν γεγονότων λυπηθῆναι νομίσας ἔφη· Θάρσει, γύναι· πολλῶν πολλὰ κακὰ παθόντων διὰ μοιχείαν
σὺ διὰ σωφροσύνην πέπονθας καὶ διὰ τοῦτο οὐκ ἐτελεύτησας. εἰ δὲ καὶ τεθνήκεις, σεσωσμένην ἂν εἶχες τὴν ψυχήν. πατρίδα Ῥώμην ἔλειπες διὰ σωφροσύνην· ἀλλὰ τῇ ταύτης προφάσει ἀλήθειαν εὗρες, τὸ διάδημα τῆς ἀιδίου βασιλείας. ἐν βυθῷ κεκινδύνευκας καὶ οὐκ ἐτελεύ-
τησας, καὶ εἰ τετελευτήκεις, αὐτός σοι ὁ βυθὸς διὰ σωφροσύνην θνῃσκούσῃ
βάπτισμα ἐγίνετο πρὸς ψυχῆς σωτηρίαν. τέκνων ἀπελείφθης, πρὸς ὀλί-
γον, ἅτινα γνησίας ὄντα σπορᾶς ἐν τοῖς κρείττοσιν εὕρηται. λιμώττουσα
τροφὰς προσῄτησας· ἀλλὰ πορνείᾳ σῶμα σὸν οὐκ ἐμίανας. σῶμα σὸν ἐβα-
σάνισας· ἀλλὰ τὴν ψυχὴν ἔσωσας. μοιχὸν ἔφυγες, ἵνα μὴ κοίτην ἀν-
δρὸς μιάνῃς· ἀλλὰ διὰ τὴν σωφροσύνην ὁ τὴν φυγὴν εἰδὼς θεὸς τὸν ἀνδρὸς ἀποπληρώσει τόπον. λυπηθεῖσα καὶ μονωθεῖσα πρὸς ὀλίγον ἀνδρὸς καὶ τέκνων ἀπελείφθης· ἀλλὰ τούτους πάντας ἀπολιπεῖν εἶχες προθεσμίᾳ θανάτου, κρεῖττον δὲ ὅτι διὰ σωφροσύνην ἐκοῦσα ἀπελείφθης
ἥπερ ἄκουσα μετὰ χρόνον ἐφ' ἁμαρτίαις ἀπωλλύου. πολλῷ οὖν ἄμεινον τὰ πρωτεῖα εἶναι θλιβερά. καὶ γὰρ ὅτε πάρεστιν, ἐλπίδι τοῦ παρελθεῖν οὐ πάνυ λυπεῖ, προσδοκίᾳ δὲ τοῦ κρείττονος καὶ χαίρειν παρέχει. πρὸ πάντων δὲ εἰδέναι σε θέλω πόσον τὸ σωφρονεῖν ἀρέσκει θεῷ. ἡ σώφρων γυνὴ θεοῦ ἐκλογή, θεοῦ εὐδοκία, θεοῦ δόξα, θεοῦ

τέκνον. τοσοῦτον ἀγαθὸν σωφροσύνη, ὅτι εἰ μὴ νόμος ἦν μηδὲ δίκαιον
ἀβάπτιστον εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν, τάχα που τῶν ἐθνῶν
οἱ πεπλανημένοι διὰ σωφροσύνην μόνον σωθῆναι ἐδύναντο. διὰ τοῦτο
λίαν ἀθυμῶ περὶ τῶν ἐν πλάνῃ σωφρονούντων ὅτι ἄνευ ἐλπίδος ἀγαθῆς
σωφρονεῖν ἑλόμενοι πρὸς τὸ βαπτισθῆναι ὀκνηρῶς ἔχουσιν. διὸ οὐ σό-
ζονται, ὅτι δόγμα θεοῦ κεῖται ἀβάπτιστον εἰς τὴν αὐτοῦ βασιλείαν μὴ
εἰσελθεῖν. ταῦτα αὐτοῦ εἰπόντος καὶ τούτων πλείονα εἰς ὕπνον
ἐτράπημεν.

[ΟΜΙΛΙΑ ΙΔ.]

Ὀρθρίτερον δὲ πολλῷ τοῦ καθ' ἡμέραν ὁ Πέτρος διυπνισθεὶς εἰσῄει πρὸς ἡμᾶς καὶ ἐξυπνίσας ἔφη· Φαυστῖνος καὶ Φαυστινιανὸς ἅμα
Κλήμεντι μετὰ τῶν οἰκείων ἀκολουθησάτωσάν μοι, ὅπως ἐν σκεπινῷ τῆς θαλάσσης τόπῳ ἐλθόντες ἐν ἀκατασκόπῳ βαπτίσαι αὐτὴν δυνηθῶ-
μεν. πλὴν ἐπὶ τὸν αἰγιαλὸν γενομένων ἡμῶν μεταξὺ πετρῶν τινων γαληνοῦ καὶ καθαροῦ τόπου εὐπορεσάντων, ἐβάπτισεν αὐτήν. ἡμεῖς δὲ
οἱ ἀδελφοί, τῶν γυναικῶν χάριν ἅμα [ἀδελφῷ] ἄλλοις τισὶν ὑποχωρή-σαντες καὶ λουσάμενοι, ἐλθόντες ἔπειτα τὰς γυναῖκας παρελάβομεν καὶ οὕτως ἐν κρυφαίῳ τόπῳ πορευθέντες εὐχόμεθα. ἔπειτα ὁ Πέτρος τὰς γυναῖκας διὰ τὸν ὄχλον προέπεμψεν, δι' ἄλλης ὁδοῦ ἐπὶ τὴν ξενίαν
ἐλθεῖν κελεύσας, ἀνδρῶν τε μόνοις ἡμῖν συνεῖναι τῇ μητρὶ καὶ ταῖς ἄλλαις γυναιξίν. ἐλθόντες οὖν εἰς τὴν ξενίαν καὶ ἀναμένοντες αὐτὸν ἐλθεῖν
ἀλλήλοις διελεγόμεθα. μετὰ ἱκανὰς δὲ ὥρας ὁ Πέτρος ἐλθών, τὸν ἄρτον ἐπ'
εὐχαριστίᾳ κλάσας καὶ ἐπιθεὶς ἅλας, τῇ μητρὶ πρῶτον ἐπέδωκεν, μετ' αὐτὴν
ἡμῖν τοῖς υἱοῖς αὐτῆς. καὶ οὕτως αὐτῇ συνεστιάθημεν καὶ τὸν θεὸν εὐλογή-
σαμεν.

Τότε λοιπὸν ὁ Πέτρος τὸν ὄχλον εἰσεληλυθότα ἰδὼν καὶ καθεσθεὶς καὶ παρακαθεσθῆναι ἡμᾶς κελεύσας ὑφηγεῖται τὰ πρῶτα πείθων ἡμᾶς τίνι λόγῳ προπέμψας ἡμᾶς ἀπὸ τοῦ βαπτίσματος καὶ αὐτὸς βραδύνας ἐπῆλθεν. τὴν δὲ αἰτίαν ἔλεγεν τοιαύτην. ἅμα τῷ ὑμᾶς (φησίν) ἀποστῆναι,
γέρων συνεισῄει ἐργάτης, περιέργως κλέπτων ἑαυτόν, προκατασκοπήσας
ἡμᾶς (ὡς αὐτὸς ὕστερον ὡμολόγει) πρὸς τὸ ἰδεῖν τί ἂν πράττοιμεν εἰς τὸν σκεπινὸν τόπον εἰσελθόντες. λάθρα ἐκβὰς ἠκολούθησεν. ἐν εὐκαίρῳ
τόπῳ προσελθὼν καὶ προσαγορεύσας ἔφη· Ἐκ πολλοῦ σοι ἀκολουθῶν καὶ συντυχεῖν θέλων ᾐδούμην μήπως ὡς περιέργῳ μοι χαλεπαίνῃς, νῦν

δὲ τὰ ἐμοὶ δοκοῦντα ἀληθῆ, εἰ βούλει, λέγω. κἀγὼ ἀπεκρινάμην· Λέγε ἡμῖν
ὅπερ σοι δοκεῖ καλὸν εἶναι, καὶ ἀποδεξόμεθά σε, κἂν τῷ ὄντι μὴ καλὸν ᾖ τὸ
λεγόμενον, ἐπείπερ ἀγαθῇ προαιρέσει τὸ δοκοῦν σοι καλὸν εἰπεῖν ἠθέ-
λησας. καὶ ὁ γέρων τοῦ λέγειν ἤρξατο οὕτως· Θαλάσσῃ ὑμᾶς
λελουμένους εἰς τὸν ἀπόκρυφον τόπον ὑποχωρήσαντας ἰδών, προσελθὼν
λάθρα κατεσκόπουν τὸ τί ἂν ἐν κρυφαίῳ εἰσιόντες πράττοιτε, καὶ ἐπειδὴ
εὐχομένους εἶδον, ὑπεχώρησα· ἐλεήσας δὲ ὑμᾶς ἀνέμεινα, ὅπως ἐξιοῦ-
σιν προσομιλήσας πείσω μὴ ἀπατᾶσθαι. οὔτε γὰρ θεός ἐστιν οὔτε
πρόνοια, ἀλλὰ γενέσει τὰ πάντα ὑπόκειται, ὡς ἐγὼ ἐφ' οἷς πέπονθα πε-
πληροφόρημαι, ἐκ πολλοῦ ἀκριβῶν τὸ μάθημα. μὴ οὖν ἀπατῶ, τέκνον.
εἴτε γὰρ εὔχῃ εἴτε μή, τὰ ἐκ τῆς γενέσεως πάσχειν ἀνάγκην ἔχεις· εἰ
γὰρ εὐχαί τι ἐδύναντο ἢ τὸ εὖ ποιεῖν, αὐτὸς ἂν ἐν τοῖς κρείττοσιν ἤμην.
καὶ νῦν εἰ μή σε ἀπατᾷ ἡ πενιχρά μου αὕτη ἐσθής, οὐκ ἀπιστήσεις οἷς
λέγω. ἐν πολλῇ βίου ποτὲ ὢν περιουσίᾳ, πολλὰ καὶ θεοῖς ἔθυον
καὶ δεομένοις παρεῖχον, καὶ ὅμως εὐχόμενός τε καὶ εὐσεβῶν τὴν πεπρω-
μένην ἐκφυγεῖν οὐκ ἠδυνήθην. κἀγὼ ἔφην· Τίνα ἐστὶν ἃ πέπονθας;
ὁ δὲ ἀπεκρίνατο· Οὐκ ἀνάγκη λέγειν νῦν, ἴσως ἐπὶ τέλει ἀκούσει τίς τε
ὢν ἐγὼ καὶ τίνων ἐν ποίαις βίου περιστάσεσιν γέγονα. νῦν δὲ ὅτι γε-
νέσει τὰ πάντα ὑπόκειται, πληροφορηθῆναί σε θέλω. κἀγὼ ἔφην·
Εἰ γενέσει τὰ πάντα ὑπόκειται καὶ τοῦτο οὕτως ἔχειν πεπληροφόρησαι,
σεαυτῷ ἐναντία νοῶν συμβουλεύεις. εἰ μὲν γὰρ παρὰ γένεσιν οὐ δυνα-
τὸν οὐδὲ τὸ φρονεῖν, τί ματαιοπονεῖς συμβουλεύων γενέσθαι ὃ γενέσθαι
ἀδύνατόν ἐστιν; ἀλλ' ἔτι μὴν εἰ γένεσις ὑφέστηκεν, μὴ σπεῦδε πείθειν
ἐμὲ μὴ σέβειν τὸν καὶ τῶν ἄστρων δεσπότην, οὗ θέλοντος καὶ μὴ γενέσθαι
τι, γενέσθαι δυνατόν . αἰεὶ γὰρ τὸ ὑποκείμενον τῷ ἡγουμένῳ πείθεσθαι
ἀνάγκην ἔχει. τὸ μέντοι τοὺς νομιζομένους θεοὺς σέβειν γενέσεως ἐπι-
κρατούσης περιττόν ἐστιν. οὔτε γὰρ παρὰ τὸ δοκοῦν τῇ πεπρωμένῃ

τι γίνεται οὔτε αὐτοί τι ποιεῖν δύνανται, τῇ καθόλου [αὐτῶν] ὑποκείμενοι γενέσει. εἰ γένεσις ἔστιν, ἀντίκειται τὸ μὴ πρῶτον ἄρχειν. ὑποκεῖσθαι οὐ δύναται ὡς ἀγένητον ἑαυτοῦ πρεσβύτερον μηδὲν ἔχον .

Τοιαῦτα πρὸς ἀλλήλους λεγόντων ἡμῶν, πολὺς παρέστη ὄχλος. καὶ τότε ἐγὼ εἰς τὸν ὄχλον ἀποβλέπων ἔφην· Ἐγὼ καὶ τὸ ἐμὸν φῦλον ἐκ προγόνων θεὸν σέβειν παρειληφὼς καὶ παράγγελμα ἔχων γενέσει μὴ προσανέχειν (λέγω δὴ τῷ τῆς ἀστρολογίας μαθήματι), διὰ τοῦτο οὐ προσέσχον. ὅθεν ἀστρολογίας μὲν οὔκ εἰμι ἔμπειρος, ὧν δέ εἰμι, ὑφηγήσομαι. ἐπειδὴ γένεσιν ἀπὸ αὐτῆς τῆς κατὰ τὴν γένεσιν ἐπιστήμης ἀνασκευάζειν οὐ δύναμαι, βούλομαι ἄλλῳ τρόπῳ ἀποδεῖξαι ὅτι κατὰ πρόνοιαν διοικεῖται τὰ πράγματα καὶ ἕκαστος πρὸς ἃ πράττει τιμῆς ἢ κολάσεως τεύξεται, εἴτε νῦν εἴτε αὖθις, οὐθέν μοι διαφέρει, πλὴν ὅτι πάντως ἀπολαύσει ἕκαστος ὧν ἔπραξεν. ἡ δὲ ἀπόδειξις τοῦ μὴ εἶναι γένεσίν ἐστιν αὕτη. τῶν παρεστώτων εἴ τις ὀφθαλμῶν ἐστέρηται ἢ κυλλὴν τὴν χεῖρα ἔχει ἢ χωλὸν τὸν πόδα ἢ ἕτερόν τι περὶ σῶμα, ὃ ὑποστροφὴν πρὸς ἴασιν πάλιν οὐκ ἔχει καὶ παντὸς ἰατικοῦ ἐπαγγέλματος ἐκτός ἐστιν, ὃν οὐδὲ ἀστρολόγοι ἰᾶσθαι ἐπαγγέλλονται, ὅτι μὴ ἀπὸ τοῦ μακροῦ αἰῶνος τοιοῦτόν τι γέγονεν, ἐγὼ δὲ θεοῦ δεηθεὶς τὴν ἴασιν παράσχω, ὁπότε ἐκ γενέσεως κατόρθωσιν τὸ τοιοῦτο οὐδέποτε λαβεῖν ἠδυνήθη–τούτου οὕτως γενομένου οὐχ ἁμαρτάνουσιν οἱ τὸν πάντα δημιουργήσαντα θεὸν βλασφημοῦντες; καὶ ὁ γέρων ἀπεκρίνατο· Βλασφημεῖν γάρ ἐστιν τὸ λέγειν γενέσει ὑποκεῖσθαι τὰ πάντα; κἀγὼ ἀπεκρινάμην· Καὶ πάνυ· εἰ γὰρ πᾶσαι αἱ τῶν ἀνθρώπων ἁμαρτίαι καὶ ἀσέβειαι καὶ ἀσέλγειαι ἐξ ἀστέρων γίνονται, οἱ δὲ ἀστέρες ταῦτα ποιεῖν ὑπὸ θεοῦ ἐτάγησαν, ἵνα πάντων χαλεπῶν ἀποτελεστικοὶ γένωνται, αἱ πάντων ἁμαρτίαι εἰς αὐτὸν ἀναφέρονται, τὸν τὴν γένεσιν θέντα ἐν τοῖς ἄστροις. καὶ ὁ γέρων ἀπεκρίνατο· Ἀληθῶς μεγάλως ἔφης, ἀλλὰ πάσῃ σου τῇ ἀπαραβλήτῳ ἀποδείξει ἡ ἐμὴ ἐμποδίζει συνείδησις. ἐγὼ γὰρ ἀστρολόγος ὢν καὶ Ῥώμην πρῶτον οἰκήσας φιλωθείς τινι πρὸς γένους ὄντι Καίσαρος, αὐτοῦ τε καὶ τῆς συμβίου τὴν γένεσιν ἠπιστάμην καὶ ἱστορήσας ἀκολούθως τῇ γενέσει αὐτῶν τὰς πράξεις ἀποτελεσθείσας ἔργῳ σοὶ λόγῳ πείθεσθαι οὐ δύναμαι. ἦν γὰρ τῆς γενέσεως αὐτῆς τὸ διάθεμα ποιοῦν μοι-

χάδας, ἰδίων δούλων ἐρώσας καὶ ἐπὶ ξένης ἐν ὕδασιν θνῃσκούσας. ὃ καὶ
οὕτω γέγονεν. ἐρασθεῖσα γὰρ τοῦ ἰδίου δούλου καὶ μὴ φέρουσα τὸν ψόγον,
φυγοῦσα σὺν αὐτῷ, ἐν ἀλλοδαπῇ ὁρμήσασα καὶ κοινωνήσασα αὐτῷ θα-
λάσσῃ διεφθάρη. κἀγὼ ἀπεκρινάμην· Πῶς γινώσκεις ὅτι ἡ φυγοῦσα ἐν
ἀλλοδαπῇ γενομένη τὸν δοῦλον ἔγημεν καὶ γήμασα ἐτελεύτησεν; καὶ ὁ
γέρων· Ἀσφαλῶς οἶδα τἀληθῆ οὐχ ὅτι ἔγημεν (ὁπότε οὐδὲ ὅτι ἤρα ἐγί-
νωσκον), ἀλλὰ μετὰ τὴν αὐτῆς ἀπαλλαγὴν ὁ ἀδελφὸς ὁ τοῦ ἀνδρὸς αὐτῆς ἐμοὶ
διηγήσατο πάντα τὰ κατὰ τὸν αὐτῆς ἔρωτα καὶ ὡς σεμνὸς ὤν (ἅτε δὴ ὁ ἀδελ-
φός) οὐκ ἐβουλήθη μιᾶναι τὴν κοίτην καὶ πῶς βουλομένη καὶ αἰδουμένη
αὐτὸν καὶ τὸν ψόγον ἡ τάλαινα (οὐκ ἔστιν γὰρ αὐτὴν μέμψασθαι, ὅτι ἐκ
γενέσεως ταῦτα ποιεῖν καὶ πάσχειν ἠναγκάζετο) ὄνειρον εἴτε ἀληθῆ εἴτε
ψευδῆ ἐπλάσατο οὐκ ἔχω λέγειν· ἔλεγεν γὰρ αὐτὴν εἰρηκέναι ὡς ὅτι· Ἐν
ὁράματι ἐπιστάς τις ἐκέλευσέν μοι ἅμα τέκνοις ἐξαυτῆς τὴν Ῥωμαίων
ἐκβῆναι πόλιν. ὁ δὲ ἀνὴρ σόζεσθαι αὐτὴν σὺν τοῖς υἱοῖς σπεύδων αὐτίκα
αὐτοὺς παιδευθησομένους εἰς τὰς Ἀθήνας ἐξέπεμψεν σὺν τῇ μητρὶ καὶ
δούλοις, τρίτον δὲ νεώτερον υἱὸν ἔχων ἔσχεν παρ' αὐτῷ ὡς δὴ τοῦ χρη-
ματίσαντος κατ' ὄναρ συνεῖναι αὐτὸν αὐτῷ ἐπιτρέψαντος. πολλοῦ δὲ χρό-
νου διελθόντος ὡς οὐκ ἔλαβεν γράμματα παρ' αὐτῆς, αὐτὸς πολλάκις
πέμψας εἰς Ἀθήνας, ἐμὲ παραλαβὼν ὡς πάντων αὐτῷ γνησιώτερον
ὄντα, ἐπὶ τὴν ζήτησιν ἐπορεύθη. πολλὰ μὲν οὖν αὐτῷ καὶ κατὰ τὴν ἀπο-
δημίαν συνέκαμον προθύμως, μεμνημένος ὅτι τῆς πάλαι αὐτοῦ εὐδαιμονίας
κοινωνόν με πάντων εἶχεν, ὑπὲρ πάντας αὐτοῦ με τοὺς φίλους ἀγαπῶν.
καὶ δὴ ἀπεπλεύσαμεν αὐτῆς Ῥώμης καὶ οὕτως εἰς τὰ ἐνταῦθα τῆς Συρίας
μέρη ἐγενόμεθα καὶ εἰς Σελεύκειαν παρεβάλομεν καὶ οὕτως ἐκβάντων

ἡμῶν τοῦ πλοίου μετ' οὐ πολλὰς ἡμέρας ἀθυμῶν ἐτελεύτησεν, ἐγὼ δὲ ἐνταῦθα ἐλθών, ἑαυτὸν ἀποδοὺς τὰς διὰ τῶν χειρῶν ἔκτοτε μέχρι τοῦ δεῦρο
πορίζω τροφάς.

Ταῦτα τοῦ γέροντος εἰπόντος συνιδὼν ὅτι, ὃν ἔλεγεν τεθνάναι γέροντα,
αὐτὸς ἦν (ἐξ ὧν ἔλεγεν) ὁ ὑμέτερος πατήρ, οὐκ ἐβουλήθην τὸ καθ' ὑμᾶς αὐτῷ συναντιβαλεῖν, μέχρις ἂν ὑμῖν προσανάθωμαι. πλὴν τὰ κατὰ
τὴν ξενίαν αὐτοῦ καταμαθὼν καὶ τὴν ἐμὴν μηνύσας, ἀκριβείας ἕνεκα τοῦτο μόνον ἐπυθόμην τί ὄνομα τῷ γέροντι; ὁ δὲ ἔφη· Φαῦστος. Τί δὲ τοῖς διδύμοις υἱοῖς; ὁ δὲ ἀπεκρίνατο· Φαυστῖνος καὶ Φαυστινιανός. Τί δὲ τῷ τρίτῳ υἱῷ; ὁ δὲ εἶπεν· Κλήμης. Τί δὲ τῇ τούτων μητρὶ ὄνομα; ὁ δὲ ἔφη· Ματτιδία. ὑπὸ συμπαθείας οὖν ἐγὼ σύνδακρυς γενόμενος, ἀπολύσας τοὺς ὄχλους ἦλθον πρὸς ὑμᾶς, ἵνα μετὰ τὴν ἁλῶν κοινωνίαν
ταῦτα προσανάθωμαι ὑμῖν. πρὸ δὲ τοῦ ἁλῶν μεταλαβεῖν εἰπεῖν ὑμῖν οὐκ ἐβουλήθην, μήπως ὑπὸ λύπης νικηθέντες ἐν τῇ τοῦ βαπτίσματος ἡμέρᾳ πενθοῦντες διατελέσητε, ὁπότε καὶ ἄγγελοι χαίρουσιν. ταῦτα τοῦ
Πέτρου λέγοντος ἐδακρύομεν οἱ πάντες μετὰ τῆς μητρός. ὁ δὲ δακρύ- οντας ἡμᾶς ἰδὼν ἔφη· Νῦν ἕκαστος ὑμῶν φόβῳ τῷ πρὸς τὸν θεὸν γενναίως
φερέτω τὰ λεχθέντα· οὐ γὰρ δὴ σήμερον ὑμῖν ἐτελεύτησεν ὁ πατήρ, ἀλλὰ καὶ ἔκπαλαι, ὡς ὑμεῖς στοχαζόμενοι εἰρήκατε.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ἡ μήτηρ μὴ φέρουσα βοῶσα ἔφη· Οἴμοι ἄνερ, ἡμᾶς ἀγαπῶν ἀκριτὶ ἐτελεύτησας, ἡμεῖς δὲ ζῶντες φῶς ὁρῶμεν καὶ
τροφῆς μεταλαμβάνομεν. οὔπω δὲ τῆς μιᾶς ταύτης ὁλολυγῆς παυσα-μένης ἰδοὺ ὁ γέρων εἰσῄει καὶ ἅμα τῷ βούλεσθαι αὐτὸν τῆς κραυγῆς τὴν αἰτίαν πυνθάνεσθαι εἰς τὴν γυναῖκα ἐμβλέψας ἔφη· Οἴμοι, τί θέλει τοῦτο εἶναι; τίνα ὁρῶ; προσελθὼν δὲ καὶ ἀκριβέστερον ἐνιδὼν καὶ ὁραθεὶς περιεπλέκετο. οἱ δὲ ὑπὸ χαρᾶς αἰφνιδίου διεφώνουν ἀμφό-
τεροι καὶ λαλεῖν ἀλλήλοις βουλόμενοι, ἀφασίᾳ συσχεθέντες ἐκ τῆς ἁπλή-
στου χαρᾶς οὐκ ἐδύναντο κρατεῖν. πλὴν μετ' οὐ πολὺ ἡ μήτηρ· Ἔχω σε,
Φαῦστε, τὸν κατὰ πάντα μοι γλυκύτατον. πῶς ἄρα ζῇς, ὃν ὡς τεθνεῶτα

μικρῷ τάχιον ἠκούσαμεν; πλὴν οὗτοί εἰσιν ἡμῶν υἱοί, Φαυστῖνος, Φαυ-
στινιανὸς καὶ Κλήμης. ταῦτα εἰπούσης ἡμεῖς οἱ τρεῖς προσπεσόντες
αὐτῷ καὶ καταφιλοῦντες ἀμαυρῶς πως τὴν μορφὴν αὐτοῦ
ἀνεφέρομεν.

Ταῦτα βλέπων ὁ Πέτρος ἔφη· Σὺ εἶ Φαῦστος, ὁ ταύτης ἀνὴρ καὶ τῶν
αὐτῆς παίδων πατήρ; ὁ δὲ ἔφη· Ἐγώ εἰμι. καὶ ὁ Πέτρος· Πῶς οὖν μοι τὰ
σεαυτοῦ ὡς περὶ ἄλλου διηγήσω, πόνους εἰπὼν καὶ λύπην καὶ τάφον; καὶ
ὁ πατὴρ ἀπεκρίνατο· Πρὸς γένους ὑπάρχων Καίσαρος καὶ περίφωρος μὴ
θέλων γενέσθαι, εἰς ἄλλου τινὸς τὴν ἐξήγησιν ἀνετυπωσάμην, ἵνα αὐτὸς
ὅστις εἰμὶ μὴ νοηθῶ. ᾔδειν γὰρ ὅτι, ἂν γνώριμος γένωμαι, οἱ κατὰ τόπον
ἡγούμενοι ἀκούσαντες, Καίσαρι κεχαρισμένα ποιοῦντες ἀνακαλέσαντες,
τὴν τοῦ βίου μοι εὐδαιμονίαν περιθήσουσιν, ὅπερ ἀπεταξάμην. οὐ γὰρ
ἠδυνάμην, περὶ τῶν ἐμοὶ ἠγαπημένων τὰ μέγιστα ὡς περὶ θανόντων κρίνας,
πρὸς τὴν τοῦ βίου τρυφὴν ἑαυτὸν ἀποδιδόναι. καὶ ὁ Πέτρος ἔφη· Ταῦτα
μὲν ἐποίησας ὡς ἐβουλεύσω, περὶ δὲ γενέσεως ἆρα ψευδόμενος διισχυρίζου
ἢ ὡς ἀληθεύων ἐβεβαίους; καὶ ὁ πατὴρ ἔφη· Οὐ ψεύσομαι πρὸς σέ, ἀληθῶς
ὡς οὔσης γενέσεως ἐβεβαίουν. εἰμὶ γὰρ οὐκ ἀμύητος τοῦ θεωρήματος,
πλὴν συνῆν μοί τις, ἀστρολόγων ἄριστος, ἀνὴρ Αἰγύπτιος, Ἀννουβίων
ὀνόματι, ὅστις ἐν ταῖς ἀποδημίαις κατ' ἀρχάς μοι φιλωθεὶς τὸν τῆς ἐμῆς
συμβίου μετὰ τῶν τέκνων θάνατον ἐδήλου. καὶ ὁ Πέτρος ἔφη· Οὐκοῦν
ἔργῳ πέπεισαι ὅτι οὐ συνέστηκεν τὰ κατὰ γένεσιν; καὶ ὁ πατὴρ ἀπεκρίνατο·
Ἀνάγκη με πάντα τὰ ὑποτρέχοντά μου εἰς τὸν νοῦν ἐκτίθεσθαί σοι, ἵνα
πρὸς αὐτὰ ἀκούων μανθάνειν ἔχω. πολλὰ πταίειν οἶδα τοὺς ἀστρολόγους,
πολλὰ δὲ καὶ ἀληθεύειν. ὑποπτεύω οὖν μήπως ἃ μὲν ἀκριβοῦσιν, ἀλη-

θεύουσιν, ἃ δὲ πταίουσιν, ἀμαθίᾳ πάσχουσιν, ὡς ὑπονοεῖν με τὸ μὲν μάθημα
συνεστάναι, αὐτοὺς δὲ δι' ἀμαθίαν ψεύδεσθαι διὰ τὸ μὴ πάντας περὶ πάντων
ἀκριβοῦν δύνασθαι. καὶ ὁ Πέτρος ἀπεκρίνατο· Ἔπεχε μήπως περὶ ὧν ἀλη-
θεύουσιν, ἐπιτυγχάνουσιν καὶ οὐχὶ ἀκριβοῦντες λέγουσιν. ἀνάγκη γὰρ πᾶσα
ἐκ πολλῶν τῶν λεγομένων ἀποβαίνειν τινά. καὶ ὁ γέρων ἔφη· Πῶς οὖν ἔστιν
περὶ τούτου πληροφορηθῆναι, τὸ εἴτε συνέστηκεν τὸ κατὰ τὴν γένεσιν ἢ οὔ;
ἀμφοτέρων οὖν σιωπώντων ἔφην ἐγώ· Ἐπειδὴ τὸ μάθημα ἀκριβῶς ἐπί-
σταμαι, ὁ δὲ κύριος καὶ ὁ πατὴρ οὐχ οὕτως, ἤθελον εἰ αὐτὸς Ἀννουβίων
παρῆν, καὶ ἐπὶ τοῦ πατρὸς ἐποιησάμην λόγον. οὕτω γὰρ ἂν τὸ πρᾶγμα
εἰς φανερὸν ἐλθεῖν ἠδύνατο, τεχνίτου πρὸς ὁμότεχνον τὴν ζήτησιν
ἐσχηκότος. καὶ ὁ πατὴρ ἀπεκρίνατο· Ποῦ οὖν δυνατόν ἐστιν Ἀννου-
βίωνι συντυχεῖν; καὶ ὁ Πέτρος ἔφη· Ἐν Ἀντιοχείᾳ· ἐκεῖ γὰρ μανθάνω
Σίμωνα τὸν μάγον ὄντα, ᾧ Ἀννουβίων παρεπόμενος ἀχώριστός ἐστιν.
ὡς ἂν οὖν ἐκεῖ γενώμεθα, ἐάν γε καταλάβωμεν αὐτούς, ἡ ζήτησις γενέσθαι
δύναται. καὶ ὁμῶς πολλὰ διαλεχθέντες καὶ ἐπὶ τῷ ἀναγνωρισμῷ χαρέντες καὶ
θεῷ εὐχαριστήσαντες ἑσπέρας ἐπικαταλαβούσης εἰς ὕπνον ἐτράπημεν.

[ΟΜΙΛΙΑ ΙΕ.]

Ὄρθρου δὲ γενομένου ὁ πατὴρ μετὰ τῆς μητρὸς ἡμῶν καὶ τῶν τριῶν
υἱῶν εἰσελθών, ἔνθα ὁ Πέτρος ἦν, προσαγορεύσας ἐκαθέσθη, ἔπειτα
καὶ ἡμεῖς αὐτοῦ κελεύσαντος. καὶ ὁ Πέτρος τῷ πατρὶ προσεμβλέψας ἔφη·
Σπεύδω ὁμόφρονά σε γενέσθαι γυναικὶ καὶ τέκνοις, ὅπως αὐτοῖς καὶ
ἐνταῦθα ὁμοδίαιτος ᾖς κἀκεῖ μετὰ τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος
συνόντα ἄλυπον ἔσεσθαι. ἢ γὰρ οὐ τὰ μέγιστά σε λυπεῖ καὶ αὐτοὺς τὸ
μὴ ἀλλήλοις συνεῖναι; καὶ ὁ πατήρ· Καὶ πάνυ γε. καὶ ὁ Πέτρος·
Εἰ οὖν καὶ ἐνταῦθα τὸ ἀλλήλων κεχωρίσθαι λυπεῖ, μετὰ θάνατον πάντως
ὀφειλόμενον ὑμῖν μετ' ἀλλήλων μὴ εἶναι, πόσῳ γε μᾶλλον οὐ λυπήσει
σὲ μὲν ἄνδρα σοφὸν ὄντα τῷ τῆς γνώμης σου λόγῳ τῶν σῶν κεχωρίσθαι,
αὐτοὺς δὲ πολὺ μᾶλλον ὀδυνᾶσθαι τῷ εἰδέναι, ὅτι σε ἄλλα φρονοῦντα
αἰώνιος μένει κόλασις ·ητοῦ δόγματος ἀποφάσει; καὶ ὁ πατὴρ ἔφη·
Ἀλλ' οὐκ ἔστιν, ὦ φίλτατε, τὸ ἐν ᾅδου ψυχὰς κολάζεσθαι αὐτῆς ἅμα
τῷ ἀποστῆναι τοῦ σώματος εἰς ἀέρα λυομένης. καὶ ὁ Πέτρος ἔφη· Μέχ-
ρις οὖν ὅτε περὶ τούτου πείσομέν σε, ἀπόκριναί μοι· οὐ δοκεῖ σοι
σὲ μὲν ἀπιστοῦντα τὴν κόλασιν μὴ λυπεῖσθαι, ἐκείνους δὲ πεπεισμέ-
νους ἀνάγκην ἔχειν περὶ σοῦ ἀνιᾶσθαι; καὶ ὁ πατήρ· Ἀκολούθως λέγεις. καὶ
ὁ Πέτρος· Διὰ τί δὲ αὐτοὺς οὐκ ἀπαλλάξεις μεγίστης περὶ σοῦ λύπης
τῇ θρησκείᾳ συνθέμενος, οὐ δυσωπίᾳ λέγω, ἀλλ' εὐγνωμοσύνῃ, περὶ
τῶν λεγομένων σοι ὑπ' ἐμοῦ ἀκούων καὶ κρίνων εἰ ταῦτα οὕτως ἔχει ἢ
οὔ; καὶ εἰ μὲν οὕτως ἔχει ὡς λέγομεν, καὶ ὧδε συναπολαύσεις τοῖς φιλτά-
τοις κἀκεῖ συναναπαύσῃ· εἰ δὲ ἐν τῇ τῶν λόγων σκέψει δείξῃς τὰ ὑφ'
ἡμῶν λεγόμενα μῦθόν τινα ψευδῆ εἶναι, καὶ οὕτως καλῶς ποιήσεις, αὐτοὺς
ὁμογνώμονάς σοι εἰληφώς, καὶ τοῦ κεναῖς ἐλπίσιν ἐπερείδεσθαι παύσεις
καὶ ψευδῶν φόβων ἀπαλλάξεις. καὶ ὁ πατήρ· Πολλὰ φαίνῃ μοι εὔλογα
λέγων. καὶ ὁ Πέτρος ἔφη· Τί οὖν ἐστιν τὸ κρατοῦν σε μὴ εἰς τὴν ἡμετέραν

πίστιν ἐλθεῖν, λέγε, ἵνα εἰς αὐτὸ λέγειν ἀρξώμεθα. πολλὰ γάρ ἐστιν τὰ
κρατοῦντα· τοὺς μὲν πεπεισμένους ἀσχολίαι ἀγορασμῶν, πράξεων, γεωρ-
γιῶν, φροντίδων καὶ ὅσα τοιαῦτα· ἀπιστοῦσι δέ, ἀφ' ὧν εἶ καὶ σύ, ὑπολή-
ψεις τοῦ νομίζειν ἢ θεοὺς τοὺς οὐκ ὄντας εἶναι ἢ τὸ γενέσει τὰ πάντα ὑποκεῖ-
σθαι ἢ αὐτοματισμῷ ἢ τὰς ψυχὰς θνητὰς ἢ καὶ τὸν ἡμέτερον λόγον ψευδῆ
ὡς οὐκ οὔσης προνοίας. ἐγὼ δὲ προνοίᾳ θεοῦ τὰ πάντα διοικεῖσθαι ἐκ
τῶν περὶ σὲ λεγομένων εἶναι λέγω, τὸ τοσούτοις ἔτεσιν τὴν διάστασιν σοῦ
τε καὶ τῶν σῶν γενέσθαι. ἐπεὶ γὰρ σὺν σοὶ ὄντες ἴσως τῶν τῆς θεοσεβείας
λόγων οὐκ ἂν ἐπήκουσαν, ᾠκονομήθη σὺν μητρὶ ἡ ἀποδημία καὶ ναυφράγιον
καὶ θανάτου ὑπόνοια, ἔτι τε καὶ ἐκπαιδευθῆναι αὐτοὺς τὰ Ἑλλήνων καὶ
ἄθεα δόγματα, ἵνα μᾶλλον ὡς εἰδότες ταῦτα ἀνασκευάζειν δυνατοὶ
ὦσιν–ἐπὶ τούτοις τὸ φιλῆσαι τὸν τῆς θεοσεβείας λόγον καὶ ἐμοὶ
ἑνωθῆναι δυνηθῆναι πρὸς τὸ συλλαβέσθαι μου τῷ κηρύγματι–ἀλλ'
ἔτι μὴν συνελθεῖν καὶ τὸν ἀδελφὸν Κλήμεντα καὶ οὕτως τὴν μητέρα
ἐπιγνωσθῆναι καὶ ὑπὸ θεραπείας τὴν θεότητα πληροφορηθῆναι–καὶ μετ'
οὐ πολὺ εὐθὺ τὰ δίδυμα τέκνα ἐπιγνωσθέντα καὶ ἐπιγνόντα καὶ τῆς
ἄλλης ἡμέρας σοι συντυχεῖν καὶ τοὺς σοὺς ἀπολαβεῖν. τοσαύτην οὖν
ταχεῖαν ἁρμονίαν πανταχόθεν συνδραμοῦσαν εἰς ἕνα γνώμης σκοπὸν οὐκ
οἶμαι ἀπρονόητον εἶναι. καὶ ὁ πατὴρ τῷ Πέτρῳ ἤρξατο λέγειν· Μὴ
νόμιζε, φίλτατέ μοι Πέτρε, ἐν ἐννοίᾳ μὴ ἔχειν περὶ τοῦ ὑπὸ σοῦ κη-
ρυσσομένου λόγου. πέρας γοῦν ταύτης τῆς παρῳχηκυίας νυκτὸς πολλὰ
τοῦ Κλήμεντος προτρεπομένου με τῇ ὑπὸ σοῦ κηρυσσομένῃ ἀληθείᾳ,
ἀπεκρινάμην· Τί γὰρ καινότερον ἐντέλλεσθαι δύναταί τις παρ' ὃ οἱ ἀρχαῖοι
παρῄνεσαν; ὁ δὲ ἠρέμα γελάσας ἔφη· Πολλὴ διαφορά, πάτερ, μεταξὺ τῶν
θεοσεβείας λόγων καὶ τῶν τῆς φιλοσοφίας. ὁ γὰρ τῆς ἀληθείας ἀπόδειξιν
ἔχει τὴν ἐκ προφητείας, ὁ δὲ τῆς φιλοσοφίας καλλιλογίας παρέχων ἐκ

στοχασμῶν δοκεῖ παριστᾶν τὰς ἀποδείξεις. καὶ ὁμῶς ταῦτα εἰπὼν δείγμα-
τος χάριν τὸν περὶ φιλανθρωπίας μοι ἐξέθετο λόγον, ὅνπερ αὐτῷ ὑφηγήσω,
ὃς ἀδικώτατός μοι μᾶλλον ἐφαίνετο. καὶ τὸ πῶς ἐρῶ. δίκαιον ἔφασκεν εἶναι καὶ
τῷ τύπτοντι αὐτοῦ τὴν σιαγόνα παρατιθέναι καὶ τὴν ἑτέραν, καὶ τῷ αἴροντι
αὐτοῦ τὸ ἱμάτιον προσδιδόναι καὶ τὸ μαφόριον, ἀγγαρεύοντι δὲ μίλιον συν-
απέρχεσθαι δύο, καὶ ὅσα τοιαῦτα. καὶ ὁ Πέτρος ἀπεκρίνατο· Ἀλλ'
ἐνόμισας ἄδικον ὅτι δικαιότατόν ἐστιν. εἴ σοι φίλον ἐστίν, ἄκουσον. καὶ
ὁ πατὴρ ἔφη· Πάνυ μοι φίλον. καὶ ὁ Πέτρος· Οὐ δοκεῖ σοι δύο ἐχθρῶν
βασιλέων ὄντων καὶ διῃρημένας τὰς χώρας ἐχόντων, εἴ τις ἐκ τῶν τοῦ
ἑνὸς ὑπηκόων ἐν τῇ τοῦ ἑτέρου χώρᾳ φωραθείη καὶ διὰ τοῦτο θάνατον
ὀφείλοι, ἐὰν ·απίσματι καὶ μὴ θανάτῳ τῆς τιμωρίας ἀπολυθῇ, οὐ φαί-
νεται μὴν ὁ ἀπολύσας φιλάνθρωπος εἶναι; καὶ ὁ πατὴρ ἔφη· Καὶ
πάνυ. καὶ ὁ Πέτρος ἔφη· Τί δέ; εἰ καὶ ἴδιόν τί τινος αὐτὸς οὗτος
ἀφέληται ἢ καὶ ἄλλο τι, ἐπὶ τούτῳ συλληφθεὶς ἐὰν διπλάσιον δῷ, τετρα-
πλάσιον ὀφείλων καὶ τὸ θανεῖν, ὡς ἐν τοῖς τοῦ ἐναντίου ἁλοὺς ὅροις,
οὐ δοκεῖ σοι ὅτι ὁ λαβὼν τὸ διπλάσιον καὶ θανάτου αὐτὸν ἀπολύσας
φιλάνθρωπος τυγχάνει; καὶ ὁ πατὴρ ἔφη· Φαίνεται. καὶ ὁ Πέτρος· Τί
δέ; οὐ χρὴ τὸν <ἐν> ἑτέρου βασιλείᾳ ὄντα, καὶ ταῦτα πονηροῦ τινος
ἐχθροῦ, τοῦ ζῆν χάριν πάντας κολακεύειν καὶ ἀγγαρεύουσιν ἐπὶ πλεῖον
ὑπείκειν, μὴ προσαγορεύοντας προσαγορεύειν, ἐχθροὺς διαλλάσσειν, ὀργι-
ζομένοις μὴ φιλονεικεῖν, τὰ ἑαυτοῦ ἀδεῶς παντὶ αἰτοῦντι παρέχειν, καὶ
ὅσα τοιαῦτα; καὶ ὁ πατήρ· Πάντα μᾶλλον εὐλόγως ὑποσταίη, εἴπερ
τούτων τὸ ζῆν προκρίνει. καὶ ὁ Πέτρος· Οὐκοῦν οὓς ἀδικεῖσθαι ἔλεγες,
αὐτοὶ παροριστὰι τυγχάνουσιν, καθὰ ἐν ἑτέρου εἰσὶν βασιλείᾳ, καὶ
τοσοῦτον πλεονέκται εἰσίν, ὅσον <ἂν> κεκτημένοι ὦσιν; οἱ δ' ἀδικεῖν νομιζό-
μενοι τοσαῦτα ἑκάστῳ τῷ ἐξ ἐναντίας ὄντι χαρίζονται, ὅσα ἂν αὐτοῖς
ἔχειν συνχωρῶσιν. αὐτῶν γάρ ἐστιν ταῦτα τῶν τὰ παρόντα
ἑλομένων.

καὶ εἰς τοσοῦτον φιλάνθρωποί εἰσιν, ὡς τὸ ζῆν αὐτοῖς συγχωρεῖν. καὶ τὸ μὲν παράδειγμα οὕτως ἔχει, ἄκουε δὴ αὐτὸ τὸ πρᾶγμα. ὁ τῆς ἀληθείας
προφήτης παρὼν ἐδίδαξεν ἡμᾶς ὅτι ὁ τῶν ὅλων δημιουργὸς καὶ θεὸς δυσίν τισιν ἀπένειμεν βασιλείας δύο, ἀγαθῷ τε καὶ πονηρῷ, δοὺς τῷ μὲν
κακῷ τοῦ παρόντος κόσμου μετὰ νόμου τὴν βασιλείαν, ὥστ' ἂν ἔχειν ἐξουσίαν κολάζειν τοὺς ἀδικοῦντας, τῷ δὲ ἀγαθῷ τὸν ἐσόμενον ἀίδιον αἰῶνα. ἕκαστον δὲ τῶν ἀνθρώπων ἐλεύθερον ἐποίησεν ἔχειν τὴν
ἐξουσίαν ἑαυτὸν ἀπονέμειν ᾧ βούλεται, ἢ τῷ παρόντι κακῷ ἢ τῷ μέλλοντι
ἀγαθῷ. ὧν οἱ ἑλόμενοι τὰ παρόντα ἐξουσίαν ἔχουσιν πλουτεῖν, τρυφᾶν, ἥδε-
σθαι, καὶ πᾶν ὅ τι ἂν δύνωνται· τῶν γὰρ ἐσομένων ἀγαθῶν οὐδὲν ἔξουσιν.
οἱ δὲ τὰ τῆς μελλούσης βασιλείας κρίναντες λαβεῖν τῶν ἐνταῦθα (ὡς ἀλ-
λοτρίου βασιλέως ἴδια ὄντα) αὐτοῖς νοσφίζεσθαι οὐκ ἔξεστιν ἢ ὕδατος
μόνου καὶ ἄρτου καὶ τούτων μετὰ ἱδρώτων ποριζομένων πρὸς τὸ ζῆν (ἐπειδὴ ἑκοντὶ ἀποθανεῖν οὐκ ἔξεστιν), ἔτι δὲ καὶ περιβολαίου ἑνός· γυμνὸν
γὰρ ἑστάναι οὐκ ἐφίεται ἕνεκεν τοῦ πάντα ὁρῶντος οὐρανοῦ. εἰ μὲν οὖν
τὸν ἀκριβῆ τοῦ πράγματος λόγον ἀκοῦσαι θέλεις, οὓς μικρῷ τάχιον εἴρηκας
ἀδικεῖσθαι, αὐτοὶ μᾶλλον ἀδικοῦσιν, ὅτι αὐτοὶ μὲν οἱ τὰ ἐσόμενα ἑλόμενοι ἐν
τοῖς παροῦσιν σύνεισιν τοῖς κακοῖς, κατὰ πολλὰ τῶν ἴσων αὐτοῖς ἀπολαύοντες
(αὐτοῦ τε τοῦ ζῆν, τοῦ φωτός, τοῦ ἄρτου, τοῦ ὕδατος, τοῦ ἱματίου καὶ ἄλλων
τοιούτων τινῶν), οἱ δὲ ἀδικεῖν ὑπὸ σοῦ νομισθέντες τοῖς ἐσομένοις ἀγαθοῖς ἀν-
δράσιν οὐδὲν συνυπάρχουσιν. καὶ ὁ πατὴρ πρὸς ταῦτα ἀπεκρίνατο· Νῦν με
ὅτε πέπεικας ὅτι οἱ ἀδικοῦντες αὐτοὶ ἀδικοῦνται, οἱ δὲ ἀδικούμενοι μᾶλλον
πλεονεκτοῦσιν, ἔτι μᾶλλον ἀδικώτατον ὅλον μοι φαίνεται τὸ πρᾶγμα, ὅτι

οἱ μὲν δοκοῦντες ἀδικεῖν πολλὰ τοῖς τὰ ἐσόμενα ἑλομένοις συνχωροῦσιν,
οἱ δὲ δοκοῦντες ἀδικεῖσθαι αὐτοὶ ἀδικοῦσιν, ὅτι τὰ ὅμοια οὐ παρέχουσιν
ἐκεῖ τοῖς ἐνταῦθα αὐτοῖς συνκεχωρηκόσιν [ἃ αὐτοὶ αὐτοῖς συνεχώρησαν].
καὶ ὁ Πέτρος· Οὐδὲ τοῦτο ἄδικον διὰ τὸ ἐξουσίαν ἔχειν ἕκαστον τὰ παρ-
όντα αἱρεῖσθαι ἢ τὰ μέλλοντα, εἴτε μικρὰ εἴη εἴτε μεγάλα. ἰδίᾳ κρίσει
καὶ βουλῇ ὁ ἑλόμενος οὐκ ἀδικεῖται, λέγω δὲ οὐδ' ἂν τὰ μικρὰ ἕληται,
ἐπεὶ προέκειτο τὰ μεγάλα· προέκειτο γὰρ αὐτῷ καὶ τὰ μικρά. καὶ ὁ
πατὴρ ἔφη· Ὀρθῶς ἔφης· καὶ γὰρ εἴρηταί τινι Ἑλλήνων σοφῷ· «Αἰτία
ἑλομένων, θεὸς ἀναίτιος». ἀλλ' ἔτι μὴν καὶ τοῦτόν μοι δίελθε τὸν
λόγον. μέμνημαι τὸν Κλήμεντα εἰπόντα μοι ὅτι τὰ ἀδικήματα καὶ τὰ
πάθη εἰς ἄφεσιν ἁμαρτιῶν πάσχομεν. καὶ ὁ Πέτρος· Ὀρθῶς ἔχει
καὶ οὕτως. ἡμεῖς γὰρ οἱ ἑλόμενοι τὰ ἐσόμενα, ἃ κεκτήμεθα πλείονα,
εἴτε ἐσθῆτα εἴτε βρώματα εἴτε ποτὰ εἴτε ἄλλα τινά, ἁμαρτίας κεκτή-
μεθα διὰ τὸ δεῖν μηδὲν ἔχειν, ὡς μικρῷ τάχιον διεῖλον τὸν λόγον. πᾶσι
τὰ κτήματα ἁμαρτήματα. ἡ τούτων ὁπώσποτε στέρησις ἁμαρτιῶν ἐστιν
ἀφαίρεσις. καὶ ὁ πατὴρ ἔφη· Ἀκολούθως ἔχει, καθὼς δύο διεῖλας ὅρους
τῶν δύο βασιλέων, τὰ ἐφ' ἑκάστῳ τῶν ὑπὸ τὴν ἐξουσίαν αὐτῶν ὄντων
αἱρεῖσθαι ὃ βούλεται. τί δέ; καὶ τὰ πάθη εἰ δικαίως πάσχομεν; καὶ
ὁ Πέτρος· Δικαιότατα· ἐπεὶ γὰρ ὁ τῶν σῳζομένων ὅρος ἐστίν (ὡς ἔφην)
τὸ μηδενὶ μηδὲν ὑπάρχειν, ὑπάρχει δὲ πολλὰ πολλοῖς κτήματα (τὰ ἄλλως
καὶ ἁμαρτήματα), τούτου χάριν ἐξ ὑπερβαλλούσης θεοῦ φιλανθρωπίας
ἐπάγεται τὰ πάθη τοῖς μὴ εἰλικρινῶς πολιτευομένοις, ἵνα διὰ τὸ ποσῶς
φιλόθεον προσκαίροις τιμωρίαις αἰωνίων σωθῶσιν κολάσεων. καὶ
ὁ πατήρ· Τί δέ; οὐ πολλοὺς ἀσεβεῖς ὁρῶμεν πένητας; παρὰ τοῦτο καὶ
οὗτοι τῶν σῳζομένων εἰσίν; καὶ ὁ Πέτρος· Οὐ πάντως. οὐ γὰρ ἀποδεκτὴ
ἡ τοῦ πένητος πενία, ἐὰν ὀρέγηται ὧν οὐ χρή. ὥστε τινὲς τῇ προαιρέσει
πλουτοῦσιν χρήμασιν καὶ ὡς πλεονεκτεῖν ἐπιθυμοῦντες τιμωροῦνται.
ἀλλ' οὐδὲ ἐν τῷ πένητα εἶναί τινα πάντως δίκαιός ἐστιν· δύναται

γὰρ πτωχὸς μὲν τοῖς χρήμασιν εἶναι, ἐπιθυμεῖν δὲ ἢ καὶ πράττειν ὃ προηγουμένως οὐ χρή. ἢ γὰρ εἴδωλα σέβει ἢ βλασφημεῖ ἢ πορνεύει ἢ ἀδιαφόρως ζῇ, ἢ ἐπιορκῶν ἢ ψευδόμενος ἢ ἀπίστως βιούς. πλὴν ὁ διδάσκαλος ἡμῶν πιστοὺς πένητας ἐμακάρισεν, καὶ αὐτοὺς οὐχ ὡς παρ-
εσχηκότας τι (οὐδὲ γὰρ εἶχον), ἀλλ' ὅτι μηδὲν ἁμαρτάνοντες, ἐπὶ μόνῳ
τῷ τὴν ἐλεημοσύνην μὴ ποιεῖν διὰ τὸ μὴ ἔχειν καταδικασθῆναι οὐκ ἔχουσιν. καὶ ὁ πατήρ· Ἀληθῶς πάνυ κατὰ τὴν ὑπόθεσιν ὀρθῶς ἔχειν τὰ
πράγματα φαίνεται· διὸ καὶ προαιρέσεως ἐγενόμην τῇ τάξει παντὸς ἐπα-
κοῦσαι τοῦ λόγου. καὶ ὁ Πέτρος· Οὐκοῦν τοῦ λοιποῦ σπεύδοντί σοι τὰ κατὰ τὴν ἡμετέραν θρησκείαν μαθεῖν ὀφείλω τῇ τάξει τὸν λόγον ἐκθεῖναι ἀπ' αὐτοῦ ἀρχόμενος τοῦ θεοῦ καὶ δεικνὺς ὅτι αὐτὸν μόνον δεῖ
λέγειν θεόν, ἑτέρους δὲ μήτε λέγειν μήτε νομίζειν, καὶ ὅτι ὁ παρὰ τοῦτο
ποιῶν αἰωνίως ἔχει κολασθῆναι, ὡς εἰς αὐτὸν τὸν τῶν ὅλων δεσπότην
ἀσεβήσας τὰ μέγιστα. καὶ ταῦτα εἰπὼν καὶ τοῖς ὑπὸ παθῶν ὀχλουμέ-
νοις καὶ νοσοῦσιν καὶ δαιμονῶσιν τὰς χεῖρας ἐπιθεὶς καὶ εὐξάμενος καὶ
ἰασάμενος ἀπέλυσε τοὺς ὄχλους. καὶ εἶθ' οὕτως εἰσιὼν τῶν συνηθεστέ-
ρων ἁλῶν μεταλαβὼν ὕπνωσεν.

[ΟΜΙΛΙΑ ΙΣ.]

Ὄρθρου δὲ ἐξιὼν ὁ Πέτρος καὶ ἐπιστὰς ἐπὶ τὸν συνήθη τοῦ διαλέγεσθαι τόπον ὄχλον πολὺν συνεστῶτα εἶδεν. καὶ ἅμα τῷ μέλλειν διαλέγεσθαι αὐτὸν εἰσῄει τις τῶν αὐτοῦ διακόνων λέγων· Σίμων ἀπὸ Ἀντιοχείας ἐληλυθώς, ἀπ' αὐτῆς ἑσπέρας μαθὼν ὑποσχόμενόν σε τὸν περὶ μοναρχίας ποιεῖσθαι λόγον, ἕτοιμός ἐστιν μετὰ Ἀθηνοδώρου τοῦ Ἐπικουρείου διαλεγομένῳ σοι ἐπελθεῖν πρὸς τὸ ἀντιλέγειν δημοσίᾳ πᾶσιν τοῖς ὑπὸ σοῦ ὁπώσποτε ὑπὲρ μοναρχίας λεγομένοις λόγοις. ταῦτα τοῦ διακόνου λέγοντος, ἰδοὺ αὐτὸς εἰσῄει Σίμων μετὰ Ἀθηνοδώρου καὶ ἄλλων τινῶν ἑταίρων καὶ πρὸ τοῦ τι τὸν Πέτρον φθέγξασθαι αὐτὸς προλαβὼν ἔφη· Ἔμαθον ὡς ὑπέσχου ἐχθὲς τῷ Φαύστῳ εἰς τὴν σήμερον δεῖξαι, τῇ τάξει τὸν λόγον ποιούμενος καὶ ἀπ' αὐτοῦ ἀρχόμενος τοῦ τῶν ὅλων δεσπότου, ὅτι αὐτὸν μόνον δεῖ λέγειν θεόν, ἄλλους δὲ μήτε λέγειν μήτε νομίζειν, ὅτι ὁ παρὰ τοῦτο ποιῶν αἰωνίως κολασθῆναι ἔχει. πρὸ πάντων δὲ ἀληθῶς καταπέπληγμαί σου τὴν ἀπόνοιαν ὅτι ἤλπισας εἰς τὴν σὴν βούλησιν μεταπεῖσαι ἄνδρα σοφὸν καὶ ταῦτα πρεσβύτην. ἀλλ' οὐκ ἐπιτεύξει τῶν σῶν βουλευμάτων, ταύτῃ μᾶλλον παρόντος ἐμοῦ καὶ τοὺς ψευδεῖς σου διελέγχοντος λόγους· ἴσως γὰρ ἐμοῦ μὴ παρόντος ἠπατήθη ἂν ὁ σοφὸς γέρων, ἰδιώτης ὢν τῶν παρὰ Ἰουδαίοις δημοσίᾳ πεπιστωμένων βίβλων. καὶ τὸ νῦν τοὺς πολλοὺς ὑπερθήσομαι λόγους, ἵνα τῆς ὑποσχέσεώς σου τάχιον τὸν ἔλεγχον ποιήσωμαι. διὸ ἐφ' ἡμῶν αὐτῶν τῶν τὰς γραφὰς εἰδότων ὃ ὑπέσχου λέγειν ἄρξαι. εἰ δὲ τὸν ἔλεγχον αἰδούμενος ἐφ' ἡμῶν αὐτῶν τὴν ὑπόσχεσιν παραλιπεῖν θέλεις, αὐτάρκης καὶ οὕτως ἡ ἀπόδειξις ὅτι ψεύδῃ, καθότι ἐπὶ τῶν τὰς γραφὰς εἰδότων εἰπεῖν οὐκ ἐτόλμησας. καὶ νῦν δὲ τί σε ἀναμένω λέγειν, μέγιστον ἔχων μάρτυρα τῆς ὑποσχέσεώς σου τὸν παρεστῶτα γέροντα; καὶ ταῦτα εἰπὼν

ἐμβλέψας τῷ πατρὶ ἔφη· Εἰπέ μοι, ἀνδρῶν πάντων τιμιώτατε, οὐχὶ οὗτος ὁ ἀνὴρ ὑπέσχετό σοι δεῖξαι σήμερον ὅτι εἷς ἐστιν θεὸς καὶ οὐ χρὴ
ἕτερόν τινα λέγειν ἢ νομίζειν θεόν, ὁ δὲ παρὰ ταῦτα ποιῶν ὡς τὰ μέγιστα ἁμαρτάνων αἰωνίως κολασθῆναι ἔχει; ἢ γὰρ οὐκ ἀποκρίνῃ μοι;
καὶ ὁ πατὴρ ἔφη· Καλῶς ἂν τὴν μαρτυρίαν παρ' ἐμοῦ ἀπῄτεις, Σίμων, εἰ πρότερον ἠρνεῖτο ὁ Πέτρος· νῦν δὲ οὐκ αἰδεσθήσομαι λέγειν ἃ δεῖ λέγειν. οἶμαί σε ὀργῇ πεπρησμένον διαλεχθῆναι θέλειν, ὅπερ ἀνοίκειόν σοί τε ποιεῖν καὶ ἡμῖν τοιούτων ἐπακούειν, ὅτι μάχην ἐστὶν ἱστορῆσαι καὶ οὐ πρὸς ἀλήθειαν ὠφελεῖσθαι. καὶ νῦν ἐξ Ἑλληνικῆς παιδείας ὡς χρὴ τοὺς ζητοῦντας ποιεῖν εἰδὼς ὑπομνήσω. ἑκάτερος ὑμῶν τὸ ἑαυτοῦ
δόγμα ἐκθέσθω, καὶ εἰς ἕτερον οἱ λόγοι γενέσθωσαν. ἐὰν δὲ Πέτρος μόνος
ἐκθῆται τὸ ἑαυτοῦ φρόνημα, σὺ δὲ τὸ σὸν σιωπᾷς, ἐνδέχεταί τινα λόγον ὑπὸ
σοῦ ·ηθέντα θλίβειν τὸ αὐτοῦ καὶ τὸ σὸν φρόνημα καὶ ἀμφοτέρους ὑμᾶς
ὑπὸ τοῦ λόγου ἡττηθέντας μὴ φαίνεσθαι ἡττημένους, ἀλλὰ τὸν ἐκθέμενον
τὸ φρόνημα, τὸν δὲ μὴ ἐκθέμενον ὁμοίως ἡττημένον μὴ πρόδηλον εἶναι, ἀλλὰ
καὶ νενικηκέναι νομίζεσθαι. καὶ ὁ Σίμων ἀπεκρίνατο· Ποιήσω ὡς λέγεις,
ἀθυμῶ δὲ μήπως ἤδη προειλημμένος αὐτοῦ τοῖς λόγοις οὐ φιλαλήθης ἔσῃ
κριτής. καὶ ὁ πατὴρ ἀπεκρίνατο· Μή με βιάζου ἀκρίτως συνθέσθαι σοι,
ἵνα δόξω φιλαλήθης εἶναι κριτής· εἰ δὲ τἀληθῆ ἀκοῦσαι θέλεις, τῷ σῷ φρονήματι μᾶλλον προείλημμαι. καὶ ὁ Σίμων· Πῶς προείληψαι, οὐκ εἰδὼς
ὃ φρονῶ; καὶ ὁ πατήρ· Τοῦτο ῥᾴδιόν ἐστιν εἰδέναι· καὶ πῶς, ἄκουσον.
ἐλέγξειν ὑπέσχου Πέτρον ἕνα θεὸν λέγοντα εἶναι ὅτι ψεύδεται, ὁ δὲ ἕνα
λέγοντα ψεύσματος ἐλέγξαι ἐπαγγελλόμενος πάντως εὔδηλον ὡς ἐκεῖνος
ἀληθεύων τὸ αὐτὸ οὐ λέγει. εἰ γὰρ τῷ καταψευδομένῳ τὸ αὐτὸ λέγει, καὶ αὐτὸς ψεύδεται· εἰ δὲ τὰ ἐναντία λέγων ἀποδείκνυσιν, τότε ἀληθεύει.

οὐκ ἄλλως οὖν τὸν ἕνα θεὸν εἶναι λέγοντα ψεύστην λέγεις, εἰ μήτι ἂν ὅτι πολλοὺς δοξάζεις θεούς. θεοὺς δὲ πολλοὺς εἶναι κἀγὼ λέγω. τὸ αὐτὸ
οὖν σοι πρὸ τῆς ζητήσεως λέγων σοὶ μᾶλλον προείλημμαι. καὶ κατὰ τοῦτο ἀγωνιᾶν περὶ ἐμοῦ οὐκ ὀφείλεις, ἀλλὰ Πέτρος, ὅτι ἀκμὴν αὐτῷ τὰ ἐναντία φρονῶ, ὅσπερ μετὰ τὴν ὑμετέραν ζήτησιν ἐλπίζω φιλαλήθης
ὢν κριτής, πρόληψιν ἀποδυσάμενος, τῷ ἐπικρατοῦντι συνθέσθαι λόγῳ.
ταῦτα τοῦ πατρὸς εἰπόντος ἠρέμα βοή τις ἐπαίνου ἐκ τῶν ὄχλων ἐγένετο ἐπὶ τῷ οὕτως τὸν πατέρα διαλεχθῆναι.

Καὶ ὁμῶς ὁ Πέτρος ἔφη· Ἐγὼ ὡς ὁ τῶν λόγων μεσίτης εἴρηκεν, ποιεῖν
ἕτοιμός εἰμι, καὶ ἤδη ποτὲ πρὸ πάσης ἀναβολῆς τὸ ἐμὸν περὶ θεοῦ ἐκθήσομαι
φρόνημα. κἀγὼ ἕνα θεὸν εἶναι λέγω, τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ τὰ ἐν αὐτοῖς πάντα. ἄλλον δὲ οὔτε λέγειν οὔτε νομίζειν ἔξεστιν.
καὶ ὁ Σίμων· Ἐγὼ δέ φημι τὰς πεπιστευμένας γραφὰς παρὰ Ἰουδαίοις πολλοὺς λέγειν θεούς, καὶ μὴ χαλεπαίνειν ἐπὶ τούτῳ τὸν θεὸν τῷ αὐτὸν
διὰ τῶν γραφῶν αὐτοῦ πολλοὺς θεοὺς εἰρηκέναι. αὐτίκα γοῦν ἐν τῇ πρώτῃ φωνῇ τοῦ νόμου φαίνεται καὶ ἑαυτῷ αὐτοὺς ὁμοίους λέγων.
οὕτως γὰρ γέγραπται ὡς ὅτι τῷ πρώτῳ ἀνθρώπῳ ἐντολὴν ἔχοντι παρὰ τοῦ θεοῦ ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ φαγεῖν, ἀπὸ δὲ τοῦ ξύ-
λου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν μὴ φαγεῖν, ὁ ὄφις διὰ τῆς γυναικὸς ἐπὶ
ὑποσχέσει τοῦ γενέσθαι αὐτοὺς θεοὺς φαγεῖν αὐτοὺς πείσας ἀναβλέψαι
ἐποίησεν καὶ εἶθ' οὕτως ὁ θεὸς ἀναβλέψασιν αὐτοῖς ἔφη· «Ἰδοὺ γέγονεν
Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν». ὁ μὲν οὖν ὄφις εἰπών· «Ἔσεσθε ὡς θεοί» ὡς ὄν-
των θεῶν εἰρηκὼς φαίνεται ταύτῃ μᾶλλον ᾗ καὶ θεὸς ἐπεμαρτύρησεν
εἰπών· «Ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν». οὕτως ὁ τοὺς πολλοὺς εἰπὼν
ὄφις εἶναι θεοὺς οὐκ ἐψεύσατο. πάλιν τὸ γεγράφθαι· «Θεοὺς οὐ κακολογή-

σεις καὶ ἄρχοντας τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς» πολλοὺς σημαίνει θε-
ούς, οὓς οὐδὲ κακολογεῖσθαι θέλει. ἀλλὰ καὶ ἄλλοθί που γέγραπται·
«Εἰ ἐτόλμησεν θεὸς ἕτερος εἰσελθεῖν καὶ λαβεῖν ἑαυτῷ ἔθνος ἐκ μέσου
ἔθνους ὡς ἐγὼ κύριος ὁ θεός». τῷ εἰπεῖν· «Εἰ ἐτόλμησεν θεὸς ἕτερος»
ὡς ὄντων ἑτέρων εἴρηκεν. καὶ ἄλλοτε· «Θεοὶ οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν
<οὐκ ἐποίησαν, ἀπολέσθωσαν» ὡς τῶν> μὴ πεποιηκότων ἀπόλλυσθαι
μελλόντων. καὶ ἄλλῃ που λέγει· «Ἔπεχε σεαυτῷ, μὴ πορευθεὶς λα-
τρεύσῃς θεοῖς ἑτέροις, οἷς οὐκ ᾔδεισαν οἱ πατέρες σου», ὡς ὄντων θεῶν
ἑτέρων, οἷς καὶ μὴ ἐξακολουθεῖν αὐτοὺς λέγει. καὶ πάλιν· «Ὀνό-
ματα θεῶν ἑτέρων οὐκ ἀναβήσεται ἐπὶ τῶν χειλέων σου». καὶ ἐνταῦθα
πολλοὺς θεοὺς λέγει, ὧν τὰ ὀνόματα ὀνομάζεσθαι οὐ θέλει. καὶ πάλιν
γέγραπται· «Κύριος ὁ θεός σου, οὗτος θεὸς τῶν θεῶν». καὶ πάλιν· «Τίς
ὅμοιός σοι, κύριε, ἐν θεοῖς;» καὶ πάλιν· «Θεὸς θεῶν κύριος». καὶ πάλιν·
«Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρίνει». ὅθεν
θαυμάζω πῶς τοσούτων φωνῶν ἐγγράφως μαρτυρουσῶν πολλοὺς εἶναι
θεούς, σὺ διαβεβαιοῦσαι μὴ δεῖν μήτε λέγειν μήτε εἶναι νομίζειν. λοιπὸν
πρὸς τὰ σαφῶς ·ηθέντα εἴ τι ἔχεις εἰπεῖν, ἐπὶ πάντων λέγε.

Καὶ ὁ Πέτρος ἔφη· Συντομώτερον ἄκουε πρὸς ἃ εἴρηκας. αὐτὸς ὁ νόμος
ὁ πολλάκις εἰπὼν θεοὺς αὐτὸς τῷ Ἰουδαίῳ ὄχλῳ λέγει· «Ἰδοὺ κυρίου τοῦ
θεοῦ σου ὁ οὐρανὸς τοῦ οὐρανοῦ, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς», συνπεριλα-
βὼν ὅτι, εἰ καί εἰσιν θεοί, ὑπ' αὐτόν εἰσιν, τουτέστιν ὑπὸ τὸν Ἰουδαίων θεόν.
καὶ πάλιν· «Ὅτι κύριος ὁ θεός σου, οὗτος θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐν τῇ
γῇ κάτω, καὶ οὐκ ἔστιν ἄλλος πλὴν αὐτοῦ». καὶ ἄλλῃ που λέγει ἡ γραφὴ
τῷ Ἰουδαίων ὄχλῳ· «Κύριος ὁ θεός σου, οὗτος θεὸς τῶν θεῶν», ὥσπερ
ὅτι, εἰ καί εἰσιν θεοί, ὑπὸ τὸν Ἰουδαίων θεόν εἰσιν. καὶ ἄλλῃ που

περὶ αὐτοῦ λέγει ἡ γραφή· «Ὁ θεὸς ὁ μέγας καὶ ἀληθινός, ὃς οὐ λαμβάνει
πρόσωπον οὐδὲ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν ὀρφανῷ καὶ χήρᾳ».
«μέγαν» δὲ καὶ «ἀληθινόν» καὶ «κρίσιν ποιοῦντα» τὸν Ἰουδαίων ἡ γραφὴ
εἰποῦσα θεὸν τοὺς ἄλλους μικροὺς καὶ οὐκ ἀληθινοὺς ἐσήμανεν. ἀλλὰ
καὶ ἄλλῃ που λέγει ἡ γραφή· «Ζῶ ἐγώ, λέγει κύριος, οὐκ ἔστιν θεὸς
ἕτερος πλὴν ἐμοῦ. ἐγὼ πρῶτος, ἐγὼ μετὰ ταῦτα, πλὴν ἐμοῦ θεὸς οὐκ
ἔστιν». καὶ πάλιν· «Κύριον τὸν θεόν σου φοβηθήσῃ καὶ αὐτῷ μόνῳ
λατρεύσεις». καὶ πάλιν· «Ἄκουε, Ἰσραήλ, κύριος ὁ θεὸς ὑμῶν κύριος
εἷς ἐστιν». καὶ ὁμῶς πολλαὶ φωναὶ μεθ' ὅρκου ἐπισφραγίζουσιν ὅτι
εἷς ἐστιν ὁ θεὸς καὶ πλὴν αὐτοῦ οὐκ ἔστιν θεός. ὅθεν θαυμάζω πῶς τοσούτων μαρτυρουσῶν φωνῶν ἕνα εἶναι θεόν, σὺ πολλοὺς εἶναι λέγεις.

Καὶ ὁ Σίμων· Ὁ λόγος τὴν ἀρχὴν ἦν μοι πρὸς σὲ ἀπὸ γραφῶν ἐλέγξαι
σε ὅτι ψεύδῃ λέγων μὴ πολλοὺς δεῖν φθέγγεσθαι θεούς. ὅθεν πολλὰς
ἐγγράφους ἔδειξα φωνὰς ὅτι αὐταὶ αἱ θεῖαι γραφαὶ πολλοὺς φθέγγονται
θεούς. καὶ ὁ Πέτρος· Αὐταὶ αἱ πολλοὺς φθεγγόμεναι θεοὺς γραφαί,
αὐταὶ παρῄνεσαν ἡμῖν εἰποῦσαι· «Ὀνόματα θεῶν ἑτέρων οὐκ ἀναβήσεται
ἐπὶ τῶν χειλέων σου». οὕτως οὐ παρὰ τὸ γεγραμμένον ἔφην, ὦ Σίμων.
καὶ ὁ Σίμων· Ἄκουσον πρὸς αὐτὸ καὶ σύ, ὦ Πέτρε. ἁμαρτάνειν μοι
δοκεῖς ὅτι αὐτῶν καταλέγεις, τῆς γραφῆς λεγούσης· «Οὐ κακολογήσεις,
καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς». καὶ ὁ Πέτρος· Οὐχ ἁμαρτάνω, Σίμων, ἀκολούθως ταῖς γραφαῖς τὴν ἀπώλειαν αὐτῶν προσημαίνων· οὕτω γὰρ γέγραπται· «Θεοί, οἳ τὸν οὐρανὸν καὶ τὴν γῆν οὐκ ἐποίησαν,
ἀπολέσθωσαν», καὶ τοῦτο εἰπὼν οὐχ ὡς ἐνίων πεποιηκότων καὶ μὴ ἀπολλυμένων, ὡς ἡρμήνευσας. δηλοῦται γὰρ εἷς ὁ πεποιηκὼς τῷ ἀπ' ἀρχῆς γεγράφθαι· «Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν». καὶ οὐκ
εἶπεν· «Οἱ θεοί». καὶ ἄλλῃ που λέγει· «Ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει

τὸ στερέωμα». καὶ ἐν ἑτέρῳ τόπῳ γέγραπται· «Οἱ οὐρανοὶ αὐτοὶ ἀπολοῦν-
ται, σὺ δὲ διαμενεῖς εἰς τὸν αἰῶνα». καὶ ὁ Σίμων ἔφη· Πρὸς τὸ ἐμὲ
δεῖξαι πολλοὺς εἶναι θεοὺς ἀπὸ τῶν γραφῶν φωνὰς σαφεῖς παρέστησα,
σὺ δὲ τοσαύτας ἢ καὶ πλείονας φωνὰς ἀπὸ τῶν αὐτῶν γραφῶν ἐνήνοχας,
δεικνύων ὅτι εἷς ἐστιν θεὸς καὶ οὗτος Ἰουδαίων. καὶ πρὸς τὸ εἰπεῖν με·
«Οὐ δεῖ κακολογεῖν θεούς» ἐπήγαγες πρὸς <τοῦτο> τὸ δεῖξαι ὅτι εἷς ἐστιν
ὁ πεποιηκώς, ὅτι οἱ μὴ πεποιηκότες ἀπολέσθαι ἔχουσιν. πρὸς δὲ τὸ εἰπεῖν
με ὅτι δεῖ θεοὺς λέγειν, καθὸ καὶ αἱ γραφαὶ αὐτοὺς λέγουσιν, καὶ πρὸς τοῦτο
ἔδειξας ὅτι μὴ δεῖ αὐτῶν ὀνόματα φθέγγεσθαι, τῷ τὴν αὐτὴν γραφὴν εἰπεῖν
ὀνόματα θεῶν ἑτέρων μὴ φθέγγεσθαι. ἐπεὶ οὖν αὐταὶ αἱ γραφαὶ πολλοὺς λέ-
γουσιν εἶναι θεοὺς καὶ ἄλλοτε ἕνα μόνον εἶναι–καὶ ὁτὲ μὲν μὴ κακολογεῖσθαι,
ὁτὲ δὲ κακολογεῖσθαι–, πρὸς τοῦτο τί δεῖ λογίσασθαι ἢ ὅτι αὐταὶ ἡμᾶς
αἱ γραφαὶ πλανῶσιν; καὶ ὁ Πέτρος ἔφη· Οὐ πλανῶσιν, ἀλλ' ἐλέγχου-
σιν καὶ εἰς φανερὸν ἄγουσιν τὴν ἐν ἑκάστῳ κατὰ τοῦ θεοῦ ἐνδομυχοῦσαν
ὥσπερ ὄφεως κακὴν προαίρεσιν. πολλοῖς γὰρ καὶ διαφόροις τύποις
ἐοικυῖαι πρόκεινται. ἕκαστος οὖν κηρῷ ἐοικυῖαν τὴν αὐτοῦ προαίρεσιν
ἔχων, περιβλεψάμενος αὐτὰς καὶ πάντα εὑρὼν ἐν αὐταῖς, ὁποῖον θεὸν
εἶναι θέλει, τήν (ὡς ἔφην) κηρῷ ἐοικυῖαν προαίρεσιν ἐπιβαλὼν ἀπο-
μάσσεται. ἐπεὶ οὖν ὅτι ἂν βούληταί τις περὶ θεοῦ φρονεῖν, ἐν αὐταῖς
εὑρίσκει, τούτου χάριν ὁ μὲν πολλῶν θεῶν ἰδέας ἀπομάσσεται ἀπ' αὐτῶν,
καὶ ἡμεῖς τὴν τοῦ ὄντως <ὄντος> ἀπεμαξάμεθα ἰδέαν, ἐκ τῆς ἡμετέ-
ρας μορφῆς τὸν ἀληθῆ ἐπιγνόντες τύπον. ἀλλὰ καὶ ἡ ἔνδοθεν ἡμῶν ψυχὴ
τὴν αὐτοῦ εἰκόνα πρὸς ἀθανασίαν ἡμφίεσται. ταύτης τὸν γεννήτορα
ἐὰν καταλίπω, δικαίᾳ κρίσει καὶ αὐτή με καταλιπεῖν ἔχει (αὐτῷ τῷ
τολμήματι γνωρίσασα ἄδικον) καὶ ὡς ἀπὸ δικαίου δικαίως καταλείψει

με, καὶ οὕτως τὴν ψυχὴν μετὰ κόλασιν, τῆς ἀπ' αὐτῆς ἀπολειφθείσης βοηθείας, φθαρήσομαι. εἰ δὲ ἔστιν ἕτερος, πρῶτον ἐνδυσάτω ἑτέραν ἰδέαν, ἑτέραν μορφήν, ἵνα διὰ τῆς τοῦ σώματος καινῆς μορφῆς τὸν καινὸν ἐπιγνῶ θεόν. εἰ δὲ καὶ τὴν μορφὴν ἀλλάξει, μήτι καὶ τῆς ψυχῆς τὴν οὐσίαν; εἰ δὲ καὶ ἀλλάξει, οὐκέτι ἐγώ εἰμι, ἄλλος γενόμενος καὶ μορφῇ καὶ οὐσίᾳ. ἄλλους οὖν πλαττέτω, εἰ ἄλλος ἐστίν. οὐκ ἔστιν δέ. εἰ δὲ ἦν, ἔπλασεν ἄν. ἐπεὶ οὖν οὐκ ἔπλασεν, ὡς οὐκ ὢν τὸν ὄντα τῷ ὄντι καταλιπέτω. οὐδεὶς γὰρ ἔστιν ἢ μόνῃ γνώμῃ Σίμωνος. ἐγὼ ἄλλον θεὸν οὐ παραδέχομαι πλὴν τὸν κτίσαντά με μόνον. καὶ ὁ Σίμων· Ἐπεὶ πυκνότερόν σε ὁρῶ τὸν λόγον ποιούμενον ὑπὲρ τοῦ πλάσαντός σε θεοῦ, μάθε παρ' ἐμοῦ πῶς καὶ εἰς αὐτὸν ἀσεβεῖς. οἱ πλάσαντες δύο φαίνονται ὡς ἡ γραφὴ λέγει· «Καὶ εἶπεν ὁ θεός· Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμετέραν». τὸ «ποιήσωμεν» δύο σημαίνει ἢ πλείονας, πλὴν οὐχ ἕνα. καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εἷς ἐστιν ὁ τῇ αὐτοῦ σοφίᾳ εἰπών· «Ποιήσωμεν ἄνθρωπον». ἡ δὲ σοφία, ᾗ ὥσπερ ἰδίῳ πνεύματι αὐτὸς ἀεὶ συνέχαιρεν, ἥνωται μὲν ὡς ψυχὴ τῷ θεῷ, ἐκτείνεται δὲ ἀπ' αὐτοῦ ὡς χείρ, δημιουργοῦσα τὸ πᾶν. διὰ τοῦτο δὲ καὶ εἷς ἄνθρωπος ἐγένετο, ἀπ' αὐτοῦ δὲ προῆλθεν καὶ τὸ θῆλυ. καὶ μονὰς οὖσα τῷ γένει δυάς ἐστιν. κατὰ γὰρ ἔκτασιν καὶ συστολὴν ἡ μονὰς δυὰς εἶναι νομίζεται. ὥστε ἑνὶ θεῷ ὡς γονεῦσιν ὀρθῶς ποιῶ τὴν πᾶσαν προσαναφέρων τιμήν. καὶ ὁ Σίμων ἔφη· Τί δέ; εἰ καὶ αἱ γραφαὶ ἑτέρους θεοὺς λέγουσιν, οὐ παραδέξει;

Καὶ ὁ Πέτρος ἀπεκρίνατο· Εἴτε αἱ γραφαὶ εἴτε προφῆται θεοὺς λέγουσιν, εἰς πειρασμὸν τῶν ἀκουόντων λέγουσιν. οὕτω γὰρ γέγραπται· «Ἐὰν ἀναστῇ ἐν σοὶ προφήτης, διδούς σοι σημεῖα καὶ τέρατα, καὶ ἔλθῃ τό τε σημεῖον ἐκεῖνο καὶ τὸ τέρας, ἐρεῖ δέ σοι· Πορευθέντες λατρεύσωμεν θεοῖς ἑτέροις, οἷς οὐκ ᾔδεισαν οἱ πατέρες σου, οὐκ ἀκούσεσθε τοῦ προφήτου ἐκείνου· ἐν πρώτοις ἔστωσαν αἱ χεῖρές σου λιθοβολῆσαι αὐτόν. ἐπείρασεν γάρ σε ἀποστῆναι ἀπὸ κυρίου τοῦ θεοῦ σου. ἐὰν δὲ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Πῶς

ἐποίησεν τὸ σημεῖον ἐκεῖνο ἢ τὸ τέρας, γινώσκων γνώσῃ ὅτι ὁ πειράζων ἐπείραζεν ἰδεῖν εἰ φοβῇ κύριον τὸν θεόν σου». ὅτι δὲ ὁ πειράζων ἐπείραζεν, εἴρητο, ἑτέρως δὲ μετὰ τὴν εἰς Βαβυλῶνα μετοικε-
σίαν φαίνεται. οὐ γὰρ ἂν ὁ τὰ πάντα γινώσκων θεός (ὡς ἐκ πολλῶν ἔστιν δεῖξαι) ἐπείραζεν, ἵνα γνῷ αὐτός, ὁ τὰ πάντα προγινώσκων. εἰ δὲ βούλει, περὶ τούτου τὸν λόγον ποιησώμεθα, καὶ δείξω προγινώσκοντα
τὸν θεόν. τὸ δὲ ἀγνοεῖν αὐτὸν ψεῦσμα ×ν καὶ τοῦτο πρὸς πειρασμὸν γρα-
φὲν ἀποδέδεικται. οὕτως ἡμεῖς, ὦ Σίμων, οὔτε ἀπὸ γραφῶν οὔτε ὑφ' ἑτέρου τινὸς σκανδαλισθῆναι δυνάμεθα οὔτε πολλοὺς θεοὺς ἀπο-
δέξασθαι ἀπατώμεθα οὐδὲ λόγῳ τινὶ κατὰ τοῦ θεοῦ λεγομένῳ συν-
τιθέμεθα. ἴσμεν γὰρ καὶ αὐτοὶ ἀπὸ τῶν γραφῶν ἀγγέλους θεοὺς λεχθέντας, λέγω δὲ ὡς ὁ ἐπὶ τῆς βάτου λαλήσας καὶ τῷ Ἰακὼβ παλαί-
σας, ἀλλὰ καὶ τὸν γεννώμενον Ἐμμανουὴλ [καὶ] τὸν λεγόμενον θεὸν ἰσχυρόν. ἀλλὰ μὴν καὶ Μωυσῆς θεὸς Φαραὼ ἐγενήθη, τῷ δὲ ὄντι ἄν-
θρωπος ἦν. ἔτι δὲ καὶ τὰ εἴδωλα τῶν ἐθνῶν. ἡμῖν δὲ εἷς θεός, εἷς ὁ τὰς
κτίσεις πεποιηκὼς καὶ διακοσμήσας τὰ πάντα, οὗ καὶ ὁ Χριστὸς υἱός, ᾧ
πειθόμενοι ἀπὸ τῶν γραφῶν τὰ ψευδῆ ἐπιγινώσκομεν. ἔτι δὲ καὶ ἐκ πατέρων
ἐφοδιαζόμενοι τῶν γραφῶν τὰ ἀληθῆ ἕνα μόνον οἴδαμεν τὸν πεποιηκότα
τούς τε οὐρανοὺς καὶ τὴν γῆν, θεὸν Ἰουδαίων καὶ πάντων τῶν σέβειν αὐτὸν αἱρουμένων. τοῦτον καὶ θεοφιλεῖ λογισμῷ ἀληθῆ δογματίσαντες
οἱ πατέρες παρέδοσαν ἡμῖν, ἵνα εἰδῶμεν ὅτι, εἴ τι κατὰ τοῦ θεοῦ λέγεται, ψεῦ-
δός ἐστιν. ἀλλὰ καὶ ὑπερβαλλόντως τι ἐρῶ· Εἰ τοῦτο οὕτως ὡς ἔφην οὐκ
ἔχει, ἐμοὶ γένοιτο καὶ τοῖς τἀληθὲς ἀγαπῶσιν περὶ εὐφημίας τοῦ πεποιηκότος
ἡμᾶς θεοῦ κινδυνεύειν.

Ταῦτα ὁ Σίμων ἀκούσας ἔφη· Ἐπειδὴ καὶ τῷ τὰ σημεῖα καὶ τέρατα διδόντι προφήτῃ, ἄλλον δὲ θεὸν λέγοντι φὴς μὴ δεῖν πιστεύειν μετὰ τοῦ
εἰδέναι ὅτι καὶ θάνατον ὀφείλει, οὐκοῦν καὶ ὁ διδάσκαλός σου ση-
μεῖα καὶ τέρατα δεδωκὼς εὐλόγως ἀνῃρέθη. καὶ ὁ Πέτρος ἀπεκρίθη· Ὁ κύ-

ριος ἡμῶν οὔτε θεοὺς εἶναι ἐφθέγξατο παρὰ τὸν κτίσαντα τὰ πάντα οὔτε ἑαυτὸν θεὸν εἶναι ἀνηγόρευσεν, υἱὸν δὲ θεοῦ τοῦ τὰ πάντα διακο-
σμήσαντος τὸν εἰπόντα αὐτὸν εὐλόγως ἐμακάρισεν. καὶ ὁ Σίμων ἀπε-
κρίνατο· Οὐ δοκεῖ σοι οὖν τὸν ἀπὸ θεοῦ θεὸν εἶναι; καὶ ὁ Πέτρος ἔφη· Πῶς τοῦτο εἶναι δύναται, φράσον ἡμῖν. τοῦτο γὰρ ἡμεῖς εἰπεῖν σοι οὐ δυνάμεθα, ὅτι μὴ ἠκούσαμεν παρ' αὐτοῦ. πρὸς τούτοις δὲ τοῦ πα-
τρὸς τὸ μὴ γεγεννῆσθαί ἐστιν, υἱοῦ δὲ τὸ γεγεννῆσθαι· γεννητὸν δὲ ἀγεννήτῳ ἢ καὶ αὐτογεννήτῳ οὐ συνκρίνεται. καὶ ὁ Σίμων ἔφη· Εἰ καὶ τῇ γενέσει οὐ ταὐτόν ἐστιν; καὶ ὁ Πέτρος ἔφη· Ὁ μὴ κατὰ πάντα τὸ αὐτὸ ὤν τινι τὰς αὐτὰς αὐτῷ πάσας ἔχειν προσωνυμίας οὐ δύναται. καὶ ὁ Σίμων· Τοῦτο λέγειν ἐστίν, οὐκ ἀποδεικνύειν. καὶ ὁ Πέτρος· Διὰ τί οὐ νοεῖς ὅτι τὸ μὲν αὐτογέννητον τυγχάνει ἢ καὶ ἀγέννητον, τὸ δὲ γεννητὸν ×ν τὰ αὐτὰ λέγεσθαι οὐ δύναται, οὐδ' ἂν τῆς αὐτῆς οὐσίας ὁ γεγεννημένος τῷ γεγεννηκότι ... ἀλλὰ καὶ τοῦτο μάθε· τὰ ἀνθρώπων σώματα ψυχὰς ἔχει ἀθανάτους, τὴν τοῦ θεοῦ πνοὴν ἠμφιεσμένας. καὶ ἐκ τοῦ θεοῦ προελθοῦσαι τῆς μὲν αὐτῆς οὐσίας εἰσίν, θεοὶ δὲ οὔκ εἰσιν.
εἰ δὲ θεοί εἰσι, τούτῳ τῷ λόγῳ πάντων ἀνθρώπων (τῶν τε ἀποθανόν-
των καὶ ζώντων καὶ γεννηθησομένων) αἱ ψυχαὶ θεοὶ τυγχάνουσιν. εἰ δὲ προσφιλονεικῶν μοι ἐρεῖς καὶ αὐτὰς θεοὺς εἶναι, καὶ τί τοῦτο ἔτι μέγα καὶ Χριστῷ, τὸ θεῷ λέγεσθαι; τοῦτο γὰρ ἔχει, ὃ καὶ πάντες ἔχου-
σιν. ἡμεῖς θεὸν λέγομεν, οὗ ἐστιν ἴδιον τὸ ἄλλῳ προσεῖναι μὴ δυ-
νάμενον. ὥσπερ γὰρ ἄπειρος ὢν πανταχόθεν διὰ τοῦτο λέγεται ἀπέ-
ραντος, καὶ ἀνάγκη πᾶσα, ἑτέρου μὴ δυναμένου ὡσαύτως ἀπείρου εἶναι,
μὴ εἶναι δυῶν τὸ καλεῖσθαι ἀπέραντος (εἰ δέ τις λέγει δυνατὸν εἶναι, ψεύδεται· δύο γὰρ πανταχόθεν ἄπειρα συνυπάρχειν οὐ δύναται· πε-
ραιοῦται γὰρ τὸ ἕτερον ὑπὸ τοῦ ἑτέρου), οὕτως φύσις ἐστὶν ἓν εἶναι τὸ
ἀγέννητον. εἰ δὲ ἐν σχήματί ἐστιν, καὶ οὕτως ἕν ἐστιν τὸ ἀσύγκριτον. διὰ τοῦτο καὶ ὕψιστος λέγεται, ὅτι πάντων ἀνώτερος ὢν τὰ πάντα αὐτῷ
ὑποκείμενα ἔχει.

Καὶ ὁ Σίμων· Μὴ γὰρ τοῦτό ἐστιν αὐτοῦ ἀπόρρητον ὄνομα, τὸ «θεός»,
ὅπερ πάντες λέγουσιν, ὅτι τοσοῦτον καὶ περὶ ὀνόματος διισχυρίζῃ, ἵνα μὴ ἄλλῳ
δοθῇ; καὶ ὁ Πέτρος ἔφη· Ἐπίσταμαι ὅτι τοῦτο οὐκ ἔστιν αὐτῷ τὸ ἀπόρ-
ρητον ὄνομα, ἀλλὰ τὸ κατὰ συνθήκην ἀνθρώπων λεγόμενον, ὅπερ εἰ ἑτέρῳ

δώσεις, καὶ τὸ μὴ λεγόμενον ἑτέρῳ προσάψεις, τῷ τῆς προαιρέσεως λόγῳ.
τὸ λεγόμενον ὄνομα τοῦ μὴ λεγομένου πρόοδός ἐστιν. τούτῳ τῷ λόγῳ ἡ ὕβρις καὶ εἰς τὸ μήπω ·ηθὲν λογίζεται, ᾧ λόγῳ ἡ πρὸς τὸ ἐγνωσμένον
τιμὴ εἰς τὸ μήπω ἐγνωσμένον ἀναφέρεται. καὶ ὁ Σίμων ἔφη· Ἤθελον εἰδέ-
ναι, Πέτρε, εἰ ἀληθῶς πιστεύεις ὅτι ἡ ἀνθρώπου μορφὴ πρὸς τὴν ἐκείνου
μορφὴν διατετύπωται. καὶ ὁ Πέτρος· Ἀληθῶς, ὦ Σίμων, οὕτως ἔχειν πεπλη-
ροφόρημαι. καὶ ὁ Σίμων· Πῶς θάνατος τὸ σῶμα λύειν δύναται, σφραγῖδι
μεγίστῃ διατετυπωμένον; καὶ ὁ Πέτρος· Θεοῦ δικαίου ἐστὶν μορφή. ἐπὰν οὖν ἀδικεῖν ἄρξηται, ἡ ἐν αὐτῷ ἰδέα φεύγει, καὶ οὕτως τὸ σῶμα λύεται, ἵνα ἡ μορφὴ ἀφανὴς γένηται, ὅπως μὴ δικαίου θεοῦ μορφὴν ἄδικον ἔχῃ σῶμα. ἡ μέντοι λύσις οὐ περὶ τὴν σφραγῖδα γίνεται, ἀλλὰ περὶ τὸ σφραγισθὲν σῶμα. ἄνευ δὲ τοῦ σφραγίσαντος τὸ σφραγισθὲν οὐ λύεται. οὕτως ἄνευ κρίσεως οὐδὲ τὸ ἀποθανεῖν ἔξεστιν. καὶ ὁ Σίμων· Τίς οὖν ἀνάγκη ἦν τὴν τοιούτου μορφὴν τῷ ἀπὸ γῆς ἐγερθέντι δοῦναι ἀνθρώπῳ; καὶ ὁ Πέτρος· Διὰ τὴν τοῦ πεποιηκότος θεοῦ φιλαν-
θρωπίαν γέγονεν. ἐπεὶ γὰρ τῷ κατ' οὐσίαν λόγῳ πάντα κρείττονα τυγ-
χάνει τῆς ἀνθρώπου σαρκός, λέγω δὲ τὸν αἰθέρα, τὸν ἥλιον, τὴν σελή-
νην, τοὺς ἀστέρας, τὸν ἀέρα, τὸ ὕδωρ, τὸ πῦρ, ἑνὶ λόγῳ καὶ τὰ λοιπὰ πάν-
τα, ἅτινα εἰς ὑπηρεσίαν ἀνθρώπου γενόμενα καὶ κατ' οὐσίαν κρείττονα
ὄντα ἡδέως ὑπομένει δουλεύειν τῷ κατ' οὐσίαν χείρονι διὰ τὴν τοῦ κρείτ-
τονος μορφήν (ὡς γὰρ οἱ πήλινον ἀνδριάντα βασιλέως τιμῶντες τὴν τιμὴν ἀναφερομένην ἔχουσιν εἰς ἐκεῖνον, οὗπερ ὁ πηλὸς τὴν μορφὴν τυγχάνει ἔχων, οὕτως καὶ ἡ πᾶσα κτίσις τῷ ἀπὸ γῆς γενομένῳ ἀνθρώπῳ
χαίρουσα δουλεύει, εἰς τὴν ἐκείνου ἀφορῶσα τιμήν), ἰδὲ οἵῳ θεῷ, Σίμων, ἀχαριστεῖν ἡμᾶς πεῖσαι θέλεις· καὶ βαστάζει σε ἡ γῆ, ἴσως δὲ ἰδεῖν βουλομένη τίς σοι τὰ ὅμοια φρονεῖν τολμήσοι. πρῶτος γὰρ ἐτόλμη-
σας, ὃ μηδεὶς ἐτόλμησεν· πρῶτος ἐφθέγξω, ἃ πρώτως ἠκούσαμεν. πρῶ-
τοι καὶ μόνοι ἡμεῖς ἐπὶ τοιαύτῃ σου ἀσεβείᾳ τὴν ἄπειρον τοῦ θεοῦ μακρο-

θυμίαν ἱστορήσαμεν καὶ οὐκ ἄλλου τινὸς ἢ τοῦ κτίσαντος τὸν κόσμον,
εἰς ὃν ἀσεβεῖν ἐτόλμησας. καὶ χάσματα γῆς οὐκ ἐγενήθη καὶ πῦρ ἀπ' οὐρανοῦ οὐ κατεπέμφθη καὶ εἰς ἐμπρησμὸν ἀνδρῶν οὐκ ἐπεξῆλθεν καὶ ὑετὸς οὐκ ἐπεχέθη καὶ θηρῶν πλῆθος ἀπὸ δρυμῶν οὐκ ἐπέμφθη, καὶ ἐπ' αὐτοὺς ἡμᾶς διὰ ἕνα ἁμαρτάνοντα ὡς ἐπὶ μοιχείας πνευματικῆς
τῆς κατὰ σάρκα χείρονος ὑπαρχούσης ἡ θεοῦ ὀργὴ ὀλέθριος οὐκ ἤρξατο.
οὐ γάρ ἐστιν ὁ τότε ἐπεξελθὼν τὰ ἁμαρτήματα οὐρανοῦ καὶ γῆς κτίστης
θεός; ἐπεὶ καὶ νῦν τὰ μέγιστα βλασφημούμενος τὰ μέγιστα ἐπεξήρχετο.
ἀλλὰ τοὐναντίον μακροθυμεῖ, εἰς μετάνοιαν καλεῖ, συντελοῦντα βέλη πρὸς συντέλειαν τῶν ἀσεβῶν ἐν τοῖς θησαυροῖς ἀποκείμενα ἔχων. ἅτινα
ἐπαφήσει ὡς ζῷα ἔμψυχα, ὅταν ἀνταποδοῦναι κρίσιν τοῖς ἐχθροῖς αὐτοῦ
προκαθεσθῇ. διὸ φοβηθῶμεν θεὸν δίκαιον, οὗ τὴν μορφὴν πρὸς τιμὴν τὸ ἀνθρώπου βαστάζει σῶμα.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ὁ Σίμων ἀπεκρίνατο· Ἐπειδὴ ὁρῶ σε σοφῶς
αἰνισσόμενον ὅτι τὰ γεγραμμένα κατὰ τοῦ δημιουργοῦ ἐν ταῖς βίβλοις οὐκ
ἀληθῆ τυγχάνει, αὔριον ἀπὸ τῶν τοῦ διδασκάλου σου λόγων δείξω τὸν δημιουργὸν μὴ ἀνώτατον λέγοντα εἶναι θεόν. καὶ ὁ Σίμων ταῦτα εἰπὼν ἐξῆλθεν. ὁ δὲ Πέτρος τοῖς παρεστῶσιν ὄχλοις ἔφη· Ὁ Σίμων κἂν
μηδὲν ἕτερον περὶ θεοῦ βλάψαι ἡμᾶς δυνηθῇ, ἀλλ' οὖν γε ἐμποδίζει ὑμῖν
ἀκούειν τοὺς τὴν ψυχὴν δυναμένους καθαίρειν λόγους. ταῦτα τοῦ Πέτρου
εἰπόντος πολὺς ψιθυρισμὸς ἐγένετο τῶν ὄχλων λεγόντων· Τίς δὲ ἀνάγκη
ἐᾶν αὐτὸν ἐνταῦθα εἰσιόντα τὰς κατὰ τοῦ θεοῦ βλασφημίας λέγειν; καὶ ὁ
Πέτρος ἀκούσας ἔφη· Γένοιτο μέχρι Σίμωνος ἀρκετὸν γενέσθαι τὸν κατὰ
τοῦ θεοῦ πρὸς πειρασμὸν ἀνθρώπων λόγον. «Ἔσονται» γάρ, ὡς ὁ κύριος εἶπεν,

«ψευδαπόστολοι, ψευδεῖς προφῆται, αἱρέσεις, φιλαρχίαι», αἵτινες ὡς στοχάζο-
μαι ἀπὸ τοῦ τὸν θεὸν βλασφημοῦντος Σίμωνος τὴν ἀρχὴν λαβοῦσαι εἰς
τὸ τὰ αὐτὰ τῷ Σίμωνι κατὰ τοῦ θεοῦ λέγειν συνεργήσουσιν. καὶ ταῦτα
εἰπὼν μετὰ δακρύων τῇ χειρὶ προσεκαλεῖτο τοὺς ὄχλους, οἷς προσελθοῦσιν
τὰς χεῖρας ἐπιτιθῶν καὶ εὐχόμενος ἀπέλυεν, λέγων ὀρθρίτερον συνέρχε-
σθαι. ταῦτα εἰπὼν καὶ στενάζων εἰσελθὼν οὔτε τροφῆς μεταλαβὼν ὕπνωσεν.

[ΟΜΙΛΙΑ ΙΖ.]

Τῆς μὲν οὖν ἄλλης ἡμέρας ὁ Πέτρος πρὸς Σίμωνα ζητεῖν μέλλων ὀρθρίτερον ἐξυπνισθεὶς ηὔξατο. καὶ ἅμα τῷ παύσασθαι ὁ Ζακχαῖος εἰσῄει λέγων· Σίμων ἔξω καθέζεται μετὰ ἰδίων αὐτοῦ τινων ὡς τριάκοντα διαλεγόμενος. καὶ ὁ Πέτρος ἔφη· Ἐάσθω λαλεῖν, μέχρις ὅτε πλῆθος γένηται, καὶ τότε ζητεῖν ἀρξώμεθα, ἵνα οὕτως ἡμεῖς τὰ ὑπ' αὐτοῦ λεγόμενα ἀκούσαντες, πρὸς αὐτὰ ἁρμοσάμενοι, ἐξελθόντες διαλεχθῶμεν. καὶ δὴ οὕτως ἐγένετο. ἐκβὰς οὖν καὶ μετ' οὐ πολὺ πάλιν εἰσελθὼν ὁ Ζακχαῖος ἀντέβαλλεν τῷ Πέτρῳ τοὺς ὑπὸ Σίμωνος [τῷ Πέτρῳ] ·ηθέντας λόγους. ἔλεγεν δέ· Αἰτιᾶταί σε, Πέτρε, ὡς κακίας ὄντα ὑπηρέτην καὶ μαγείᾳ πολὺ δυνάμενον καὶ εἰδωλολατρείας χεῖρον τὰς τῶν ἀνθρώπων φαντασιοῦντα ψυχάς. εἰς τὸ μὲν οὖν μάγον εἶναί σε ταύτην ἐδόκει φέρειν ἀπόδειξιν λέγων· Σύνοιδα ἐμαυτῷ ὅτι, ὧν κατ' ἐμαυτὸν σκέπτομαι, ἐλθὼν συζητεῖν αὐτῷ οὐδὲ ἕνα μνημονεύω λόγον. αὐτοῦ γὰρ διαλεγομένου κἀμοῦ τὸν νοῦν ἀσχολοῦντος εἰς τὸ ἀναπολέσαι τίνα ἐστὶν ἃ ἐλογισάμην ἐλθὼν λέγειν πρὸς αὐτόν, οὐδ' ὁτιοῦν ὧν λέγει ἐπακούω. ἐπεὶ οὖν ἐπ' ἄλλου τινὸς τοιοῦτό τι οὐ πάσχω ἢ ἐπ' αὐτοῦ μόνου, πῶς οὐχὶ μαγευόμενος ὑπ' αὐτοῦ τυγχάνω; τὸ δὲ ὅτι, ἃ ἂν διδάσκῃ, εἰδωλολατρείας χείρονά ἐστιν, τῷ γε νοῦν ἔχοντι ἐμοῦ μηνύσαντος σαφὲς ἔσται. οὐθὲν γὰρ ἕτερον ὠφεληθῆναι ἔστιν ἢ τὸ τὴν ψυχὴν εἰδώλων παντοδαπῶν ἐλευθέραν γενέσθαι. φανταζομένη γὰρ εἶδος δεσμεῖται φόβῳ, καὶ φροντίδι τοῦ παθεῖν τι μαραίνεται καὶ ἀλλοιουμένη δαιμονᾷ καὶ δαιμονῶσα τοῖς πολλοῖς σωφρονεῖν δοκεῖ. τοῦτο ὑμῖν Πέτρος ὑποσχέσει τοῦ σωφρονίζειν παρέχει. προφάσει γὰρ ἑνὸς θεοῦ δοκεῖ μὲν ὑμᾶς πολλῶν ἀψύχων ἀπαλλάσσειν εἰδώλων, ἃ οὐ πάνυ τοὺς σέβοντας ἀδικεῖ, τῷ αὐτοῖς ὀφθαλμοῖς ὁρᾶσθαι λίθινα ὄντα ἢ χάλκεα ἢ χρύσεα ἢ καὶ ἐξ ἄλλης τινὸς ἀψύχου ὕλης. διὸ τῷ εἰδέναι ὅτι τὸ βλεπόμενον οὐδέν ἐστιν, οὐχ ὁμοίως τῷ ὁρατῷ ὑπὸ φόβου φαντα-

σιοῦσθαι δύναται ἡ ψυχή. πλάνῳ δὲ διδασκαλίᾳ εἰς φοβερὸν θεὸν ἀπο-
βλέπουσα τῶν κατὰ φύσιν ἐκβαθρεύεται. καὶ ταῦτα ἐγὼ λέγω, οὐχ
ὅτι ὑμᾶς εἴδωλα σέβειν παραινῶ, ἀλλ' ὅτι Πέτρος φοβερῶν ἰδεῶν δοκῶν
ἀπαλλάσσειν ὑμῶν τὰς ψυχάς, φοβερωτέρᾳ ἰδέᾳ τὸν ἑκάστου ὑμῶν ἐν-
θουσιᾶν ποιεῖ νοῦν, θεὸν ἐν μορφῇ εἰσηγούμενος καὶ ταῦτα ἄκρως δί-
καιον, ᾧ ἕπεται τὸ φοβερὸν καὶ τῇ συννοούσῃ ψυχῇ τὸ φρικῶδες, δυ-
νάμενον καὶ τῶν ὀρθῶν λογισμῶν ἐκλῦσαι τοὺς τόνους. ἐν γὰρ τοιούτῳ
καθεστὼς χειμῶνι ὁ νοῦς ὡς βυθὸς ὑπὸ ἀνέμου σφοδροῦ θολοῦται τὸ
λαμπρόν. διὸ εἰ ἐπ' ὠφελείᾳ ὑμῶν προσέρχεται, μὴ ὑμῶν τοὺς ἐξ
ἀψύχων μορφῶν ἠπίως γινομένους φόβους ἐκλύειν δοκῶν φοβερὰν θεοῦ
ἀντεισφερέτω μορφήν. μορφὴν δὲ ἔχει θεός; εἰ δὲ ἔχει, ἐν σχήματί
ἐστιν. ἐν σχήματι δὲ ὢν πῶς οὐ περιόριστός ἐστιν; περιόριστος δὲ
ὢν ἐν τόπῳ ἐστίν. ἐν τόπῳ δὲ ὢν ἥττων ἐστὶν τοῦ περιέχοντος αὐτὸν
τόπου. ἥττων δέ τινος ὢν πῶς πάντων ἐστὶν ἢ μείζων ἢ κρείττων ἢ
ἀνώτατος; καὶ ταῦτα μὲν οὕτως. ὅτι δὲ ἀληθῶς οὐδὲ τὰ ὑπὸ τοῦ
διδασκάλου αὐτοῦ ·ηθέντα πιστεύει, φανερόν ἐστιν· τὰ γὰρ ἐναντία
αὐτῷ κηρύσσει. ἐκείνου γὰρ εἰπόντος τινί (ὡς μανθάνω)· «Μή με λέγε
ἀγαθόν, ὁ γὰρ ἀγαθὸς εἷς ἐστιν», ἀγαθὸν δὲ εἰπὼν οὐκέτι ἐκεῖνον λέγει
τὸν δίκαιον, ὃν αἱ γραφαὶ κηρύσσουσιν, ὃς ἀποκτέννει καὶ ζωοποιεῖ,
ἀποκτέννει μὲν τοὺς ἁμαρτάνοντας, ζωοποιεῖ δὲ τοὺς κατὰ γνώμην αὐτοῦ
βιοῦντας. ὅτι δὲ ὄντως οὐ τὸν δημιουργὸν ἔλεγεν ἀγαθόν, τῷ διανοη-
θῆναι δυναμένῳ σαφές ἐστιν. τοῦ γὰρ δημιουργοῦ ἐγνωσμένου καὶ τῷ
πλασθέντι Ἀδὰμ καὶ τῷ εὐαρεστήσαντι αὐτῷ Ἐνὼχ καὶ τῷ ὑπ' αὐτοῦ
δικαίῳ ὁραθέντι Νῶε, ὁμοίως καὶ τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ,
ἀλλὰ καὶ Μωϋσῇ καὶ λαῷ καὶ ὅλῳ τῷ κόσμῳ, ὁ διδάσκαλος αὐτοῦ Πέ-
τρου Ἰησοῦς ἐλθὼν ἔλεγεν· «Οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱός, ὡς
οὐδὲ τὸν υἱόν τις οἶδεν εἰ μὴ ὁ πατὴρ καὶ οἷς ἂν βούληται ὁ υἱὸς ἀπο-
καλύψαι». εἰ οὖν αὐτὸς υἱὸς ἦν ὁ παρών, ἀπὸ τῆς αὐτοῦ παρουσίας
οἷς ἐβούλετο τὸν πᾶσιν ἄγνωστον ἀπεκάλυπτεν. καὶ οὕτως τοῖς πρὸ
αὐτοῦ πᾶσιν ἄγνωστος ἦν ὁ πατήρ, οὐχ οὗτος ὢν ὁ πᾶσιν ἐγνωσμένος.
καὶ τοῦτο εἰπὼν Ἰησοῦς οὐδὲ αὐτὸς ἑαυτῷ συμφωνεῖ. ἐνίοτε γὰρ ἄλλαις

φωναῖς τὸν ἀπὸ τῶν γραφῶν φοβερὸν καὶ δίκαιον συνίστησι θεὸν λέγων·
«Μὴ φοβηθῆτε ἀπὸ τοῦ ἀποκτέννοντος τὸ σῶμα, τῇ δὲ ψυχῇ μὴ δυνα-
μένου τι ποιῆσαι· φοβήθητε δὲ τὸν δυνάμενον καὶ σῶμα καὶ ψυχὴν
εἰς τὴν γέενναν τοῦ πυρὸς βαλεῖν. ναὶ λέγω ὑμῖν, τοῦτον φοβήθητε».
ὅτι δὲ ὄντως τοῦτον φοβηθῆναι ἔλεγεν ὡς δίκαιον θεόν, πρὸς ὃν
καὶ ἀδικουμένους βοᾶν λέγει, παραβολὴν εἰς τοῦτο εἰπὼν ἐπάγει
τὴν ἑρμηνείαν λέγων· «Εἰ οὖν ὁ κριτὴς τῆς ἀδικίας ἐποίησεν οὕτως διὰ
τὸ ἑκάστοτε ἀξιωθῆναι, πόσῳ μᾶλλον ὁ πατὴρ ποιήσει τὴν ἐκδίκησιν
τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτός; ἢ διὰ τὸ μακροθυμεῖν
αὐτὸν ἐπ' αὐτοῖς δοκεῖτε ὅτι οὐ ποιήσει; ναὶ λέγω ὑμῖν, ποιήσει, καὶ
ἐν τάχει». ὁ δὲ ἐκδικοῦντα καὶ ἀμυνόμενον λέγων θεὸν δίκαιον αὐτὸν
τῇ φύσει συνίστησιν καὶ οὐκ ἀγαθόν. ἔτι δὲ καὶ ἐξομολογεῖται τῷ κυ-
ρίῳ οὐρανοῦ καὶ γῆς. εἰ δὲ κύριός ἐστιν οὐρανοῦ καὶ γῆς, ὁμολογεῖται
δημιουργός, δημιουργὸς δὲ ὢν δίκαιός ἐστιν. ποτὲ μὲν ἀγαθὸν λέγων,
ποτὲ δὲ δίκαιον, οὐδὲ οὕτως συμφωνεῖ. τρίτον δὲ ὁ σοφὸς αὐτοῦ μα-
θητὴς ἐχθὲς διισχυρίζετο ἐνάργειαν ὀπτασίας ἱκανωτέραν εἶναι, οὐκ
εἰδὼς ὅτι ἡ ἐνάργεια ἀνθρωπεία εἶναι δύναται, ἡ δὲ ὀπτασία θεότητος εἶναι
ὁμολογεῖται. ταῦτα καὶ τὰ τούτοις ὅμοια, Πέτρε, ὁ Σίμων τοῖς ὄχλοις
ἔξω ἑστὼς καὶ διαλεγόμενος, ταράσσειν μοι δοκεῖ τοὺς πλείονας. διὸ ἑξαυτῆς
ἔξιθι, ἀληθείας δυνάμει τοὺς αὐτοῦ ψευδεῖς ἐκλύων λόγους.

Ταῦτα τοῦ Ζακχαίου εἰπόντος ὁ Πέτρος συνήθως εὐξάμενος ἐξῄει
καὶ εἰς τὸν πρὸ μιᾶς τόπον στὰς καὶ τῷ τῆς θεοσεβείας ἔθει προσαγορεύ-
σας τοὺς ὄχλους τοῦ λέγειν ἤρξατο οὕτως· Ἀληθὴς ὢν προφήτης ὁ κύριος
ἡμῶν Ἰησοῦς (ὡς ἐπὶ καιροῦ καὶ περὶ τούτου πληροφορήσω) περὶ τῶν
τῇ ἀληθείᾳ διαφερόντων συντόμως τὰς ἀποφάσεις ἐποιεῖτο διὰ δύο ταῦτα,
ὅτι πρὸς θεοσεβεῖς ἐποιεῖτο τὸν λόγον εἰδότας τὰ ἀποφάσει ὑπ' αὐτοῦ ἐκ-
φερόμενα πιστεύειν (οὐδὲ γὰρ ἦν ξένα τῆς αὐτῶν συνηθείας τὰ λεγόμενα),
δεύτερον δὲ ὅτι προθεσμίαν ἔχων κηρύξαι τῷ τῆς ἀποδείξεως οὐκ ἐχρῆτο
λόγῳ, ἵνα μὴ εἰς λόγους τὸν πάντα τῆς προθεσμίας δαπανᾷ χρόνον, καὶ

οὕτως αὐτῷ συμβήσεται εἰς ὀλίγων λόγων ἐπιλύσεις ἀσχολουμένῳ τῶν ὑπὸ
πόνου ψυχῆς νοεῖσθαι δυναμένων τοὺς ἀληθείᾳ διαφέροντας μὴ ἐπὶ πλεῖον
εἰσφέρειν λόγους. ἐπειδὴ περὶ ὧν ἤθελεν ἀπεφαίνετο ὡς λαῷ νοεῖν δυναμένῳ,
ἀφ' ὧν ἐσμεν καὶ ἡμεῖς, οἳ ὁπότε κατὰ τὸ σπάνιον οὐκ ἐνοήσαμέν τι τῶν ὑπ'
αὐτοῦ ·ηθέντων, ἰδίᾳ ἐπυνθανόμεθα, ἵνα ἡμῖν τι τῶν ὑπ' αὐτοῦ ·ηθέντων
μὴ ἀνόητον ᾖ. εἰδὼς οὖν ἡμᾶς εἰδότας πάντα τὰ ὑπ' αὐτοῦ ·ηθέντα καὶ
τὰς ἀποδείξεις παρασχεῖν δυναμένους, εἰς τὰ ἀμαθῆ ἔθνη ἀποστέλλων
ἡμᾶς βαπτίζειν αὐτοὺς εἰς ἄφεσιν ἁμαρτιῶν, ἐνετείλατο ἡμῖν πρότερον
διδάξαι αὐτούς· ἀφ' ὧν ἐντολῶν αὕτη πρώτη καὶ μεγάλη τυγχάνει, τὸ
φοβηθῆναι κύριον τὸν θεὸν καὶ αὐτῷ μόνῳ λατρεύειν. θεὸν δὲ φοβεῖσθαι
ἐκεῖνον εἶπεν, οὗ οἱ ἄγγελοι οἱ τῶν ἐν ἡμῖν ἐλαχίστων πιστῶν ἐν τῷ
οὐρανῷ ἑστήκασιν θεωροῦντες τὸ πρόσωπον τοῦ πατρὸς διαπαντός·
μορφὴν γὰρ ἔχει–διὰ πρῶτον καὶ μόνον κάλλος–καὶ πάντα μέλη, οὐ
διὰ χρῆσιν· οὐ γὰρ διὰ τοῦτο ὀφθαλμοὺς ἔχει, ἵνα ἐκεῖθεν βλέπῃ (παν-
ταχόθεν γὰρ ὁρᾷ, τοῦ ἐν ἡμῖν βλεπτικοῦ πνεύματος ἀπαραβλήτως λαμ-
πρότερος ὢν τὸ σῶμα καὶ παντὸς φωτὸς στιλπνότερος, ὡς πρὸς σύγκρι-
σιν αὐτοῦ τὸ ἡλίου φῶς λογισθῆναι σκότος), ἀλλ' οὐδὲ διὰ τοῦτο ὦτα
ἔχει, ἵνα ἀκούῃ (πανταχόθεν γὰρ ἀκούει, νοεῖ, κινεῖ, ἐνεργεῖ, ποιεῖ).
τὴν δὲ καλλίστην μορφὴν ἔχει δι' ἄνθρωπον, ἵνα οἱ καθαροὶ τῇ καρδίᾳ
αὐτὸν ἰδεῖν δυνηθῶσιν, ἵνα χαρῶσιν δι' ἅτινα ταῦτα ὑπέμειναν. τῇ γὰρ
αὐτοῦ μορφῇ ὡς ἐν μεγίστῃ σφραγῖδι τὸν ἄνθρωπον διετυπώσατο, ὅπως
ἁπάντων ἄρχῃ καὶ κυριεύῃ καὶ πάντα αὐτῷ δουλεύῃ. διὸ κρίνας εἶναι
τὸ πᾶν αὐτὸν καὶ τὴν αὐτοῦ εἰκόνα τὸν ἄνθρωπον (αὐτὸς ἀόρατος, ἡ
δὲ αὐτοῦ εἰκὼν ὁ ἄνθρωπος ὁρατός) ὁ αὐτὸν σέβειν θέλων τὴν ὁρατὴν
αὐτοῦ τιμᾷ εἰκόνα, ὅπερ ἐστὶν ἄνθρωπος. ὅτι ἂν οὖν τις ποιήσῃ ἀν-
θρώπῳ (εἴτε ἀγαθὸν εἴτε κακόν) εἰς ἐκεῖνον ἀναφέρεται. διὸ καὶ ἡ
ἐξ αὐτοῦ κρίσις πᾶσι κατ' ἀξίαν ἀπονέμουσα ἑκάστῳ προελεύσεται· τὴν
γὰρ αὐτοῦ μορφὴν ἐκδικεῖ. ἀλλ' ἐρεῖ τις· Εἰ μορφὴν ἔχει, καὶ σχῆμα

ἔχει καὶ ἐν τόπῳ ἐστίν· ἐν τόπῳ δὲ ὢν καὶ ὑπ' αὐτοῦ περιεχόμενος ὡς ἥττων, πῶς ὑπὲρ πάντας ἐστὶν μέγας; πῶς δὲ καὶ πανταχῇ εἶναι δύναται ἐν σχήματι ὤν; πρὸς τὸν ταῦτα λέγοντα πρῶτον ἔστιν εἰπεῖν· Τοιαῦτα περὶ αὐτοῦ φρονεῖν πείθουσιν καὶ πιστεύειν ..., ἡμεῖς δὲ ἀληθεῖς γινώσκομεν τὰς μαρτυρουμένας ὑπὸ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὗ κατὰ κέλευσιν τὰς ἀποδείξεις ὑμῖν τοῦ οὕτως ἔχειν ἀνάγκη παρέχειν.
πρῶτον δὲ περὶ τόπου ἐρῶ καὶ θεοῦ. τόπος ἐστὶν τὸ μὴ ὄν, θεὸς δὲ τὸ ὄν· τὸ δὲ μὴ ×ν τῷ ὄντι οὐ συγκρίνεται. πῶς γὰρ τόπος ὢν εἶναι δύναται;
ἐκτὸς εἰ μὴ δευτέρα χώρα εἴη, οἷον οὐρανός, γῆ, ὕδωρ, ἀὴρ καὶ εἰ ἄλλο τί ἐστιν
σῶμα, ὃ ἂν καὶ αὐτοῦ πληροῖ τὸ κενόν, ὃ διὰ τοῦτο κενὸν λέγεται, ὅτι οὐδέν
ἐστιν. τοῦτο γὰρ αὐτῷ (τὸ οὐδέν) οἰκειότερον ὄνομα· τὸ γὰρ λεγόμενον κενὸν
τί ποτε ὡς σκεῦός ἐστιν οὐδὲν ἔχον; πλὴν αὐτὸ τὸ σκεῦος κενὸν ×ν οὐκ αὐτό
ἐστι τόπος, ἀλλ' ἐν ᾧ ἐστιν αὐτὸ τὸ κενόν, εἴπερ σκεῦός ἐστιν. ἀνάγκη
γὰρ πᾶσα τὸ ×ν ἐν τῷ μηδὲν ὄντι εἶναι. τοῦτο δὲ τὸ μὴ ×ν λέγω (ὃ ὑπό
τινων τόπος λέγεται) οὐδὲν ὄν. οὐδὲν δὲ ×ν τῷ ὄντι πῶς συγκρίνεται;
ἐκτὸς εἰ μὴ ἐν τοῖς ἐναντίοις, ἵνα τὸ μὲν ×ν μὴ ᾖ, τὸ δὲ μὴ ×ν τόπος λέγη-
ται. εἰ δὲ καὶ ἔστιν τι, πολλῶν παραδειγμάτων σπευδόντων ἐξ ἐμοῦ προελθεῖν εἰς ἀπόδειξιν ἑνὶ μόνῳ χρήσασθαι θέλω, ἵνα δείξω ὅτι οὐ πάντως τὸ περιέχον τοῦ περιεχομένου κρεῖττόν ἐστιν. ὁ ἥλιος σχῆμά ἐστιν περιφερὲς καὶ ὑπὸ ἀέρος ὅλος περιέχεται, ἀλλὰ τοῦτον ἐκλαμπρύνει,
τοῦτον θερμαίνει, τοῦτον τέμνει, κἂν ἀπῇ αὐτοῦ, σκότῳ περιβάλλεται,
καὶ ὃ ἂν αὐτοῦ μέρος λαμπρὸν γένηται, ὡς νεκρούμενον ψύχεται, ὑπὸ
δὲ τῆς αὐτοῦ ἀνατολῆς πάλιν φωτίζεται, καὶ ὅπου ἂν αὐτῷ παραθάλπη-
ται, καὶ κάλλει τῷ μείζονι κοσμεῖται. καὶ ταῦτα ποιεῖ τῇ αὐτοῦ μετουσίᾳ τὴν οὐσίαν περιωρισμένην ἔχων. τί οὖν ἔτι κωλύει τὸν θεὸν ὡς τούτου καὶ πάντων δημιουργὸν καὶ δεσπότην ὄντα, αὐτὸν μὲν ἐν σχήματι

καὶ μορφῇ καὶ κάλλει ὄντα, τὴν ἀπ' αὐτοῦ μετουσίαν ἀπείρως ἐκτεταμέ-
νην ἔχειν; εἷς οὖν ἐστιν ὁ ὄντως θεός, ὃς ἐν κρείττονι μορφῇ προκαθέ-
ζεται, τοῦ ἄνω τε καὶ κάτω δις ὑπάρχων καρδία–καὶ ἀπ' αὐτοῦ,
ὥσπερ ἀπὸ κέντρου βρύουσα τὴν ζωτικὴν καὶ ἀσώματον δύναμιν, τὰ
πάντα σύν τε ἄστροις καὶ μόνοις οὐρανοῦ, ἀέρος, ὕδατος, γῆς, πυρὸς
καὶ εἰ ἄλλο τί ἐστιν, διικνεῖται οὐσία ἄπειρος εἰς ὕψος, ἀπέραντος εἰς βά-
θος, ἀμέτρητος εἰς πλάτος, τρὶς ἐπ' ἄπειρον τὴν ἀπ' αὐτοῦ ζωοποιὸν
καὶ φρόνιμον ἐκτείνουσα φύσιν. τοῦτο οὖν τὸ ἐξ αὐτοῦ πανταχόθεν
ἄπειρον ἀνάγκη εἶναι, καρδίαν ἔχον τὸν ὄντως ὑπὲρ πάντα ἐν σχήματι, ὅς,
ὅπου πότ' ἂν ᾖ, ὡς ἐν ἀπείρῳ μέσος ἐστίν, τοῦ παντὸς ὑπάρχων ὅρος.
ἀπ' αὐτοῦ οὖν ἀρχόμεναι αἱ ἐκτάσεις ἐξ ἀπεράντων ἔχουσιν τὴν φύσιν.
ὧν ὁ μὲν ἀπ' αὐτοῦ λαβὼν τὴν ἀρχὴν διικνεῖται εἰς ὕψος ἄνω, ὁ δὲ
εἰς βάθος κάτω, ὁ δὲ ἐπὶ δεξιάν, ὁ δὲ ἐπὶ λαιάν, ὁ δὲ ἔμπροσθεν, ὁ δὲ
ὄπισθεν, εἰς οὓς αὐτὸς ἀποβλέπων ὡς εἰς ἀριθμὸν πανταχόθεν ἴσον χρονικοῖς
ἐξ διαστήμασιν συντελεῖ τὸν κόσμον, αὐτὸς ἀνάπαυσις ὢν καὶ τὸν ἐσό-
μενον ἄπειρον αἰῶνα εἰκόνα ἔχων, ἀρχὴ ὢν καὶ τελευτή. εἰς αὐτὸν γὰρ
τὰ ἐξ ἄπειρα τελευτᾷ καὶ ἀπ' αὐτοῦ τὴν εἰς ἄπειρον ἔκτασιν λαμβάνει. τοῦ-
τό ἐστιν ἑβδομάδος μυστήριον. αὐτὸς γάρ ἐστιν ἡ τῶν ὅλων ἀνάπαυσις,
ὡς τοῖς ἐν μικρῷ μιμουμένοις αὐτοῦ τὸ μέγα αὐτὸν χαρίζεται εἰς ἀνά-
παυσιν. αὐτός ἐστιν μόνος πῇ μὲν καταληπτός, πῇ δὲ ἀκατάληπτος, <πῇ
μὲν περαντός,> πῇ δὲ ἀπέραντος, τὰς ἀπ' αὐτοῦ ἐκτάσεις ἔχων εἰς ἄπει-
ρον. οὕτως γὰρ καταληπτός ἐστιν καὶ ἀκατάληπτος, ἐγγὺς καὶ μακράν,
ὧδε ὢν κἀκεῖ, ὡς μόνος ὑπάρχων καὶ τοῦ πανταχόθεν ἀπείρου νοὸς τὴν
μετουσίαν διδούς, ἣν πάντων ἀναπνέουσαι αἱ ψυχαὶ τὸ ζῆν ἔχουσιν· κἂν
χωρισθῶσιν τοῦ σώματος καὶ τὸν εἰς αὐτὸν εὑρεθῶσιν πόθον ἔχουσαι,

εἰς τὸν αὐτοῦ κόλπον φέρονται ἀθάνατοι, ὡς ἐν χειμῶνος ὥρᾳ οἱ ἀτμοὶ τῶν
ὀρῶν ὑπὸ τῶν τοῦ ἡλίου ἀκτίνων ἑλκόμενοι φέρονται πρὸς αὐτόν. οἵαν
οὖν στοργὴν συλλαβεῖν δυνάμεθα, ἐὰν τὴν εὐμορφίαν αὐτοῦ τῷ νῷ κατοπτεύ-
σωμεν. ἄλλως δὲ ἀμήχανον· ἀδύνατον γὰρ κάλλος ἄνευ μορφῆς εἶναι καὶ
πρὸς τὸν αὐτοῦ ἔρωτα ἐπισπᾶσθαί τινα ἢ καὶ δοκεῖν θεὸν ὁρᾶν εἶδος οὐκ
ἔχοντα. τινὲς δὲ τῆς ἀληθείας ἀλλότριοι ὄντες καὶ τῇ κακίᾳ συμμαχοῦντες
προφάσει δοξολογίας ἀσχημάτιστον αὐτὸν λέγουσιν, ἵνα ἄμορφος καὶ ἀνίδεος
ὢν μηδενὶ ὁρατὸς ᾖ, ὅπως μὴ περιπόθητος γένηται. νοῦς γὰρ εἶδος οὐχ
ὁρῶν θεοῦ κενός ἐστιν αὐτοῦ. πῶς δὲ καὶ εὔχεταί τις, οὐκ ἔχων πρὸς
τίνα καταφύγῃ, εἰς τίνα ἐρείσῃ; ἀντιτυπίαν γὰρ οὐκ ἔχων εἰς κενὸν ἐκ-
βαθρεύεται. ναί φησιν, οὐ χρὴ θεὸν φοβεῖσθαι, ἀλλὰ ἀγαπᾶν. φημὶ κἀγώ.
ἀλλὰ τοῦτο παρέξει ἑκάστης εὐποιίας εὐσυνειδησία. ἡ δὲ εὐποιία ἐκ τοῦ
φοβεῖσθαι γίνεται. ἀλλ' ὁ φόβος, φησίν, ἐκπλήσσει τὴν ψυχήν. ἀλλ' ἐγώ
φημι ὅτι οὐκ ἐκπλήσσει, ἀλλ' ἐξυπνίζει καὶ ἐπιστρέφει. ἴσως δὲ ὀρθῶς
ἐλέγετο μὴ δεῖν θεὸν φοβεῖσθαι, εἰ μὴ πολλὰ ἕτερα οἱ ἄνθρωποι ἐφοβού-
μεθα, λέγω δὲ τὰς ἐκ τῶν ὁμοίων ἐπιβουλάς, ἔτι τε θηρία, ἑρπετά, νόσους,
πάθη, δαίμονας καὶ ἄλλα μυρία. ὁ οὖν ἡμᾶς ἀξιῶν μὴ φοβεῖσθαι θεὸν τούτων
ἡμᾶς ·υσάσθω, ἵνα μηδὲ ταῦτα φοβώμεθα. εἰ δ' οὐ δύναται, τί ἡμῖν φθονεῖ
ἑνὶ φόβῳ τῷ πρὸς τὸν δίκαιον μυρίων ἀπαλλαγῆναι φόβων καὶ βραχείᾳ τῇ
πρὸς αὐτὸν πίστει μυρία πάθη καὶ ἑαυτῶν καὶ ἄλλων μετατιθέναι δυνα-
τὸν γενέσθαι μετὰ τοῦ καὶ ἀμοιβὴν ἀγαθῶν προσδέχεσθαι καὶ αἰτίᾳ φόβου
τοῦ πάντα ὁρῶντος θεοῦ μηδὲν κακὸν πράσσοντας καὶ ἐν τῷ παρόντι ἐν εἰρήνῃ

διατελεῖν; οὕτως ἡ πρὸς τὸν ὄντως δεσπότην εὐγνώμων δουλεία τοὺς λοι-
ποὺς πάντας ἐλευθέρους τίθησιν. εἰ μὲν οὖν τινι δυνατόν ἐστιν ἄνευ τοῦ
φοβεῖσθαι τὸν θεὸν μὴ ἁμαρτάνειν, μὴ φοβείσθω. ἔξεστιν γὰρ ἀγάπῃ τῇ πρὸς
αὐτὸν ὃ αὐτῷ μὴ δοκεῖ μὴ πράττειν. καὶ γὰρ φοβηθῆναι γέγραπται καὶ
ἀγαπᾶν παρήγγελται, ἵνα πρὸς τὴν αὐτοῦ ἕκαστος κρᾶσιν ἐπιτηδείῳ
χρήσηται φαρμάκῳ. φοβεῖσθαι οὖν αὐτὸν ἔστιν, ὅτι δίκαιός ἐστιν. εἴτε
οὖν φοβούμενοι εἴτε ἀγαπῶντες, μὴ ἁμαρτάνετε. γένοιτο δὲ φοβούμε-
νόν τινα ἡδονῶν ἀνόμων κρατεῖν δύνασθαι, ἀλλότρια μὴ ἐπιθυμεῖν, φιλ-
ανθρωπίαν ἀσκεῖν, σωφρονεῖν, δικαιοπραγεῖν. ὁρῶ γάρ τινας ἀτελεῖς
τοῦ πρὸς αὐτὸν φόβου πλεῖστα ἁμαρτάνοντας. φοβηθῶμεν οὖν τὸν θεὸν
μὴ μόνον ὅτι δίκαιός ἐστιν· ἐλεῶν γὰρ τοὺς ἠδικημένους τιμωρεῖ τοὺς
ἠδικηκότας. ὡς οὖν ὕδωρ πῦρ σβέννυσιν, οὕτως καὶ φόβος τὴν τῶν
κακῶν ἐπιθυμίαν ἀναιρεῖ. ὁ ἀφοβίαν διδάσκων οὐδὲ αὐτὸς φοβεῖται, ὁ
δὲ μὴ φοβούμενος οὐδὲ κρίσιν ἔσεσθαι πιστεύει, τὰς ἐπιθυμίας αὔξει,
μαγεύει, ἄλλους ἐφ' οἷς αὐτὸς πράσσει διαβάλλει.

Ταῦτα ὁ Σίμων ἀκούων ἐπικόψας ἔφη· Οἶδα πρὸς τίνα ταῦτα λέγεις, ἀλλ'
ἵνα μὴ αὐτὸς τὰ αὐτὰ λέγων πρὸς τὸ ἐλέγχειν σε δαπανῶ τὸν χρόνον εἰς ἃ μὴ
θέλω, πρὸς τὰ ὁρισθέντα ἡμῖν ἀποκρίνασθαι ἐπηγγείλω, ἱκανῶς νενοη-
κέναι σε τὰ τοῦ διδασκάλου σου λέγων, διὰ τὸ παρόντα ἐναργείᾳ ὁρᾶν καὶ
ἀκούειν αὐτοῦ, καὶ ἑτέρῳ τινὶ μὴ δυνατὸν εἶναι ὁράματι ἢ ὀπτασίᾳ
ἔχειν τὸ ὅμοιον. ὅτι δὲ τοῦτο ψεῦδός ἐστιν, δείξω. ὁ ἐναργῶς ἀκούων
τινὸς οὐ πάνυ πληροφορεῖται ἐπὶ τοῖς λεγομένοις· ἔχει γὰρ ὁ νοῦς
αὐτοῦ λογίσασθαι μὴ ἄρα ψεύδεται ἄνθρωπος ὢν τὸ φαινόμενον. ἡ δὲ
ὀπτασία ἅμα τῷ ὀφθῆναι πίστιν παρέχει τῷ ὁρῶντι ὅτι θειότης ἐστίν.
πρὸς τοῦτό μοι πρῶτον ἀπόκριναι. καὶ ὁ Πέτρος ἔφη· Εἰς ἄλλο προτεί-
νας εἰπεῖν εἰς ἕτερον ἀπεκρίνω· προέτεινας γὰρ ὡς μᾶλλον δύνασθαί τινα
πλεῖον νοεῖν παρ' ὀπτασίας ἀκούοντα ἢ γὰρ παρὰ τῆς ἐναργείας, ἐπιβαλὼν

δὲ ἔπειθες ἡμᾶς ὅτι ἀσφαλέστερός ἐστιν ὁ ὑπὸ ὀπτασίας ἀκούων τοῦ παρ'
αὐτῆς ἐναργείας ἀκούοντος. πέρας γοῦν διὰ τοῦτο ἐμοῦ ἱκανώτερον ἔφασκες
εἰδέναι τὰ τοῦ Ἰησοῦ ὡς ὑπὸ ὀπτασίας αὐτοῦ ἀκηκοὼς τὸν λόγον. πλὴν
ἐγὼ εἰς τὸ ἀπ' ἀρχῆς προταθὲν ἀποκρίνομαι. ὁ προφήτης, ὅτι προφήτης
ἐστὶν πληροφορήσας πρῶτον, περὶ τῶν ἐναργῶς ὑπὸ αὐτοῦ λεγομένων
ἀσφαλῶς πιστεύεται καὶ ἀληθὴς ὢν προεπιγνωσθεὶς καί, ὡς ὁ μανθάνων
θέλει, ἐξετασθεὶς καὶ ἀνακριθεὶς ἀποκρίνεται–ὁ δὲ ὀπτασίᾳ πιστεύων
ἢ ὁράματι καὶ ἐνυπνίῳ ἐπισφαλής ἐστιν· ἀγνοεῖ γὰρ τίνι πιστεύει· ἐνδέ-
χεται γὰρ αὐτὸν ἢ δαίμονα κακὸν εἶναι ἢ πνεῦμα πλάνον ἐν τῷ λέγειν
ὑποκρινόμενον εἶναι ὃ μή ἐστιν. εἰ δ' ἄρα τις βουληθείη πυνθάνεσθαι τὸ
τίς ἂν ᾖ ὁ φανείς, δύναται λέγειν ἑαυτῷ ὃ βούλεται. καὶ οὕτως ὡς πονηρὸς
ἀστράψας, μείνας ὅσον θέλει, ἀποσβέννυται, μὴ παραμείνας τῷ πυνθανο-
μένῳ εἰς ἀνάκρισιν ὅσον ἠθέλησεν. διὰ δὲ ἐνυπνίων ὁρῶν τις οὐδὲ πυνθάνε-
σθαι δύναται περὶ ὧν βούλεται· οὐ γὰρ ἰδίας ἐξουσίας ἐστὶν ὁ λογισμὸς
τοῦ κοιμωμένου. ἔνθεν γοῦν πολλὰ ἡμεῖς ὕπαρ ἐπιθυμοῦντες μαθεῖν κατ'
ὄναρ περὶ ἑτέρων πυνθανόμεθα, ἢ καὶ μὴ πυνθανόμενοι περὶ τῶν
μὴ διαφερόντων ἡμῖν ἀκούομεν, καὶ διυπνισθέντες ἀθυμοῦμεν, ὅτι περὶ
ὧν ἐπεθυμοῦμεν μαθεῖν οὔτε ἠκούσαμεν οὔτε ἐξητάσαμεν. καὶ ὁ
Σίμων ἔφη· Εἰ φὴς τὰς ὀπτασίας μὴ πάντως ἀληθεύειν, ἀλλ' οὖν γε τὰ
ὁράματα καὶ τὰ ἐνύπνια θεόπεμπτα ὄντα οὐ ψεύδεται, περὶ ὧν ἂν εἰπεῖν
θέλῃ. καὶ ὁ Πέτρος ἔφη· Ὀρθῶς ἔφης ὅτι θεόπεμπτα ὄντα οὐ ψεύδε-
ται. ἄδηλον δὲ εἰ ὁ ἰδὼν θεόπεμπτον ἑώρακεν ὄνειρον. καὶ ὁ Σίμων·
Ἐὰν ᾖ ὁ ἑωρακὼς δίκαιος, ἀληθὲς ἑώρακεν. καὶ ὁ Πέτρος· Ὀρθῶς
ἔφης. τίς δὲ δίκαιος, εἰ ὁράματος χρῄζει, ἵνα μάθῃ ἃ δεῖ μαθεῖν καὶ
ποιῇ ἃ δεῖ ποιεῖν; καὶ ὁ Σίμων· Τοῦτό μοι δὸς ὅτι μόνος ὁ δίκαιος ὅραμα

ἀληθὲς ἰδεῖν δύναται, καὶ ἀποκρίνομαί σοι εἰς αὐτό. ἐμοὶ γὰρ κέκριται
ὅτι ἀσεβὴς ἀληθῆ ὄνειρον οὐχ ὁρᾷ. καὶ ὁ Πέτρος· Τοῦτο ψεῦδός ἐστιν,
καὶ περὶ τούτου ἀγράφως καὶ ἐγγράφως ἀποδεῖξαι δύναμαι, πεῖσαι δὲ
οὐκ ἐπαγγέλλομαι. ὁ γὰρ πρὸς ἔρωτα μοχθηρᾶς νεύσας γυναικὸς εἰς ἑτέρας
κατὰ πάντα καλῆς συμβίωσιν νόμιμον τὸν ἑαυτοῦ οὐ μετατίθησι νοῦν·
ἐνίοτε καὶ ἑαυτοῖς συνειδότες τὴν κρείττονα, προειλημμένοι ἀγαπῶσιν
τὴν χείρονα. τοιοῦτόν τι καὶ σὺ πάσχων ἀγνοεῖς. καὶ ὁ Σίμων ἔφη· Παρ-
ελόμενος ταῦτα, εἰς ἃ ἐπηγγείλω, λέγε. ἐμοὶ γὰρ ἀδύνατον εἶναι δοκεῖ
ἀσεβεῖς ἀνθρώπους ὑπὸ θεοῦ ἤδήποτε ὀνειροπολεῖσθαι τρόπῳ. καὶ ὁ
Πέτρος ἔφη· Μέμνημαι ἐμαυτοῦ ὡς ἐπηγγειλάμην δεῖξαι καὶ ἀγράφως
καὶ ἐγγράφως περὶ τούτου τὴν ἀπόδειξιν παρέχειν. καὶ νῦν λέγοντος ἄκουε.
ἴσμεν πολλούς–εἴ γε εὐγνωμονεῖς, ἐπεί γε τοὺς παρεστῶτας κριτὰς
ἔχω–εἴδωλα σέβοντας καὶ μοιχεύοντας καὶ κατὰ πάντα ἁμαρτάνοντας
ὁράματα καὶ ἀληθεῖς ὀνείρους ὁρῶντας, ἐνίους δὲ καὶ δαιμόνων ὀπτασίας.
τὴν γὰρ ἄσαρκον ἰδέαν οὐ λέγω δύνασθαι πατρὸς ἢ υἱοῦ ἰδεῖν διὰ τὸ με-
γίστῳ φωτὶ καταυγάζεσθαι τοὺς θνητῶν ὀφθαλμούς. ὅθεν τὸ μὴ ὁραθῆναι
τῷ εἰς σάρκα τετραμμένῳ ἀνθρώπῳ οὐ φθονοῦντός ἐστιν θεοῦ, ἀλλ' ἐλεῶν-
τος. ὁ γὰρ ἰδὼν ζῆν οὐ δύναται. ἡ γὰρ ὑπερβολὴ τοῦ φωτὸς τὴν τοῦ ὁρῶν-
τος ἐκλύει σάρκα, ἐκτὸς εἰ μὴ θεοῦ ἀπορρήτῳ δυνάμει ἡ σὰρξ εἰς φύσιν
τραπῇ φωτός, ἵνα φῶς ἰδεῖν δυνηθῇ–ἢ ἡ τοῦ φωτὸς οὐσία εἰς σάρκα
τραπῇ, ἵνα ὑπὸ σαρκὸς ὁραθῆναι δυνηθῇ· τὸ γὰρ ἀτρέπτως πατέρα ἰδεῖν
υἱοῦ μόνου ἐστίν. δίκαιοι δὲ οὐχ ὁμοίως· ἐν γὰρ τῇ ἀναστάσει τῶν νεκρῶν,
ὅταν τραπέντες εἰς φῶς τὰ σώματα ἰσάγγελοι γένωνται, τότε ἰδεῖν δυ-
νήσονται. πέρας γοῦν κἂν ἀγγέλων τις ἀνθρώπῳ ὀφθῆναι πεμφθῇ, τρέ-

πεται εἰς σάρκα, ἵνα ὑπὸ σαρκὸς ὀφθῆναι δυνηθῇ. ἄσαρκον γὰρ δύναμιν
οὐ μόνον υἱοῦ ἀλλ' οὐδὲ ἀγγέλου ἰδεῖν τις δύναται. εἰ δὲ ἴδῃ τις ὀπτασίαν,
κακοῦ δαίμονος ταύτην εἶναι νοείτω. πλὴν ὅτι καὶ ἀσεβεῖς ὁράματα
καὶ ἐνύπνια ἀληθῆ βλέπουσιν, δῆλόν ἐστιν καὶ ἐγγράφως ἀποδεῖξαι δύ-
ναμαι. πέρας γοῦν ἐν τῷ νόμῳ γέγραπται, ὡς ὁ Ἀβιμέλεχ (ἀσεβὴς ὤν,
τὴν τοῦ δικαίου Ἀβραὰμ γυναῖκα ἐπὶ κοινωνίᾳ μιᾶναι θελήσας) ἤκουσεν
παρὰ τοῦ θεοῦ καθ' ὕπνον (ὡς ἡ γραφὴ λέγει) μὴ θιγεῖν αὐτῆς, ὅτι
ἀνδρὶ συνῳκηκυῖά ἐστιν. ἀλλὰ καὶ ὁ Φαραώ (ἀσεβὴς ἀνήρ) ἑώρακεν
ὄνειρον περί τε πυρῶν εὐφορίας καὶ ἀφορίας, ᾧ ὁ Ἰωσὴφ ἐπιλύων παρὰ
θεοῦ ἔφη τὸν ὄνειρον γεγενῆσθαι. Ναβουχοδονόσορ δέ (ὁ εἴδωλα σέβων
καὶ τοὺς θεὸν σέβοντας εἰς πῦρ κελεύσας βληθῆναι) ὄνειρον ὅλου μή-
κους αἰῶνος ὁρᾷ. καὶ μὴ λεγέτω τις· Ἀλλ' ὅραμα ἐγρηγορὼς οὐδεὶς ἀσε-
βῶν θεωρεῖ. ψεῦδός ἐστιν. αὐτὸς γοῦν ὁ Ναβουχοδονόσορ τρεῖς ἄνδρας
κελεύσας βληθῆναι εἰς πῦρ, ἐνιδὼν τῇ καμίνῳ τέταρτον ἔφη· «Τὸν τέταρ-
τον ὁρῶ ὡς υἱὸν θεοῦ». καὶ ὁμῶς ὀπτασίας τε καὶ ὁράματα καὶ ἐνύπνια
ὁρῶντες ἀληθῆ ἀσεβεῖς ἦσαν. οὕτως οὐ πάντως ἐκ τοῦ ὁρᾶν τινα ὁρά-
ματα καὶ ἐνύπνια καὶ ὀπτασίας πάντως εὐσεβής ἐστιν. τῷ γὰρ εὐσε-
βεῖ ἐμφύτῳ καὶ καθαρῷ ἀναβλύζει τῷ νῷ τὸ ἀληθές, οὐκ ὀνείρῳ
σπουδαζόμενον, ἀλλὰ συνέσει ἀγαθοῖς διδόμενον. οὕτως γὰρ κἀμοὶ
ἀπὸ τοῦ πατρὸς ἀπεκαλύφθη ὁ υἱός. διὸ οἶδα τίς δύναμις ἀποκαλύψεως,
ἀφ' ἑαυτοῦ μαθών. ἅμα γὰρ τῷ τὸν κύριον εἰπεῖν τίνα αὐτὸν λέγουσιν,
καὶ ἄλλους ἄλλο τι λέγοντας αὐτὸν ἀκηκοότος ἐμοῦ, ἐπὶ τῆς καρδίας
ἀνέβη· οὐκ οἶδα οὖν πῶς εἶπον· «Σὺ εἶ ὁ υἱὸς τοῦ ζῶντος θεοῦ». τὸν
δὲ μακαρίσαντά με μηνῦσαί μοι τὸν ἀποκαλύψαντα πατέρα εἶναι, ἐμὲ
δὲ ἔκτοτε μαθεῖν ὅτι τὸ ἀδιδάκτως, ἄνευ ὀπτασίας καὶ ὀνείρων, μαθεῖν
ἀποκάλυψίς ἐστιν. καὶ ἀληθῶς οὕτως ἔχει. ἐν γὰρ τῇ ἐν ἡμῖν ἐκ θεοῦ
τεθείσῃ σπερματικῶς ... πᾶσα ἔνεστιν ἡ ἀλήθεια, θεοῦ δὲ χειρὶ σκέπεται

καὶ ἀποκαλύπτεται, τοῦ ἐνεργοῦντος τὸ κατ' ἀξίαν ἑκάστου εἰδότος. τὸ
δὲ ἔξωθεν δι' ὀπτασιῶν καὶ ἐνυπνίων δηλωθῆναί τι ὅτι οὐκ ἔστιν ἀπο-
καλύψεως ἀλλὰ ὀργῆς, φαίνεται. πέρας γοῦν γέγραπται ἐν τῷ νόμῳ ὅτι
ὀργισθεὶς ὁ θεὸς Ἀαρὼν καὶ Μαριὰμ ἔφη· «Ἐὰν ἀναστῇ προφήτης ἐξ
ὑμῶν, δι' ὁραμάτων καὶ ἐνυπνίων αὐτῷ γνωρισθήσομαι, οὐχ οὕτως δὲ
ὡς Μωυσῇ τῷ θεράποντί μου, ὅτι ἐν εἴδει καὶ οὐ διὰ ἐνυπνίων λαλήσω
πρὸς αὐτόν, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον». ὁρᾷς πῶς τὰ
τῆς ὀργῆς δι' ὁραμάτων καὶ ἐνυπνίων, τὰ δὲ πρὸς φίλον στόμα κατὰ
στόμα, ἐν εἴδει καὶ οὐ δι' αἰνιγμάτων καὶ ὁραμάτων καὶ ἐνυπνίων, ὡς
πρὸς ἐχθρόν. εἰ μὲν οὖν καὶ σοὶ ὁ Ἰησοῦς ἡμῶν δι' ὁράματος
ὀφθεὶς ἐγνώσθη καὶ ὡμίλησεν ὡς ἀντικειμένῳ ὀργιζόμενος, διὸ δι'
ὁραμάτων καὶ ἐνυπνίων ἢ καὶ δι' ἀποκαλύψεων ἔξωθεν οὐσῶν ἐλάλη-
σεν. εἴ τις δὲ δι' ὀπτασίαν πρὸς διδασκαλίαν σοφισθῆναι δύναται; καὶ
εἰ μὲν ἐρεῖς· Δυνατόν ἐστιν, διὰ τί ὅλῳ ἐνιαυτῷ ἐγρηγορόσιν παραμένων
ὡμίλησεν ὁ διδάσκαλος; πῶς δέ σοι καὶ πιστεύσομεν αὐτὸ κἂν ὅτι ὤφθη
σοι; πῶς δέ σοι καὶ ὤφθη, ὁπότε αὐτοῦ τὰ ἐναντία τῇ διδασκαλίᾳ
φρονεῖς; εἰ δὲ ὑπ' ἐκείνου μιᾶς ὥρας ὀφθεὶς καὶ μαθητευθεὶς ἀπόστολος
ἐγένου, τὰς ἐκείνου φωνὰς κήρυσσε, τὰ ἐκείνου ἑρμήνευε, τοὺς ἐκείνου
ἀποστόλους φίλει, ἐμοὶ τῷ συγγενομένῳ αὐτῷ μὴ μάχου· πρὸς γὰρ
στερεὰν πέτραν ὄντα με, θεμέλιον ἐκκλησίας, ἐναντίος ἀνθέστηκάς μοι.
εἰ μὴ ἀντικείμενος ᾖς, οὐκ ἄν με διαβάλλων τὸ δι' ἐμοῦ κήρυγμα ἐλοι-
δόρεις, ἵνα ὃ παρὰ τοῦ κυρίου αὐτὸς παρὼν ἀκήκοα λέγων μὴ πιστεύω-
μαι, δηλονότι ὡς ἐμοῦ καταγνωσθέντος καὶ σοῦ εὐδοκιμοῦντος. ἢ εἰ «κατε-
γνωσμένον» με λέγεις, θεοῦ τοῦ ἀποκαλύψαντός μοι τὸν Χριστὸν κατ-
ηγορεῖς, καὶ τοῦ ἐπὶ ἀποκαλύψει μακαρίσαντός με καταφέρεις. ἀλλ'
ἐπείπερ ἀληθῶς τῇ ἀληθείᾳ συνεργῆσαι θέλεις, μάθε πρῶτον παρ' ἡμῶν,
ἃ ἡμεῖς παρ' ἐκείνου ἐμάθομεν, καὶ μαθητὴς ἀληθείας γεγονὼς γενοῦ
ἡμῖν συνεργός.

Ταῦτα ὁ Σίμων ἀκούσας ἔφη· Ἀπείη μοι τὸ εἴτε ἐκείνου εἴτε σοῦ

γενέσθαι μαθητήν. οὐδὲ γὰρ ἀγνοῶ ἃ δεῖ γινώσκειν· ἃ δὲ ὡς μανθάνων
ἐπυθόμην, ἵνα εἰδῶ εἰ δύνασαι ὀπτασίας ἐνάργειαν ἐναργεστέραν δεῖξαι.
σὺ δὲ ὡς ἠθέλησας εἶπες, οὐκ ἔδειξας. καὶ νῦν αὔριόν σοι εἰς τὸν περὶ θεοῦ, οὗ διισχυρίζῃ δημιουργοῦ, ἐλθὼν καὶ διαλεχθεὶς δείξω μὴ αὐτὸν εἶναι ἀνώτατον καὶ ἀγαθόν, καὶ τὸν σὸν δὲ διδάσκαλον τὰ αὐτά μοι εἰρη-
κέναι, σὲ δὲ μὴ νενοηκέναι ἐλέγξω. καὶ ταῦτα εἰπὼν ἐξῄει, εἰς ἃ προέτεινεν
οὐ θελήσας ἀκοῦσαι.

[ΟΜΙΛΙΑ ΙΗ.]

Ὄρθρου δὲ προελθόντος τοῦ Πέτρου εἰς τὸ διαλεχθῆναι ὁ Σίμων προλαβὼν ἔφη· Ἐχθὲς ἀπαλλασσόμενος εἰς τὴν σήμερον ὑπεσχόμην σοι ἐπανελθὼν καὶ συζητήσας δεῖξαι ὅτι οὐκ ἔστιν ὁ τὸν κόσμον δημιουργήσας ἀνώτατος θεός, ἀλλ' ἕτερος, ὃς καὶ μόνος ἀγαθὸς ὢν καὶ μέχρι τοῦ δεῦρο ἄγνωστός ἐστιν. αὐτίκα γοῦν τὸν δημιουργὸν αὐτὸν καὶ νομοθέτην φὴς εἶναι ἢ οὔ; εἰ μὲν οὖν νομοθέτης ἐστίν, δίκαιος τυγχάνει, δίκαιος δὲ ὢν ἀγαθὸς οὐκ ἔστιν. εἰ δὲ οὐκ ἔστιν, ἕτερον ἐκήρυσσεν ὁ Ἰησοῦς τῷ λέγειν· «Μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστιν, ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς». οὐ συμφωνεῖ δὲ τῷ νομοθέτῃ δικαίῳ ὄντι καὶ ἀγαθῷ. καὶ ὁ Πέτρος ἔφη· Πρῶτον ἡμῖν εἰπέ, ἐπὶ ποίαις πράξεσιν δοκεῖ σοι ὁ ἀγαθὸς ἀγαθὸς εἶναι, ἐπὶ ποίαις δὲ καὶ ὁ δίκαιος δίκαιος, ἵνα οὕτως κατὰ σκοποῦ τοὺς λόγους πέμπωμεν. καὶ ὁ Σίμων· Σὺ πρῶτον εἰπὲ τί σοι δοκεῖ τὸ ἀγαθόν; ἢ καὶ τὸ δίκαιον; καὶ ὁ Πέτρος· Ἵνα μὴ ἐριστικώτερον διαλεγόμενος δαπανῶ τοὺς χρόνους, ἀπαιτῶν δικαίως τῶν ἐμῶν προτάσεών σε τὰς ἀποκρίσεις ποιεῖσθαι, ὡς σοὶ δοκεῖ αὐτὸς ὧν ἐπυθόμην ποιήσομαι τὰς ἀποκρίσεις. ἐγώ φημι ἀγαθὸν εἶναι τὸν παρεκτικόν, οἷον ὡς αὐτὸν ὁρῶ ποιοῦντα τὸν δημιουργόν, παρέχοντα τὸν ἥλιον ἀγαθοῖς καὶ κακοῖς καὶ τὸν ὑετὸν δικαίοις καὶ ἀδίκοις. καὶ ὁ Σίμων ἔφη· Τοῦτο ἀδικώτατον ὅτι τὰ αὐτὰ δικαίοις καὶ ἀδίκοις παρέχει. καὶ ὁ Πέτρος· Σὺ οὖν ἡμῖν τοῦ λοιποῦ λέγε πῶς ποιῶν ἀγαθὸς ἂν ἦν. καὶ ὁ Σίμων· Σὲ δεῖ λέγειν. καὶ ὁ Πέτρος· Ἐγὼ λέξω. εἰ μὲν τὰ αὐτὰ παρέχων ἀγαθοῖς καὶ δικαίοις, ἔτι τε κακοῖς καὶ ἀδίκοις, κατὰ σὲ οὐδὲ δίκαιός ἐστιν, καὶ εἰ ἀγαθοῖς ἀγαθὰ παρεῖχεν, κακοῖς τε κακά, δίκαιον ἂν αὐτὸν εὐλόγως ἔλεγες. ποίᾳ οὖν ἔτι πράξει χρώμενος ἂν ἦν, εἰ μὴ ταύτῃ χρῆται ὁδῷ,

κακοῖς μὲν παρέχων τὰ πρόσκαιρα (ἐὰν ἄρα μεταβάλλωνται), ἀγαθοῖς δὲ αἰώνια (ἐάν γε ἐμμείνωσιν); καὶ οὕτως τῷ μὲν πᾶσιν παρέχειν, διαφόροις δὲ χαρίζεσθαι τὸ δίκαιον αὐτοῦ ἀγαθόν ἐστιν καὶ μακρόθυμον ταύτῃ μᾶλλον, εἰ ἁμαρτωλοῖς μὲν μετανοοῦσιν χαρίζεται τὰ ἁμαρτήματα,
εὖ πράξασιν δὲ καὶ ζωὴν αἰώνιον ὑπογράφει. κρίνων δὲ εἰς τέλος καὶ τὸ κατ' ἀξίαν ἀπονέμων ἑκάστῳ δίκαιός ἐστιν. εἰ μὲν οὖν ταῦτα ὀρθῶς
οὕτως ἔχει, ὁμολόγησον· εἰ δὲ οὐ δοκεῖ σοι ὀρθῶς ἔχειν, διέλεγξον. καὶ
ὁ Σίμων ἔφη· Ἄπαξ ἔφην· Πᾶς νομοθέτης, εἰς τὸ δίκαιον ἀφορῶν, δίκαιός ἐστιν. καὶ ὁ Πέτρος· Εἰ ἀγαθοῦ ἐστιν μὴ θεῖναι νόμον, δικαίου
δὲ τὸ θέσθαι, καὶ οὕτως ὁ δημιουργὸς ἀγαθός ἐστιν καὶ δίκαιος· ἀγαθὸς μέν, ὅτι ἀπὸ τῶν χρόνων Ἀδὰμ μέχρι Μωυσέως ἐγγράφως οὐ φαίνεται τεθεικὼς τὸν νόμον–ἀπὸ δὲ Μωυσέως εἰς τοὺς δεῦρο χρόνους ὡς γέγραπται καὶ δίκαιός ἐστιν. καὶ ὁ Σίμων· Ἀπὸ τῶν τοῦ διδασκάλου
σου φωνῶν δεῖξον ὅτι τοῦ αὐτοῦ ἐστιν ἀγαθῷ εἶναι καὶ δικαίῳ. ἐμοὶ γὰρ ἀδύνατον φαίνεται τὸν νομοθέτην ἀγαθὸν ὄντα τὸν αὐτὸν καὶ δίκαιον εἶναι. καὶ ὁ Πέτρος· Ὅτι τὸ ἀγαθὸν αὐτὸ καὶ δίκαιόν ἐστιν, ἐπά-
κουσον. αὐτὸς ὁ διδάσκαλος ἡμῶν τῷ εἰπόντι Φαρισαίῳ· «Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;» πρῶτον ἔφη· «Μή με λέγε ἀγαθόν· ὁ γὰρ ἀγαθὸς εἷς ἐστιν, ὁ πατὴρ ὁ ἐν τοῖς οὐρανοῖς»· εὐθὺς ἐπάξας λέγει· «Εἰ
δὲ θέλεις εἰς τὴν ζωὴν εἰσελθεῖν, τήρησον τὰς ἐντολάς». τοῦ δὲ εἰπόντος· «Ποίας;» ἐπὶ τὰς τοῦ νόμου ἔπεμψεν. οὐκ ἂν δὲ ἕτερόν τινα ἀγαθὸν
σημαίνων ἐπὶ τὰς τοῦ δικαίου ἀνέπεμπεν ἐντολάς. ὅτι δὲ τὸ δίκαιον ἄλλο
ἐστὶν καὶ τὸ ἀγαθὸν ἕτερον, καὶ αὐτὸς ὁμολογῶ, ἀλλ' ὅτι τοῦ αὐτοῦ ἐστιν
τὸ ἀγαθῷ εἶναι καὶ δικαίῳ, ἀγνοεῖς. ἀγαθὸς γάρ ἐστιν μετανοοῦσι μὲν
νῦν μακροθυμῶν καὶ ἀποδεχόμενος αὐτούς, δίκαιος δέ ἐστιν, ὅταν κρίνων
τὸ κατ' ἀξίαν ἑκάστῳ ἀπονέμῃ. καὶ ὁ Σίμων ἔφη· Πῶς οὖν ἐγνωσμένου τοῦ δημιουργοῦ, τοῦ καὶ τὸν Ἀδὰμ πλάσαντος καὶ τοῖς κατὰ νόμον

δικαίοις ἐγνωσμένου, προσέτι δὲ δικαίοις καὶ ἀδίκοις καὶ ὅλῳ τῷ κόσμῳ,
ὁ διδάσκαλός σου μετὰ πάντας ἐκείνους ἐληλυθὼς λέγει· «Οὐδεὶς ἔγνω
τὸν πατέρα εἰ μὴ ὁ υἱός, ὡς οὐδὲ τὸν υἱόν τις οἶδεν εἰ μὴ ὁ πατὴρ καὶ
οἷς ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι»; ταῦτα δὲ οὐκ ἂν ἔλεγεν, εἰ μὴ πα-
τέρα τινὰ ἐν ἀπορρήτοις ὄντα ἀνήγγελλεν, ὃν καὶ ὕψιστον ὁ νόμος λέγει, ἀφ'
οὗ οὔτε ἀγαθὴ οὔτε κακὴ ἠκούσθη φωνή (ὡς ἐν τοῖς θρήνοις καὶ Ἱερεμίας
μαρτυρεῖ), ὅστις κατὰ ἀριθμὸν τῶν υἱῶν Ἰσραήλ, οἳ εἰσῆλθον εἰς Αἴγυπ-
τον, οἵ εἰσιν ἑβδομήκοντα, καὶ πρὸς τὰ ὅρια τῶν ἐθνῶν περιγράψας γλώσ-
σαις ἑβδομήκοντα, τῷ αὐτοῦ υἱῷ τῷ καὶ «κυρίῳ» λεγομένῳ καὶ οὐρανὸν
καὶ γῆν διακοσμήσαντι, τοὺς Ἑβραίους ἔδωκεν μερίδα καὶ αὐτὸν θεὸν θεῶν
εἶναι διώρισεν, θεῶν δὲ λέγω, οἵτινες τὰς ἄλλας τῶν ἐθνῶν εἰλήφασιν μερίδας.
νόμοι οὖν προῆλθον ἀπό τε πάντων τῶν λεχθέντων θεῶν ταῖς αὐτῶν
μερίσιν (ἅτινά ἐστιν τὰ λοιπὰ ἄλλα ἔθνη), ὁμοίως δὲ καὶ ἀπὸ τοῦ υἱοῦ
τοῦ πάντων κυρίου ὁ παρὰ Ἑβραίοις κείμενος προῆλθε νόμος. τοῦτο
δὲ οὕτως ἔχειν ὡρίσθη, ἵνα, εἴ τις νόμῳ τινὸς προσφύγῃ, ἀπὸ τῆς ἐκείνου
γένηται μερίδος, οὗ δὴ καὶ τὸν νόμον πράττειν ἀνεδέξατο. οὐδεὶς ἔγνω
τὸν ἐν ἀπορρήτοις ὕψιστον πατέρα ὄντα, ὡς οὐδὲ τὸν τούτου υἱὸν ὅτι υἱός
ἐστιν. αὐτίκα γοῦν σὺ τὰ τοῦ ἀπορρήτου ὑψίστου ἴδια διδοὺς τῷ υἱῷ οὐκ
οἶδας ὅτι υἱός ἐστιν, πατὴρ ὑπάρχων τοῦ Ἰησοῦ τοῦ καθ' ὑμᾶς λεγομένου
Χριστοῦ. ταῦτα τοῦ Σίμωνος εἰπόντος ὁ Πέτρος ἔφη πρὸς αὐτόν· Δύνα-
σαι αὐτὸν ἐκεῖνον διαμαρτύρασθαι ὅτι οὕτως πιστεύεις, οὐχ ὃν νῦν ἐν
ἀπορρήτοις λέγεις, ἀλλ' ὃν σὺ πιστεύων οὐχ ὁμολογεῖς; ἄλλα γὰρ ἀντ'
ἄλλων ὁρίζων φλυαρεῖς· διὸ ἐὰν διαμαρτύρῃ ὅτι ἃ λαλεῖς ταῦτα πιστεύεις,

ἀποκρίνομαί σοι–εἰ δὲ ἔστηκας συζητῶν ἐμοὶ ἃ μὴ πιστεύεις, κατὰ κενοῦ με παίειν ἀναγκάζεις. καὶ ὁ Σίμων ἔφη· Παρά τινος τῶν σῶν μαθητῶν
ἀκήκοα. καὶ ὁ Πέτρος ἔφη· Μὴ ψευδομαρτύρει. καὶ ὁ Σίμων ἔφη· Μή με λοι-
δόρει, προπετέστατε. καὶ ὁ Πέτρος· Μέχρις ἂν εἴπῃς τὸν εἰπόντα, ψεύ-
στης εἶ. καὶ ὁ Σίμων· Νόμιζε ἐμὲ ταῦτα πλάσαι ἢ καὶ παρὰ ἄλλου ἀκη-
κοέναι· πρὸς ταῦτά μοι ἀπόκριναι. ἐὰν γὰρ ἀνατραπῆναι μὴ δυνηθῇ,
ἔμαθον τοῦτο εἶναι τὴν ἀλήθειαν. καὶ ὁ Πέτρος· Εἰ ἀνθρώπινόν ἐστιν πλάσμα, οὐκ ἀποκρίνομαι εἰς αὐτό· εἰ δὲ ὑπονοίᾳ αὐτοῦ κεκράτησαι ὡς
ἀληθοῦς, τοῦτο αὐτό μοι ὁμολόγησον, καὶ ἔχω τι καὶ αὐτὸς περὶ τούτου
λέγειν. καὶ ὁ Σίμων· Ἅπαξ μοι δοκεῖ τοῦτο οὕτως ἔχειν. σὺ πρὸς ταῦτα εἰ
ἔχεις τι λέγειν, ἀπόκριναι. καὶ ὁ Πέτρος ἔφη· Εἰ τοῦτο οὕτως ἔχει, τὰ μέγιστα ἀσεβεῖς. εἰ γὰρ υἱοῦ ἐστιν τοῦ οὐρανὸν καὶ γῆν διακοσμήσαντος τὸ
ᾧ βούλεται ἀποκαλύπτειν τὸν ἐν ἀπορρήτοις αὐτοῦ πατέρα, σὺ μέγιστα
(ὡς ἔφην) ἀσεβεῖς ἀποκαλύπτων οἷς ἐκεῖνος οὐκ ἀπεκάλυψεν. καὶ ὁ Σί-
μων· Ἀλλὰ αὐτός με βούλεται ἀποκαλύπτειν. καὶ ὁ Πέτρος· Οὐ νοεῖς ἃ λέγω, Σίμων· πλὴν ἀκούσας σύνες. τὸ εἰπεῖν «οἷς ἂν βούληται ὁ υἱὸς ἀποκαλύψει» οὐ διδασκαλίᾳ τινὰ τοιοῦτον μαθεῖν λέγει, ἀλλὰ ἀποκαλύψει
μόνον. ἀποκάλυψίς ἐστιν τὸ ἐν πάσαις καρδίαις ἀνθρώπων ἀπορρήτως κεί-
μενον κεκαλυμμένον, ἄνευ φωνῆς τῇ αὐτοῦ βουλῇ ἀποκαλυπτόμενον. καὶ
οὕτως γίνεται γνῶναι οὐ διδαχθέντα, ἀλλὰ συνέντα. τῷ μέντοι συν-
έντι οὐκ ἔξεστιν ἄλλῳ τοῦτο ἀποδεῖξαι (ἐπεὶ μηδὲ αὐτὸς ἐδιδάχθη) οὔτε ἀποκαλύψαι δύναται (ἐπεὶ μὴ αὐτός ἐστιν ὁ υἱός), ἐκτὸς εἰ μὴ ἑαυτὸν
λέγει εἶναι τὸν υἱόν. σὺ δὲ οὐκ εἶ ὁ ἐστὼς υἱός. εἰ γὰρ υἱὸς ἦς, πάντως ἂν ᾔδεις τῆς τοιαύτης ἀποκαλύψεως τοὺς ἀξίους. σὺ δὲ οὐκ οἶδας. εἰ γὰρ ἠπίστασο, τὰ τῶν ἐπισταμένων ἂν ἐποίεις. καὶ ὁ Σίμων ἔφη· Ὁμολογῶ, οὐ συνῆκα πῶς λέγεις· Τὰ τῶν ἐπισταμένων ἂν ἐποίεις. καὶ ὁ Πέτρος· Εἰ οὐ συνῆκας, οὐδὲ τὸν ἑκάστου νοῦν εἰδέναι δύνῃ–
καὶ εἰ ἀγνοεῖς, οὐδὲ τοὺς ἀξίους τῆς ἀποκαλύψεως ἐπίστασαι· εἰ δὲ οὐκ ἐπίστασαι, οὐκ εἶ υἱός· ὁ δὲ υἱὸς οἶδεν· διὸ οἷς βούλεται ὡς ἀξίοις

οὗσιν ἀποκαλύπτει. καὶ ὁ Σίμων ἔφη· Μὴ ἀπατῶ· οἶδα τοὺς ἀξίους καὶ υἱὸς οὔκ εἰμι. τοῦτο μέντοι τί ποτ' ἔστιν «οἷς βούλεται ἀποκαλύπτει», οὐ συνῆκα ὡς λέγεις· τὸ δὲ μὴ συνιέναι οὐχ ὡς μὴ εἰδὼς εἶπον, ἀλλ' ὡς εἰδὼς ὅτι οἱ παρεστῶτες οὐ συνῆκαν, ἵνα αὐτὸ σαφέστερον εἴπῃς, ὅπως νοήσωσιν ὧν ἕνεκεν καὶ τὴν ζήτησιν ποιούμεθα. καὶ ὁ Πέτρος· Ἐγὼ σαφέστερον αὐτὸ εἰπεῖν οὐ δύναμαι, σὺ αὐτὸς ὡς νοήσας φράσον.

καὶ ὁ Σίμων· Ἐγὼ τὰ σὰ οὐκ ἀνάγκην ἔχω λέγειν. καὶ ὁ Πέτρος· Φαίνῃ μοι, Σίμων, μὴ συνιεὶς αὐτὸ καὶ ὁμολογεῖν μὴ θέλων, ἵνα μὴ ἐν ἀγνοίᾳ φωραθεὶς ἐλεγχθῇς μὴ ὢν σὺ ὁ ἑστὼς υἱός. τοῦτο γὰρ αἰνίσσῃ, κἂν σα-

φῶς αὐτὸ εἰπεῖν μὴ θέλῃς· ὥστε ἐγὼ μὲν τὰς σὰς βουλὰς ἐξ ὧν αἰνίσσῃ

ἐπίσταμαι, προφήτου ἀληθοῦς μαθητὴς ὤν, οὐ προφήτης. σὺ δὲ καὶ τὰ σαφῶς λεγόμενα μὴ συνιὼν υἱὸν ἑαυτὸν εἰπεῖν θέλεις, ἀνθεστὼς ἡμῖν.

καὶ ὁ Σίμων· Ἀρῶ σου πᾶσαν πρόφασιν· ὁμολογῶ, αὐτὸ οὐ συνῆκα τί ποτ' ἔστιν «καὶ οἷς ἂν βούληται ὁ υἱὸς ἀποκαλύπτει». λέγε τοίνυν αὐτὸ

σαφέστερον. καὶ ὁ Πέτρος· Ἐπειδὴ κἂν σχήματι αὐτὸ ὡμολόγησας μὴ συνιέναι, πρὸς ὃ πυνθάνομαί σου ἀπόκριναί μοι, καὶ μαθήσῃ. λέγε μοι·

φὴς τὸν υἱὸν δίκαιον εἶναι, ὅστις ποτ' ἔστιν, ἢ οὔ; καὶ ὁ Σίμων ἔφη· Δικαιότατον. καὶ ὁ Πέτρος· Δίκαιος δὲ ὢν διὰ τί μὴ πᾶσιν ἀποκαλύπτει,

ἀλλ' οἷς βούλεται; καὶ ὁ Σίμων· Ὅτι δίκαιος ὢν τοῖς ἀξίοις ἀποκαλύπτειν

βούλεται. καὶ ὁ Πέτρος· Οὐκοῦν ἀνάγκη αὐτὸν εἰδέναι τὸν ἑκάστου νοῦν,

ἵνα ἀξίοις ἀποκαλύπτῃ; καὶ ὁ Σίμων· Ἀνάγκη πᾶσα οὕτως ἔχειν. καὶ ὁ Πέτρος· Οὐκοῦν αὐτὸς μόνος εὐλόγως ἀποκαλύπτειν ὡρίσθη, μόνος τὸν ἑκά-

στου νοῦν εἰδώς, καὶ οὐ σὺ ὁ μηδὲ τὰ ὑφ' ἡμῶν λεγόμενα δυνάμενος συνιέναι.

Τοῦτο τοῦ Πέτρου εἰπόντος ἀπὸ μὲν τῶν ὄχλων ἔπαινος ἐγένετο. ὁ δὲ Σίμων κατάφωρος γεγονώς, αἰδεσθεὶς ἠρυθρίασεν καὶ τὸ μέτωπον

τρίψας ἔφη· Ἀλλ' ἐμὲ μάγον λέγουσιν ὑπὸ Πέτρου νικώμενον, ἀλλὰ καὶ

συλλογιζόμενον. οὐκ εἴ τις δὲ συλλογισθείη, συναρπασθεὶς τὴν ἐν αὐτῷ ἀλή-

θειαν νενικημένην ἔχει· οὐ γὰρ ἡ ἀσθένεια τοῦ νικωμένου ἀλήθειά ἐστιν
τοῦ ἐκδικοῦντος. πλὴν φημί σοι ὅτι ἐγὼ τοὺς παρεστῶτας πάντας ἀξίους
ἔκρινα γνῶναι τὸν ἐν ἀπορρήτοις πατέρα. διὸ δημοσίᾳ μου αὐτοῖς ἀπο-
καλύπτοντος σὺ αὐτοῖς διὰ φθόνον ἐμοὶ τῷ εὐεργετεῖν αὐτοὺς θέλοντι
χαλεπαίνεις. καὶ ὁ Πέτρος ἔφη· Ἐπειδὴ ἀρεσκόντως τοῖς παροῦσιν
ὄχλοις οὕτως ἔφης, ἐγὼ ἐρῶ οὐκ ἀρεσκόντως, ἀλλὰ ἀληθῶς. λέγε μοι, πῶς
ἀξίους ἐπίστασαι τοὺς παρεστῶτας πάντας, ὅπου σοι ἐκφαίνοντι οὐδὲ
εἷς συνέθετο; τὸ γὰρ ἐμοὶ ποιήσασθαι κατὰ σοῦ τὸν ἔπαινον οὐκ ἔστιν
συνκαταθεμένων σοί, ἀλλὰ ἐμοί, ᾧ καὶ τὸν ἔπαινον ὡς ὀρθῶς εἰρηκότι
ἀπένειμαν. ἀλλ' ἐπειδὴ ὁ θεὸς δίκαιος ὢν βραβεύει τὸν ἑκάστου νοῦν, ὃ φὴς
ἀληθὲς εἶναι, οὐκ ἂν ἐβουλήθη διὰ τῆς ἀριστερᾶς τοῖς δεξιοῖς τοῦτο δο-
θῆναι, ᾧ λόγῳ ὁ παρὰ κλέπτου τι λαβὼν καὶ αὐτὸς ὑπεύθυνός ἐστιν. ὥστε
τούτου ἕνεκεν τὸ ὑπὸ σοῦ φερόμενον οὐκ ἠθέλησεν αὐτοὺς λαβεῖν, ἀλλὰ
διὰ τοῦ εἰς τὸ ἀποκαλύπτειν ὡρισμένου υἱοῦ. τίνι γὰρ εὔλογόν ἐστιν
ἀποκαλύπτειν τὸν πατέρα ἢ υἱῷ μόνῳ διὰ τὸ εἰδέναι τῆς τοιαύτης ἀπο-
καλύψεως τὸν ἄξιον; οὕτως οὐκ ἔστιν τοῦτο διδάξαι ἢ διδαχθῆναι, ἀλλ'
ἀφράστῳ χειρὶ ἀποκαλυφθῆναι τῷ τοῦτο εἰδέναι ἀξίῳ.

Καὶ ὁ Σίμων ἔφη· Πολὺ συμβάλλεται πρὸς νίκην τῷ πολεμοῦντι τὸ
ἰδίοις χρήσασθαι ὅπλοις. ὃ γὰρ φιλεῖ τις καὶ γνησίως ἐκδικεῖν δύναται,
γνησίως δὲ ἐκδικούμενον οὐ τὴν τυχοῦσαν ἰσχὺν ἔχει. διὸ τοῦ λοιποῦ
ὅπερ ὄντως φρονῶ ἐκθήσομαι. φημί τινα δύναμιν ἐν ἀπορρήτοις εἶναι
ἄγνωστον πᾶσι, καὶ αὐτῷ τῷ δημιουργῷ (ὡς καὶ αὐτὸς ὁ Ἰησοῦς εἴρηκεν,
οὐκ ἐπιστάμενος ὃ ἐφθέγξατο· ἐκ πολυλαλίας γὰρ ἐνίοτε εὐστοχεῖ τις πρὸς

τὸ ἀληθές, οὐκ εἰδὼς ὃ λέγει). λέγω δὲ καὶ περὶ τούτου οὗ εἴρηκεν· «Οὐδεὶς
ἔγνω τὸν πατέραή. καὶ ὁ Πέτρος· Σὺ τὰ ἐκείνου εἰδέναι μηκέτι ἐπαγγέλ-
λου. καὶ ὁ Σίμων· Τὰ ἐκείνου οὐκ ἐπαγγέλλομαι πιστεύειν, εἰς δὲ τὰ ἐπι-
τευχθέντα αὐτῷ διαλέγομαί σοι. καὶ ὁ Πέτρος· Ἵνα μή σοι δῶ πρόφασιν
εἰς φυγήν, ζητήσω σοι ὡς θέλεις· πλὴν μαρτύρομαι πάντας ὅτι οὐδὲ ὃν
νῦν ἔφης λόγον, οὐ πιστεύεις. οἶδα γὰρ ἃ φρονεῖς. καὶ ἵνα μή με δόξῃς
ψεύδεσθαι, αἰνίξομαί σοι τὰ σά, ἵνα εἰδῇς ὅτι πρὸς εἰδότα διαλέγῃ.
ἡμεῖς, ὦ Σίμων, ἐκ τῆς μεγάλης δυνάμεως, ἔτι τε καὶ τῆς κυρίας λεγο-
μένης, οὐ λέγομεν δύο ἀπεστάλθαι ἀγγέλους, τὸν μὲν ἐπὶ τῷ κτίσαι κόσ-
μον, τὸν δὲ ἐπὶ τῷ θέσθαι τὸν νόμον–οὐδὲ ὅτι ἑαυτὸν ἕκαστος, ἐλθὼν
ἐφ' οἷς ἐποίησεν ὡς αὐτὸς ὢν αὐθέντης, αὐτὸς ἤγγειλεν–οὐδὲ
ὁ ἑστὼς στησόμενος ἀντικείμενος. μάθε πῶς ἀπιστεῖς καὶ τὴν ὑπό-
θεσιν ταύτην. ἣν φὴς δύναμιν ἐν ἀπορρήτοις εἶναι, ἀγνοίας γέμει·
τὴν γὰρ ἀγνωμοσύνην τῶν ὑπ' αὐτῆς ἀποσταλέντων ἀγγέλων οὐ προ-
εγίνωσκεν. καὶ ὁ Σίμων τοῦ Πέτρου ταῦτα λέγοντος μεγάλως ὀργισθεὶς
ἐπέκοψεν λέγοντα εἰπών· Τί φλυαρεῖς, τολμηρὲ καὶ πάντων προπετέστατε,
ἐπ' ὄχλων ἀμαθῶν ἐκφαίνων ἀτέχνως τὰ ἀπόρρητα; καὶ ὁ Πέτρος· Τί
φθονεῖς εὐεργετεῖσθαι τοὺς παρόντας ἀκροατάς; καὶ ὁ Σίμων· Οὐκοῦν ὁμο-
λογεῖς τὴν τοιαύτην ἐπίγνωσιν εὐεργεσίαν εἶναι; καὶ ὁ Πέτρος· Ὁμολογῶ·
τὸ γὰρ ψεῦδος γνωσθὲν εὐεργετεῖ ἀγνοίας αἰτίᾳ μὴ περιπεσεῖν αὐτῷ.
καὶ ὁ Σίμων· Φαίνῃ μοι μὴ δυνάμενος εἰπεῖν εἰς ἃ προέτεινά σοι. λέγω δὲ
ὅτι καὶ ὁ διδάσκαλός σου ἐν ἀπορρήτοις τινὰ λέγει εἶναι πατέρα.

Καὶ ὁ Πέτρος ἔφη· Ἀποκρινοῦμαι εἰς ὃ θέλεις, περὶ τοῦ· «Οὐδεὶς ἔγνω
τὸν πατέρα εἰ μὴ ὁ υἱός–οὐδὲ τὸν υἱόν τις οἶδεν εἰ μὴ ὁ πατὴρ καὶ οἷς
ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι». πρῶτον μὲν θαυμάζω πῶς τοῦ λόγου
τούτου μυρίας ἔχοντος ἐκδοχὰς σὺ τὸ ἐπικινδυνότερον ἐξελέξω μέρος, πρὸς
ἀγνωσίαν τοῦ δημιουργοῦ καὶ τῶν ὑπ' αὐτοῦ πάντων φήσας εἰρῆσθαι

τὸν λόγον. πρῶτον μὲν γὰρ δύναται ὁ λόγος εἰρῆσθαι πρὸς πάντας Ἰουδαίους,
τοὺς πατέρα νομίζοντας εἶναι Χριστοῦ τὸν Δαυὶδ καὶ αὐτὸν δὲ τὸν Χριστὸν
υἱὸν ὄντα καὶ υἱὸν θεοῦ μὴ ἐγνωκέναι. διὸ καὶ οἰκείως εἴρηται· «Οὐδεὶς ἔγνω τὸν πατέραή, ἐπεὶ ἀντὶ τοῦ θεοῦ τὸν Δαυὶδ πάντες ἔλεγον. τὸ δὲ ἐπάξαντα εἰπεῖν ὡς «οὐδὲ τὸν υἱόν τις οἶδεν», ἐπεὶ αὐτὸν υἱὸν ὄντα οὐκ ᾔδεισαν, καὶ τὸ εἰπεῖν «οἷς ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι» ὀρθῶς εἴρηται· ὁ γὰρ ἀπ' ἀρχῆς ὢν υἱὸς μόνος ὡρίσθη, ἵνα οἷς βούλεται ἀποκαλύψῃ. καὶ οὕτως δύναται Ἀδὰμ ὁ πρωτόπλαστος αὐτὸν μὴ ἀγνοεῖν οὐδὲ Ἐνὼχ ὁ εὐαρεστήσας μὴ εἰδέναι οὔτε Νῶε ὁ δίκαιος μὴ ἐπίστασθαι οὔτε Ἀβραὰμ ὁ φίλος μὴ συνιέναι, οὐκ Ἰσαὰκ μὴ νενοηκέναι, οὐκ Ἰακὼβ ὁ παλαίσας μὴ πεπιστευκέναι, καὶ πᾶσιν τοῖς ἐν τῷ λαῷ ἀξίοις μὴ ἀποκεκαλύφθαι. εἰ δέ (ὡς φής) ἔσται διὰ τὸ εἰδέναι διὰ τοῦ Ἰησοῦ νῦν πᾶσιν ἀποκαλύπτεσθαι, πῶς οὐκ ἀδικώτατον λέγεις
ἐκείνους μὲν μὴ ἐγνωκέναι, ἑπτὰ στύλους ὑπάρξαντας κόσμῳ καὶ δικαιοτάτῳ θεῷ εὐαρεστῆσαι δυναμένους, καὶ τοσούτους δὲ νῦν ἀπὸ τῶν ἐθνῶν
ἀσεβεῖς ὄντας κατὰ πάντα γνῶναι; οὗτοι παντὸς κρείττονες γνῶναι οὐ
κατηξιώθησαν; καὶ πῶς ἐστι τοῦτο ἀγαθόν, ὃ μὴ δίκαιόν ἐστιν; ἐκτὸς εἰ μὴ ἀγαθὸν θέλεις λέγειν οὐ τὸν εὐεργετοῦντα τοὺς δικαιοπραγήσαντας, ἀλλὰ τὸν ἀγαπῶντα τοὺς ἀδίκους κἂν μὴ πιστεύωσιν, οἷς καὶ
τὰ ἀπόρρητα ἀποκαλύπτει, ἃ δικαίοις ἀποκαλύψαι οὐκ ἠθέλησεν. τὸ γὰρ τοιοῦτον οὔτε ἀγαθῷ οὔτε δικαίῳ προσήκει, ἀλλὰ τῷ εὐσεβεῖς μεμισηκότι. μήτι σὺ εἶ, Σίμων, ὁ ἑστώς, ὁ ταῦτα οὕτως μήποτε ·ηθέντα εἰπεῖν ἀποθρασυνόμενος;

Καὶ ὁ Σίμων ἐπὶ τούτῳ ἀγανακτήσας ἔφη· Τὸν σὸν διδάσκαλον αἰτιῶ
εἰπόντα· «Ἐξομολογοῦμαί σοι, κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι, ἅπερ
ἦν κρυπτὰ σοφοῖς, ἀπεκάλυψας αὐτὰ νηπίοις θηλάζουσιν». καὶ ὁ Πέτρος·
Οὕτω μέν, ἔφη, ὁ λόγος οὐκ ἐλέχθη· ἐρῶ δὲ πρῶτον, ὡς οὕτως εἰρημένον
ὥσπερ σοι ἔδοξεν. ὁ κύριος ἡμῶν, εἴπερ καὶ εἰρήκει· «Ἅτινα ἦν κρυπτὰ σοφοῖς, ταῦτα νηπίοις ἀπεκάλυψεν ὁ πατήρ», οὐδὲ οὕτως ἄλλον θεὸν καὶ

πατέρα σημαίνειν ἐνομίζετο παρὰ τὸν κτίσαντα τὸν κόσμον. ἐνδέχεται
γὰρ αὐτοῦ εἶναι τοῦ δημιουργοῦ τὰ κρυπτὰ ἃ ἔλεγεν, τῷ καὶ τὸν Ἠσαίαν
εἰπεῖν· «Ἀνοίξω τὸ στόμα μου ἐν παραβολαῖς καὶ ἐξερεύξομαι κεκρυμμένα
ἀπὸ καταβολῆς κόσμου». τὸν οὖν προφήτην ὁμολογεῖς, ὃς τὰ κεκρυμμένα
οὐκ ἠγνόει, ἅτινα ὁ Ἰησοῦς ἀπὸ σοφῶν κεκρύφθαι λέγει, νηπίοις δὲ
ἀποκεκαλύφθαι; πῶς δὲ ὁ δημιουργὸς ἠγνόει τοῦ προφήτου αὐτοῦ μὴ
ἀγνοοῦντος Ἠσαίου; ὁ δὲ Ἰησοῦς ἡμῶν τῷ ὄντι οὐκ εἶπεν· «Ἅτινα [οὐκ]
ἦν κρυπτά», ἀλλὰ τὸ δοκοῦν τραχύτερον εἴρηκεν· εἶπεν γάρ· «Ἀπεκάλυψας
αὐτὰ νηπίοις θηλάζουσιν». τὸ δὲ εἰπεῖν «ἀπέκρυψας», ὥς ποτε ἐγνω-
σμένων αὐτοῖς. παρ' αὐτοῖς γὰρ ἡ κλεὶς τῆς βασιλείας τῶν οὐρανῶν
ἀπέκειτο, τουτέστιν ἡ γνῶσις τῶν ἀπορρήτων. καὶ μὴ λέγε· Ἠσέβη-
σεν εἰς τοὺς σοφοὺς κρύψας αὐτὰ ἀπ' αὐτῶν. μὴ γένοιτο τοῦτο ὑπολα-
βεῖν. οὐ γὰρ ἠσέβησεν, ἀλλ' ἐπειδὴ ἀπέκρυπτον τὴν γνῶσιν τῆς βα-
σιλείας καὶ οὔτε αὐτοὶ εἰσῆλθαν οὔτε τοῖς βουλομένοις εἰσελθεῖν παρ-
έσχον, τούτου ἕνεκεν κατὰ τὸ δίκαιον, ὡς ἀπέκρυψαν αὐτοὶ τὰς ὁδοὺς
ἀπὸ τῶν θελόντων, οὕτω καὶ ἀπ' αὐτῶν ἀπεκρύβη τὰ ἀπόρρητα, ἵνα
ὡς ἐποίησαν, ὁμοίως καὶ αὐτοῖς γένηται καὶ ᾧ μέτρῳ ἐμέτρησαν, με-
τρηθῇ αὐτοῖς τῷ ἴσῳ. τῷ γὰρ ἀξίῳ τὸ γνῶναι ὃ μὴ οἶδεν ὀφείλεται,
τοῦ δὲ μὴ ἀξίου (κἂν δοκῇ ἔχειν) ἀφαιρεῖται (κἂν ἐν τοῖς ἄλλοις ᾖ
σοφός) καὶ δίδοται τοῖς ἀξίοις (κἂν ἐν τοῖς χρόνοις τῆς μαθητείας ὦσιν
νήπιοι). εἰ δέ τις ἐρεῖ· Οὐδὲν ἦν ἀπόκρυφον τοῖς υἱοῖς Ἰσραὴλ διὰ
τὸ γεγράφθαι· «Οὐδέν σε ἔλαθεν, Ἰσραήλ· μὴ γὰρ εἴπῃς, Ἰακώβ· Ἀπε-
κρύβη ἡ ὁδὸς ἀπ' ἐμοῦ», συνιέναι ὀφείλει τις ὅτι τὰ διαφέροντα τῇ
βασιλείᾳ ἀποκέκρυπτο ἀπ' αὐτῶν, ἡ δὲ εἰσφέρουσα εἰς τὴν βασιλείαν
ὁδός, ἥτις ἐστὶν πολιτεία, οὐκ ἀποκέκρυπτο. διὰ τοῦτο γὰρ καὶ λέγει· «Μὴ
γὰρ εἴπῃς ὅτι ἀπεκρύβη ἀπ' ἐμοῦ ἡ ὁδός». ὁδὸς δὲ ἡ πολιτεία ἐστὶν τῷ
καὶ τὸν Μωυσῆν λέγειν· «Ἰδοὺ τέθεικα πρὸ προσώπου σου τὴν ὁδὸν
τῆς ζωῆς καὶ τὴν ὁδὸν τοῦ θανάτου». καὶ ὁ διδάσκαλος συμφώνως εἶπεν·
«Εἰσέλθετε διὰ τῆς στενῆς καὶ τεθλιμμένης ὁδοῦ, δι' ἧς εἰσελεύ-
σεσθε εἰς τὴν ζωήν». καὶ ἀλλαχοῦ που, ἐρωτήσαντός τινος· «Τί ποιή-

σας ζωὴν αἰώνιον κληρονομήσω;» τὰς τοῦ νόμου ἐντολὰς ὑπέδειξεν.
ἐκ δὲ τοῦ εἰπεῖν τὸν Ἠσαίαν ἐκ προσώπου τοῦ θεοῦ· «Ἰσραὴλ δέ με
οὐκ ἔγνω καὶ ὁ λαός με οὐ συνῆκεν» οὐ παρὰ τοῦτο καὶ ὁ Ἠσαίας
ἄλλον παρὰ τὸν ἐγνωσμένον δημιουργὸν ᾐνίσσετο θεόν, ἀλλὰ τὸν ἐγνω-
σμένον ἄγνωστον ἔλεγεν ἑτέρῳ αἰνίγματι, ὡς τὴν διάθεσιν τὴν δικαίαν
τοῦ ἐγνωσμένου θεοῦ ὁ λαὸς ἀγνοῶν ἡμάρτανεν καὶ ὑπὸ τοῦ ἀγαθοῦ θεοῦ
κριθήσεσθαι οὐχ ὑπελάμβανεν. διὰ τοῦτο μετὰ τὸ εἰπεῖν· «Ἰσραὴλ δέ με
οὐκ ἔγνω, καὶ ὁ λαός με οὐ συνῆκεν» ἐπαγαγὼν λέγει· «Οὐαὶ ἔθνος ἁμαρ-
τωλόν, λαὸς πλήρης ἁμαρτιῶν». τῇ γὰρ πρὸς τὸ δίκαιον αὐτοῦ ἀγνωσίᾳ
(ὡς ἔφην) μὴ φοβούμενοι πλήρεις ἐγένοντο ἁμαρτιῶν, μόνον ἀγαθόν (ὡς
μὴ ἐπεξερχόμενον αὐτῶν τὰς ἁμαρτίας) εἶναι ὑπειληφότες. καί τινες μὲν
οὕτως ἡμάρτανον ἐκ τῆς διὰ τὸ ἀγαθὸν ἀκρίτου ὑπολήψεως, ἕτεροι δὲ ἐκ
τῶν ἐναντίων. τὰς γὰρ κατὰ τοῦ θεοῦ τῶν γραφῶν φωνάς, ἀδίκους οὔσας
καὶ ψευδεῖς, ἀληθεῖς ὑπολαμβάνοντες τὴν ὄντως αὐτοῦ θειότητα καὶ
δύναμιν οὐκ ᾔδεισαν. διόπερ ὡς ἀγνοοῦντος αὐτοῦ καὶ φόνοις χαίροντος
καὶ θυσιῶν δώροις τοὺς πονηροὺς ἀφιέντος, ἔτι δὲ καὶ ἀπατῶντος καὶ ψευδο-
μένου καὶ πάντα ἄδικα ποιοῦντος, αὐτοὶ ὡς ὅμοια θεοῦ ποιήσαντες, ἁμαρτά-
νοντες ἰσχυρίζοντο εὐσεβεῖν. διὸ καὶ ἀμετάθετοι εἰς τὸ κρεῖττον ἦσαν καὶ
νουθετούμενοι οὐκ ἐπεστρέφοντο. οὐ γὰρ ἐφοβοῦντο, ὡς τῷ θεῷ διὰ τῶν
τοιούτων πράξεων ἐξομοιούμενοι. πρὸς δὲ τοὺς τοιοῦτον αὐτὸν νομίζοντας
εἶναι εὐλόγως ἄν τις λέγοι εἰρῆσθαι· «Οὐδεὶς ἔγνω τὸν πατέρα εἰ μὴ ὁ υἱός,
ὡς οὐδὲ τὸν υἱόν τις οἶδεν εἰ μὴ ὁ πατήρ». καὶ εἰκότως. εἰ γὰρ ἠπίσταντο,
οὐκ ἂν ταῖς ὄντως πρὸς πειρασμὸν κατὰ τοῦ θεοῦ γραφείσαις βίβλοις

πιστεύοντες ἡμάρτανον. ἀλλὰ καὶ ἀλλαχῆ που λέγει, θέλων σαφέστερον
αὐτοῖς τὴν αἰτίαν τῆς πλάνης αὐτῶν ὑποδεῖξαι· «Διὰ τοῦτο πλανᾶσθε,
μὴ εἰδότες τὰ ἀληθῆ τῶν γραφῶν, οὗ εἵνεκεν ἀγνοεῖτε καὶ τὴν δύναμιν
τοῦ θεοῦ». διὸ δεῖ πάντα ἄνθρωπον σωθῆναι θέλοντα γενέσθαι, ὡς ὁ
διδάσκαλος εἶπεν, κριτὴν τῶν πρὸς πειρασμὸν γραφεισῶν βίβλων. οὕτως
γὰρ εἶπεν· «Γίνεσθε τραπεζῖται δόκιμοι». τραπεζιτῶν δὲ χρεία, ὅτι τοῖς
δοκίμοις καὶ τὰ κίβδηλα ἀναμεμιγμένα.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ὁ Σίμων ἐπὶ τοῖς ·ηθεῖσιν περὶ τῶν
γραφῶν προσποιησάμενος ἐκπεπλῆχθαι ὡς πτοηθεὶς ἔφη· Ἀπείη μοι
καὶ τοῖς ἐμὲ φιλοῦσιν τῶν σῶν ἐπακούειν λόγων. καὶ μέχρι μὲν ὅτε οὐκ
ᾔδειν σε ταῦτα περὶ τῶν γραφῶν φρονοῦντα, ἠνειχόμην καὶ διελεγόμην,
νῦν δὲ ἀφίσταμαι. ἔδει μέντοι τὴν ἀρχὴν ὑποχωρῆσαί με, ὅτι ἤκουσά σου
λέγοντος· Ἐγὼ κατὰ τοῦ κτίσαντος τὸν κόσμον οὐδὲν οὐδενὶ πιστεύω λέ-
γοντι, οὔτε ἀγγέλοις οὔτε προφήταις, οὐ γραφαῖς, οὐχ ἱερεῦσιν, οὐ διδασκά-
λοις, οὐκ ἄλλῳ οὐδενί, κἂν σημεῖά τις καὶ τέρατα ποιῇ, κἂν ἐν ἀέρι ἐπι-
φανῶς ἀστράπτῃ ἢ δι' ὁραμάτων ἢ δι' ἐνυπνίων ἀποκαλύπτῃ. τίς οὖν
σε μεταπεῖσαι δύναται εἴτε καλῶς εἴτε κακῶς ἕτερόν τι φρονεῖν παρὰ
τὰ δόξαντά σοι, ἰσχυρῶς οὕτως καὶ ἀκινήτως τῇ σεαυτοῦ γνώσει ἐνδιαμέ-
νοντα;

Καὶ ὁ Πέτρος ταῦτα εἰπόντι τῷ Σίμωνι, ἐκβαίνειν μέλλοντι, ἔφη· Ἔτι
τοῦτό μου ἄκουσον καὶ πορεύου ὅπου θέλεις. τοῦ δὲ Σίμωνος ἐπιστραφέντος
καὶ ἐπιμείναντος ὁ Πέτρος ἔφη· Οἶδα πῶς τότε ἀκούων κατεπλάγης, ὅτε εἶπον·
Ὅστις ποτ' ἂν ᾖ κατὰ τοῦ τὸν κόσμον κτίσαντος θεοῦ λέγων ὁτιοῦν, οὐ πι-
στεύω. τὸ δὲ ἐπὶ τούτου μεῖζον νῦν ἄκουσον. ἐὰν τῷ ὄντι ὁ τὸν κόσμον

κτίσας θεὸς τὴν γνώμην τοιοῦτος ὢν τυγχάνῃ, ὁποῖον αἱ γραφαὶ καταλέγου-
σιν–καὶ εἰ ἄλλως πως ἀπαραβλήτως κακός ἐστιν, ὡς οὔτε αἱ γραφαὶ
εἰπεῖν ἴσχυσαν οὔτε ἄλλος τις κἂν ἐννοῆσαι δυνατός ἐστιν, ὁμοίως ἐγὼ
οὐκ ἀποστήσομαι τοῦ αὐτὸν μόνον σέβειν καὶ τὸ αὐτοῦ βούλημα ποιεῖν.
εἰδέναι γάρ σε θέλω καὶ πεπεῖσθαι ὅτι ὁ εἰς τὸν αὐτοῦ ποιητὴν οὐκ ἔχων
στοργὴν οὐδὲ εἰς ἕτερον ἔχειν ποτὲ δύναται. εἰ δὲ ἔχει πρὸς ἕτερον, παρὰ
φύσιν ἔχων, ἐκ πονηροῦ τὸν τῶν ἀδίκων ἔρωτα ἔχων ἀγνοεῖ, ὡς μηδὲ
ἐκεῖνον βεβαίως φυλάξαι δυνάμενος. καὶ εἰ ἄρα ἐστίν τις ἕτερος ὑπὲρ
τὸν δημιουργόν, ἀποδέξεταί με ὡς ἀγαθὸς ταύτῃ μᾶλλον, ὅτι τὸν ἐμὸν
ἀγαπῶ πατέρα, σὲ δὲ οὐκ ἀποδέξεται εἰδὼς ὅτι τὸν φύσει σου ποιητήν
(οὐ γὰρ λέγω πατέρα) κατέλιπες ἐπ' ἐλπίδι μείζονι, οὐ φροντίσας τοῦ
εὐλόγου. οὕτως εἰ καὶ αὐτοῦ κρείττονα εὑρήσεις, οἶδεν ὅτι καὶ αὐτὸν
καταλείψεις ποτέ, καὶ μᾶλλον ὅτι μὴ γέγονέν σου πατήρ, ὁπότε καὶ τὸν
ὄντως σου πατέρα κατέλιπες. ἀλλ' ἐρεῖς· Οἶδεν ὅτι οὐκ ἔστιν ἕτερος ὑπὲρ
αὐτόν, καὶ διὰ τοῦτο καταλειφθῆναι οὐ δύναται. χάρις οὖν τῷ μὴ εἶναι·
τὰ δὲ τῆς γνώμης οἶδεν ἕτοιμα πρὸς ἀγνωμοσύνην. εἰ δὲ εἰδὼς ἀγνώμονά
σε ἀποδέχεται, ἐμὲ δὲ εὐγνώμονα ἐπιστάμενος οὐ προσίεται, ἀλόγιστός
ἐστι κατὰ τὸν σὸν λόγον, τῷ εὐλόγῳ μὴ κεχρημένος. οὕτω πονηρίας, ὦ Σί-
μων, ὑπουργὸς ὢν ἀγνοεῖς. καὶ ὁ Σίμων ἀπεκρίνατο· Πόθεν οὖν τὸ πονηρὸν
πέφυκεν, εἰπὲ ἡμῖν. καὶ ὁ Πέτρος· Ἐπειδὴ σήμερον, ἔφη, ἐκβαίνειν
ἔφθασας καὶ ἔφης τοῦ λοιποῦ ὡς βλασφήμου μὴ ἀκούειν ἐμοῦ, αὔριον εἴγε
θέλεις μαθεῖν ἐλθόντι ὑφηγήσομαι καὶ ὡς θέλεις ἐξετασθῆναί με συγχωρή-
σω ἄνευ φιλονεικίας. καὶ ὁ Σίμων ἔφη· Ὡς ἄν μοι δόξῃ ποιήσω. καὶ τοῦτ'
εἰπὼν ἐπορεύθη. τῶν δὲ συνεισελθόντων αὐτῷ οὐδεὶς συνεξῆλθεν, ἀλλὰ

τοῖς ποσὶν προσπεσόντες Πέτρου ἠξίουν ἐπὶ τῷ συνηρπάσθαι τῷ Σίμωνι
συγγνώμης τυγχάνειν καὶ ἀποδεχθῆναι μετανοοῦντας. ὁ δὲ Πέτρος προσέ-
μενος αὐτούς τε τοὺς μεταμελομένους καὶ τοὺς ἄλλους ὄχλους, ἐπέθη-
κεν τὰς χεῖρας εὐχόμενος καὶ ἰώμενος αὐτῶν τοὺς πάσχοντας, καὶ οὕτως
ἀπολύων παρήγγελλεν αὐτοῖς περὶ τὸν ὄρθρον ταχύνειν. καὶ τοῦτ' εἰπὼν
καὶ εἰσελθὼν μετὰ τῶν συνήθων τὰ εἰωθότα πρὸς τὴν ἐπείγουσαν ἡσυ-
χίαν ἐποίησεν καταλαβούσης ἑσπέρας.

[ΟΜΙΛΙΑ ΙΘ.]

Τῆς δὲ ἄλλης ἡμέρας ὀρθρίτερον προελθὼν ὁ Πέτρος καὶ ἰδὼν τὸν Σίμωνα σὺν ἄλλοις πολλοῖς ἀναμένοντα αὐτόν, προσαγορεύσας τὸ πλῆθος
ἤρξατο διαλέγεσθαι. ἅμα δὲ τῷ ἄρξασθαι ὁ Σίμων ἐγκόψας ἔφη· Τὰ μακρά
σου ταῦτα παρεὶς προοίμια εἰς τὸ προκείμενον πυνθανομένῳ μοι ἀπόκριναι.
ἐπειδὴ συννοῶ σε (ὡς ἀφ' ὧν ἀπ' ἀρχῆς ἐπακηκοὼς ἐπίσταμαι ὅτι μηθὲν
ἕτερόν σοι πρόκειται ἢ πάσῃ μηχανῇ τὸν δημιουργὸν αὐτὸν δεῖξαι μόνον
ἄμεμπτον εἶναι θεὸν) [καὶ] τοσοῦτον προαίρεσιν πόθον ἔχοντα διισχυρί-
ζεσθαι, ὡς καὶ ἐνίας τῶν γραφῶν περικοπὰς σαφῶς καταλεγούσας αὐτοῦ
τολμᾶν ψευδεῖς λέγειν· οὗ εἵνεκεν προῄρημαι σήμερον ἀποδεῖξαι ὅτι ἀδύ-
νατόν ἐστιν αὐτὸν πάντων δημιουργὸν ὄντα ἄμεμπτον εἶναι. τῆς δὲ ἀπο-
δείξεως ἤδη ἄρξασθαι δύναμαι, ἐάν γε πρὸς ὃ πυνθάνομαί σου ἀποκρίνῃ
μοι. φής τινα κακίας ἡγεμόνα εἶναι ἢ οὔ; ἐὰν γὰρ εἴπῃς μὴ εἶναι, ἐκ
πολλῶν καὶ τῶν τοῦ διδασκάλου σου ἀποδεῖξαι ἔχω ὅτι ἔστιν· εἰ δὲ εὐγνω-
μονῶν ὁμολογήσεις εἶναι τὸν πονηρόν, ἑπομένως ποιήσω τὸν λόγον. καὶ ὁ Πέ-
τρος· Ἀδύνατόν ἐστίν μοι φωνὴν τοῦ ἐμοῦ ἀρνήσασθαι διδασκάλου, διὸ καὶ
ὁμολογῶ εἶναι τὸν πονηρόν, ὅτι πολλάκις αὐτὸν ὑπάρχειν ὁ πάντα ἀλη-
θεύσας εἴρηκεν διδάσκαλος. αὐτίκα γοῦν ὁμολογεῖ ἐπὶ τεσσαράκοντα ἡμέ-
ρας διαλεχθέντα πεπειρακέναι αὐτόν. καὶ ἄλλῃ που οἶδα αὐτὸν εἰρηκότα· «Εἰ
ὁ σατανᾶς τὸν σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν αὐτοῦ

στήκῃ ἡ βασιλεία;». καὶ ὅτι ἑώρακεν τὸν πονηρὸν «ὡς ἀστραπὴν πεσόντα
ἐκ τοῦ οὐρανοῦ» ἐδήλωσεν. καὶ ἄλλοθι ἔφη· «Ὁ δὲ τὸ κακὸν σπέρμα σπείρας
ἐστὶν ὁ διάβολος». καὶ πάλιν· «μὴ δότε πρόφασιν τῷ πονηρῷ». ἀλλὰ καὶ
συμβουλεύων εἴρηκεν· «Ἔστω ὑμῶν τὸ ναὶ ναὶ καὶ τὸ οὐ οὔ, τὸ δὲ περισσὸν
τούτων ἐκ τοῦ πονηροῦ ἐστιν». ἀλλὰ καὶ ἐν ᾗ παρέδωκεν εὐχῇ ἔχομεν
εἰρημένον· «Ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ». καὶ ἄλλῃ που εἰπεῖν ὑπέ-
σχετο τοῖς ἀσεβέσιν· «Ὑπάγετε εἰς τὸ σκότος τὸ ἐξώτερον, ὃ ἡτοίμασεν
ὁ πατὴρ τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». καὶ ἵνα μὴ εἰς πολὺ μη-
κύνω τὸν λόγον, πολλάκις οἶδα τὸν διδάσκαλόν μου εἰπόντα εἶναι τὸν
πονηρόν. διὸ κἀγὼ σύμφημι αὐτὸν ὑπάρχειν. λοιπὸν εἴ τι ἔχεις ἑπο-
μένως λέγειν, ὡς ὑπέσχου λέγε. καὶ ὁ Σίμων· Ἐπεὶ οὖν εὐγνωμονή-
σας ὡμολόγησας εἶναι τὸν πονηρόν, ἀπὸ γραφῶν ἡμῖν λέγε τὸ πῶς
γέγονεν, εἴπερ γέγονε, καὶ ὑπὸ τίνος καὶ διὰ τί. καὶ ὁ Πέτρος· Σύγ-
γνωθί μοι, Σίμων, μὴ τολμῶντι εἰπεῖν ἃ μὴ γέγραπται. εἰ σὺ φῆς γε-
γράφθαι, δεῖξον· εἰ δέ, καθὰ μὴ γέγραπται, οὐδὲ σὺ δεῖξαι δύνῃ, διὰ
τί περὶ τῶν μὴ γραφέντων ἀποφαινόμενοι κινδυνεύομεν; ἢ γὰρ οὐ πε-
πιστεύκαμεν κριθήσεσθαι μὴ μόνον περὶ ὧν ποιοῦμεν, ἀλλὰ καὶ περὶ
ὧν πιστεύοντες λαλοῦμεν, καὶ διὰ τοῦτο τολμηρότερον περὶ θεοῦ διαλε-
γόμεθα; ὁ δὲ Σίμων συνεὶς ὅτι πρὸς τὴν ἀπόνοιαν αὐτοῦ εἴρηκεν, ἔφη·
Ἐμὲ ἔα κινδυνεύειν, σὺ δὲ ἣν φῆς βλασφημίαν πρόφασιν πρὸς ὑποχώ-
ρησιν μὴ λάμβανε. συννοῶ γάρ σε βουλόμενον ὑποστέλλεσθαι, ὅπως τὸν
ἐπὶ τῶν ὄχλων ἔλεγχον ἐκφύγῃς, ὁτὲ μὲν ὡς δεδιὼς βλασφημίας ἀκοῦ-
σαι, ὁτὲ δέ (ἐπεὶ μὴ γέγραπται πῶς καὶ ὑπὸ τίνος καὶ διὰ τί γέγονεν
ὁ πονηρός) ὅτι μὴ χρὴ πλεῖον τῆς γραφῆς τολμᾶν λέγειν· διὸ καὶ ὡς εὐλα-
βὴς τοῦτο μόνον βεβαιοῖς ὅτι ἔστιν. ταῦτα δὲ μηχανώμενος σεαυτὸν ἀπατᾷς,
οὐκ εἰδὼς ὅτι εἰ βλασφημία ἐστὶν περὶ πονηροῦ ἀκριβοῦν, ἡ αἰτία περὶ
ἐμὲ τὸν κατήγορον τυγχάνει, οὐ περὶ σὲ τὸν συνηγοροῦντα τῷ θεῷ. καὶ
εἰ ἄγραφόν ἐστιν τὸ ζητούμενον καὶ διὰ τοῦτο ζητεῖν οὐ θέλεις, εἰσίν

τινες ὁδοὶ ἱκαναί, δυνάμεναι οὐχ ἧττον γραφῶν δεῖξαι τὰ ζητούμενα. αὐτίκα γοῦν οὐκ ἀνάγκη τὸν πονηρόν (ὃν καὶ σὺ φὴς ὑπάρχειν) ἢ γενητὸν
εἶναι ἢ ἀγένητον; καὶ ὁ Πέτρος ἔφη· Ἀνάγκη. καὶ ὁ Σίμων· Οὐκοῦν εἰ γενητός ἐστιν, ὑπ' αὐτοῦ τοῦ τὰ πάντα πεποιηκότος γέγονεν θεοῦ, ἢ ὡς ζῷον γεννηθεὶς ἢ οὐσιωδῶς προβληθεὶς καὶ ἔξω τῇ κράσει συμβεβηκώς. εἰ γὰρ ἐκτὸς ἦν αὐτοῦ ἡ ὕλη ἔμψυχος οὖσα ἢ ἄψυχος, ὅθεν γέγονεν, ἢ δι' αὐτοῦ τοῦ θεοῦ ἢ ἀφ' ἑαυτοῦ ἢ καὶ ἐξ οὐκ ὄντων συμβέβηκεν, τῶν πρὸς τί ἐστιν ἢ αἰεὶ ἦν. πάσης οὖν ὁδοῦ ὡς οἶμαι ἐνταῦθα
διῃρημένης πρὸς τὴν εὕρεσιν αὐτοῦ, ἀνάγκη μιᾷ τινι αὐτῶν ὁδεύουσιν εὑρετὸν αὐτὸν εἶναι· ἑκάστην οὖν ὁδεῦσαι δεῖ ζητοῦντα γένεσιν καὶ εὑρόντα
τὸν αἴτιον ὑπὸ μέμψιν αὐτὸν εἶναι νοεῖν. ἦ γάρ; πῶς σοὶ δοκεῖ;

Καὶ ὁ Πέτρος· Ἐμοὶ δοκεῖ, ἐὰν ὑπὸ τοῦ θεοῦ φανῇ γεγονώς, μήπω δεῖν τὸν ποιήσαντα ὑπὸ μέμψιν εἶναι, μήπως τὸ χρήσιμον αὐτοῦ πάντων
ἀναγκαιότερον εὑρεθείη· εἰ δὲ καὶ μὴ γεγονὼς ἀποδειχθείη ὡς αἰεὶ ὤν,
οὐδὲ ἐν τούτῳ ὁ δημιουργὸς μεμπτός, ἐπεὶ τῶν ὅλων ἐστὶν ὁ κρείττων, εἰ καὶ
ἀνάρχῳ ἀρχῇ τέλος ἐπιθεῖναι διὰ τὸ μὴ φύσιν ἔχειν οὐ δεδύνηται, ἢ δυνατὸς ὢν οὐκ ἀναιρεῖ αὐτόν, ἄδικον κρίνας ἀρχὴν μὴ εἰληφότι τέλος
ἐπιθεῖναι, καὶ κακῷ πεφυκότι συγγνῶναι διὰ τὸ ἄλλο τι γενέσθαι μὴ δύνασθαι, καὶ εἰ τοῦ γενέσθαι τὸ ἐπιθυμεῖν ἔχοι. εἰ δὲ ἀγαθὸν ποιῆσαι
θέλων μὴ δύναιτο, καὶ οὕτως ἀγαθός ἐστιν, ὅτι θέλει μέν, οὐ δύναται δέ· καὶ
ἐν ᾧ ἀδυνατεῖ πάντων ἐστὶ δυνατώτατος, ὅτι μὴ ἑτέρῳ τὸ δυνατὸν καταλεί-
πεται. εἰ δὲ ἔστιν τις ἕτερος δυνατὸς καὶ μὴ κατορθῶν, ἐν ᾧ δυνατὸς ὢν μὴ κατορθοῖ, πονηρὸς ὢν ὡμολόγηται, μὴ παύων αὐτὸν ὡς τοῖς ὑπ' αὐτοῦ γινομένοις ἡδόμενος. εἰ δὲ οὐδὲ αὐτὸς δύναται, κρείττων ὁ πρὸς
τῷ ἀδυνατεῖν κατὰ τὸ δυνατὸν ἡμᾶς εὐεργετεῖν οὐκ ὀκνῶν. καὶ ὁ Σίμων· Ὅταν εἰς ἕκαστον ὧν προέτεινα διαλεχθείς σοι τῆς κακίας τὸν αἴτιον δείξω, τότε σοι καὶ πρὸς ἃ εἴρηκας ἀποκρινοῦμαι καὶ ὃν φὴς θεὸν ἄμεμπτον ὑπὸ μέμψιν εἶναι ἀποδείξω. καὶ ὁ Πέτρος· Ἐπειδὴ ἀφ' ὧν ἀπ' ἀρχῆς φθέγγῃ συννοῶ σε μηδὲν ἕτερον σπουδάζοντα ἢ ὡς κα-

κίας ἡγεμόνα τὸν θεὸν ὑποβάλλειν μέμψει, προῄρημαι πάσαις αἷς βούλῃ
ὁδοῖς συνοδεύων δεῖξαι θεὸν πάσης μέμψεως ἐκτὸς ὄντα. καὶ ὁ Σίμων
ἔφη· Ταῦτα ὡς ἀγαπῶν θεὸν ὃν νενόμικας λέγεις, ἀλλ' οὐκ ἀληθεύεις.
καὶ ὁ Πέτρος· Σὺ δὲ ὡς κακὸς μισῶν θεὸν ὃν ἠγνόησας, βλασφήμους
ἀφίης φωνάς. καὶ ὁ Σίμων· Μνημόνευε ὅτι με κακίας ἡγεμόνι παρείκα-
σας. καὶ ὁ Πέτρος· Ὁμολογῶ, ἐψευσάμην παρεικάσας σε τῷ πονηρῷ·
ἠναγκάσθην γὰρ ἐπὶ τῷ μὴ εὑρεῖν τὸν σοὶ ἴσον ἢ καὶ χείρονα. τούτου
ἕνεκα τῷ πονηρῷ σε παρείκασα· σὺ γὰρ καὶ τοῦ τῆς κακίας ἡγεμόνος
πολλῷ πονηρότερος τυγχάνεις· τὸν γὰρ πονηρὸν οὐδεὶς κατειπόντα
θεοῦ δεῖξαι δύναται, σὲ δὲ τολμηρῶς καταλέγοντα οἱ πάντες παρόντες
ἱστοροῦμεν. καὶ ὁ Σίμων· Ὁ ἀλήθειαν ζητῶν οὐδὲν οὐδενὶ ὀφείλει παρὰ
τὸ ×ν χαρίζεσθαι· ἐπεὶ τί καὶ τὴν ἀρχὴν ζητεῖ; τί δέ; καὶ ἐγὼ οὐ δύναμαι,
παρεὶς ἀκριβοῦν τὰ πράγματα, εἰς ἐγκώμιον οὗ μὴ ἐπίσταμαι θεοῦ τὸν
πάντα μου δαπανᾶν χρόνον. καὶ ὁ Πέτρος· Οὔτε τοσοῦτον εἶ μακάριος
αὐτὸν ὑμνεῖν, οὔτε μὴν τὸ ἀγαθὸν τοῦτο ποιῆσαι δύνασαι· αὐτοῦ γὰρ
πλήρης ἂν ἦς. οὕτω γὰρ ὁ ἀψευδὴς ἡμῶν εἶπε διδάσκαλος· «Ἐκ περισσεύ-
ματος καρδίας στόμα λαλεῖ». ὅθεν σὺ περισσευόμενος προαιρέσει κακῇ
ἀγνοίας αἰτίᾳ καταλέγεις τοῦ μόνου ἀγαθοῦ θεοῦ, καὶ μήπω κατ' ἀξίαν
πάσχων ὧν ἐτόλμησας λέγειν. εἰ κρίσιν οἴει μὴ ἔσεσθαι, τάχα δὴ μηδὲ
εἶναι θεὸν νομίζεις. ὅθεν τῆς τοσαύτης αὐτοῦ μακροθυμίας οὐκ ἀντι-
λαμβανόμενος ἐπὶ πλεῖον πρὸς ἀπόνοιαν αὐτὸν ἐκτείνεις. καὶ ὁ Σίμων· Μὴ
ἔλπιζε φόβῳ δυσωπήσειν με μὴ ζητεῖν σοι τῶν παραδειγμάτων τὰ ἀληθῆ·
ἐγὼ γὰρ τοσοῦτον ἀληθείας ὀρέγομαι ὡς αὐτῆς ἕνεκα μὴ ὀκνῆσαι καὶ τὸ κιν-
δυνεύειν ἀναδέχεσθαι. πλὴν πρὸς τὰ ἀπ' ἀρχῆς σοι ὑπ' ἐμοῦ προταθέντα,
εἴγε εἰπεῖν ἔχεις, ἤδη λέγε.

Καὶ ὁ Πέτρος· Ἐπειδὴ τολμᾶν ἡμᾶς ἀναγκάζεις τὰς τοῦ θεοῦ τέχνας
ἀκριβῶς ἐφευρόντας λέγειν, καὶ ταῦτα ἀνθρώπους τοὺς μηδὲ τῶν ὁμοίων

τὰς τέχνας ἀκριβῶσαι δυναμένους, διὰ γοῦν τοὺς παρεστῶτας ἀντὶ τῆς
εὐσεβεστάτης σιγῆς περὶ ὧν θέλεις διαλεχθήσομαι. συνομολογῶ σοι εἶναί
τινα κακίας ἡγεμόνα, οὗ τὴν γένεσιν ἡ γραφὴ οὔτε ἀληθὲς οὔτε ψευ-
δὲς εἰπεῖν ἐτόλμησεν. πλὴν συνδιαπορήσωμεν πολλαχῶς τὸ πῶς γέγονεν
(εἴπερ γέγονεν) καὶ τῶν δοκούντων τὸ εὐφημότερον ἑλώμεθα, ἐπεὶ ἐκ τῶν
εἰκότων λαμβάνεται τοῦτο βεβαίως, ὃ μὲν ὅτι θεῷ τὸ εὐφημότερον δοῦναι
πρέπει, ταύτῃ μᾶλλον πασῶν ὑπονοιῶν καθαρθεισῶν καὶ ἄλλης ἱκανῆς καὶ
ἀκινδυνοτέρας παρακειμένης ὑποψίας. πλὴν ἤδη σοι πρὸ τῆς ζητήσεως
ὑπισχνοῦμαι ὅτι πᾶσα ὁδὸς ζητήσεως ἄμεμπτον αὐτὸν μόνον δύναται
δεῖξαι τὸν θεόν. πλήν (ὡς ἔφης) ὁ πονηρὸς εἰ γενητός ἐστιν, ἢ ὡς ζῷον
γεγέννηται ἢ οὐσιωδῶς ὑπ' αὐτοῦ προβέβληται ἢ ἔξω κέκραται ἢ τῇ
κράσει συμβέβηκεν αὐτοῦ ἡ προαίρεσις ἢ ἄνευ κράσεως καὶ θεοῦ βουλῆς
συνέβη γενέσθαι ἐξ οὐκ ὄντων ἢ ὑπὸ θεοῦ ἐκ τοῦ μηδαμῆ μηδαμῶς
γέγονεν ἢ ἐκτὸς ἦν θεοῦ ἢ ὕλη ἄψυχος οὖσα ἢ ἔμψυχος ὅθεν γέγονεν ἢ
ἑαυτὸν δημιουργήσας ἢ ὑπὸ θεοῦ γεγονὼς ἢ τῶν πρὸς τί ἐστιν ἢ αἰεὶ ἦν.
εἰπεῖν γὰρ αὐτὸν μὴ εἶναι οὐ δυνάμεθα· συνωμολογήσαμεν γὰρ αὐτὸν
ὑπάρχειν. καὶ ὁ Σίμων· Καλῶς πάσας αὐτοῦ τὰς ὁδοὺς διεῖλες, τὸ κεφά-
λαιον αὐτοῦ· λοιπὸν ἐμόν ἐστι τὴν διαίρεσιν ἀνακρίναντα δεῖξαί σοι τὸν
δημιουργὸν ὑπὸ μέμψιν ὄντα· σοῦ δὲ ἔργον ἀποδεῖξαι αὐτόν, ὡς ὑπέσχησαι,
πάσης μέμψεως ἐκτὸς ὄντα· θαυμάζω δὲ εἰ δυνήσῃ. πρῶτον μὲν γὰρ ὁ πονη-
ρός, εἰ ἀπὸ τοῦ θεοῦ ζῷον γεγέννηται, ἀκολούθως τῆς αὐτῆς τοῦ προβαλόντος
κακίας τυγχάνει. καὶ ὁ Πέτρος· Οὐ πάντως· ὁρῶμεν γὰρ πολλοὺς τῶν ἀν-
θρώπων ἀγαθοὺς ὄντας καὶ κακοὺς γεννήσαντας, ἄλλους δὲ κακοὺς
ὑπάρχοντας καὶ ἀγαθοὺς ἐσχηκότας, ἑτέρους δὲ κακοὺς ὄντας καὶ ἀγαθούς

<τε καὶ κακοὺς> προβαλόντας, ἄλλους δὲ ἀγαθοὺς ὑπάρχοντας καὶ κακούς
τε καὶ ἀγαθοὺς τεκνώσαντας. αὐτίκα γοῦν ὁ πρῶτος δημιουργηθεὶς ἄνθρω-
πος ἐγέννησεν τὸν ἄδικον Κάιν καὶ τὸν δίκαιον Ἄβελ. πρὸς ταῦτα ὁ Σίμων
ἔφη· Ἀνοήτως ποιεῖς περὶ θεοῦ διαλεγόμενος ἀνθρωπίνοις χρώμενος
παραδείγμασιν. καὶ ὁ Πέτρος· Σὺ οὖν ἡμῖν λέγε περὶ θεοῦ, ἀνθρωπίνοις
μὴ χρώμενος παραδείγμασιν, μετὰ τοῦ μέντοι νοηθῆναι δύνασθαι τὰ
λεγόμενα· ἀλλ' οὐ δυνήσῃ. αὐτίκα γοῦν τί τὴν ἀρχὴν ἔλεγες; εἰ ἐκ θεοῦ ὁ
πονηρὸς γεγέννηται, τῆς αὐτῆς αὐτῷ ὢν οὐσίας, καὶ πονηρός ἐστιν.
ἐμοῦ δὲ δείξαντος ἐξ οὗπερ αὐτὸς ἔδωκας παραδείγματος ὅτι ἐξ ἀγα-
θῶν κακοὶ γίνονται καὶ ἐκ κακῶν ἀγαθοί, οὐ παρεδέξω, ἀνθρώπινον
φήσας εἶναι τὸ παράδειγμα. ὅθεν καὶ νῦν ἐγὼ οὐδὲ τὸ γεγεννῆσθαι θεὸν
παραδέχομαι, ὅτι τὸ γεννᾶν ἀνθρώπων ἐστίν, οὐ θεοῦ. ἀλλ' οὔτε ἀγαθὸς
ἢ κακὸς ἢ δίκαιος ἢ ἄδικος εἶναι δύναται ὁ θεός, οὔτε μὴν φρόνιμος ἢ ζῷον
ἢ ὅσα ἄλλα ἀνθρώποις προσεῖναι δύναται· ἀνθρώπων γὰρ τὰ τοιαῦτα.
καὶ εἰ μὴ χρὴ ζητοῦντας περὶ θεοῦ διδόναι αὐτῷ τὰ ἀνθρώποις προσόντα
καλά, οὐδέν ἐστιν τοῦ λοιποῦ νοεῖν ἢ λέγειν ἢ τοῦτο μόνον ζητεῖν, τὸ τῆς
προαιρέσεως αὐτοῦ, ἣν αὐτὸς συνεχώρησεν ἡμῖν νοεῖν, ὅπως κρινόμενοι ἀν-
απολόγητοι ὦμεν περὶ ὧν γνόντες οὐκ ἐφυλάξαμεν. καὶ ὁ Σίμων ἀκούσας
ἔφη· Οὐ δυσωπήσεις με περὶ τῆς οὐσίας αὐτοῦ σιωπήσαντα περὶ τῆς
προαιρέσεως αὐτοῦ ζητεῖν μόνης. ἔστιν γὰρ περὶ τῆς οὐσίας αὐτοῦ καὶ
νοεῖν καὶ λέγειν, λέγω δὲ ἀπὸ τῶν ἀνθρώποις προσόντων καλῶν. οἷον πρόσ-
εστιν ἀνθρώπῳ τὸ ζῆν καὶ τὸ τεθνάναι, ἀλλὰ τῷ θεῷ οὐ τὸ τεθνάναι, ἀλλὰ τὸ
ζῆν, καὶ τὸ ζῆν αἰωνίως. ἔτι μὴν πρόσεστιν ἀνθρώποις τὸ κακοῖς εἶναι καὶ
ἀγαθοῖς, τῷ δὲ θεῷ τὸ ἀσυγκρίτῳ ἀγαθῷ εἶναι. καὶ ἵνα μὴ εἰς πολὺ μηκύνω

τὸν λόγον, τῶν προσόντων ἀνθρώποις τὰ κρείττονα αἰωνίως πρόσεστιν
τῷ θεῷ. καὶ ὁ Πέτρος ἔφη· Λέγε μοι, Σίμων, πρόσεστιν ἀνθρώποις γεν-
νᾶν κακοὺς καὶ ἀγαθοὺς καὶ ποιεῖν κακὰ καὶ ἀγαθά; καὶ ὁ Σίμων ἔφη·
Πρόσεστιν. καὶ ὁ Πέτρος ἔφη· Ἐπεὶ οὕτως ἔφης, τῶν ἀνθρώποις προσόντων
τὰ κρείττονα ἀπονέμειν δεῖ τῷ θεῷ· ἀνθρώπων γεννώντων κακοὺς καὶ
ἀγαθούς, ὁ θεὸς ἀγαθοὺς μόνους γεννῆσαι δύναται, ἔτι τε τῶν ἀνθρώπων
ποιούντων κακὰ καὶ ἀγαθά, αὐτὸς μόνον τὰ ἀγαθὰ ποιῶν τέρπεται.
οὕτως περὶ θεοῦ ἢ οὐ δεῖ τὰ ἀνθρώποις προσόντα λέγειν καὶ σιωπᾶν
ἔστιν ἢ τῶν ἀνθρώποις προσόντων καλῶν εὔλογόν ἐστιν ἀπονέμειν αὐτῷ
τὰ κρείττονα, καὶ οὕτως πάντων καλῶν μόνος ἐστὶν αἴτιος. καὶ ὁ Σίμων·
Οὐκοῦν εἰ ὁ θεὸς μόνων τῶν καλῶν αἴτιός ἐστιν, τοῦ λοιποῦ τί ἐστιν νοεῖν
ἢ ὅτι τὸ πονηρὸν ἑτέρα τις ἐγέννησεν ἀρχή, εἰ ἄρα γεννητόν ἐστιν; καὶ
ὁ Πέτρος· Οὔτε ἑτέρα τις δύναμις ἐγέννησεν τὸν πονηρὸν οὔτε ἀγέννητόν
ἐστι τὸ κακόν, ὡς ἐπὶ τέλει δείξω· νῦν γὰρ ἀποδεῖξαί μοι πρόκειται (ὡς
ἀπ' ἀρχῆς ὑπεσχόμην), ὅτι κατὰ <πάντα> τρόπον ὁ θεὸς ἄμεμπτός ἐστιν.
δεδώκαμεν οὖν ὅτι ὁ θεὸς τῶν ἀνθρώποις προσόντων τὰ κρείττονα ἀσυγκρί-
τως ἔχει. διὸ καὶ ἐνδέχεται αὐτὸν προβολέα γενέσθαι τῶν τεσσάρων οὐ-
σιῶν, θερμοῦ λέγω καὶ ψυχροῦ, ὑγροῦ τε καὶ ξηροῦ. ταῦτα μὲν ὡς
πρῶτα ἁπλᾶ καὶ ἀμιγῆ ὄντα πρὸς οὐθέτερον ἔχει τὴν ὄρεξιν, προβλη-
θέντα δὲ ὑπὸ τοῦ θεοῦ καὶ ἔξω κραθέντα γενέσθαι ζῷον, προαίρεσιν
ἔχον ὁλοθρεῦσαι κακούς. καὶ οὕτως ἐξ αὐτοῦ πάντων γεγενημένων ὁ πο-
νηρὸς οὔτε ἄλλοθέν ἐστιν οὔτε ἀπ' αὐτοῦ τοῦ πάντα πεποιηκότος θεοῦ
τὴν κακίαν εἴληφεν, παρ' ᾧ ὑπάρχειν ἀδύνατόν ἐστιν, ὅτι αἱ μὲν οὐσίαι
οὐθέτεραι οὖσαι, πεφιλοκρινημέναι ἐξ αὐτοῦ προβέβληνται, καὶ ἔξω αὐ-

ταῖς κραθείσαις ὑπὸ τῆς αὐτοῦ τέχνης βουλήσει συμβέβηκεν ἡ πρὸς τὸν τῶν
κακῶν ὄλεθρον ἐπιθυμία–ἀγαθοὺς δὲ ἡ συμβεβηκυῖα κακία ὀλο-
θρεῦσαι οὐ δύναται, οὐδ' εἰ βουληθείη· νόμῳ γὰρ κατὰ τῶν ἁμαρτανόν-
των τὴν ἐξουσίαν ἔχει. ἀγνοῶν οὖν τὸν ἑκάστου τρόπον τὴν κατ' αὐτῶν
λαμβάνει διάπειραν καὶ διελέγξας τιμωρεῖ. καὶ ὁ Σίμων ἔφη· Δυνατὸς
οὖν ὑπάρχων ὁ θεὸς κιρνᾶν τὰ στοιχεῖα καὶ ποιεῖν κράσεις πρὸς ἃς
βούλεται γενέσθαι προαιρέσεις, διὰ τί μὴ ἀγαθῶν προαιρετικὴν ἐποίει
τὴν ἑκάστου κράσιν; καὶ ὁ Πέτρος· Νῦν ἡμῖν ὁ λόγος πρόκειται δεῖξαι
πῶς ἐγένετο ὁ πονηρός, εἴπερ γέγονεν, καὶ ὑπὸ τίνος· τὸ δὲ εἰ ἀμέμπτως,
ὁπόταν διεξίω τὸν νῦν ἡμῖν προκείμενον λόγον, τότε τὸ πῶς καὶ διὰ τί ἐγένετο
δείξω καὶ ὅτι ἄμεμπτος ὁ πεποιηκὼς πληροφορήσω. πλὴν ἔφαμεν ὑπὸ
θεοῦ προβεβλῆσθαι τὰς τέσσαρας οὐσίας, καὶ οὕτως βουλῇ τοῦ συγκρίναν-
τος συμβέβηκεν ὡς ἠθέλησεν ἡ τῶν κακῶν προαίρεσις. εἰ γὰρ παρὰ τὴν
προαίρεσιν αὐτοῦ ἢ ἐξ ἄλλης τινὸς οὐσίας ἢ καὶ προφάσεως συμβεβήκει,
οὐκ ἦν ἂν τῷ θεῷ τὸ τῆς βουλῆς βέβαιον· μήπως αὐτοῦ μὴ βουλομένου
ἡγεμόνες αἰεὶ κακίας συμβήσωνται προσπολεμοῦντες αὐτοῦ τοῖς βου-
λήμασιν. ἀλλὰ ταῦτα οὕτως ἔχειν ἀδύνατον. οὐδὲν γὰρ ζῷον καὶ
ταῦτα ἡγεμονικὸν ἐκ συμβεβηκότος γενέσθαι δύναται· ἀνάγκη γὰρ πᾶν
τὸ γινόμενον ὑπό τινος γίνεσθαι. καὶ ὁ Σίμων· Τί δέ; εἰ ἡ ὕλη αὐτῷ
σύγχρονος οὖσα καὶ ἰσοδύναμος ὡς ἐχθρὰ προβάλλει αὐτῷ ἡγεμόνας,
ἐμποδίζοντας αὐτοῦ τοῖς βουλήμασιν; καὶ ὁ Πέτρος· Εἰ ἀίδιός ἐστιν ἡ
ὕλη, οὐδὲ ἐχθρὰ τινός ἐστιν· τὸ γὰρ αἰεὶ ×ν καὶ ἀπαθές ἐστιν, ἀπαθὲς
δὲ ×ν μακάριόν ἐστιν, μακάριον δὲ ×ν ἔχθρας δεκτικὸν γενέσθαι οὐ δύ-
ναται, ἀιδίῳ κτίσει στερηθῆναί τινος μὴ πεφοβημένη. πῶς δὲ οὐχὶ
μᾶλλον ἀγαπᾷ τὸν δημιουργὸν ἡ ὕλη, ὁπότε φαίνεται καρποὺς ἐκφύουσα
εἰς τροφὴν πάντων τῶν ὑπ' αὐτοῦ γεγενημένων; πῶς δ' οὐχ ὡς κρείτ-
τονα πεφόβηται, ὡς καὶ διὰ τῶν σεισμῶν τρέμουσα ὁμολογεῖ καὶ ὡς με-
γάλα κυματουμένη τῷ διδασκάλῳ πλέοντι καὶ γαλήνην ἐπιτάξαντι τά-

χιστα πεισθεῖσα ἡσύχασε; τί δέ; καὶ οἱ δαίμονες οὐ μετὰ τοῦ φοβεῖσθαι
καὶ προτιμᾶν ἐξέβαινον, ἄλλοι δὲ εἰς χοίρους εἰσελθεῖν πρότερον παρα-
καλοῦντες ἠξίουν ὡς μηδὲ τοῦ εἰς χοίρους εἰσελθεῖν ἄνευ τῆς αὐτοῦ
συγχωρήσεως ἐξουσίαν ἔχοντες; καὶ ὁ Σίμων· Τί δέ; εἰ ἄψυχος οὖσα
φύσιν ἔχει ἐκφύειν τὰ κακὰ καὶ τὰ ἀγαθά; καὶ ὁ Πέτρος· Κατὰ
τὸν λόγον τοῦτον οὔτε ἀγαθή ἐστιν οὔτε κακή, ὅτι μὴ προαιρέσει πράτ-
τει, ἄψυχος οὖσα καὶ ἀναίσθητος. διὸ καὶ ἐνταῦθα διιδεῖν ἔστι πῶς ἄψυ-
χος οὖσα ἔμψυχα προβάλλει καὶ ἀναίσθητος οὖσα τεχνικὰ σχήματα τά
τε ζόων καὶ φυτῶν δημιουργοῦσα φαίνεται. καὶ ὁ Σίμων· Τί δέ; εἰ ὁ θεὸς
αὐτὸς ἐνεψύχωσεν αὐτήν, οὐκ αὐτὸς αἴτιός ἐστιν ὧν αὕτη τίκτει κακῶν;
καὶ ὁ Πέτρος· Εἰ ὁ θεὸς αὐτὴν ἐνεψύχωσε κατὰ τὴν αὐτοῦ βούλησιν, τὸ
αὐτοῦ πνεῦμα αὐτὴν ἐργάζεται καὶ οὐκέτι τῷ θεῷ ἐχθρόν τι ἐστὶν ἢ ἰσο-
δύναμον ἢ ἀδύνατον, ὅτι πᾶν τὸ γινόμενον ὑπ' αὐτοῦ ὡς θέλει γίνεται.
ἀλλ' ἐρεῖς· Αὐτὸς τῆς κακίας αἴτιος, εἴπερ αὐτὸς δι' αὐτῆς ἐργάζεται τὰ
κακά. ποῖα ἄρα ἐρεῖς τὰ κακά; ἑρπετὰ ἰοβόλα καὶ βοτάνας θανασίμους ἢ
δαίμονας ἢ καὶ ἄλλα τινὰ τῶν ἀνθρώποις ὀχλεῖν δυναμένων; ἅπερ τὰ <νῦν
χα>λεπὰ οὐκ ἂν ἦν, εἰ μὴ ἡμαρτήκει ὁ ἄνθρωπος, οὗ εἵνεκεν θάνατος
παρεισῆλθεν· <ἀναμαρτήτου> γὰρ ὄντος τοῦ ἀνθρώπου οὐχ ἑρπετῶν
ὁ ἰὸς εἰργάζετο, οὐ τῶν κακῶν βοτανῶν αἱ ἐνέρ<γειαι>, οὐ δαιμόνων
ὀχλήσεις ἐγίνοντο οὐδὲ ἄλλο τι πάθος αὐτῷ προσεῖναι φύσιν εἶχε· δι'
ἁμαρτίαν δὲ ἐκπεσὼν τοῦ ἀθάνατος εἶναι, ὡς ἔφην, παντὸς πάθους γέγονε
δεκτικός. εἰ δὲ ἐρεῖς· Διὰ τί οὖν κατ' ἀρχὰς ἐγένετο ἡ ἀνθρωπεία φύσις
θανάτου δεκτική; φημί σοι· Διὰ τὸ αὐτεξούσιον. εἰ γὰρ οὐκ ἦμεν θανάτου
δεκτικοί, ἐπὶ αὐτεξουσίῳ ἁμαρτήματι τιμωρεῖσθαι ὡς ἀθάνατοι οὐκ ἐδυ-

νάμεθα καὶ οὕτως διὰ τὸ ἀπαθὲς πλεῖόν τι κἂν τῇ προαιρέσει ἦμεν κακοί,
ἢ καὶ δικαιοσύνη ἐξησθένει, τῶν κακὰς ἐχόντων προαιρέσεις αἰτίᾳ ἀπα-
θείας τιμωρηθῆναι μὴ δυναμένων. καὶ ὁ Σίμων πρὸς ταῦτα ἔφη· Περὶ
πονηροῦ τί ἔτι ἔχω ἕτερον λέγειν ἢ ὅτι ἐξ οὐκ ὄντων αὐτὸν ἐποίησεν ὁ θεός,
καὶ κατὰ τοῦτο κακὸς ὁ ποιήσας, ὃς τὸ μὴ ×ν ἐποίησεν εἶναι, καὶ ταῦτα δυνά-
μενος αὐτὸν ἀγαθὸν ποιῆσαι τῷ τὸν γενόμενον μηδὲ πρὸς κακίας προαίρεσιν
ἰδίαν κεκτῆσθαι φύσιν; καὶ ὁ Πέτρος· Τὸ ἐξ οὐκ ὄντων αὐτὸν ποιῆσαι προαί-
ρεσιν ἔχοντα ὅμοιόν ἐστιν ᾧ προειρήκαμεν λόγῳ ὅτι πρὸς τὸ χαίρειν
αὐτὸν κακοῖς τὴν κρᾶσιν ποιήσας αὐτὸς αἴτιος φαίνεται τοῦ γενομένου.
μιᾶς οὖν οὔσης τῆς ἀμφοτέρων ἐπιλύσεως τὸ διὰ τί χαίρειν αὐτὸν ἐπ'
ὀλέθρου κακῶν ἐποίησεν ὕστερον ἐροῦμεν. καὶ ὁ Σίμων· Εἰ αὐτεξου-
σίους ἐποίησε καὶ τοὺς ἀγγέλους, ὁ δὲ πονηρὸς ἀπέστη τοῦ δίκαιος εἶναι,
καὶ διὰ τοῦτο ἀρχῇ τετίμηται, ὁ τιμήσας δι' οὗ τετίμηκεν ὡς κακοῖς
χαίρων φαίνεται. καὶ ὁ Πέτρος· Εἰ ἀποστάντα αὐτὸν ὁ θεὸς ἄρχειν τῶν
ὁμοίων κατέστησε, νόμῳ τὴν τιμωρίαν ἐπάγειν τοῖς ἁμαρτάνουσι κελεύ-
σας αὐτῷ, οὐκ ἄδικός ἐστιν. εἰ δὲ ὅτι ἀποστάντα τετίμηκε, τὸ χρήσιμον
ὁ τιμήσας προεῖδεν, ὅτι καὶ ἡ τιμὴ πρόσκαιρος καὶ ὅτι δίκαιον τοὺς κα-
κοὺς ὑπὸ κακοῦ ἄρχεσθαι καὶ ἁμαρτάνοντας ὑπ' αὐτοῦ τιμωρεῖσθαι. καὶ
ὁ Σίμων· Μήτι ἀεὶ ὢν καὶ οὕτως ἀναιρεῖται τὰ τῆς μοναρχίας, συναρ-
χούσης καὶ ἑτέρας τῆς κατὰ τὴν ὕλην δυνάμεως; καὶ ὁ Πέτρος· Εἰ διά-
φοροί εἰσι ταῖς οὐσίαις, διάφοροί εἰσι καὶ ταῖς δυνάμεσι, καὶ ὁ κρείττων
ἄρχει τοῦ ἥττονος· εἰ δὲ τῆς αὐτῆς εἰσιν οὐσίας, τότε ἰσοδύναμοι τυγχά-
νουσι καὶ ὁμοίως ἀγαθοὶ ἢ κακοί. ὅτι δὲ οὔκ εἰσιν ἰσοδύναμοι, φαίνονται·
ὑπὸ γὰρ τοῦ δημιουργοῦ ἡ ὕλη εἰς οἷον ἠθέλησε κόσμου ἠνέχθη σχῆμα καὶ

μήτιγε ἔστιν εἰπεῖν ὅτι ἀεὶ ἦν οὐσία οὖσα, οὐχ ὕλη ὡς θεοῦ ταμεῖον. οὐ γὰρ
ἔστιν εἰπεῖν· Ἦν <ποτε,> ὅτε ἀκτήμων ἦν ὁ θεός, ἀλλὰ ἀεὶ ἦν μόνος ἄρχων
αὐτῆς. διὸ καὶ ἀίδιος μο<νάρχης> καὶ ἐπὶ ταύτῃ τῇ ὑποθέσει καλῶς ἂν
λέγοιτο <ἀιδίου> ὄντος καὶ τοῦ ἄρχοντος καὶ τοῦ <ἀρχομέν>ου. καὶ ὁ
Σίμων ἔφη· Τί οὖν; <εἰ> ἑαυτὸν ἐποίησεν ὁ πονηρός; καὶ οὕτως ἀγαθὸς
ὁ θεός, ὅτι εἰδὼς αὐτὸν ἐπὶ κακῷ ἐσόμενον, γινόμενον αὐτὸν οὐκ ἀνεῖλεν
ὅτε ὡς ἀτελὴς ἀναιρεθῆναι δυνατὸς ἦν; εἰ γὰρ ἐξαίφνης συμβέβηκε καὶ
ταῦτα τέλειος, [καὶ ταῦτα τέλειος] καὶ διὰ ταῦτα προσπολεμεῖ τῷ δη-
μιουργῷ ὡς ἐξαίφνης ἰσοδύναμος αὐτῷ γεγονώς. καὶ ὁ Πέτρος· Ἀδύνατα
λέγεις· καὶ γὰρ κατ' ὀλίγον γινόμενον αὐτὸν ὡς ἐχθρὸν ὑπ' αὐτοῦ προαιρέ-
σει ἀνελεῖν ἠδύνατο. καὶ προγινώσκων γίνεσθαι αὐτὸν οὐ καλόν, <οὐκ ἂν>
συνεχώρει, εἰ μὴ πρὸς τὸ αὐτῷ χρήσιμον γινόμενον ἠπίστατο. καὶ τέλειος
ἐξαίφνης ἀφ' ἑαυτοῦ γενέσθαι οὐχ οἷός τε ἦν· ἑαυτὸν γὰρ ὁ μήπω ὢν πλάτ-
τειν οὐκ ἐδύνατο οὔτε ἐξ οὐκ ὄντων γενέσθαι τι οὐσίαν ἔχειν δύναται καὶ
γεννητὸν ὑπάρχον τῷ ἀεὶ ἰσοδυναμεῖν οὐκ ὀρθῶς ἂν εἴποι τις. καὶ ὁ Σίμων·
Μήτι οὖν τῶν πρὸς τί ἐστι καὶ οὕτως πονηρόν ἐστι; κακὸν μὲν ×ν ὡς ὕδωρ
πυρί, ἀγαθὸν δὲ τῇ εὐκαίρως διψώσῃ γῇ· ὥσπερ γε καὶ σίδηρος εἰς μὲν
γεωργίαν καλός, εἰς δὲ φόνους κακός–καὶ ἡ ἐπιθυμία δὲ εἰς μὲν γάμους
οὐ κακή, εἰς δὲ μοιχείαν χαλεπή–ὡς καὶ τὸ φονεῦσαι κακόν, ἀλλὰ τῷ
φονεύσαντι πρὸς ὃ βεβούλευται καλόν–καὶ ἡ πλεονεξία κακόν, ἀλλὰ
τῷ πλεονεκτοῦντι ἡδύ–καὶ ὅσα τοιαῦτα τυγχάνει, τοῦτον περιέχει τὸν
τρόπον. τούτῳ δὲ τῷ λόγῳ οὔτε τὸ κακὸν κακόν ἐστιν οὔτε τὸ ἀγαθὸν
ἀγαθὸν τυγχάνει· ἑκάτερον γὰρ τὸ ἕτερον ἐργάζεται. μήτιγε τὸ δοκοῦν κα-

κῶς γίνεσθαι εὐφραίνει μὲν τὸν ποιοῦντα, κολάζει δὲ τὸν πάσχοντα; καὶ
εἰ ἄδικον δοκεῖ τὸ ἑαυτὸν ἀγαπήσαντα εὐφραίνειν ὡς δυνατόν ἐστι, [καὶ]
διὰ τοῦτο χαλεπὰ πείσεσθαι ὑπὸ δικαίου δικαστοῦ περὶ τοῦ ἑαυτὸν ἠγαπη-
κέναι, τίνι οὐκ ἄδικον φαίνεται; καὶ ὁ Πέτρος· Ἑαυτὸν χρὴ κολάζειν τότε
τῇ ἐγκρατείᾳ, ὅταν ἡ ἐπιθυμία πρὸς ἑτέρου βλάβην ὁρμῆσαι θέλῃ, εἰ-
δότα <ὅτι> ὁ πονηρὸς τοὺς μὲν κακοὺς ἀνελεῖν δύναται, ἀπ' ἀρχῆς τὴν
κατ' αὐτῶν εἰληφὼς ἐξουσίαν· καὶ οὔπω τοῦτο κακὸν τοῖς κακὰ πράξασιν,
ἀλλὰ τὸ μετὰ τὴν ἀναίρεσιν τὰς ψυχὰς αὐτῶν κολαζομένας διαμένειν, τοῦτο
ὄντως εἶναι χαλεπὸν δικαίως τὸν κακῶς προδιωρισμένον ὀρθῶς ἔχειν
εἰπόντος · οὗ εἵνεκεν παραιτεῖσθαι χρή (ὡς ἔφην) βραχείας χάριν ἡδονῆς
ἄλλον ἀδικεῖν πρὸς τὸ μὴ αὐτόν τινα ὀλίγης χάριν ἡδονῆς ἀιδίῳ περιβα-
λεῖν κολάσει. καὶ ὁ Σίμων· Μήτι οὖν οὐκ ἔστι τῇ φύσει πονηρὸν ἢ ἀγαθόν,
ἀλλὰ νόμῳ διαφέρει καὶ ἔθει. .. παρὰ Πέρσαις ἴδιον τὸ γαμεῖν μητέ-
ρας, ἀδελφάς, θυγατέρας, ἄλλοις δὲ ὥσπερ χαλεπώτ<ατον ἀπη>γόρευται.
ὅθεν τῶν κακῶν μὴ ὡρισμένων πᾶσι τὴν ἐκ θεοῦ κρίσιν προσδοκᾶν οὐκ ἔστι.
καὶ ὁ Πέτρος ἔφη· Οὐ δύνασαι τοῦτο συστῆσαι· πᾶσι γὰρ φαίνεται ὅτι τὸ μη-
τράσι μίγνυσθαι μυσαρόν, κἂν Πέρσαι, μόριον ὑπάρχοντες τοῦ παντός,
ὑπὸ κακοῦ ἔθους τῆς μυσαρᾶς αὐτῶν πράξεως τὸ ἄνομον μὴ ἀντιλαμβά-
νωνται. ὡς καὶ Βρεττανοὶ ἐμφανῶς ἐπὶ πάντων κοινωνοῦσι καὶ οὐκ αἰδοῦν-
ται–καὶ ἄλλοι σάρκας ἀνθρώπων ἐσθίουσι καὶ οὐ μυσάττονται, καὶ ἕτεροι
κυνῶν–καὶ ἄλλοι ἄρρητα πράσσουσιν. οὕτως οὐ χρὴ αἰσθήσει ὑπὸ ἔθους

τοῦ κατὰ φύσιν ἐκτραπείσῃ τὰς κρίσεις ποιεῖσθαι. καὶ γὰρ τὸ φονευθῆναι
κακόν ἐστι, κἂν μὴ πάντες λέγωσιν ὅτι μηδεὶς αὐτοπαθεῖν θέλει, καὶ κλοπῇ οὐδεὶς ἐπὶ τῇ ἑαυτοῦ κολάσει ἥδεται. κἂν οὖν ἑνὸς οὐδήποτε ὁμολο-
γουμένου εἶναι ἁμαρτήματα, ἐξ ἀνάγκης καὶ τρίτην κρίσιν πρὸς τὰ ἁμαρτήματα ὀρθῶς ἔστι προσδοκᾶν. ταῦτα τοῦ Πέτρου εἰπόντος ὁ Σίμων
ἀπεκρίνατο· <Εἰ> οὕτως σοι δοκεῖ τὰ κατὰ τὸν πονηρὸν εἶναι, εἰπέ μοι. καὶ
ὁ Πέτρος· Μεμνήμεθα τοῦ κυρίου ἡμῶν καὶ διδασκάλου ὡς ἐντελλόμενος
εἶπεν ἡμῖν· «Τὰ μυστήρια ἐμοὶ καὶ τοῖς υἱοῖς τοῦ οἴκου μου φυλάξατε»· διὸ
καὶ «τοῖς αὐτοῦ μαθηταῖς κατ' ἰδίαν ἐπέλυε» τῆς τῶν οὐρανῶν βασιλείας
τὰ μυστήρια. σοὶ δὲ πολεμοῦντι ἡμᾶς καὶ μηδὲν ἕτερον διασκοποῦντι ἢ τὰ ἡμέτερα <....> (εἴτε ἀληθῆ ὄντα εἴτε ψευδῆ) τὰ ἀπόρρητα λέγειν ἀσεβεῖν ἐστιν. ἀλλ' ἵνα μὴ δόξωσί τινες τῶν παρεστώτων ὅτι ἀδυνατῶν
πρὸς τὰ ὑπὸ σοῦ ·ηθέντα ἀποκρίνασθαι προφάσεως διαμηχανῶμαι, ἐρῶ
πρότερον πυνθανόμενός σου εἰ τὸ μὴ ἀλγεῖν ἦν, τί ἂν ἔτι ἦν ὁ πονηρός;
καὶ ὁ Σίμων ἔφη· Οὐδέν. καὶ ὁ Πέτρος· Ἀρά γε τὸ πονηρὸν τὸ ἀλγεῖν ἐστι καὶ τὸ θανεῖν; καὶ ὁ Σίμων· Φαίνεται. <καὶ ὁ Πέτρος·> Οὐκ ἄρα ὑπάρχει τὸ πονηρὸν ἀεί, ἀλλ' οὐδὲ μὴν ὑπάρξαι δύναται· τὸ γὰρ ἀλγῆσαι
καὶ θανεῖν τῶν συμβαινόντων ἐστίν, ὧν οὐθέτερόν ἐστι παρούσης εὐσθε-
νείας. τί γάρ ἐστιν ἀλγεῖν ἤ τι ἀναρμοστεῖν; τί δὲ θάνατος ἢ χωρισμὸς
ψυχῆς ἀπὸ σώματος; οὔτ' οὖν ἁρμονίας οὔσης τὸ ἀλγεῖν ἔστι· τὸ γὰρ θανεῖν οὐδὲ ὅλως τῶν ὑπαρκτῶν ἐστιν, ὅτι θάνατος οὐδέν ἐστιν, ὡς ἔφην,
ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος, οὗ συμβάντος τὸ μὲν σῶμα φύ-
σει ἀναίσθητον ×ν λύεται, ἡ δὲ ψυχὴ αἰσθητὴ οὖσα ζῶσα ὑπάρχει– ὅθεν ἁρμονίας οὔσης οὐκ ἀλγεῖν ἔστιν, οὐκ ἀποθανεῖν, ἀλλ' οὐδὲ μὴν βοτάναι θανάσιμοι, οὐχ ἑρπετὰ ἰοβόλα οὐδὲ ἄλλο τι τοιοῦτον, οὗ τὸ τέλος θάνατος. ὅθεν ἀθανασίας ἐπικρατούσης εὐλόγως πάντα γεγονότα

φανήσεται. ὅπερ καὶ οὕτως ἔσται, ὁπόταν δικαιοσύνης αἰτίᾳ ὁ ἄνθρωπος
ἀθάνατος γένηται τῆς τοῦ Χριστοῦ εἰρηνι<κῆς> ἐπικρατούσης βασι-
λείας, ὅτε αὐτοῦ καὶ ἡ κρᾶσις εὔκρατός ἐστιν, ἵνα μὴ ὀξείας <πάσχῃ> ὁρμάς,
ἔτι τε καὶ γνῶσις ἄπταιστος, ἵνα μή τι τῶν κακῶν ὡς ἀγαθὸν π<ροσαγορεύῃ,
ἐκτός> τε ἀλγῶν ἔσται, ἵνα μὴ θνητὸς ᾖ. καὶ ὁ Σίμων ἔφη· Ταῦτα
μὲν ὀρθῶς ἔφης· πλὴν ἐν τῷ νῦν κόσμῳ οὐ δοκεῖ σοι παντὸς πάθους δεκτι-
κὸς εἶναι ὁ ἄνθρωπος; λέγω δὲ ἐπιθυμίας, ὀργῆς, λύπης καὶ τῶν τοιούτων.
καὶ ὁ Πέτρος· Καὶ ταῦτα τῶν συμβαινόντων ἐστίν, οὐ τῶν ἀεὶ ὄντων·
χρησίμως δὲ τῇ ψυχῇ συμβαίνοντα νῦν εὑρεθήσεται. ἥ τε γὰρ ἐπιθυμία
ἐκ τοῦ πάντα καλῶς δημιουργήσαντος συμβαίνειν τῷ ζόῳ γεγένηται,
ἵνα ὑπ' αὐτῆς ἀγόμενον πρὸς κοινωνίαν τὴν ἀνθρωπότητα πληθύνῃ, ἀφ' ἧς
πλῆθος ἐκλογῆς κρειττόνων γίνεται πρὸς αἰώνιον ζωὴν ἐπιτήδειον. πλὴν
ἄνευ ἐπιθυμίας τὴν πρὸς γυναῖκα κοινωνίαν οὐδεὶς ἂν ἀνεδέξατο, νῦν δὲ προ-
φάσει ἡδονῆς ὡς ἑαυτῷ χαριζόμενος ὁ ἄνθρωπος τὸ ἐκείνου βούλημα
ποιεῖ. πλὴν ἐάν τις τῇ ἐπιθυμίᾳ χρῆται πρὸς νόμιμον γάμον, οὐκ ἀσεβεῖ·
πρὸς μοιχείαν δὲ ὁρμῶν δυσσεβεῖ καὶ διὰ τοῦτο τιμωρεῖται, ὅτι τῷ καλῶς
τεθέντι ἐχρήσατο κακῶς. ἔτι τε ὁμοίως ἡ ὀργὴ ἐν ἡμῖν ἐξάπτεσθαι φύσιν
ἔχειν εἴληφε παρὰ θεοῦ, ἵνα πρὸς ἄμυναν ἁμαρτημάτων ὑπ' αὐτῆς ἑλ-
κώμεθα. πλὴν ἀμέτρῳ αὐτῇ τις χρησάμενος ἀδικεῖ, κατ' ἀξίαν δὲ χρώ-
μενος τὸ δίκαιον ἐκτελεῖ. ἀλλὰ καὶ λύπης ἐσμὲν δεκτικοί, ἵνα τὸ συμ-
παθητικὸν ἔχωμεν ἐπί τε θανάτῳ οἰκείων, γυναικὸς ἢ τέκνων ἢ ἀδελ-
φῶν ἢ γονέων ἢ φίλων ἢ ἄλλων τινῶν· ἐπείπερ εἰ τὸ συμπάσχειν οὐκ
εἴχομεν, ἀπάνθρωποι ἂν ἦμεν. ὁμῶς καὶ τὰ ἄλλα πάντα οἰκείως εὑρε-
θήσεται ἔχοντα, ἐάν γε διὸ γέγονε νοηθῇ. καὶ ὁ Σίμων· Διὰ τί δὲ καὶ
ἄωροι τελευτῶσι καὶ περιοδικαὶ νόσοι γίνονται, ἔτι μὴν καὶ δαίμονες
καὶ μανίαι καὶ πάθη παντοδαπά, κολάζειν μεγάλως δυνάμενα, ὑπάρχει;
καὶ ὁ Πέτρος· Ὅτι οἱ ἄνθρωποι τὰ πάντα αὐτῶν τῇ ἡδονῇ χαριζόμενοι

ἀπαρατηρήτως κοινωνοῦσι καὶ οὕτως ἡ τῶν σπερμάτων καταβολὴ ἀκαί-
ρως ἐπιδοθεῖσα φυσικῶς τὰ μυρία ἐκφύει κακά. ἐχρῆν δὲ αὐτοὺς λογί-
ζεσθαι ὅτι ὡς τοῦ φυτεῦσαι καὶ σπεῖραι καιρὸς ἐπιτήδειος ὥρισται, οὕτω
καὶ τοῦ κοινωνῆσαι ἐπιτηρήσιμοι ἡμέραι προσῳκείωνται. ἔνθεν γοῦν
τις ἐκ τῆς Μωυσέως παραδόσεως μεμαθηκώς, αἰτιώμενος τὸν λαὸν ἐπὶ
ἁμαρτίαις, υἱοὺς νεομηνιῶν τῶν κατὰ σελήνην καὶ σαββάτων ἀπεκάλει.
ἀλλὰ καὶ κατ' ἀρχὰς τοῦ κόσμου οἱ ἄνθρωποι πολυετεῖς τε ἦσαν καὶ ἄνοσοι·
ὁπότε δὲ ἀμελήσαντες τὴν παρατήρησιν ἀπέλιπον, ἔκτοτε κατὰ διαδοχὴν
υἱοὶ ἀγνοίας αἰτίᾳ <ὅτε> μὴ δεῖ κοινωνοῦντες ὑπὸ μυρία πάθη τὰ ἑαυτῶν
τιθέασι τέκνα. ὅθεν καὶ <ὁ διδάσκ>αλος ἡμῶν περὶ τοῦ ἐκ γενετῆς
πηροῦ καὶ ἀναβλέψαντος παρ' αὐτοῦ ἐξετα<ζόμενος, εἰ ὅτι ἥμαρτ>εν
οὗτος ἢ οἱ γονεῖς αὐτοῦ, τυφλὸς ἐγεννήθη, ἀπεκρίνατο· «Οὔτε οὗτός τι
ἥμαρτεν οὔτε οἱ γονεῖς αὐτοῦ, ἀλλ' ἵνα δι' αὐτοῦ φανερωθῇ ἡ δύναμις
τοῦ θεοῦ» τῆς ἀγνοίας ἰωμένη τὰ ἁμαρτήματα. καὶ ἀληθῶς ἀγνοίας αἰτίᾳ
τὰ τοιαῦτα γίνεται ἤτοι τῷ μὴ εἰδέναι πότε δεῖ κοινωνεῖν τῇ γαμετῇ,
εἰ καθαρὰ ἐξ ἀφέδρου τυγχάνει. πλὴν ἃ προείρηκας πάθη ἐξ ἀγνοίας
ἐστίν, οὐ μέντοι ἐκ πονηροῦ εἰργασμένα. προσέτι δὲ δὸς τὸν μὴ ἁμαρτάνοντα
καὶ λάβε τὸν μὴ πάσχοντα, καὶ πρὸς τῷ μὴ πάσχειν καὶ ἄλλους αὐτὸν θερα-
πεῦσαι δυνάμενον εὑρήσεις. αὐτίκα γοῦν Μωυσῆς διὰ εὐσέβειαν ἀπαθὴς
τὸν πάντα τῆς ζωῆς διετέλεσε χρόνον καὶ τοὺς Αἰγυπτίους δι' ἁμαρτίας πάσ-
χοντας εὐχαῖς ἰᾶτο. καὶ ὁ Σίμων· Ἔστω μὲν ταῦτα οὕτως ἔχειν· οὐ
δοκεῖ σοι ἀδικωτάτη ἡ ἐν ἀνθρώποις ἀνωμαλία; ὃς μὲν γὰρ πένεται, ὃς
δὲ πλουτεῖ–καὶ ὃς μὲν νοσεῖ καὶ <ἕτερος> ὑγιαίνει–καὶ ὁμῶς τοι-
αῦτά τινα μυρία ἐν τῷ ἀνθρωπίνῳ βίῳ. καὶ ὁ Πέτρος· Οὐ συνορᾷς, ὦ Σίμων,
ὅτι πάλιν ἐκτὸς τοῦ σκοποῦ τοὺς λόγους πέμπεις; περὶ πονηροῦ γὰρ ἡμῶν

διαλεγομένων σὺ ἐκτροπὴν ποιήσας περὶ τῶν δοκούντων ἀτοπημάτων τὸν λόγον εἰσηγήσω· πλὴν καὶ εἰς αὐτὸ ἐρῶ. ὁ κόσμος ὄργανόν ἐστι τεχνικῶς
γεγονός, ἵνα τῷ ἐσομένῳ ἄρρενι αἰωνίως ἡ θήλεια τίκτῃ δικαίους αἰωνίους
υἱούς. οὐκ ἐδύναντο δὲ εὐσεβεῖς ἐνταῦθα ἀποτελεσθῆναι, εἰ μὴ ἦσαν οἱ
ἐνδεεῖς οἷς ἐπικουρήσουσιν–ὁμοίως τε καὶ διὰ τοῦτό εἰσι καὶ νοσοῦντες,
ὧν προνοήσουσι–καὶ τὰ ἑξῆς τοῦτον περιέχει τὸν λόγον. καὶ ὁ Σίμων· Οὐκοῦν ἠτύχηται τοῖς ταπεινοῖς· πρὸς γὰρ τὸ ἀποτελεσθῆναι δικαίους
αὐτοὶ κακουχοῦνται. <καὶ ὁ Πέτρος·> Εἰ ἦν αἰώνιος ταπείνωσις αὐτῶν, ἀτυχία
ἂν ἦν μεγίστη· ἀλλὰ πρὸς τῷ κλήρῳ τὰ ταπεινώματα καὶ ὑψώματα ἀνθρώ-
ποις γίνεται· ᾧ δ' ἂν μὴ ἀρέσκῃ ὁ κλῆρος, ἔνεστιν ἐκκλήτῳ χρησάμενον καὶ
νομίμως διαδικασάμενον τὸν ὑπ' αὐτοῦ ὑπαλλάξαι βίον. καὶ ὁ Σίμων· Τίς
οὗτος ὁ κλῆρος καὶ ἔκκλητος; καὶ ὁ Πέτρος· Τοῦτο ἑτέρου λόγου ἐξήγησίς
ἐστι· πλὴν ἐὰν ἐπιτρέψῃς, δεῖξαί σοι δυνάμεθα πῶς ἀναγεννηθεὶς καὶ
τὴν γένεσιν ὑπαλλάξας καὶ νομίμως βιώσας αἰωνίου τεύξει σωτηρίας.
καὶ ὁ Σίμων ταῦτα ἀκούσας ἔφη· Μήτι νομίσῃς ὡς ἐπειδὴ εἰς ἕκαστον
κεφάλαιον ζητῶν συνετιθέμην, ὡς πληροφορούμενος ἐφ' ἕτερον ἠρχόμην
κεφάλαιον, ἀλ<λ' ὑπο>νοίας σοι τοῦ πείθεσθαι παρεῖχον, ἵνα ἐπ' ἄλλο
ἔλθῃς κεφάλαιον, ὅπως πάσας <τὰς δια>νοίας σου μαθὼν μὴ στοχαζόμενος
καταγινώσκω σου, ἀλλὰ πεπληροφορημε..... νῦν δὲ τριῶν ἡμε-
ρῶν μοι συγχώρησον καὶ ἐλθὼν δείξω σε μηδὲν εἰδότα.

Ταῦτα τοῦ Σίμωνος <εἰπόντος> καὶ ἐξιέναι μέλλοντος ὁ ἐμὸς ἔφη πατήρ· Βραχέα μου, Σίμων, ἐπακούσας, ὥς σοι φίλον ἐστί, πορεύου. μέμνη-
μαι ὡς τὴν ἀρχὴν πρὸ τῆς ζητήσεως ὡς μήπω πεῖράν μου λαβὼν προλή-
ψεις μου κατέφερες. καὶ νῦν δὲ ἐπαλλήλως ἀκούσας τῆς ζητήσεως καὶ Πέτρον ἐν ὑπεροχῇ γνοὺς καὶ αὐτῷ τὸ ἀληθεύειν νῦν δούς, καὶ τί σοι φαί-
νομαι; ὀρθῶς κρίνειν εἰδὼς ἢ οὔ; εἰ μὲν γὰρ ὀρθῶς κρίναντά με φαίης,

μὴ συνθῇ δέ, σὺ φαίνῃ προειλημμένος, ὁ καὶ μετὰ ὁμολογίαν ἧτταν συνθέ-
σθαι μὴ θέλων. εἰ δ' ἄρα μὴ ὀρθῶς τὸν Πέτρον ἐν ὑπεροχῇ τῆς ζητήσεως
ἀπεφαινόμην, σὺ ἡμᾶς πεῖσον πῶς οὐκ ὀρθῶς ἐκρίναμεν. ἢ τοῦ ζητεῖν αὐτῷ
ἐπὶ πάντων μὴ παύσῃ; ἐπεὶ ἔσται σοι ἑκάστοτε ἡττωμένῳ καὶ συντιθε-
μένῳ (εἰ δὲ τὸ αἰδεῖσθαι ἔχεις, ἀπὸ πάντων τῶν ἀκροατῶν ἀντὶ μεγίστης
τιμωρίας καταγινωσκομένῳ καὶ ἀσχημονοῦντι) ὑπὸ συνειδήσεως τὴν
σεαυτοῦ ἀλγεῖν ψυχήν· τὸ γὰρ νενικῆσθαί σε ἔργῳ εἴδομεν, τὸν δὲ ἐπαγ-
γελλόμενόν σου λόγον ἠκούσαμεν. πέρας γοῦν οὐκ οἶμαί σε ἐπὶ τὴν ζήτησιν
ἐλθεῖν, ὡς ὑπέσχου, ἀλλὰ πρὸς τὸ δοκεῖν μὴ αἰδεῖσθαι ἐξιὼν ἐπανελθεῖν
ὑπέσχησαι. ὁ δὲ Σίμων ταῦτα ἀκούσας ὑπὸ ὀργῆς τοὺς ὀδόντας βρύξας,
σιωπῶν ἐπορεύθη. ὁ δὲ Πέτρος ἔτι ὥρας οὐκ ὀλίγης οὔσης τὸν πολὺν ὄχλον
χειροθετήσας πρὸς ἴασιν καὶ ἀπολύσας, μετὰ τῶν συνηθεστέρων εἰσιὼν
οἴκοι ἐκαθέσθη. καὶ δή τις τῶν ἀκολούθων Σοφονίας ὄνομα ἔφη· Εὐλόγηται,
Πέτρε, ὁ θεὸς ὁ ἐκλεξάμενός σε καὶ σοφίσας ἀναπαύσεως μὲν ἕνεκεν τῶν
εὐγνωμόνων· ἀληθῶς γὰρ μεγάλως καὶ ἀνεξικάκως διελέχθης πρὸς Σίμωνα.
καὶ ἡμῖν δὲ περὶ πονηροῦ διαλεχθῆναί σε ἀξιοῦμεν, ἐλπίζοντες γνησιώ-
τερόν σε ἡμῖν τὸν περὶ αὐτοῦ ἐκφᾶναι λόγον, καὶ ταῦτα οὐκ αὐτῆς ὥρας,
ἀλλ' αὔριον, εἴ σοι φίλον ἐστί. συγγινώσκομεν γάρ σοι διὰ τοὺς ἐκ τῆς ζητή-
σεως καμάτους. καὶ ὁ Πέτρος· Εἰδέναι ὑμᾶς θέλω ὅτι ὁ μετὰ ἡδονῆς ποιῶν
τι ὑπ' αὐτῶν τῶν καμάτων ἀναπαύεται, μὴ ποιῶν δὲ ἃ βούλεται ὑπ' αὐ-
τῆς τῆς ἀναπαύσεως κάμνει τὰ μέγιστα. ὥστε μοι τὰ μεγάλα τῆς ἀνα-
παύσεως χαρίζεσθε, τὰ ἐμοὶ φίλα διαλέγεσθαι ποιοῦντες. πλὴν ἐπὶ τῇ

προαιρέσει αὐτοῦ ἐξαρκεσθέντες καὶ τοῖς καμάτοις συγγνόντες εἰς τὴν
νύκτα, ὡς αὐτῷ ἔθος ἦν πρὸς τοὺς γνησι<ωτέρους δια>λέγεσθαι, τὴν ὑπέρθεσιν γενέσθαι ἠξιώσαμεν. καὶ δὴ ἁλῶν μεταλαβόντες εἰς ὕπνον <ἐτρά>πημεν.

[ΟΜΙΛΙΑ Κ.]

Νύκτωρ δὲ διαναστὰς καὶ διυπνίσας ἡμᾶς, καθεσθεὶς συνήθως ἔφη·
Πυνθάνεσθέ μου περὶ ὧν βούλεσθε. καὶ ὁ Σοφονίας αὐτῷ πρῶτος
ἤρξατο· Πῶς ὄντως ὁ περὶ πονηροῦ λόγος ἔχει, ἐπιθυμοῦσιν ἡμῖν μαθεῖν
ὑφήγησαι. καὶ ὁ Πέτρος· Ἤδη μέν, ἔφη, καὶ διὰ τῆς πρὸς Σίμωνα δια-
λέξεως ἐξέφηνα, τῷ δὲ σὺν ἑτέροις κεφαλαίοις τὰ περὶ αὐτοῦ εἰρηκέναι
οὐ πάνυ σαφῶς ἐφωτίσθη. πολλὰ γὰρ κεφάλαια ἰσοδυναμεῖν δοκοῦντα
τῷ ἀληθεῖ αὐτοῦ τοῦ ἀληθοῦς τοῖς πλείοσι παρέχει τινὰ γνῶσιν· ὥστε,
ἐὰν νῦν ὑμῖν εἴπω ἃ τότε μετὰ πολλῶν εἰρήκειν κεφαλαίων τῷ Σίμωνι,
μὴ οἰηθῆτε ἴσῃ αὐτῷ τιμῇ τετιμῆσθαι. καὶ ὁ Σοφονίας· Ὀρθῶς, ἔφη,
λέγεις· εἰ νῦν γὰρ ἡμῖν ἐκ πολλῶν τῶν τότε εἰρημένων κεφαλαίων ἀφορί-
ζεις αὐτὸ τὸ ἀληθές, ποιήσεις φανερώτερον. καὶ ὁ Πέτρος· Ἀκούσατε,
ἔφη, τοιγαροῦν τῆς περὶ τοῦ πονηροῦ ἁρμονίας τὴν ἀλήθειαν. ὁ θεὸς
δύο βασιλείας ὁρίσας καὶ δύο αἰῶνας συνεστήσατο, κρίνας τῷ πονηρῷ
δεδόσθαι τὸν παρόντα κόσμον διὰ τὸ μικρόν τε αὐτὸν εἶναι καὶ παρέρχε-
σθαι ὀξέως, τῷ δὲ ἀγαθῷ δώσειν ὑπέσχετο τὸν μέλλοντα αἰῶνα, ἅτε δὴ
μέγαν ὄντα καὶ ἀίδιον. τὸν οὖν ἄνθρωπον αὐτεξούσιον ἐποίησεν, ἐπιτηδειό-
τητα ἔχοντα νεύειν πρὸς ἃς βούλεται πράξεις. καὶ τὸ μὲν σῶμα αὐτοῦ
ἐστι τριμερές, ἐκ θηλείας ἔχον τὴν γένεσιν· ἔχει γὰρ ἐπιθυμίαν, ὀργήν,
λύπην καὶ τὰ τούτοις ἑπόμενα–τὸ δὲ πνεῦμα (καὶ αὐτὸ οὐ τριτογενὲς
ὄν, ἀλλὰ τριμερές) ἐκ τοῦ ἄρρενος ἔχει τὴν γένεσιν καὶ δεκτικόν ἐστι
λογισμοῦ, γνώσεως, φόβου καὶ τῶν τούτοις ἑπομένων. ἑκατέρα δὲ τῶν
τριάδων μίαν ἔχει τὴν ·ίζαν, ὡς εἶναι τὸν ἄνθρωπον ἐκ φυραμάτων δύο,
θηλείας τε καὶ ἄρρενος. διὸ δὴ καὶ δύο αὐτῷ ὁδοὶ προετέθησαν, νόμου

τε καὶ ἀνομίας–δύο τε βασιλεῖαι ὡρίσθησαν, <ἡ μὲν τῶν> οὐρανῶν λεγομένη, ἡ δὲ τῶν ἐπὶ γῆς νῦν βασιλευόντων. ἀλλὰ καὶ δύο βασιλεῖς ἐτάχθησαν, ὧν ὁ μὲν τοῦ παρόντος καὶ προσκαίρου κόσμου νόμῳ βασι-
λεύειν χειροτονεῖται, ὃς καὶ ἐπ' ὀλέθρῳ πονηρῶν χαίρειν ἐκράθη–ὁ δὲ ἕτερος, καὶ αὐτὸς βασιλεὺς ὑπάρχων (τοῦ ἐσομένου αἰῶνος), στέργει
πᾶσαν ἀνθρώπων φύσιν, ἐν τοῖς παροῦσι τὴν παρρησίαν ἔχειν οὐ δυνά-
μενος ..... ὥς, τίς ποτ' ἔστι λανθάνειν πειρώμενος τὰ συμφέροντα συμ-
βουλεύει. τῶν δὲ δύο τούτων <ὁ ἕτερος> τὸν ἕτερον ἐκβιάζεται, θεοῦ κελεύσαντος. ἕκαστος δὲ τῶν ἀνθρώπων ἐξουσίαν ἔχει .....ω αὐ-
τῶν ᾧ βούλεται πείθεσθαι πρὸς τὸ πράσσειν ἀγαθὰ ἢ κακά· πλὴν ἐὰν τὰ
ἀγαθά τις πράσσειν ἕληται, τοῦ ἐσομένου ἀγαθοῦ βασιλέως γίνεται κτῆμα–
εἰ δὲ φαῦλα πράξειέ τις, τοῦ παρόντος γίνεται πονηροῦ ὑπηρέτημα, ὃς δι' ἁμαρτίας κρίσει δικαίᾳ τὴν κατ' αὐτοῦ λαβὼν ἐξουσίαν καὶ πρὸ τοῦ
μέλλοντος αἰῶνος θελήσας ἐν τῷ νῦν βίῳ κολάζων ἥδεται καὶ ὡς ἰδίᾳ χαριζόμενος ἐπιθυμίᾳ τὴν τοῦ θεοῦ βούλησιν ἐκτελεῖ. ὁ δὲ ἕτερος ἐπὶ δικαίων ἐξουσίᾳ χαίρειν δημιουργηθείς, δίκαιον εὑρὼν μεγάλως εὐφραί-
νεται, σόζων αὐτὸν ἀιδίῳ ζωῇ, καὶ αὐτὸς δὲ ὡς ἑαυτῷ χαριζόμενος, τὴν ὑπὲρ τούτων εἰς θεὸν ἀναφέρει χάριν. ἔξεστι δὲ παντὶ ἀδίκῳ μετα-
μεληθέντι σόζεσθαι καὶ παντὶ δικαίῳ ἀνδρὶ ἐπὶ τελευταίας ἁμαρτίας δίκην ὑπέχειν. πλὴν οἱ δύο ἡγεμόνες οὗτοι ταχεῖαι χεῖρές εἰσι θεοῦ προ-
λαμβάνειν ἐπιθυμοῦσαι τὸ αὐτοῦ θέλημα ἐπιτελεῖν. ὅτι δὲ τοῦθ' οὕτως
ἔχει, εἴρηται καὶ τῷ νόμῳ ἐκ προσώπου τοῦ θεοῦ· «Ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι». ἀληθῶς γὰρ ἀποκτέννει καὶ ζωογονεῖ, ἀποκτέννει μὲν διὰ τῆς ἀριστερᾶς, τουτέστι διὰ τοῦ ἐπὶ κα-
κώσει τῶν ἀσεβῶν χαίρειν κραθέντος πονηροῦ–σόζει δὲ καὶ εὐεργε-
τεῖ διὰ τῆς δεξιᾶς, τουτέστι διὰ τοῦ ἐπ' εὐεργεσίᾳ καὶ σωτηρίᾳ δικαίων
χαίρειν δημιουργηθέντος ἀγαθοῦ. εἰσὶ δὲ οὗτοι τὰς οὐσίας ἔχοντες οὐκ ἔξω-
θεν τοῦ θεοῦ· οὐδὲ γὰρ ἔστιν ἑτέρα τις ἀρχή. οὐ μὴν ὑπὸ τοῦ θεοῦ ὡς

ζῷα προεβλήθησαν (ὁμόδοξοι γὰρ αὐτῷ ἦσαν) οὔτε συμβεβήκασιν, αὐτομάτως παρὰ τὴν αὐτοῦ βουλὴν γεγονότες (ἐπεὶ τὸ τῆς δυνάμεως αὐτοῦ
μέγιστον ἀνῄρητο ἄν), ἀλλὰ ἀπὸ τοῦ θεοῦ μὲν προβέβληνται τὰ πρώτιστα στοιχεῖα τέσσαρα, τό τε θερμὸν καὶ ψυχρὸν ὑγρόν τε καὶ ξηρόν.
ὅθεν δὴ καὶ πατὴρ τυγχάνει πάσης οὐσίας <...> οὔσης γνώμης τῆς μετὰ
τὴν κρᾶσιν· ἔξω γὰρ κραθεῖσιν αὐτοῖς ὡς τέκνον ἡ προαίρεσις ἐγεννήθη.
ὁ οὖν πονηρὸς πρὸς τῷ τοῦ ἐνεστῶτος κόσμου τέλει ὑπουργήσας
ἀμέμπτως τῷ θεῷ, ἅτε δὴ οὐ μιᾶς οὐσίας ὢν τῆς πρὸς κακίαν μόνης,
μετασυγκριθεὶς ἀγαθὸς γενέσθαι δύναται. οὐδὲ γὰρ νῦν κακόν τι ποιεῖ,
καίτοι κακὸς ὤν, νομίμως κακουχεῖν εἰληφὼς τὴν ἐξουσίαν.

Ταῦτα τοῦ Πέτρου εἰπόντος Μιχαίας, καὶ αὐτὸς τῶν ἀκολούθων τις ὤν,
ἐπύθετο· Πόθεν οὖν τοῖς ἀνθρώποις τὸ ἁμαρτάνειν; καὶ ὁ Πέτρος ἔφη·
Ἐκ τοῦ ἀγνοεῖν ὅτι περὶ ὧν πράσσουσι κακῶς κρί<σεως γε>νομένης
πάντως κολασθῆναι ἔχουσιν· ὅθεν καὶ τὴν ἐπιθυμίαν, ὡς ἄλλοτε εἶ<πον,
εἰς> διαδοχὴν βίου ἔχοντες, ταύτην πληροφοροῦσιν ὡς ἔτυχεν, ἢ μ<οι-
χείᾳ ἢ> παίδων φθορᾷ ἢ ἄλλῃ τινὶ κολακευούσῃ ἁμαρτίᾳ. τῷ γὰρ ἀγνο-
εῖν ὅτι κρίνονται, ὡς φθάσας εἶπον, διὰ τὸ ἄφοβον τὴν ἐπιθυμίαν οὐ νομίμως
πληροῦν ἐπείγονται. ὥστε οὐχ ὁ θεὸς κακός, ὁ καλῶς θεὶς τὴν ἐπιθυμίαν,
ἵνα διαδοχὴ βίου γένηται, ἀλλ' αὐτοὶ ἀσεβέστατοι οἱ τῷ καλῷ τῆς
ἐπιθυμίας χρησάμενοι κακῶς. οὕτω δὴ καὶ ἐπὶ τῆς ὀργῆς ἔστι λογίσασθαι,
ὅτι δικαίως μὲν αὐτῇ τις χρησάμενος ὡς ἔξεστιν, εὐσεβεῖ–παρὰ δὲ τὸ
μέτρον ἐξελθὼν καὶ ἑαυτῷ τὴν κρίσιν λαβὼν ἀσεβεῖ.

Καὶ ὁ Σοφονίας πάλιν ἔφη· Ἡ μακροθυμία σου, κύριέ μου Πέτρε, παρ-
ρησίαν ἡμῖν χαρίζεται ἀκριβείας χάριν κατὰ πολλὰ πυνθάνεσθαί σου· διὸ
θαρροῦντες παντὶ τρόπῳ τὴν ἐξέτασιν ποιούμεθα. μέμνημαι τοίνυν ὡς
χθὲς Σίμων πρὸς σὲ τὴν ζήτησιν ἔχων ἔφη ὅτι ὁ πονηρός, εἰ ἀπὸ τοῦ θεοῦ

γεγέννηται, ἀκολούθως τῆς αὐτῆς τῷ προβαλόντι τυγχάνει οὐσίας καὶ ἀγαθὸς
ὤφειλεν εἶναι καὶ οὐχὶ κακός. σὺ δὲ ἀπεκρίνω μὴ πάντως οὕτως ἔχειν,
καθότι πολλοὶ ἐξ ἀγαθῶν κακοὶ γεννῶνται, ὥσπερ ἐκ τοῦ Ἀδὰμ ὁποῖοί
τινες ὄντες δύο ἐγεννήθησαν, ὧν ὁ μὲν ἦν κακός, ὁ δ' ἀγαθός. τοῦ δὲ Σί-
μωνος αἰτιασαμένου ὅτι ἀνθρωπίνοις ἐχρήσω παραδείγμασιν, ἀπεκρίνω
ὅτι τούτῳ τῷ λόγῳ οὐδὲ τὸ γεννῆσαι θεὸν παραδέξασθαι δεῖ· ἀνθρώπινον
γὰρ καὶ τοῦτο τὸ παράδειγμα. ἐγὼ δὲ Σοφονίας τὸ μὲν γεννῆσαι θεὸν παρα-
δέχομαι, τὸ δὲ κακὸν γεννῆσαι οὐ προσίεμαι, κἂν τῶν ἀνθρώπων οἱ ἀγαθοὶ
κακοὺς γεννῶσι. καὶ μήτοι νομίσῃς με ἀλόγως τῶν ἀνθρώποις διαφερόντων
ἔνια μὲν τῷ θεῷ ἀποδιδόναι, ἔνια δὲ οὔ, ἐπειδὴ τὸ μὲν γεννῆσαι δίδωμι, τὸ
δὲ ἀνόμοιον αὐτοῦ γεννῆσαι οὐκ ἀποδίδωμι. οἱ μὲν γὰρ ἄνθρωποι κατὰ
τὸ εἰκὸς ἀνομοίους ταῖς ἑαυτῶν γνώμαις γεννῶσιν υἱοὺς διὰ τοιαύτην αἰτίαν·
ἐκ τεσσάρων γὰρ συνεστῶτες μερῶν κατὰ τὰς διαφόρους τροπὰς διαφόρως
τρέπονται τὰ σώματα καὶ ὡς ἐν ἀνθρωπείῳ σώματι καθ' ἕκαστον καιρὸν τὸ
τῆς τροπῆς ἴδιον αὐξανόμενον ἢ ἐλαττούμενον τὴν σύμμετρον κρᾶσιν
ἀθετεῖ. τῶν γὰρ συγκραμάτων οὐχ ὡσαύτως ἀεὶ διαμενόντων τὰ σπέρματα
ἄλλοτε ἄλλην ἔχοντα κρᾶσιν ἀποκρίνονται, οἷς πρὸς τὴν τοῦ καιροῦ κρᾶ-
σιν καὶ αἱ γνῶμαι ἕπονται εἴτε ἀγαθαὶ εἴτε κακαί. ἐπὶ δὲ τοῦ θεοῦ οὐκ
ἔστι τι τοιοῦτον λογίσασθαι· ἄτρεπτον γὰρ καὶ ἀεὶ ὤν, ὁπ<ότε> προ-
βάλλειν βουληθείη, ἀνάγκη πᾶσα τὸ προβαλλόμενον αὐτῷ ὡσαύτως
<ἔχειν> τὰ πάντα τῷ γεγεννηκότι τήν τε οὐσίαν λέγω καὶ τὴν γνώμην.
εἰ <δὲ θελήσ>ειέ τις καὶ αὐτὸν τρεπτὸν λέγειν, οὐκ οἶδα πῶς καὶ ἀθά-
νατον εἰπεῖν δύναται αὐτόν.

Ταῦτα ὁ Πέτρος ἀκούσας καὶ βραχὺ ἐπὶ συννοίας γενόμενος ἔφη· Οὐκ
οἶμαί τινα δύνασθαι περὶ πονηροῦ διαλεγόμενον μὴ αὐτοῦ τοῦ πονηροῦ
τὸ θέλημα ποιεῖν. ὅθεν τοῦτο αὐτὸ εἰδὼς οὐκ οἶδα τί πράξω, πότερον
σιωπήσω ἢ λαλήσω. εἰ μὲν σιωπήσαιμι, γέλωτα πρὸς τοὺς πολλοὺς ὀφλή-
σαιμι ἄν, ὅτι ἀλήθειαν ἐπαγγελλόμενος κηρύσσειν τὸν περὶ κακίας λόγον
ἀγνοῶ–εἰ δὲ εἴποιμι, φοβοῦμαι μὴ ἄρα οὐκ ἀρέσκῃ θεῷ ζητεῖσθαι τὸ
κακόν, ἀλλὰ τὸ ἀγαθὸν μόνον. πλὴν καὶ ὑμῖν εἰς τὸν Σοφονίου λόγον τὰς
ἐμὰς ὑπολήψεις ποιήσω φανερωτέρας. συντίθεμαι κἀγὼ ὅτι οὐ πάντα
τὰ ἀνθρώπων ἀποδιδόναι δεῖ τῷ θεῷ. αὐτίκα γοῦν οἱ ἄνθρωποι οὐκ ἔχοντες
τὰ σώματα τρεπτὰ οὐ τρέπονται, ἀλλὰ χρόνῳ ὑπὸ τῶν τροπῶν ἀλλοιοῦσθαι
φύσιν ἔχουσιν. ὁ δὲ θεὸς οὐχ οὕτως· ὑπὸ γὰρ τοῦ ἐμφύτου πνεύματος αὐ-
τοῦ ἀπορρήτῳ δυνάμει ὁποῖον ἂν βούληται, γίνεται τὸ σῶμα. καὶ ταύτῃ
μᾶλλον ἔστι πιστεῦσαι, ᾗ καὶ ὁ ἀὴρ παρ' αὐτοῦ τοιαύτην εἰληφὼς φύσιν
ὑπὸ τοῦ αὐτὸν διήκοντος ἀσωμάτου νοῦ εἰς δρόσον τραπεὶς καὶ παχυν-
θεὶς γίνεται ὕδωρ, ὕδωρ δὲ παγὲν λίθοι καὶ γῆ, καὶ λίθοι δὲ συρρήξαντες
πῦρ ἐξάπτουσι. τοσοῦτον κατὰ μεταβολὴν καὶ τροπὴν ὁ ἀὴρ ὕδωρ τὰ
πρῶτα γεγονὼς εἰς πῦρ ἔληξε διὰ τῶν τροπῶν καὶ τὸ ὑγρὸν εἰς τὴν ἐναν-
τίαν φύσιν μετετράπη. τί δέ; οὐχὶ καὶ τὴν Μωυσέως ·άβδον ὁ θεὸς ἔτρεψεν
εἰς ζῷον, ποιήσας ὄφιν, ὃν πάλιν μετέτρεψεν εἰς ·άβδον; καὶ δι' αὐτῆς δὲ
τῆς τραπείσης ·άβδου τὸ Νείλου ὕδωρ ἔτρεψεν εἰς αἷμα, ὃ καὶ πάλιν μετ-
έτρεψεν εἰς ὕδωρ. ἀλλὰ καὶ τὸν ἄνθρωπον, χοῦν ὄντα, ἐμφυσήματι πνοῆς
μετέτρεψεν εἰς σάρκα καὶ πάλιν μετέτρεψεν εἰς χοῦν. οὐχὶ δὲ Μωυσῆς,
αὐτὸς σὰρξ ὤν, εἰς μέγιστον ἐτράπη φῶς, ὡς μὴ δυνηθῆναι τοὺς υἱοὺς

Ἰσραὴλ ἀντιβλέψαι αὐτῷ; πολλῷ οὖν μᾶλλον ὁ θεὸς ἑαυτὸν τρέπειν εἰς
ὃ βούλεται δυνατώτατός ἐστιν. ἀλλ' ἴσως τις ὑμῶν ἐνενόησεν ὅτι ἄλλος
μὲν ὑπ' ἄλλου γενέσθαι τι δύναται, αὐτὸς δέ τις ἑαυτὸν εἰς ὃ βούλεται
μετατρέπειν οὐ δύναται καὶ ὅτι τὸ τρέπεσθαι τοῦ γηρῶντός ἐστι καὶ ἀποθα-
νεῖν <φύσιν> ἔχοντος. ἀλλὰ περὶ ἀθανάτων τοῦτο οὐ χρὴ νομίζειν.
ἢ γὰρ οὐκ ἄγγελοι ἀγήρως <ὄντες> καὶ πυρώδους οὐσίας εἰς σάρκα μετ-
ετράπησαν, καὶ οἱ παρὰ τῷ Ἀβραάμ <ποτε ξενι>σθέντες, ὧν καὶ τοὺς
πόδας ὡς ὁμοουσίων ἀνθρώπων ἄνθρωποι ἔνιψαν; ἀλλὰ καὶ τῷ Ἰακὼβ
ἀνθρώπῳ ὄντι ἄγγελος ἐπάλαισεν, εἰς σάρκα τραπείς, ἵνα αὐτῷ συγχρω-
τισθῆναι δυνηθῇ. καὶ ὁμῶς παλαίσας ἐπὶ τὴν ἰδίαν αὐτοῦ φύσιν βουλη-
θεὶς ἐτράπη. ἤδη εἰς πῦρ μεταβαλόμενος τοῦ Ἰακὼβ τὸ πλατὺ νεῦρον οὐκ
ἔκαυσε μέν, ἔφλεξε δέ, καὶ χωλὸν ἐποίησεν. ὁ δὲ ἕτερόν τι γενέσθαι ὅτε
θέλει μὴ δυνάμενος, ὡς ὑποκείμενος τῇ αὐτοῦ φύσει θνητός ἐστι· δυνά-
μενος δέ τις γενέσθαι ὅτε θέλει ὃ θέλει ὡς αὐτῆς τῆς φύσεως δεσποτεύων
εἰς τὸ νεάζειν ὑποστρέφων ἀθάνατός ἐστιν. ὅθεν πολὺ μᾶλλον ἡ τοῦ θεοῦ
δύναμις ὅτε θέλει τοῦ σώματος τὴν οὐσίαν εἰς ὃ θέλει μετατρέπει, καὶ
ὁμοούσιον τῇ παρούσῃ τροπῇ προβάλλει, ἰσοδύναμον δὲ οὔ. ὅτι ὁ μὲν προ-
βάλλων καὶ εἰς ἑτέραν πάλιν οὐσίαν ἐφ' ἑαυτοῦ τραπέντος δύναται, ὁ δὲ
προβληθεὶς τῆς ἐξ ἐκείνου τροπῆς τε καὶ τέκνον ὑπάρχων ἄνευ τοῦ προβα-
λόντος βουλῆς ἄλλο τι γενέσθαι οὐ δύναται, εἰ μὴ ἐκεῖνος θέλει.

Ταῦτα τοῦ Πέτρου εἰπόντος Μιχαίας, καὶ αὐτὸς εἷς ὢν τῶν ἑπομένων
ἑταίρων· Ἐβουλόμην, ἔφη, καὶ αὐτὸς μαθεῖν παρὰ σοῦ, εἰ ὥσπερ ὁ πονηρὸς

γέγονεν, οὕτω γεγένηται καὶ ὁ ἀγαθός. εἰ δὲ ὁμοίως γεγόνασιν, ἀδελφοὶ
εἶναί μοι δοκεῖ. καὶ ὁ Πέτρος· Οὐχ ὁμοίως γεγόνασιν, εἴπερ μέμνησαι ὧν
ἐν ἀρχῇ εἶπον, ὅτι τοῦ πονηροῦ ἡ τετραγενὴς τοῦ σώματος οὐσία πεφι-
λοκρινημένη ὑπὸ τοῦ θεοῦ προεβλήθη, ἔξω δὲ αὐτῆς κατὰ τὴν τοῦ προ-
βαλόντος βουλὴν κραθείσης πρὸς τὴν κρᾶσιν <...>, ἡ κακοῖς χαίρουσα
προαίρεσις ὡς νοεῖν ὅτι θεοῦ μὲν τέκνον ἡ τετραγενὴς ἐξ αὐτοῦ προβλη-
θεῖσα οὐσία, ἡ καὶ αὐτὴ οὖσα ἀεί, τῆς δὲ ἔξω ὑπ' αὐτοῦ κραθείσης οὐσίας
ἡ συμβεβηκυῖα κακοῖς χαίρουσα προαίρεσις ἐπεγένετο. καὶ οὕτως οὔτε
ὑπὸ τοῦ θεοῦ γεγέννηται οὔτε ὑφ' ἑτέρου τινός, ἀλλ' οὐδὲ ὑπ' αὐτοῦ προ-
βέβληται οὔτε αὐτομάτως προελήλυθεν οὔτε ἀεὶ ἦν (ὡς ἡ πρὸ τῆς συγκρά-
σεως οὐσία), ἀλλὰ κατὰ τὴν τοῦ θεοῦ βούλησιν ἔξω τῇ κράσει συμβέβηκε.
καὶ ὅτι ἀνάγκη τοῦθ' οὕτως ἔχειν, πολλάκις εἰρήκαμεν. ὁ δὲ ἀγαθὸς ἐκ τῆς τοῦ
θεοῦ καλλίστης τροπῆς γεννηθεὶς καὶ οὐκ ἔξω κράσει συμβεβηκὼς τῷ
ὄντι υἱός ἐστι. πλὴν ἐπεὶ ταῦτα ἄγραφα τυγχάνει καὶ στοχασμοῖς πε-
πιστωμένα, μὴ πάντως ἡ <ἀλήθεια> οὕτως ἔχειν βεβαιούσθω. εἰ δὲ
μήγε, ὁ νοῦς ὡς πάντως προειληφὼς <τὸ ἀληθ>ὲς τοῦ ζητεῖν παύεται.
κἀκεῖνά μοι μνημονεύετε ὅτι τὰ τοιαῦτα <πᾶσι μὲ>ν οὐ δεῖ λέγειν, ἀλλὰ
τοῖς μετὰ πεῖραν δοκιμωτάτοις. οὐδὲ πρὸς ἀλλήλους ·ᾳδίως ἰσχυρίζεσθαι
δεῖ τὰ τοιαῦτα οὐδὲ τολμᾶν ὀφείλετε λέγειν ὡς ἀκριβοῦντες τὴν τῶν ἀπορρή-
των εὕρεσιν, ἀλλὰ σιωπῶντας χρὴ ἐνθυμεῖσθαι μόνον· ἐν γὰρ τῷ λέγειν
ἴσως οὐχ ὡς ἔχον ὁ φθεγξάμενος ἁμαρτήσεται καὶ δίκην ὑφέξει ὡς τολμή-
σας (κἂν πρὸς ἑαυτόν) φθέγξασθαι τὰ σιγῇ τετιμημένα.

Ταῦτα τοῦ Πέτρου εἰπόντος Λάζαρός τις τῶν ἀκολούθων καὶ αὐτὸς ἔφη·
Τὴν συμφωνίαν ἡμῖν εἰπέ, πῶς δυνατὸν εὔλογον εἶναι τὸν ὑπὸ θεοῦ

δικαίου καταστάντα πονηρὸν ὥστε τῶν ἀσεβησάντων εἶναι τιμωρόν, τοῦ-
τον αὐτὸν ὕστερον μετὰ τῶν αὐτοῦ ἀγγέλων σὺν τοῖς ἁμαρτωλοῖς εἰς
τὸ σκότος τὸ κατώτερον πέμπεσθαι; καὶ γὰρ καὶ τοῦτο μέμνημαι εἰρηκότος
αὐτοῦ τοῦ διδασκάλου. καὶ ὁ Πέτρος· Κἀγώ, ἔφη, ὁμολογῶ ὅτι ὁ πονηρὸς
πονηρὸν οὐδὲν ποιεῖ κατὰ τοῦτο, καθὸ τὸν δοθέντα αὐτῷ νόμον ἐκτελεῖ.
καίτοι προαίρεσιν ἔχων κακήν, ὅμως φόβῳ τῷ πρὸς τὸν θεὸν οὐδὲν ἀδίκως
πράσσει, διαβάλλων δὲ διδασκάλους ἀληθείας εἰς ἐνέδραν τῶν ἀκρίτων
καὶ διάβολος ὁ αὐτὸς ὀνομάζεται. τὸ δὲ τὸν ἀψευδῆ διδάσκαλον ἡμῶν
εἰπεῖν αὐτόν τε καὶ τοὺς ἀγγέλους αὐτοῦ σὺν τοῖς ἀπατηθεῖσιν ἁμαρτωλοῖς
εἰς τὸ σκότος τὸ κατώτερον ἀπελθεῖν, τοιοῦτόν τινα ἔχει λόγον. ὁ πονηρὸς
σκότῳ χαίρουσαν τὴν κρᾶσιν λελογχώς, μετὰ τῶν ὁμοδούλων ἀγγέλων εἰς
τὸ τοῦ Ταρτάρου σκότος κατελθὼν ἥδεται· φίλον γὰρ πυρὶ τὸ σκότος.
αἱ δὲ τῶν ἀνθρώπων ψυχαὶ φωτὸς καθαροῦ σταγόνες οὖσαι, ὑπὸ ἀλλο-
φύλου πυρὸς οὐσίας συμπινόμεναι καὶ φύσιν τοῦ ἀποθανεῖν οὐκ ἔχουσαι,
κατ' ἀξίαν κολάζονται. εἰ δὲ ὁ τῆς κακίας ἡγεμὼν ἄνθρωπος ὢν οὐ πέμ-
πεται εἰς τὸ σκότος ὡς μὴ τούτῳ χαίρων, τότε δύναται ἡ κακοῖς αὐτοῦ
χαίρουσα κρᾶσις μετασυγκριθῆναι εἰς ἀγαθοῦ προαίρεσιν καὶ οὕτως ἀγα-
θὸς συνεῖναι κριθήσεται ταύτῃ μᾶλλον ὅτι κακοῖς χαίρουσαν λελογχὼς
κρᾶσιν, αἰτίᾳ τοῦ πρὸς τὸν θεὸν φόβου οὐδὲν παρὰ τὸ δοκοῦν τῷ τοῦ θεοῦ
νόμῳ διεπράξατο. καὶ μήτιγε τὸ τὴν τοῦ ἀρχιερέως Ἀαρὼν ·άβδον γε-
νέσθαι ὄφιν καὶ πάλιν ἀντιτραπῆναι εἰς ·άβδον, τοῦτο εἰς τὴν τοῦ πονηροῦ
ὕστερον γενησομένην τῆς τροπῆς μετασύγκρισιν μυστηριωδῶς ἡ γραφὴ
[ἐσομένην] προεδήλωσε;

Μετὰ δὲ τὸν Λάζαρον Ἰώσηφος (καὶ αὐτὸς εἷς τῶν ἀκολούθων) ἔφη·
Ὀρθῶς πάντα εἴρ<ηκας. νῦν δὲ> κἀμοὶ τοῦτο βουλομένῳ μαθεῖν παράσχου
διὰ τί πᾶσι τῶν αὐτῶν λόγων <κηρυσσομένων> οἱ μὲν πείθονται, οἱ δὲ ἀπει-
θοῦσι. καὶ ὁ Πέτρος· Οὐ γάρ εἰσιν, ἔφη, οἱ λόγοι ἐπῳδαί, ἵνα πάντως ἀκού-
σας τις πιστεύσῃ. τῷ δέ τινας μὲν πείθεσθαι, τινὰς δὲ μή, συνετῶς δείκνυ-
ται τὸ αὐτεξούσιον. ταῦτα εἰπόντα οἱ πάντες εὐλογήσαμεν.

Καὶ δὴ μέλλουσιν ἡμῖν ἑστιᾶσθαι ὑπεισέδραμέ τις λέγων· Ἀππίων ὁ
πλειστονίκης σὺν Ἀννουβίωνι ἧκεν ἀρτίως ἀπὸ Ἀντιοχείας καὶ ξενίζεται
παρὰ Σίμωνι. ὁ δὲ πατὴρ ἀκούσας καὶ χαρεὶς ἔφη Πέτρῳ· Εἴ μοι ἐπιτρέπεις,
πορεύομαι προσαγορεύσων Ἀππίωνα καὶ Ἀννουβίωνα ἐκ πρώτης ἡλικίας
φίλους μοι γεγενημένους. τυχὸν γὰρ Ἀννουβίωνα πείσω Κλήμεντι δια-
λεχθῆναι περὶ γενέσεως. καὶ ὁ Πέτρος· Ἐπιτρέπω, ἔφη, καὶ ἐπαινῶ τὰ
φίλων σε πληροῦντα μέρη, πλὴν ἐννόει μοι ὡς κατὰ πρόνοιαν θεοῦ πανταχό-
θεν συντρέχει τὰ πρὸς τὴν σὴν πληροφορίαν οἰκείαν ἀποτελοῦντα τὴν ἁρμο-
νίαν. τοῦτο δὲ εἶπον διὰ τὴν Ἀννουβίωνος χρησίμως σοι γενομένην
ἐπιδημίαν. καὶ ὁ πατήρ· Ἀληθῶς συνορῶ τοῦτο οὕτως ἔχον. καὶ
ταῦτα εἰπὼν ἐπορεύθη πρὸς Σίμωνα. ἡμεῖς δὲ οἱ συνόντες τῷ Πέτρῳ
δι' ὅλης νυκτὸς ἐπαλλήλως πυνθανόμενοι ὑπό τε ἡδονῆς καὶ χαρᾶς
τῶν λεγομένων νήφοντες ἐνυκτερεύσαμεν. ἤδη δέ πως νυκτὸς ὑπαυγα-
ζομένης Πέτρος ἐμβλέψας ἐμοί τε καὶ τοῖς ἀδελφοῖς μου ἔφη· Διαπορῶ
τί ἔδοξε τῷ ὑμετέρῳ πατρί. καὶ λέγοντος τοῦτο ἧκεν ὁ πατὴρ αὐτόθι,
τὸν Πέτρον ἡμῖν περὶ αὐτοῦ διαλεγόμενον καταλαβών· καὶ ἀθυμοῦντα
ἰδὼν προσαγορεύσας ἀπελογήσατο δι' ἣν αἰτίαν ἔξω κεκοίμηται. ἡμεῖς
δὲ ἐμβλέποντες αὐτῷ ἐξειστήκειμεν, τὸ εἶδος Σίμωνος ὁρῶντες, φωνῆς
δὲ τοῦ πατρὸς ἡμῶν ἀκούοντες Φαύστου. καὶ δὴ φευγόντων ἡμῶν
αὐτὸν καὶ στυγνούντων ἐξεπέπληκτο ὁ πατὴρ ἐπὶ τῷ οὕτως ἀπηνῶς

καὶ ἐχθρῶς αὐτῷ χρῆσθαι. μόνος δὲ Πέτρος τὴν κατὰ φύσιν αὐτοῦ ὁρῶν
μορφὴν πρὸς ἡμᾶς ἔφη· Τίνος ἕνεκα βδελυσσόμενοι ἀπωθεῖσθε τὸν ὑμέ-
τερον πατέρα; ἡμεῖς δὲ καὶ ἡ μήτηρ ἔφαμεν· Σίμων ἡμῖν οὗτος φαίνεται
φωνὴν ἔχων τοῦ ἡμετέρου πατρός. καὶ ὁ Πέτρος ἔφη· Ὑμῖν μὲν ἡ ἀμά-
γευτος αὐτοῦ φωνὴ μόνη γνώριμός ἐστιν, ἐμοῦ δὲ τοῖς ἀμαγεύτοις ὀφθαλ-
μοῖς καὶ τὸ εἶδος αὐτοῦ ὡς ἔστιν ὁρατὸν ὅτι μή ἐστι Σίμων, ἀλλὰ Φαῦστος
ὁ ὑμέτερος πατήρ. τότε δὴ προσεμβλέψας καὶ τῷ πατρὶ ἔφη· Τὸ γνήσιόν σου
εἶδος αὐτοῖς οὐ φαίνεται, ἀλλὰ Σίμωνος τοῦ ἀσεβεστάτου καὶ ἡμῖν ἐχθί-
στου.

Ταῦτα τοῦ Πέτρου διαλεγομένου ἐπεισῄει τις τῶν προόδων ἀπὸ τῆς
Ἀντιοχείας ἐληλυθὼς λέγων Πέτρῳ· Εἰδέναι σε θέλω, κύριέ μου, ὅτι
Σίμων ἐν τῇ Ἀντιοχείᾳ δημοσίᾳ πολλὰ τεράστια ποιῶν οὐδὲν ἄλλο προσδιελέ-
γετο ἤ σε πρὸς αὐτοὺς πρὸς μῖσος ποιῶν μάγον τε ὀνομάζων καὶ γόητα
καὶ μιαιφόνον, καὶ πρὸς τοσοῦτον αὐτοὺς μῖσος παρεσκεύασεν ὡς γλίχεσθαι
πάντα ἄνθρωπον τῶν ἐκεῖ ἐπιδημησάντων σαρκῶν αὐτῶν ἀπογεύσασθαί
σου. ὅθεν ἡμεῖς οἱ πρόοδοι μετὰ τῶν ὑπὸ σοῦ τῷ Σίμωνι ὑποβεβλημένων
ἀδελφῶν ἡμῶν πολὺ κατὰ σοῦ βρύχουσαν τὴν πόλιν ἑωρακότες, κρύφα
εἰς τὸ αὐτὸ γενόμενοι σκοποῦμεν τί χρὴ ποιεῖν. καὶ δὴ ἐν ἀπορίᾳ ἡμῶν
ὄντων ἐπεδήμησε Κορνήλιος ἑκατόνταρχος ὑπὸ Καίσαρος πεμφθεὶς πρὸς
τὸν τῆς ἐπαρχίας ἡγούμενον, ὃν ἐν Καισαρείᾳ δαιμονῶντα ἰάσατο ὁ κύριος.
οὗτος μεταπεμφθεὶς ὑφ' ἡμῶν κρύφα καὶ τῆς ἀθυμίας τὴν αἰτίαν παρ'
ἡμῶν μαθὼν καὶ βοηθεῖν ἀξιωθεὶς προθυμότατα ὑπέσχετο φοβήσας
φυγαδεύειν αὐτόν, ἐάν γε αὐτοῦ τῷ ἐγχειρήματι ὑπουργήσωμεν. ἡμῶν δὲ

ἑτοίμως πάντα ποιήσειν ὑποσχομένων ἔφη· Ἐμοῦ διὰ πολλῶν φίλων κρύφα
εἰς σύλληψιν αὐτοῦ ἐληλυθέναι περισκοποῦντος καὶ ζητεῖν αὐτὸν φάσκον-
τος, καθότι Καῖσαρ πολλοὺς μάγους ἀνελὼν καὶ τὰ κατ' αὐτὸν μαθὼν ἐμὲ
ἐπὶ τὴν αὐτοῦ ζήτησιν ἔπεμψεν, ὅπως καὶ αὐτὸν ὡς καὶ τοὺς πρὸ αὐτοῦ
μάγους κολάσῃ, καὶ οἱ ὑμέτεροι οἱ συνόντες αὐτῷ ὡς δὴ κρύφα ποθὲν
ἀκηκοότες προσαναφερέτωσαν ὡς ἐμοῦ ἕνεκα τοῦ συλλαβεῖν αὐτὸν ἀπε-
σταλμένου, καὶ τυχὸν ἀκούσας φοβηθεὶς φεύξεται. ἐπεὶ τοίνυν ἕτερόν τι
ποιεῖν ἐπενοήσαμεν . ὁμῶς οὕτως ἐγένετο. ὑπό τε γὰρ πολλῶν τῶν ἔξω
ὡς τὰ μεγάλα αὐτῷ χαριζομένων λάθρα λεγόντων, ἔτι δὲ καὶ τῶν
ἔνδον ὑποβλητῶν ἡμετέρων ἀκηκοὼς καὶ ὡς παρ' ἰδίων γνώμην εἰληφὼς
ὑποστέλλεσθαι ἔγνω. ἀποδρὰς οὖν τῆς Ἀντιοχείας μετὰ Ἀθηνοδώρου
ἐνθάδε ἐλήλυθεν ὡς ἀκηκόαμεν. διὸ συμβουλεύομέν σοι μήπω ἐπιβῆναι
τῆς πόλεως ἐκείνης, μέχρις ἂν εἰδῶμεν εἰ τῆς κατὰ σοῦ διαβολῆς ἐκείνου
ἀπόντος ὑπολῆσαι δυνήσονται.

Ταῦτα τοῦ προόδου ἀπαγγείλαντος ὁ Πέτρος τῷ πατρὶ προσεμβλέψας
ἔφη· Ἀκούεις, Φαῦστε, ὑπὸ Σίμωνος τοῦ μάγου ἡ μεταμόρφωσίς σου
γέγονεν, ὡς ἤδη φαίνεται. Καίσαρα γὰρ νομίσας ἐπὶ κακῷ αὐτὸν ζητεῖν
φοβηθεὶς ἔφυγε, τὴν ἑαυτοῦ σοὶ περιθεὶς μορφήν, ὅπως ἀποθανόντος σου
τοῖς σοῖς τέκνοις ἡ λύπη γένηται. ταῦτα ὁ πατὴρ ἀκούων κλαίων καὶ
ὀδυρόμενος ἔφη· Ὀρθῶς ἐστοχάσω, Πέτρε. Ἀννουβίων ..... μού με
φιλῶν μυστηριωδῶς τὴν ἐπιβουλὴν ἐξέφηνε, καὶ οὐκ ἐπίστευ<ον ὁ τά-
λας>, ἐπειδὴ τοῦ παθεῖν ἤμην ἄξιος. ταῦτα τοῦ πατρὸς εἰπόντος μετ'
οὐ πολὺ <Ἀννουβίων ἦλθε> πρὸς ἡμᾶς τὴν Σίμωνος ἡμῖν δηλῶν φυ-
γὴν καὶ ὡς αὐτῆς νυκτὸς ἐπὶ Ἰουδαίαν ὥρμησεν. εὗρε δὲ τὸν πατέρα ἡμῶν
κοπτόμενον καὶ μετὰ ὀδυρμῶν λέγοντα· Οἶμοι ὁ τάλας, μάγον αὐτὸν
ἀκούων ἠπίστουν ὁ ταλαίπωρος· πρὸς μίαν ἡμέραν ἐπιγνωσθεὶς συμβίῳ

καὶ τέκνοις ταχέως ἐπὶ τὴν προτέραν τῆς ἀγνοίας ἦλθον συμφοράν. καὶ
ἡ μήτηρ ὀδυρομένη τὰς τρίχας κατέτιλλεν, ἡμεῖς δὲ περὶ τῆς τοῦ πατρὸς
ἀλλοιώσεως ἀδημονοῦντες ἐστένομεν, ὅτι ποτὲ ἦν συννοῆσαι μὴ δυνάμενοι.
Ἀννουβίων δὲ ταῦτα ἀκούων καὶ ὁρῶν ἀχανὴς ἔστη. ὁ δὲ Πέτρος ἡμῖν τοῖς
τέκνοις ἐπὶ πάντων ἔφη· Πιστεύσατέ μοι, οὗτός ἐστι Φαῦστος ὁ πατὴρ ὑμῶν.
διὸ δὴ κελεύω ὑμῖν ὡς πατρὶ προσέχειν· παρέξει γὰρ ὁ θεὸς πρόφασίν
τινα, δι' ἧς τὴν Σίμωνος ἀποδυσάμενος μορφὴν τὴν τοῦ πατρὸς ὑμῶν
προδήλως ἀναδείξει πάλιν. ταῦτα ἡμῖν εἰπὼν καὶ τῷ πατρὶ προσβλέψας
ἔφη· Ἐγώ σοι ἐπέτρεψα προσαγορεῦσαι Ἀππίωνα καὶ Ἀννουβίωνα, ἐπει-
δὴ ἐκ παίδων σοι φίλους εἶναι ὁμολογεῖς, οὐχὶ Σίμωνι τῷ μάγῳ συνο-
μιλεῖν. καὶ ὁ πατήρ· Ἥμαρτον, ἔφη, ὁμολογῶ. καὶ Ἀννουβίων· Καὶ
αὐτὸς ἐγώ, ἔφη, σὺν αὐτῷ δέομαί σου συγγνῶναι γέροντι εὐγενεῖ καὶ
ἀγαθῷ ἠπατημένῳ· παίγνιον γὰρ γέγονεν ὁ δυστυχὴς τοῦ περιβοήτου.
πλὴν ὡς γέγονε φράσω. ὁ ἀγαθὸς οὗτος γέρων ἦλθε προσαγορεύσων
ἡμᾶς. ἐτυγχάνομεν δὲ αὐτῆς ὥρας κατὰ ταὐτὸν οἱ ἐκεῖ παρόντες ἀκούοντες
Σίμωνος, ὃς ἀποδιδράσκειν ἤθελεν αὐτῇ νυκτί, ἀκηκοὼς ἐπιδημήσειν
ποθέν τινας ἐνταῦθα τῇ Λαοδικείᾳ ἐκ προσταγῆς βασιλικῆς ζητοῦντας
αὐτόν. Φαύστῳ δὲ εἰσιόντι τὸν ἴδιον θυμὸν <...> φήσας οὕτως πρὸς
ἡμᾶς· Ἁλῶν αὐτὸν ἐλθόντα συμμετασχεῖν ὑμῖν ποιήσατε, ἐγὼ δὲ μύρον τι
σκευάσω, ἵνα δειπνήσας καὶ ἀναλαβὼν τὸ ἴδιον χρίσας πρόσωπον τὴν ἐμὴν
πᾶσιν ἔχειν δόξῃ μορφήν. ὑμεῖς δὲ βοτάνης τινὸς χυλοῖς προεναλειψάμενοι
ὑπ' ἐμοῦ, οὐκ ἀπατηθήσεσθε ὑπὸ τῆς ξένης αὐτοῦ μορφῆς, πλὴν τοῖς
ἄλλοις πᾶσιν ὁ Φαῦστος δόξει εἶναι Σίμων. ἐκείνου δὲ ταῦτα προλέγοντος
ἔφην· Τί νῦν σοὶ ἐκ τῆς τοιαύτης μηχανῆς ἐστι κέρδος; καὶ ὁ Σίμων ἔφη·
Πρῶτον μὲν συλλαβόντες αὐτὸν οἱ ἐμὲ ζητοῦντες παύσονται τῆς κατ'
ἐμοῦ ζητήσεως. εἰ δὲ καὶ ὑπὸ βασιλικῆς χειρὸς ἀναιρεθείη, μέγιστον πένθος

ἕξουσιν οἱ τούτου παῖδες, οἵτινες ἐμὲ καταλιπόντες προσφυγόντες τῷ Πέτρῳ συνεργοῦσι. νῦν γὰρ σοί, ὦ Πέτρε, ὁμολογῶ τὰ ἀληθῆ ὅτι ἐφοβούμην τότ<ε τῷ Φαύ>στῳ τοῦτο μηνύειν. ἀλλ' οὐδὲ καιρὸν ἡμῖν ὁ Σίμων ἐδίδου πρὸς τὸ ἰδιάζειν, <ἵνα τις ἡ>μῶν αὐτῷ τὴν ἐκ τοῦ Σίμωνος
κακὴν ἐκφάνῃ βουλήν. πλὴν ἐν μέσῃ γε νυκτὶ ἀναστὰς ὁ Σίμων τὴν ἐπὶ
Ἰουδαίαν ἐποιεῖτο φυγήν, προπεμπόμενος ὑπό τε Ἀππίωνος καὶ Ἀθηνοδώ-
ρου. τότε ἐγὼ δυσαρέστως ἔχειν τὸ σῶμα ὑπεκρινάμην, ὅπως μείνας μετὰ τὸ
ἐκείνους πορευθῆναι εὐθὺς αὐτὸν ἐπὶ τὰ ἑαυτοῦ ἐπανελθεῖν ποιήσω, εἴ που
δύναιτο παρ' ὑμῖν κρυπτόμενος λανθάνειν, μήπως ὑπὸ τῶν Σίμωνος ζητούν-
των ὡς Σίμων ληφθεὶς ὑπὸ βασιλικῆς ὀργῆς ἀποθάνῃ. ἀωρίας οὖν αὐτὸν
ἐξαπέστειλα πρὸς ὑμᾶς καὶ κηδόμενος αὐτοῦ νύχιος ἦλθον ὀψόμενός τε
αὐτὸν καὶ τάχιον ἀπελευσόμενος, πρὶν τοὺς πέμψαντας <τὸν Σίμωνα>
ἐπανελθεῖν. καὶ προσβλέψας ἡμῖν ἔφη· Ἐγὼ Ἀννουβίων τὴν τοῦ πατρὸς
ὑμῶν ἀληθῆ μορφὴν ὁρῶ ἐναλειψάμενος ὑπ' αὐτοῦ τοῦ Σίμωνος ὡς προ-
διηγησάμην, ἵνα τοῖς ἐμοῖς ὀφθαλμοῖς ἡ ἀληθὴς Φαύστου φαίνηται μορφή.
ἐκπεπληγμένος οὖν σφόδρα θαυμάζω τὴν Σίμωνος μαγείαν, ὅτι ἑστῶτες
τὸν ὑμέτερον οὐ γνωρίζετε πατέρα. κλαιόντων δὲ τοῦ τε πατρὸς καὶ τῆς
μητρὸς καὶ ἡμῶν αὐτῶν, ἐπὶ τῇ κοινῇ πάντων ἡμῶν συμφορᾷ συμπαθήσας
καὶ ὁ Ἀννουβίων ἐδάκρυσε. τότε καὶ ὁ Πέτρος τῆς τοῦ πατρὸς μορφῆς
τὴν ἀποκατάστασιν ἡμῖν ἐπηγγείλατο εἰπὼν πρὸς αὐτόν· Ἤκουσας, ὦ Φαῦ-
στε, τὰ καθ' ἡμᾶς. ὅταν οὖν ἡμῖν χρήσιμος ἡ περικειμένη σοι πλάνος μορφὴ
γένηται καὶ ὑπουργήσῃς ἡμῖν πρὸς ἃ κελεύομεν, τότε κἀγώ σοι τὴν ἀληθινήν

σου μορφὴν ἀποδώσω πρότερον ποιήσαντι τὰ παρ' ἐμοῦ σοι λεγόμενα. τοῦ δὲ
πατρὸς εἰπόντος· Πᾶν ὅτι ἄν μοι δυνατὸν ᾖ, προθυμότατον ποιήσω, μόνον
τὴν ἐμὴν τοῖς ἐμοῖς ἀπόδος μορφήν, ὁ Πέτρος ἀπεκρίνατο· Αὐτὸς ἰδίοις
ὠσὶν ἀκήκοας τῶν προόδων μου ἀπὸ Ἀντιοχείας ἐληλυθότων καὶ εἰπόν-
των ὡς ἐκεῖ γεγονὼς ὁ Σίμων ἰσχυρῶς τοὺς ὄχλους κατ' ἐμοῦ παρώξυνε,
μάγον καὶ μιαιφόνον πλάνον τε καὶ γόητα ἀποκαλῶν, ἐπὶ τοσοῦτον ὡς
γλίχεσθαι πάντας τοὺς ἐκεῖ τῶν ἐμῶν ἀπογεύσασθαι σαρκῶν. ποιήσεις οὖν
ὡς ἐγὼ λέγω, καταλιπὼν Κλήμεντα παρ' ἐμοὶ καὶ προαγαγὼν ἡμᾶς εἰς
Ἀντιόχειαν μετὰ τῆς συμβίου σου, ἔτι δὲ Φαυστίνου καὶ Φαυστινιανοῦ τῶν
υἱῶν σου. συνέσονται δέ σοι καὶ ἄλλοι τινές, οὓς ἐγὼ κρίνω δυνατοὺς ὑπουρ-
γῆσαι τῷ ἐμῷ θελήματι. μετὰ τούτων ἐν τῇ Ἀντιοχείᾳ γενόμενος ἐν
ὅσῳ ὡς Σίμων φαίνῃ, δημοσίᾳ κήρυξον τὴν σεαυτοῦ μετάνοιαν <λέ-
γων·> Ἐγὼ Σίμων ταῦτα ὑμῖν κηρύσσω. ὁμολογῶ ἀδίκως καταψεύσασθαι
Πέτρου· οὐκ ἔστι πλάνος, οὐ μιαιφόνος, οὐ γόης οὐδὲ ὅσα ποτὲ φαῦλα περὶ
αὐτοῦ λέγων ἔφθανον ὑπὸ θυμοῦ ἐλαυνόμενος. δέομαι ὑμῶν αὐτὸς ἐγὼ
ὁ τοῦ πρὸς ὑμᾶς μίσους αἴτιος αὐτῷ γεγονώς, παύσασθε μισοῦντες αὐτόν·
τοῦ γὰρ ὑπὸ θεοῦ πρὸς σωτηρίαν κόσμου ἀπεσταλμένου ἀληθοῦς προ-
φήτου ἀληθής ἐστιν ἀπόστολος. διὸ καὶ αὐτὸς συμβουλεύω αὐτῷ ὑμᾶς
πείθεσθαι περὶ ὧν κηρύσσει, ἐπεὶ πᾶσα ὑμῶν ἡ πόλις ἄρδην ἀπολεῖται. δι' ἣν
δὲ αἰτίαν ὑμῖν ταῦτα ὡμολόγησα, εἰδέναι ὑμᾶς θέλω. ταύτης τῆς νυκτὸς
ἄγγελοί με τοῦ θεοῦ τὸν ἀσεβῆ ὡς ἐχθρὸν ὄντα τῷ τῆς ἀληθείας κήρυκι
δεινῶς ἐμαστίγουν. παρακαλῶ οὖν, μηδ' ἂν αὐτὸς ἐγὼ ἄλλοτε ἐπελθὼν
κατὰ Πέτρου ἐπιχειρῶ λέγειν, μὴ ἀποδέξησθέ με. ἐξομολογοῦμαι γὰρ

ὑμῖν· Ἐγὼ μάγος, ἐγὼ πλάνος, ἐγὼ γόης, ἀλλὰ μετανοῶ· ἔξεστι γὰρ ἴσως
μετανοίᾳ ἀπολῦσαι τὰ προπεπραγμένα μοι ἁμαρτήματα. ταῦτα τοῦ
Πέτρου ὑποτιθεμένου· Οἶδα, ἔφη ὁ πατήρ, ὅτι βούλει· διὸ μὴ κάμνε.
ἐμοὶ γὰρ οὐχ ἧττον μελήσει ἐκεῖσε ἐλθόντι διαλεχθῆναι ἃ χρὴ περὶ σοῦ
διαλέγεσθαι. καὶ ὁ Πέτρος πάλιν ὑπετίθετο· Ὅταν οὖν νοήσῃς τὴν πόλιν
μεταβαλομένην τοῦ μίσους, ἐπιθυμοῦσαν δὲ ἰδεῖν ἡμᾶς, πέμψας δήλωσόν
μοι, καὶ αὐτόθι ἐπικαταληψόμεθά σε. γενόμενος δὲ ἐκεῖ αὐθήμερον τὴν
ἀλλοτρίαν σου μορφὴν ἀπελάσας τὴν σὴν τοῖς σοῖς καὶ πᾶσι τοῖς ἄλλοις
ἀπλανῶς φαίνεσθαι ποιήσω. ταῦτα εἰπὼν συνεῖναι αὐτῷ τοὺς υἱούς, ἀδελ-
φοὺς δὲ ἐμούς, ἐποίησε καὶ Ματτιδίαν τὴν μητέρα ἡμῶν καὶ τῶν γνησιω-
τέρων τινὰς συναπέρχεσθαι ἐκέλευσεν. ἡ δὲ μήτηρ συναπελθεῖν αὐτῷ ὀκνη-
ρῶς εἶχεν· Μοιχὰς γὰρ εἶναι δοκῶ τῇ Σίμωνος συνοῦσα μορφῇ. εἰ δ' ἄρα
συναπέρχεσθαι αὐτῷ ἀναγκασθήσομαι, ἀδύνατον ἐπὶ τῆς αὐτῆς κλίνης
συγκατακλιθήσεσθαι. οὐκ οἶδα δέ, εἰ καὶ συναπελθεῖν αὐτῷ πεισθήσομαι.
ὀκνοῦσαν δὲ αὐτὴν ἀπελθεῖν ὁ Ἀννουβίων προέτρεψεν αὐτὴν εἰπών· Πεί-
σθητι ἐμοί τε καὶ Πέτρῳ καὶ αὐτῇ δὲ τῇ φωνῇ ὅτι <Φαῦστός> ἐστιν ὁ σὸς
σύμβιος, ὃν οὐκ ἔλαττόν σου ἀγαπῶ. καὶ αὐτὸς αὐτῷ συμ<πορεύσομαι>.
ταῦτα τοῦ Ἀννουβίωνος εἰπόντος ἡ μήτηρ συνελθεῖν ὑπέσχετο. ὁ δὲ
Πέτρος <ἔφη· Ἁρμο>διώτατα ὁ θεὸς τὰ πράγματα ἡμῶν οἰκονομεῖ.
ἔχομεν γὰρ μεθ' ἡμῶν Ἀννουβίων<α τὸν ἀστρολ>όγον. οὗτος γὰρ
ἡμῖν ἐπιδημήσασι τῇ Ἀντιοχείᾳ περὶ γενέσεως τοῦ λοιποῦ ὡς φίλος γνη-
σιώτερον διαλεχθήσεται.

Καὶ δὴ τοῦ πατρὸς ὑπὸ νύκτα μεθ' ὧν ἐκέλευσε Πέτρος σὺν τῷ
Ἀννουβίωνι ὁρμήσαντος ἐπὶ τὴν πλησίον Ἀντιόχειαν, ὄρθρου τῆς
ἄλλης ἡμέ-

ρας πρὶν προελθεῖν Πέτρον ἐπὶ τῷ διαλέγεσθαι ἐπανῆλθον εἰς τὴν Λαοδίκειαν
τὸν Σίμωνα προπέμψαντες Ἀππίων καὶ Ἀθηνόδωρος ἐπιζητοῦντες τὸν πα-
τέρα. ὁ δὲ <Πέτρος> μαθὼν ἐκέλευσεν αὐτοὺς εἰσέρχεσθαι. εἰσβάντων
δὲ καὶ καθεσθέντων καί· Ποῦ Φαῦστος; εἰπόντων, ἀπεκρίνατο Πέτρος· Οὐκ
ἴσμεν· αὐτῆς γὰρ ἑσπέρας πρὸς ὑμᾶς ἐλθὼν οὐκέτι τοῖς οἰκείοις ἐφάνη,
χθὲς δὲ ὄρθρου καὶ Σίμων αὐτὸν ἐζήτησε, καὶ ἐπεὶ μηδὲν ἀπεκρινάμεθα
πρὸς αὐτόν, οὐκ οἶδα τί δόξαν αὐτῷ, Φαῦστον ἑαυτὸν εἰπὼν μὴ πιστευ-
θεὶς δακρύων καὶ κοπτόμενος ἀποκτέννειν ἑαυτὸν ἀπειλήσας ὡς ἐπὶ θάλασ-
σαν ὥρμησε. ταῦτα ἀκούοντες ὅ τε Ἀππίων καὶ οἱ σὺν αὐτῷ ἐπολολύξαντες
ἐκόψαντο λέγοντες· Διὰ τί οὐ παρεδέξασθε αὐτόν; καὶ ἅμα τῷ βούλεσθαι
τὸν Ἀθηνόδωρον εἰπεῖν μοι· Φαῦστος ἦν, ὁ πατήρ σου, ὁ Ἀππίων ὑποφθά-
σας αὐτὸν εἶπεν· Ἐμάθομεν παρά τινος ὅτι εὑρὼν αὐτὸν ὁ Σίμων ἐξώρμησε,
τὰ ἀληθῆ αὐτοῦ Φαύστου παρακαλέσαντος αὐτόν, ὅτι μὴ ἤθελεν ὁρᾶν
τοὺς αὐτοῦ υἱοὺς Ἰουδαίους γεγενημένους. ἡμεῖς δὲ ταῦτα ἀκούσαντες
τούτου ἕνεκεν ἤλθομεν ζητοῦντες αὐτόν. ἐπειδὴ δὲ ἐνταῦθα οὐκ ἔστι,
φαίνεται ἀληθεύσας ὁ εἰπὼν ἡμῖν. ὡς οὖν παρ' αὐτοῦ ἀκούσαντες εἰρήκαμεν
ὑμῖν. ἐγὼ δὲ Κλήμης συννοήσας τὴν τοῦ Πέτρου προαίρεσιν ὅτι ὑπόνοιαν
αὐτοῖς ἐνσπεῖραι θέλει ὡς τὸν γέροντα ζητεῖν μέλλων παρ' αὐτοῖς, ἵνα
φοβηθέντες φύγωσι, συνέδραμον αὐτοῦ τῷ βουλήματι καὶ πρὸς τὸν Ἀπ-
πίωνα· Ἄκουσον, ἔφην, φίλτατέ μοι Ἀππίων· ἡμεῖς τὰ νομισθέντα ἡμῖν
καλὰ ὡς πατρὶ δοῦναι ἐσπεύσαμεν· εἰ δὲ αὐτὸς οὐκ ἐβουλήθη λαβεῖν, ἀλλὰ
τοὐναντίον βδελυξάμενος ἡμᾶς ἔφυγε, (τραχύτερόν τι ἐρῶ) οὐδὲ ἡμεῖς

αὐτοῦ φροντίζομεν. ἐμοῦ ταῦτα εἰπόντος, ὡς ἐπ' ὠμότητι δυσχεράναν-
τες ἀπῄεσαν καί (ὡς ἐμάθομεν τῆς ἄλλης) ἡμῶν ..... κατ' ἴχνη Σίμωνος ἐπὶ τὴν Ἰουδαίαν ὥρμησαν.

Πλὴν ἡμερῶν δέκα διελθουσῶν <ἦλθέ τις> ἐκ τῆς Ἀντιοχείας παρὰ
τοῦ πατρὸς ἀγγέλλων ἡμῖν πῶς ὁ πατὴρ δημο<σίᾳ στὰς τῆς> αὐτοῦ
μορφῆς κατηγορῶν, Πέτρον εὐλογῶν τὴν πᾶσαν Ἀντιοχέων πόλιν εἰς πόθον
μετέθηκεν, καὶ ἐκ τούτου πάντες ἐπιθυμεῖν αὐτὸν ἰδεῖν ἀπήγγελλον. ἐνίους
δὲ καὶ χαλεπαίνοντας αὐτῷ ὡς Σίμωνι διὰ τὴν πρὸς Πέτρον ὑπερβάλλουσαν
στοργὴν καὶ χεῖρας θέλειν ἐπιβαλεῖν τῷ Φαύστῳ ὡς Σίμωνι· διὸ μήπως
ἀναιρεθῇ δεδοικότα, ἐξαυτῆς ἐλθεῖν πέμψαντα ἀξιοῦν τὸν Πέτρον, ὅπως
αὐτὸν ζῶντα ἐπικαταλάβῃ καὶ τῇ πόλει ἀκμαζούσῃ πόθῳ τῷ πρὸς αὐτὸν
εὐκαίρως ἐπιφανῇ. Πέτρος δὲ ταῦτα ἀκούσας πρὸς τὸ ἐκκλησιάζειν πλείστους
συναγαγὼν καὶ ἐπίσκοπον ἐκ τῶν ἀκολούθων καταστήσας, βαπτίσας καὶ
ἰασάμενος ἡμερῶν ἐπιμείνας τριῶν τῇ Λαοδικείᾳ ἐπὶ τὴν πλησίον ὁρμήσειν
Ἀντιόχειαν ἔσπευσεν.

ΚΛΗΜΕΝΤΟΣ ΤΩΝ ΠΕΤΡΟΥ ΕΠΙΔΗΜΙΩΝ ΚΗΡΥΓΜΑΤΩΝ ΕΠΙΤΟΜΗ.

Κλήμης Ἰακώβῳ τῷ κυρίῳ καὶ ἐπισκόπῳ καὶ ἐπισκόπων ἐπισκόπῳ τῷ τὴν ἐν Ἱερουσαλὴμ ἁγίαν τῶν Χριστιανῶν ἐκκλησίαν διέποντι καὶ τὰς παν-ταχῇ θεοῦ προνοίᾳ ἱδρυθείσας καλῶς Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐκκλησίας σύν τε πρεσβυτέροις καὶ διακόνοις καὶ τοῖς λοιποῖς ἅπασιν ἀδελφοῖς εἰρήνη εἴη πάντοτε.

Γνώριμον ἔστω σοι κύριέ μου, ὅτι ἐγὼ Κλήμης Ῥωμαίων πολίτης ὢν καὶ τὴν πρώτην ἡλικίαν δυνηθεὶς ζῆσαι σωφρόνως λογισμόν τε δεξάμενος οὐκ οἶδα πόθεν ἐπεισελθόντα μοι καὶ περὶ θανάτου πυκνὰς ποιούμενον ὑπομνήσεις πόνοις τὸ λοιπὸν καὶ ἀθυμίαις συνέζων. ἆρα γὰρ, ἐλογιζόμην, ὅτι θανὼν οὐκ εἰμί; καὶ οὐδεὶς ἔσται μού ποτε μνήμην ποιούμενος, τοῦ χρόνου πάντα τῇ λήθῃ παραδιδόντος; ἆρα δὲ μὴ ὢν πῶς ἔσομαι τοὺς οὐκ ὄντας εἰδὼς, οὐ γινώσκων, οὐ γινωσκόμενος, οὐ γεγονὼς, οὐ γινόμενος; καὶ ἆρά ποτε γέγονεν ὁ κόσμος καὶ πρὸ τοῦ γενέσθαι, τί ἄρα καὶ ἦν; εἰ γὰρ ἦν ἀεὶ, καὶ ἔσται· εἰ δὲ γέγονε, καὶ λυθήσεται πάντως· καὶ μετὰ λύσιν ἄρα τί ἔσται πάλιν, ὃ νῦν ἀδύνατόν μοι νοῆσαι;

Ταῦτά τε καὶ τὰ τούτοις ὅμοια οὐκ οἶδα πόθεν ἀπαύστως διεν-θυμούμενος ἄπαυστον εἶχον ἀεὶ τὴν λύπην καὶ τοσοῦτον, ὡς ὠχριακότα με τήκεσθαι· καὶ τὸ δεινότατον, εἴποτε καὶ ἀπώσασθαι τὴν περὶ τούτων φρον-τίδα ὡς ματαίαν ἐλογισάμην, ἀκμαιότερόν μοι μᾶλλον τὸ πάθος ἐγίνετο. καὶ ἠχθόμην ἐπὶ τούτῳ, οὐκ εἰδὼς σύνοικον καλὴν ἔχων ἔννοιαν ἀθανασίας

αἰτίαν μοι γενομένην, ὡς ὕστερον ἔγνων ἀπὸ τοῦ τέλους, καὶ θεῷ τῷ πάν-
των ηὐχαρίστησα ποιητῇ. ὑπὸ γὰρ τῆς καταρχάς με πιεζούσης ἐννοίας ἠναγ-
κάσθην εἰς τὴν τῶν πραγμάτων ἐλθεῖν ζήτησιν, καὶ οὐς τὴν ἀρχὴν δι'
ἄγνοιαν μακαρίζειν ἐκινδύνευον, ὕστερον ταλανίζειν οὐκ ἐπαυσάμην.

Ἐκ παιδὸς οὖν ἐν τοιούτοις ὢν λογισμοῖς εἰς τὰς τῶν φιλοσόφων
ἐφοίτων διατριβὰς, ὥστε τι βέβαιον ἐκεῖθεν μαθεῖν. ἀλλὰ καὶ οὕτως οὐδὲν
ἕτερον παρ' αὐτοῖς τὸ σπουδαζόμενον ἑώρων ἢ δογμάτων ἀνασκευὰς καὶ
κατασκευὰς, ἔριδάς τε καὶ συλλογισμῶν τέχνας καὶ δὴ καὶ λημμάτων ἐπι-
νοίας· καί ποτε μὲν ἐπεκράτει φέρε λέγειν, ὅτι ἀθάνατος ἡ ψυχὴ, ποτὲ δὲ
ὅτι θνητή. καὶ ὁτὲ μὲν λόγος ἐπικρατῶν ἦν, ὅτι ἀθάνατος ἡ ψυχὴ, ἔχαιρον,
ὁτὲ δὲ ὅτι θνητὴ, ἠνιώμην, πλέον δὲ πάλιν ἠθύμουν, ὅτι οὐδ' ὁποτέρων τις
τὸν ἐμὸν βεβαιῶσαι νοῦν ἠδύνατο. πλὴν ἐνενόουν, ὅτι αἱ δόξαι τῶν ὑπο-
θέσεων παρὰ τοὺς ἐκδικοῦντας ἢ ψευδεῖς ἢ ἀληθεῖς ἀποφαίνονται, καὶ
οὐχ ὡς ἔχουσιν αὐταὶ ἐφ' ἑαυτῶν ἀληθείας καταλαμβάνονται. παρ' ᾧ
καὶ ἔτι μᾶλλον ἐν τοῖς πράγμασιν ἰλιγγίων καὶ ἀπὸ τοῦ τῆς ψυχῆς βάθους
ἐστέναζον. οὔτε γὰρ οἷός τε ἦν ἀποβαλέσθαι τὴν περὶ τούτων φροντίδα
καίτοιγε σφόδρα βουλόμενος, ὡς ἤδη φθάσας ἐγνώρισα, οὔτε βέβαιόν τι κα-
ταλαβεῖν ἠδυνάμην.

Πάλιν γοῦν ἀπορούμενος ἔλεγον ἐμαυτῷ· τί ματαιοπονῶ σαφοῦς
ὄντος τοῦ πράγματος; ὅτι εἰ μὲν θανὼν οὐκ εἰμὶ, νῦν ὄντα με λυπεῖσθαι
οὐ προσήκει. διὸ τηρήσω τὸ λυπεῖσθαι τηνικαῦτα, ὅτε οὐκ ὢν οὐ λυπηθήσομαι.
εἰ δὲ ἄρα εἰμὶ, τί νῦν μοι ἐκ περισσοῦ πρόσεστι τὸ λυπεῖσθαι; καὶ εὐθέως
μετὰ τοῦτο ἕτερος ἐπεισῄει μοι λογισμός. ἔλεγον γάρ· μή τί γε ἄρα τοῦ νῦν

με λυποῦντος χείρονα ἐκεῖ πείσομαι, μὴ βεβιωκὼς εὐσεβῶς καὶ παραδοθήσο-
μαι κατ' ἐνίων φιλοσόφων λόγους, Πυριφλεγέθοντι καὶ Ταρτάρῳ, ὡς Σίσυφος
ἢ Τιτυὸς ἢ Ἰξίων ἢ Τάνταλος, καὶ ἔσομαι ἐν ᾅδου τὸν αἰῶνα κολαζόμενος;
πάλιν δὲ ἀνθυπέφερον λέγων· ὡς ἀδήλου ὄντος τοῦ πράγματος ἀκινδυνότερόν
ἐστι μᾶλλον εὐσεβῶς βιῶναί με, καὶ τῶν τοῦ σώματος κρατεῖν ἡδονῶν, εἰ καὶ
μὴ ἀκριβῶς ὅ,τι ποτέ ἐστι δίκαιον καὶ ἄρεσκον θεῷ πεπληροφόρημαι, οὔτε
εἰ ἡ ψυχὴ ἀθάνατος ἢ θνητή.

Τούτων οὖν τῶν λογισμῶν στρεφόντων μου τὴν ψυχὴν, εἰς Αἴγυπτον
πορεύσομαι, εἶπον, καὶ τοῖς τῶν ἀδύτων ἱεροφάνταις καὶ προφήταις φιλιωθή-
σομαι, καὶ μάγον ζητήσας καὶ εὑρὼν χρήμασι πείσω πολλοῖς ψυχῆς ἀναπομ-
πὴν τὴν λεγομένην νεκρομαντίαν ἐργάσασθαι, ἐμοῦ δῆθεν ὡς περὶ πράγμα-
τός τινος πυνθάνεσθαι βουλομένου. ἡ δὲ πεῦσις ἔσται περὶ τοῦ μαθεῖν, ἄρα
εἰ ἀθάνατος ἡ ψυχή. τοῦτο δὲ πάντως οὐκ ἐκ τοῦ ἀποκρίνασθαι αὐτὴν,
ὅτι ἀθάνατός ἐστιν, ἔσται μοι γνῶναι, ἀλλ' ἀπὸ τοῦ ὀφθῆναι μόνον, ὅτι ἐστίν.
ἰδὼν γὰρ αὐτὴν αὐτοῖς ὄμμασιν, ἱκανὴν ἕξω πληροφορίαν, καὶ οὐκέτι πιστό-
τερα ὀφθαλμῶν ὦτα ποιήσομαι. ὅμως φιλοσόφῳ τινὶ τῶν συνήθων καὶ ταύ-
την ἐκοινούμην τὴν γνώμην. ὁ δὲ συνεβούλευέ μοι, μὴ λυσιτελὲς εἶναι τοῦτο
τολμῆσαι δυοῖν ἕνεκα. εἴ τε γὰρ, ἔφη, πάντως οὐχ ὑπακούσεται ἡ ψυχὴ τῷ
μάγῳ, καὶ σὺ τοῖς ταῦτα ποιεῖν ἀπαγορεύουσι νόμοις ὡς ἀντιπράξας δυσσυν-
ειδήτως βιώσεις· εἰ δὲ καὶ εἰσακούσεται, μετὰ τοῦ δυσσυνειδήτως σε βιοῦν
οἶμαι καὶ τὰ τῆς εὐσεβείας μηκέτι σοι προχωρεῖν, οὗ ἕνεκεν τὰ τοιαῦτα ἐτόλ-

μας. ἐχθραίνειν γὰρ τὸ θεῖον λέγουσιν ἐπὶ τοῖς σκύλλουσι τὰς ψυχὰς μετὰ
τὴν ἀπὸ τοῦ σώματος ἐκείνων διάλυσιν. ἐγὼ δὲ ταῦτα ἀκούσας ὀκνηρότερος
μὲν ἐπὶ τὸ ἐγχείρημα ἐγενόμην· ἀλλὰ τῆς προτέρας ἐννοίας ἐκείνης παν-
τάπασιν ἀποστῆναι οὐκ ἠδυνάμην.

Καὶ ἵνα μή σοι τὰ τοιαῦτα λέγων μακρότερον ἀποτείνω λόγον,
ἐν τοσούτοις λογισμοῖς καὶ πράγμασιν ὄντος μου φήμη τις ἠρέμα Τιβερίου
Καίσαρος τὰ Ῥωμαικὰ διέποντος σκῆπτρα ἔαρος ἤδη ἀρχομένου ηὔξανεν
ὁπόσαι ἡμέραι καὶ ὡς ἀληθῶς ἀγαθὴ θεοῦ ἄγγελος διῄει τὸν κόσμον τὸ τοῦ
θεοῦ βούλημα σιγῇ στέγειν οὐ δυναμένη, μᾶλλον δὲ καὶ πλείων ἑκάστης ἡμέ
ρας καὶ μείζων ἐγίνετο λέγουσα, ὡς τίς ποτε ἐν Ἰουδαίᾳ ἐξ ἐαρινῆς τροπῆς
λαβὼν τὴν ἀρχὴν Ἰουδαίοις τὴν τοῦ ἀϊδίου θεοῦ εὐαγγελίζεται βασιλείαν,
ἧς ἀπολαύειν λέγει, ἐάν τις αὐτῷ ἀρίστην διὰ πάντων ἐπιδείξηται πολι-
τείαν. τοῦ δὲ πιστεύεσθαι αὐτὸν χάριν ὅτι θεότητος γέμων ταῦτα διδάσκει,
πολλὰ θαυμάσια, τέρατά τε καὶ σημεῖα ἐργάζεται ·»ματι μόνῳ
κωφοὺς ἀκούειν ποιῶν, τυφλοὺς ἀναβλέπειν, χωλοὺς περιπατεῖν, καὶ
πᾶσαν νόσον ἀπελαύνει καὶ πάντα δαίμονα φυγαδεύει, ἀλλὰ καὶ
λεπροὶ ἐκ διαστήματος μόνον ἐνορῶντες αὐτῷ ἰώμενοι
ἀπαλλάσσονται, νεκροὶ δὲ προσφερόμενοι ἐξεγείρονται, καὶ οὐδέν
ἐστιν, ὃ μὴ δυνατὸς εἴη ποιεῖν. καὶ ὅσῳ γε μᾶλλον ὁ χρόνος
προέκοπτε, πολὺ μείζων διὰ πλειόνων τῶν ἐπιδημούντων καὶ
βεβαιοτέρα καθίστατο οὐκ ἔτι φήμη, λέγω, ἀλλ' αὐτὴ τοῦ πράγματος ἡ
ἀλήθεια. ἤδη γάρ ποτε καὶ συστήματα κατὰ τόπους ἐγίνετο βουλῆς
καὶ σκέψεως ἕνεκα τὸ τίς ἂν ὁ φανεὶς εἴη, καὶ τί βούλεται λέγειν.

Ἄρτι δὲ τοῦ ἔτους πρὸς τὸ φθινοπωρινὸν ἀποκλίνοντος ἀνήρ τις
δημοσίᾳ στὰς ἄνδρες, ἔφη, Ῥωμαῖοι ἀκούσατε· ὁ τοῦ θεοῦ υἱὸς ἐν Ἰουδαίᾳ
πάρεστιν ἐπαγγελλόμενος πᾶσι τοῖς βουλομένοις ζωὴν αἰώνιον, ἐὰν τὰ κατὰ
γνώμην τοῦ πέμψαντος αὐτὸν πατρὸς πράξωσι. διὸ μεταβάλλεσθε ἀπὸ

τῶν χειρόνων ἐπὶ τὰ κρείττονα, ἀπὸ τῶν προσκαίρων ἐπὶ τὰ αἰώνια καὶ γνῶτε τὸν ἐν τρισὶν ὑποστάσεσιν ἕνα θεὸν, οὗ τὸν κόσμον ἀδίκως οἰκεῖτε ἔμπροσθεν τῶν αὐτοῦ δικαίων ὀφθαλμῶν. ἀλλ' ἐὰν μεταβάλλησθε καὶ κατὰ τὴν αὐτοῦ βιώσητε βούλησιν εἰς ἕτερον ἐνεχθέντες αἰῶνα καὶ ἀδιοι γινόμενοι τῶν ἀπορρήτων αὐτοῦ ἀγαθῶν ἀπολαύσετε· ἐὰν δὲ ἀπειθήσητε, μετὰ τὴν ἐνθένδε ἀποβίωσιν εἰς τὸν τόπον τοῦ πυρὸς ἐμβληθήσεσθε, ὅπου ἀϊδίως κολαζόμενοι ἀνόνητα μεταμεληθήσεσθε. ὁ γὰρ τῆς μετανοίας καιρὸς ἡ νῦν ἑκάστου ζωὴ τυγχάνει. ταῦτα μὲν οὖν ἐκεῖνος ἔλεγεν. ἐγὼ δὲ ἀκούων ἠχθόμην, ὅτι μηδεὶς ἐκ τοσούτου πλήθους τηλικαύτην ἀγγελίαν ἀκούσας εἰς Ἰουδαίαν,
εἶπε, πορεύσομαι ἵνα ἴδω, εἰ οὗτος ἀληθεύει λέγων, ὡς ἄρα υἱὸς τοῦ θεοῦ
ἐπιδεδήμηκε τῇ Ἰουδαία αἰωνίας τε καὶ ἀγαθῆς χάριν ἐλπίδος, τὴν τοῦ πέμ-
ψαντος πατρὸς βούλησιν καταγγέλλων, ἐπεὶ καὶ ὅπερ λέγουσιν αὐτὸν κηρύσ-
σειν οὐκ ἔστι μικρόν. ὧν μὲν γὰρ τὰς ψυχὰς διαβεβαιοῦται αἰωνίους οὔσας αἰωνίων ἀπολαύσεσθαι καὶ τῶν ἀγαθῶν, ὧν δὲ ἐν πυρὶ ἀσβέστῳ ·ιφεί-
σας εἰς αἰῶνα κολασθήσεσθαι.

Οὕτω περὶ τῶν λοιπῶν ἔχων τοιαῦτα καὶ πρὸς ἐμαυτὸν ἔλεγον· τί δή ποτε μέμφομαι τοὺς ἄλλους ἐν ἴσῳ τῆς ἀμελείας ὢν ἐκείνοις ἐγκλήματι
καὶ οὐ πρότερον τὸν ἐμὸν διαθεὶς βίον εἰς Ἰουδαίαν ἀφικνοῦμαι μάρτυς τῶν
τοιούτων αὐτὸς γενησόμενος; οὕτως οὖν βουλευσαμένῳ πολὺς ὁ μεταξὺ διετρί-
βετο χρόνος τῶν βιωτικῶν με πραγμάτων πρὸς ἑαυτὰ περισπώντων καὶ δυσεκ-
λύτων μοι γινομένων. τέλος γοῦν συννοήσας τὸν βίον ὅπως ἄστατός ἐστι καὶ
ἀνώμαλος, εἶτα καὶ τὸν προτοῦ χρόνον ἅπαντα διαμνημονεύσας ὅπως ὑπο-
σαινούσης με ἀεὶ τῆς ἐλπίδος εἰς δεῦρο παρέμεινα, καὶ ὅτι οὕτως ἀσχολού-
μενοι πάντες ἄνθρωποι ἀποθνήσκομεν, τὰ πάντα μου ὡς ἔτυχεν ἀφεὶς εἰς
Πόρτον εὐθὺς ὥρμησα, καὶ εἰς τὸν λιμένα ἐλθών τε καὶ ἀναχθεὶς ἀνέμων

ἀντιπνοίαις ἀντὶ τοῦ εἰς Ἰουδαίαν κατᾶραι προσώκειλα τῇ Ἀλεξανδρείᾳ. ἐκεῖ
δὲ συνεφοίτων τοῖς φιλοσόφοις πνευμάτων ἐπηρείας ἤδη μοι τὸν πλοῦν ἐπε-
χούσης καὶ τὰ περὶ τῆς φήμης ἣν ὁ φανεὶς ἐν Ῥώμῃ διήγγειλε καὶ τίνα γε
ἃ καταγγέλοι σαφῶς ἕκαστα καταλέγειν ἠξίουν. οἱ δὲ φανέντα μὲν, εἶπον,
ἐν Ῥώμῃ τοιόνδε τινὰ ὅλως οὐκ ἴσμεν, περὶ δὲ τοῦ ἐν Ἰουδαίᾳ γενομένου καὶ
υἱοῦ θεοῦ ὑπὸ τῆς φήμης κηρυττομένου παρὰ πολλῶν τῶν ἐκεῖθεν ἐληλυθότων
ἠκούσαμεν καὶ περὶ πάντων ὧν ἐποίει καὶ ψιλῷ τῷ ·»ματι θαυμασίων ἐμάθομεν.
Ἐμοῦ δὲ εἰπόντος· ἐβουλόμην τινὶ τῶν ἑωρακότων αὐτὸν συγγενέ-
σθαι καὶ ὅσα ποθῶ μαθεῖν ἀκοῦσαι περὶ αὐτοῦ, ὑπολαβόντες ἐκεῖνοι ἔστι τις
ἐνταῦθα, φασὶν, οὐ μόνον ἱστορήσας αὐτὸν, ἀλλὰ καὶ τῆς ἐκεῖθεν γῆς ὑπάρ-
χων, ἀνὴρ τίμιος ὀνόματι Βαρνάβας, ὃς ἕνα καὶ τῶν αὐτοῦ μαθητῶν ἑαυτὸν
εἶναι λέγει καὶ ἐνταῦθά που καθεζόμενος τὰ παρ' ἐκείνου ὑπεσχημένα τοῖς
τῶν τοιούτων ἀξίοις ἑτοίμως τῷ βουλομένῳ διέξεισι. καὶ δῆτα τὸν τόπον κατα-
λαβὼν, εἰς ὃν ὁ ἀνὴρ εἰώθει καθέζεσθαι, καὶ μέρος καὶ αὐτὸς τοῦ περιεστη-
κότος πλήθους γενόμενος ἔστην ἐπακούων τῶν λεγομένων, καὶ συνενόουν
τἀληθῆ οὐ διαλεκτικῇ τινι τέχνῃ διδάσκοντα τοῦτον, ἀλλ' ἀπαρα-
σκευάστως οὕτω καὶ ἁπλῶς ἐκτιθέμενον, ἅ τε ἤκουσε καὶ ἑώρακε τὸν τοῦ
θεοῦ φανέντα υἱὸν πεποιηκέναι τε καὶ εἰρηκέναι. πολλοὺς δὲ μάρτυρας τῶν
ὑπ' αὐτοῦ λεγομένων θαυμασίων τε καὶ λόγων ἐξ αὐτοῦ τοῦ παρεστῶτος
ὄχλου παρείχετο.

Ἐπεὶ δὲ πρὸς τὰ παρ' αὐτοῦ ἀπανούργως λεγόμενα ἡδέως οἱ ὄχλοι διέκειντο, οἱ ἐκ παιδείας κοσμικῆς ὁρμώμενοι φιλόσοφοι χλευάζειν αὐτὸν καὶ

γελᾶν ἐπειρῶντο σκώπτοντες ἀμέτρῳ θράσει καὶ διασύροντες καὶ οἷα μεγά-
λοις ὅπλοις τοῖς συλλογισμοῖς κατ' αὐτοῦ χρώμενοι. ὁ δὲ ἀπωθούμενος
αὐτῶν τὸν λῆρον οὐ συνέτρεχεν αὐτῶν τῇ πανούργῳ πεύσει, ἀλλὰ καὶ ἀκα-
τάπληκτος ὢν λέγειν οὐκ ἀφίστατο. καὶ ποτέ τις διαπαίζων δῆθεν αὐτὸν
ἐπυνθάνετο· διὰ τί, ὦ νέε διδάσκαλε, κώνωψ ἐγένετο καὶ βραχύτατος ὢν
ἓξ πόδας ἔχων καὶ πτερὰ φέρει, ἐλέφας δὲ τὸ μέγιστον ζῶον ἄπτερος ὢν
τέσσαρας μόνους ἔχει πόδας; ὁ δὲ τὴν διδασκαλίαν πρὸς τὴν ἐρώτησιν μικρὸν
ἐπισχὼν οὐδεμιᾶς μέντοι τῷ ἐρωτήσαντι πρὸς ταῦτα μεταδοὺς ἀποκρίσεως
τὸν ἀπ' ἀρχῆς αὐτῷ προκείμενον αὖθις ἀνελάμβανε λόγον τούτῳ μόνῳ προοι-
μίῳ καθ' ἑκάστην ἐγκοπὴν χρώμενος· ἡμεῖς τοῦ πέμψαντος ἡμᾶς τοὺς λόγους
καὶ τὰς θαυμασίους πράξεις εἰπεῖν ὑμῖν μόνον ἔχομεν ἐντολὴν, καὶ ἀντὶ τῆς
λογικῆς ἀποδείξεως μάρτυρας παρέχομεν ὑμῖν τῶν ἐνταῦθα παρεστώτων πολ-
λούς. λοιπὸν τῆς ὑμετέρας ἐστὶν ἐξουσίας, ὑπείκειν ἢ ἀπειθεῖν. τοῦ δὲ λέγειν
ὑμῖν τὸ συμφέρον οὐ παύσομαι, ὅτι ἐμοὶ μὲν ζημία τὸ σιωπᾶν, ὑμῖν δὲ τὸ ἀπει-
θεῖν βλάβη. ἐδυνάμην μὲν οὖν καὶ τῶν εἰκαίων ὑμῶν προβλημάτων ἀπο-
δοῦναι τὰς ἀποδείξεις, εἴγε φιλαλήθως ἐώρων ὑμᾶς περὶ τούτων πυνθανο-
μένους. κώνωπος δὲ καὶ ἐλέφαντος τὴν αἰτίαν τῆς διαφόρου δημιουργίας νῦν
ὑμῖν οὐκ εὔκαιρον εἰπεῖν τοῖς τὸν τῶν ὅλων ἀγνοοῦσι θεόν.

Ταῦτα αὐτοῦ λέγοντος ἐκ συμφωνίας ἐκεῖνοι πολὺν καὶ ἄτακτον ἠφίεσαν γέλωτα εἰς ἀμηχανίαν αὐτὸν ἐμβάλλειν πειρώμενοι καθάπερ βάρ-
βαρόν τινα καὶ μαινόμενον. ἐγὼ δὲ ταῦτα ὁρῶν διεθερμαινόμην τὴν ψυχὴν

καὶ ζήλῳ οὐκ οἶδ' ὅπως ληφθεὶς σιγᾶν οὐχ ὑπέμενον, ἀλλὰ μετὰ παῤῥησίας
εὐλόγως εἶπον· ὁ θεὸς ὑμῖν, ὦ οὗτοι, ἀκατάληπτον τὴν αὐτοῦ βούλησιν ἔθετο
ἀναξίους ὑμᾶς προϊδὼν, ἐξ ὧν νῦν τοὺς κριτικὸν νοῦν ἔχοντας πληροφορῶν
φαίνεται. ἐπεὶ γὰρ νῦν τῆς αὐτοῦ βουλήσεως κήρυκες ἐξαπεστάλησαν οὐ τέχνῃ
τινὶ καὶ ·ητορείᾳ λόγων, ἀλλ' ἁπλῶς οὕτω καὶ ἀπανουργεύτως τὴν αὐτοῦ
βούλησιν παριστῶντες, ὡς πάντα ὀντιναοῦν τὸν ἀκούσαντα νοεῖν τὰ λεγό-
μενα, πάρεστε νῦν ὑμεῖς πρὸς τῷ μὴ νοεῖν τὸ ὑμῖν συμφέρον ἐπὶ τῇ ὑμετέρᾳ
βλάβῃ γελᾶν τὴν ἐπὶ τῇ ὑμετέρᾳ καταδίκῃ πολιτευσαμένην ἐν βαρβάροις
ἀλήθειαν, ἣν καὶ ὑμῖν ἐπιδημήσασαν ξενίσαι οὐ βούλεσθε διὰ τὰς ἀσελγείας
ὑμῶν καὶ τὸ λιτὸν τῶν λόγων αὐτῆς, ἵνα μὴ ἐλεγχθῆτε, ὅτι εἰκῆ φιλόλογοί ἐστε
καὶ οὐκ ἀληθεῖς φιλόσοφοι. μέχρι μὲν οὖν πότε λαλεῖν μανθάνετε οἱ τὸ
καλῶς λαλεῖν οὐκ ἔχοντες; πολλὰ γὰρ παρ' ὑμῶν ·»ματα ἑνὸς οὐκ ἄξια
λόγου. τί δὲ ἄρα καὶ ἐρεῖ ὑμῶν τὸ ἑλληνικὸν πλῆθος μία ψυχή ποτε γε-
νόμενον, εἴπερ ἔσται κρίσις, ὡς οὗτός φησι· διὰ τί, ὦ θεὲ, τὴν σὴν βούλησιν
οὐκ ἐκήρυξας ἡμῖν; οὐ πάντως ἀκούσεσθε, εἴπέρ τινος ἄρα καὶ ἀποκρίσεως
καταξιωθήσεσθε· ὡς ἐγὼ πάσας τὰς ἐσομένας πρὸ καταβολῆς κόσμου
προαιρέσεις εἰδὼς ἑκάστῳ πρὸς τὸ αὐτοῦ ἄξιον λανθανόντως προαπήντησα.
τοῦτο δὲ αὐτὸ ὅτι οὕτως ἔχει βουληθεὶς τοὺς προσπεφευγότας μοι πληροφο-
ρῆσαι, διὰ τί ἀπαρχῆς ἐκ προτέρων γενεῶν τὴν ἐμὴν βούλησιν δημοσίᾳ οὐκ
εἴασα κηρυχθῆναι, νῦν πρὸς τῷ τέλει τοῦ βίου κήρυκας ἐμῆς βουλῆς ἀπέ-
στειλα, οἳ καὶ γελῶνται καὶ ὑβριζόμενοι χλευάζονται ὑπὸ τῶν μηδὲν ὠφελεῖ-

σθαι βουλομένων καὶ ἐπιτεταμένως τὴν ἐμὴν φιλίαν παραιτησαμένων; ὦ
μεγάλης ἀδικίας, ὅτι μέχρι φόνου κινδυνεύουσιν οἱ τοῦ θεοῦ κήρυκες, καὶ
ταῦτα ὑπὸ τῶν εἰς σωτηρίαν καλουμένων ἀνδρῶν.

Ταῦτά μου λέγοντος καὶ τὰ τούτοις ἀκόλουθα, πολὺς τῶν ὄχλων ἐγένετο θρύλλος. καὶ οἱ μὲν ὡς τὸν Βαρνάβαν ἐλεοῦντες συνῇράν μοι, οἱ δὲ
ἡλίθιοι ὄντες δεινῶς κατ' ἐμοῦ ἔβρυχον τοὺς ὀδόντας. ἐπεὶ δὲ ἤδη καὶ ἡ ἑσπέ-
ρα κατέλαβε, τῆς χειρὸς λαβὼν τὸν Βαρνάβαν καὶ μὴ βουλόμενον βίᾳ εἰς
τὴν ἐμὴν ἦγον οἰκίαν, ἔνθα καὶ μένειν αὐτὸν ἐποίησα, ἵνα μήτις αὐτῷ χεῖ-
ρας ἐπιβάλῃ. καὶ ἡμέρας ὀλίγας σὺν ἐμοὶ διατρίψας καὶ τοῦ ἀληθινοῦ λόγου βραχέα με κατήχησε. σπεύδειν γὰρ ἔλεγεν εἰς Ἰουδαίαν ἀφικέσθαι
τῆς ἑορτῆς χάριν, ὡς καὶ τοῦ λοιποῦ συνεῖναι τοῖς αὐτοῦ ὁμοεθνέσιν ἐθέλων.

Ἐμοῦ δὲ λίαν τῆς ἐκείνου γλώττης κρεμαμένου καὶ σφοδρῶς ἐγκειμένου καὶ οὐκ ἀνιέντος, ἀλλὰ τὴν λοιπὴν ἀπαιτοῦντος διδασκαλίαν καὶ
λέγοντος· σὺ μόνον οὓς ἤκουσας τοῦ φανέντος θεοῦ ἐκτίθου μοι λόγους,
κἀγὼ τῷ ἐμῷ λόγῳ κοσμήσας τοῦ θεοῦ κηρύξω τὴν βούλησιν, εἶθ' οὕτως
καὶ ἐντὸς ὀλίγων ἡμερῶν συνεκπλεύσω σοι· λίαν γὰρ ποθῶ παρὰ τὸν τῆς
Ἰουδαίας γενέσθαι τόπον, τάχα δὲ καὶ συνοικήσω ὑμῖν τὸν πάντα μου τῆς
ζωῆς χρόνον, αὐτὸς τούτων ἀκούσας εὐθὺς ἀπεκρίνατο· σὺ εἰ μὲν ἱστορῆσαι
τὰ ἡμέτερα καὶ μαθεῖν τὸ συμφέρον ἐθέλεις, ἐξαυτῆς μοι, φησὶ, σύμπλευσον·
εἰ δὲ μὴ βούλει, ἀλλὰ τὰ σημεῖα τῆς οἰκήσεώς μου καὶ ὧν θέλεις ἐγώ σοι σή-
μερον γνωριῶ, ἵνα ὅτε καὶ βούλει παραγενόμενος εὕρῃς ἡμᾶς. ἐγὼ γὰρ αὔριον
ἐπὶ τὰ ἐμαυτοῦ πορεύσομαι. καὶ δὴ ἀδυσώπητον οὕτως ἰδὼν τὸν Βαρνάβαν

συνῆλθον αὐτῷ μέχρι καὶ τοῦ λιμένος, καὶ μαθὼν παρ' αὐτοῦ ἅπερ ἔλεγε ση-
μεῖα τῶν οἰκήσεων φημὶ πρὸς αὐτὸν, ὡς εἰ μὴ αὔριον ἔμελλον ἀπαιτῆσαί
τι τῶν ὀφειλομένων μοι, ἐξαυτῆς ἂν καὶ συνέπλεόν σοι· πλὴν ἀλλὰ τάχιόν σε
καταλήψομαι. ταῦτα εἰπὼν καὶ παραθέμενος αὐτὸν τοῖς τοῦ πλοίου ἡγου-
μένοις ὑπέστρεφον μετὰ λύπης, μεμνημένος τοῦ καλοῦ καὶ συνήθους φίλου.

Ἡμέρας δὲ διατρίψας καὶ τὸ χρέος δι' ὃ καὶ ἐπεσχέθην οὐχ
ὅλον λαβεῖν δυνηθεὶς, ἀμελήσας τοῦ περιλειπομένου διὰ τὸ ταχὺ τὸν ἄνδρα
καταλαβεῖν, ὡς ἐμποδίου μοι γενομένου, καὶ αὐτὸς εἰς Ἰουδαίαν ἀπέπλευσα,
καὶ διὰ πεντεκαίδεκα ἡμερῶν τῇ Στράτωνος ἐπιδημῶ Καισαρείᾳ. ἐπιβάν-
τος δέ μου τῆς γῆς καὶ ξενίαν ἐπιζητοῦντος μανθάνω Πέτρον τινὰ λεγόμενον,
τοῦ ἐν Ἰουδαίᾳ φανέντος Ἰησοῦ Χριστοῦ υἱοῦ τοῦ θεοῦ τοῦ σημεῖα καὶ τέ-
ρατα πεποιηκότος τὸν δοκιμώτατον μαθητὴν, αὔριον Σίμωνι τῷ ἀπὸ Γιτθῶν
Σαμαρεῖ μέλλειν ἰέναι πρὸς διαλέξεις. ἐγὼ δὲ ταῦτα ἀκούσας ἐδεήθην τὴν
τούτου μοι μηνυθῆναι μονήν. καὶ ὅμως ἔμαθον, καὶ τῷ πυλῶνι ἐπέστην.
θεασάμενοι δέ με οἱ ἐν τῷ οἴκῳ ἀντιβάλλοντες ἦσαν, τίς τέ εἰμι καὶ πόθεν
ἥκω. καὶ ἰδεῖν πάντες συνῄεσαν. καὶ ἐν τῷ τούτους με ἀνιστορεῖν καὶ πυνθά-
νεσθαι, ἰδοὺ καὶ Βαρνάβας ἅμα τῷ ἰδεῖν περιεπλάκη μοι πολὺ χαίρων
καὶ δακρύων, καὶ λαβόμενός μου τῆς χειρὸς εἰσῆγεν εἰς τὴν οἰκίαν. εἶτα καὶ
τὸν Πέτρον ὑποδεικνὺς οὗτός ἐστιν, ἔλεγε, Πέτρος, ὃν μέγιστον ἐπὶ τῇ τοῦ
θεοῦ σοφίᾳ ἐπηγγελλόμην σοι, Κλήμη, ᾧ πάντα τε τὰ κατά σε καλὰ καὶ
τὴν προαίρεσιν ἀεὶ διηγούμην, ὡς ἐντεῦθεν γλίχεσθαι καὶ αὐτὸν ἰδεῖν σε καὶ

τὴν σὴν ἐπιποθεῖν συντυχίαν. μέγα οὖν αὐτῷ δῶρόν σε διὰ τῶν ἐμῶν προσ-
φέρω χειρῶν. καὶ τοῦτο εἰπὼν προσαγαγὼν ἔφη· οὗτός ἐστι Κλήμης, Πέτρε.

Ὁ δὲ ἡνίκα τοῦ ὀνόματος ἤκουσεν εἰς μνήμην ἐλθὼν τῶν τοῦ Βαρνάβα διηγημάτων ἐξήλα τότε ὡς εἶχεν εὐθὺς, καὶ προσηνῶς με καὶ γνη-
σίως καταφιλήσας καὶ παρακαθισάμενος καλῶς ἐποίησας, ἔφη, τὸν τῆς ἀλη-
θείας κήρυκα ξενίσας Βαρνάβαν εἰς τιμὴν τοῦ ὄντως θεοῦ, καὶ λίαν μεγα-
λοφρόνως οὐκ αἰδεσθεὶς, οὐ φοβηθεὶς τὸν τῶν ἀπαιδεύτων θυμόν. μακά-
ριος γὰρ ὡς ἀληθῶς σὺ τὸν τῆς ἀληθείας πρεσβευτὴν οὕτω ξενίσας πάσῃ
τιμῇ· ἀνθ' ὧν αὐτὴ καί σε ἡ ἀλήθεια ξένον ὄντα τῆς ἰδίας πόλεως κατα-
στήσει πολίτην· καὶ τότε χαρήσῃ μεγάλως, ὅτι βραχεῖαν νῦν χάριν δανείσας
καὶ ἀγαθὴν λόγων προαίρεσιν καλῶν ἀϊδίων καὶ ἀναφαιρέτων ἀγαθῶν ἔσῃ
κληρονόμος· καὶ μὴ κάμνε ἀντιβάλλων μοι τὸ σὸν ἦθος· πάντα γὰρ τὰ κατά
σε ὁ φιλαλήθης οὗτος ἀνὴρ ὁ Βαρνάβας ἀπήγγειλε καθ' ἡμέραν σχεδὸν τὴν
ἀγαθήν σου μνήμην ποιούμενος. καὶ ἵνα σοι ὡς γνησίῳ φίλῳ δηλώσω κατ'
ἐπιτομὴν τὸ προκείμενον, εἰ μή σοί τι ἐμποδίζει συνόδευσον ἡμῖν μεταλαμ-
βάνων τῶν τῆς ἀληθείας λόγων, ὧν κατὰ πόλιν ποιεῖσθαι μέλλω μέχρι Ῥώ-
μης αὐτῆς.

Ἐγὼ δὲ πρὸς αὐτὸν σοὶ μὲν ἑτοίμως ἔχω συνοδεύειν, εἶπον· τοῦτο γὰρ οὐκ οἶδ' ὅπως χαίρων προῄρημαι. πλὴν περὶ ἀληθείας βούλομαι
πρῶτον πληροφορηθῆναι ἵνα γνῶ, εἰ ἡ ψυχὴ ἀθάνατος ἢ θνητὴ, καὶ εἰ
ἀ□διος οὖσα, περὶ ὧν ἔπραξεν ἐνταῦθα, ἔχει κριθῆναι, καὶ τί ποτέ ἐστι δί-
καιον ἢ ἀρέσκον θεῷ, καὶ εἰ γέγονεν ὁ κόσμος καὶ διὰ τί γέγονεν, καὶ εἰ λυ-
θήσεται καὶ εἰ οὐ λυθήσεται, καὶ εἰ κρείττων ἔσται ἢ οὐδὲ ἔσται· καὶ

ἵνα μὴ τὸ κατ' εἶδος λέγω, ταῦτά τε καὶ τὰ τούτοις ἑπόμενα μαθεῖν ἤθελον.
ὁ δὲ τί ταυτὶ βούλεται τὰ ·»ματα τῷ θείῳ πνεύματι γνοὺς ταχεῖαν τὴν ἀπόκρισιν ἐποιεῖτο, ἵνα καὶ ταχύ με πρὸς τὴν ἀλήθειαν ἐπαναγάγηται. καὶ
συντόμως ἐγώ σοι, ἔλεγεν, ὦ Κλήμη, τὴν τῶν ὄντων γνῶσιν παρέξομαι, καὶ
τὰ νῦν ἐξ αὐτῆς ἄκουε.

Ἡ τοῦ θεοῦ βουλὴ κατὰ πολλοὺς τρόπους ἐν ἀδήλῳ γέγονε τοῖς ἀνθρώποις. πρῶτα μὲν διὰ τὸ κρατηθῆναι αὐτοὺς εἰσαγωγῇ κακῇ, συντρο-
φίᾳ πονηρᾷ, συνηθείᾳ δεινῇ, ὁμιλίᾳ οὐ καλῇ, προλήψει οὐκ ὀρθῇ, καὶ διὰ
ταῦτα πλάνῃ· ἔπειτα ἀφοβίᾳ, ἀπιστίᾳ, πορνείᾳ, φιλαργυρίᾳ, κενοδοξίᾳ καὶ
ἄλλοις τοιούτοις, ἃ δὴ καθάπερ καπνοῦ πλῆθος εἰς ἕνα προσπελάσαντα καὶ
ἐπεισελθόντα οἶκον τὸν κόσμον καὶ τῶν ἔνδοθεν οἰκούντων ἀνδρῶν ἐπιθο-
λώσαντα τὰς ὁράσεις ἀναβλέψαι αὐτοὺς οὐκ ἐᾷ, καὶ τῇ διαγραφῇ τὸν δημι-
ουργήσαντα κατανοῆσαι θεὸν, καὶ τὸ τούτῳ δοκοῦν γνωρίσαι. διὰ χρὴ τοὺς
φιλαλήθεις ἔσωθεν ἐκ βάθους ψυχῆς ἐκκαλέσασθαι πρὸς ἐπικουρίαν ἀληθεῖ
λογισμῷ τὸν μόνον θεὸν, κύριον δὲ ἡμῶν καὶ σωτῆρα Ἰησοῦν Χριστὸν, καὶ
παρ' αὐτοῦ γνῶσιν λαβεῖν, ἵνα τις ἐντὸς ὢν ἐν τῷ οἴκῳ τῷ πεπλησμένῳ κα-
πνοῦ, τῷ κόσμῳ τούτῳ φημὶ, προσιὼν ἀνοῖξαι δυνηθῇ θύραν, ὡς τὸ μὲν ἐκ-
τὸς τοῦ ἡλίου φῶς εἰσκριθῆναι τῷ οἴκῳ, τὸν δὲ ἐντὸς τοῦ πυρὸς ὄντα ἐκβλη-
θῆναι καπνὸν, ὅπως διαβλέψαντες οἱ ἄνθρωποι πιστεύσωσιν εἰς ἕνα θεὸν
πατέρα παντοκράτορα καὶ εἰς τὸν μονογενῆ αὐτοῦ υἱὸν τὸν πρὸ τῶν αἰώνων
ἐξ αὐτοῦ ἀφράστως γεννηθέντα καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐξ αὐτοῦ
ἀῤῥήτως ἐκπορευόμενον, ἕνα θεὸν γνωρίζοντες ἐν τρισὶν ὑποστάσεσιν, ἄναρχον,

ἀτελεύτητον, αἰώνιον, ἀΐδιον, ἄκτιστον, ἄτρεπτον, ἀναλλοίωτον, ἁπλοῦν, ἀσύν-
θετον, ἀσώματον, ἀόρατον, ἀναφῆ, ἀπερίγραπτον, ἀπερίληπτον, ἄπειρον,
ἀκατανόητον, ἀγαθὸν, δίκαιον, παντοδύναμον, πάντων κτισμάτων δημιουρ-
γὸν, παντοκράτορα, παντεπόπτην, πάντων προνοητὴν, ἐξουσιαστὴν καὶ
κριτήν· καὶ οὕτως ἀναγεννηθέντες δι' ὕδατός τε καὶ πνεύματος συγκληρο-
νόμοι καταστῶσι τῶν πρὸς ἀφθαρσίαν ἀναγεννηθέντων υἱῶν τοῦ θεοῦ.

Διὸ πρὸ παντὸς ζητήματος καὶ αὐτὸς, ὦ Κλήμη, ἑτοίμως ὡς
υἱὸς πατρὶ πρόσελθε, ἵνα καὶ τῶν ὁρωμένων καὶ τῶν ἀοράτων ἀψευδῶς τὴν
γνῶσιν θεὸς παράσχῃ σοι. εἰ δὲ καὶ μετὰ τὸ κληθῆναι οὐ θέλεις ἢ βραδύ-
νεις, δικαίᾳ θεοῦ κρίσει ἀπόκληρος ἔσῃ, τῷ μὴ θελῆσαι μὴ θεληθείς. καὶ μή
τοι νομίσῃς, ὅτι κἂν πάντων τῶν ποτε γενομένων εὐσεβῶν εὐσεβέστατος γένῃ,
μὴ φθάσῃς δὲ τελειωθῆναι διὰ τοῦ βαπτίσματος, ἐλπίδος ἀγαθῆς τυχεῖν
δυνήσῃ ποτέ. ταύτῃ γὰρ πλείονα μᾶλλον ὑφέξεις τὴν κόλασιν, ὅτι καλοῖς
ἔργοις οὐκ ἐχρήσω καλῶς. οὐδὲ γὰρ καλὸν τὸ καλὸν, ὥς φασιν, ὅταν μὴ
καλῶς γίνηται. σὺ δὲ εἰ οὐ θέλεις ὡς τῷ θεῷ δοκοῦν βαπτισθῆναι, τῷ σῷ
μᾶλλον ὑπηρετῶν θελήματι ἐχθραίνεις πάντως τῇ ἐκείνου βουλῇ. ἀλλ' ἴσως
ἐρεῖς· καὶ τί συμβάλλεται πρὸς εὐσέβειαν τὸ βαπτισθῆναί με ὕδατι; πρῶτον
μὲν, ὅτι τὸ δόξαν θεῷ πράττεις. δεύτερον δὲ, ὅτι δι' ὕδατος καὶ πνεύματος
ἀναγεννᾶσαι θεῷ, καὶ τὴν ἐξ ἐπιθυμίας πρώτην σοι γενομένην καταλ-
λάσσεις γέννησιν, καὶ οὕτω σωτηρίας τυχεῖν δυνήσῃ· ἄλλως δὲ ἄρα ἀδύνατον.
οὕτω γὰρ ὁ ἐπὶ σωτηρίᾳ καὶ ἀφθαρσίᾳ τοῦ γένους ἡμῶν ἐνανθρωπήσας
θεὸς λόγος εἶπεν ἡμῖν· Ἀμὴν λέγω ὑμῖν, ἐὰν μὴ ἀναγεννηθῆτε δι' ὕδα-

τος καὶ πνεύματος, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. διὰ
πρόσελθε τῷ βαπτίσματι· τοῦτο γὰρ μόνον τὴν τοῦ πυρὸς ὁρμὴν σβέσαι δύ-
ναται. καὶ μὴ ἀναβάλλου, ὅτι ἡ ἀναβολὴ κίνδυνον οἶδε φέρειν διὰ τὸ ἄδηλον
εἶναι τοῦ θανάτου τὴν προθεσμίαν.

Ταῦτα ἐκείνου εἰπόντος ἐγὼ μὲν, ἔφην, ἤδη εὐχαριστῶ τῷ θεῷ
καὶ πατρὶ καὶ τῷ μονογενεῖ αὐτοῦ υἱῷ καὶ τῷ πνεύματι αὐτοῦ τῷ ἁγίῳ, ὅτι
ὡς ἐβουλόμην πληροφορηθῆναι, οὕτως μοι καὶ παρέσχε. πλὴν περὶ ἐμοῦ τὸ
λοιπὸν ἄφροντις ἔσο. οὐδέ ποτε γὰρ ἐνδοιάσω πρός τι τῶν ὑπὸ σοῦ λαλη-
θέντων. ὥστε κύριέ μου Πέτρε μὴ ἀθύμει, ὡς ἀναισθήτῳ τὰ μέγιστα δω-
ρούμενος ἀγαθά. οἶδα γὰρ, ὅτι τοιοῦτόν ἐστι καὶ οὕτω μέγιστον, οἷον ἄν τις
καὶ ταχέως λαβεῖν βούλοιτο. αἰσθάνομαι γὰρ τοῦ δοθέντος μοι διὰ τάχους
χαρίσματος. ταῦτά μου εἰπόντος ὁ Πέτρος ἔφη· χάριν ὁμολογῶ τῷ θεῷ καὶ
περὶ τῆς σῆς σωτηρίας τῆς καὶ περὶ ἐμῆς ἀπολαύσεως. πλὴν νήστευσον
τριῶν μηνῶν ἡμέρας, καὶ λαμβάνεις τὸ βάπτισμα. ἄρξαι τοίνυν ἀπὸ τῆς
αὔριον. ἔστι δέ μοι ἡ αὔριον πρὸς Σίμωνα τὸν μάγον διάλεξις. καὶ μὴ ὀκλά-
σῃς παρεῖναί μοι ἐν ταῖς τῶν ἀντικειμένων ζητήσεσι. ταῦτα εἰπὼν καὶ τροφῆς
αὐτὸς μεταλαβὼν, ἰδίᾳ κἀμὲ μεταλαβεῖν ἐκέλευσεν. εὐλογήσας δὲ ἐπὶ τῆς
τροφῆς καὶ εὐχαριστήσας ἐπήγαγε λέγων· δόη σοι ὁ θεὸς κατὰ πάντα ἐξο-
μοιωθῆναί μοι, καὶ βαπτισθέντι τῆς αὐτῆς μοι κοινωνῆσαι τραπέζης.
οὕτως εἰπὼν ἡσυχάζειν μοι προσέταξεν· ἤδη γάρ που καὶ ὁ καιρὸς πρὸς ὕπνον
ἐκάλει.

Τῇ μὲν οὖν ἐπιούσῃ ἐγὼ Κλήμης ἔτι τῆς νυκτὸς ἐχούσης δι-
υπνισθεὶς καὶ μαθὼν τὸν Πέτρον ἐγρηγορότα καὶ τοῖς συνοῦσι περὶ θεοσε-

βείας διαλεγόμενον, οἳ ἦσαν ἑκκαίδεκα τὸν ἀριθμὸν, ὧν καὶ τὰ ὀνόματά
εἰσι ταῦτα· Ζακχαῖος ὅ ποτε τελώνης, καὶ Σοφωνίας ὁ ἀδελφὸς αὐτοῦ,
Ἰώσηφός τε καὶ ὁ τούτου σύντροφος Μιχαίας, προσέτι δὲ Θωμᾶς καὶ Ἐλιέ-
ζερος οἱ δίδυμοι, καὶ Ἐνέας ὁ ἱερεὺς, καὶ Λάζαρος ὁ ἱερεὺς, ὃν ἀνέστησεν
ἐκ νεκρῶν τετραήμερον ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καὶ Ἐλισσαῖος, καὶ
Βενιαμὶν ὁ τοῦ Σαφρᾶ, ὁμοίως γε Ῥούβιλος καὶ Ζαχαρίας οἱ οἰκοδόμοι,
Ἀνανίας τε καὶ Ἀγγαίας οἱ ἀμμηνοὶ, ἔτι τε Νικήτης καὶ Ἀκύλας οἱ ἑταῖροι·
εἰσῆλθον κἀγὼ καὶ προσαγορεύσας ἐκαθέσθην ἐκείνου κελεύσαντος.

Ὁ δὲ τὸν προκείμενον ἐκκόψας λόγον, ὥσπερ ἀπολογούμενος
ἐπληροφόρει, τίνος ἕνεκεν οὐκ ἀφύπνισέ με, ὅπως ἀκροατὴς τῶν αὐτοῦ γένω-
μαι λόγων, καὶ τούτου αἰτίαν τὸν ἐκ τοῦ πλοῦ σκυλμὸν ἐποιεῖτο· ἐκεῖνον γὰρ
πεφθῆναί μοι θέλων ἡσυχάζειν ἀφῆκεν. ὁπότ' ἂν γὰρ ἡ ψυχὴ, φησὶ, περὶ
τὸ λεῖπον ἀσχολῆται τῷ σώματι, εἴτε τινὶ συμφορᾷ συνέχηται, οὐ μετὰ πολ-
λῆς εἴωθε προσέχειν ἀκριβείας τοῖς λεγομένοις. τούτου δὲ ἕνεκεν οὐ βού-
λομαι διαλέγεσθαι τοῖς ἢ λύπῃ κατεχομένοις, ἢ ἀμέτρως ὀργιζομένοις, ἢ τὸ
σῶμα πεπονηκόσιν, ἢ βιωτικαῖς φροντίσιν ἢ ἑτέρῳ πάθει τινὶ διενοχλουμένοις.

Καὶ μὴ λεγέτω τις, ὅτι οὐ χρὴ παραμυθίας καὶ νουθεσίας
λόγους προσάγειν τοῖς φαῦλόν τι πράττουσι. φημὶ γὰρ, ὡς εἰ μὲν ἀνύει τις,
προςφερέτω· εἰ δὲ μὴ, τῷ καιρῷ τέως παραχωρείτω. καιρὸς γὰρ, ὡς Σολο-
μῶντι δοκεῖ, παντὶ πράγματι. διὸ χρὴ τοὺς τὴν ψυχὴν ·ωννῦντας λόγους
πρὸ τῆς κακώσεως τοῖς ἀνθρώποις ἐπάγειν, ἵνα εἴ ποτέ τι φαῦλον ἐπέλθοι,
προωπλισμένος ὁ νοῦς ὀρθῷ τῷ λογισμῷ δυνηθείη τὸ ἐπενεχθὲν ὑποστῆναι.

ὅθεν, ὦ φίλε Κλήμη, εἴγε τὰ τῷ θεῷ διαφέροντα γνῶναι θέλεις, παρὰ τοῦ
κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ διδάσκοντος ἄνθρω-
πον γνῶσιν, παρὰ τούτου μόνου μαθεῖν ἔχεις, ὅτι μόνος οἶδεν ἀλήθειαν.
τῶν γὰρ ἄλλων εἴ τις ἐπίσταταί τι, παρὰ τούτου ἢ τῶν τούτου μαθητῶν
λαβὼν ἔχει.
Ἔστι τε αὐτοῦ τὸ βούλημα, ὅτι εἷς θεὸς ἐν τρισὶν ὑποστά-
σεσιν, οὗ κόσμος ἔργον ὁ πᾶς, ὃς δίκαιος ὢν πάντως ἑκάστῳ πρὸς τὰς
πράξεις ἀποδώσει ποτέ. ἀνάγκη γὰρ πᾶσα, φύσει δίκαιον εἶναι λέγοντα τὸν
θεὸν καὶ τὰς ἀνθρώπων ψυχὰς ἀθανάτους εἶναι πιστεύειν. ἐπεὶ ποῦ τὸ
δίκαιον αὐτοῦ, ὅπου τινὲς εὐσεβῶς βιωτεύσαντες καὶ κακουχηθέντες βιαίως
ἀνῃρέθησαν. ἔνιοι δὲ ἀσεβεῖς παρὰ πολὺ γεγενημένοι, ἐν πολυτελείᾳ βίου
τρυφήσαντες τὸν κοινὸν ἀνθρώπων θάνατον ἐτελεύτησαν; ἐπεὶ οὖν χωρὶς
ἁπάσης ἀντιλογίας ὁ θεὸς ἀγαθὸς ὢν δίκαιός ἐστιν, οὐκ ἄλλως δὲ δίκαιος
εἶναι γνωσθήσεται, ἐὰν μὴ ἡ ψυχὴ μετὰ τὸν χωρισμὸν τοῦ σώματος ἀθάνατος
ᾖ, ἵνα μετὰ τὸ ἀπολαβεῖν τὸ ἴδιον σῶμα ἐν τῇ ἀναστάσει ὁ μὲν κακὸς
ὡς ἐνταῦθα τὰ ἀγαθὰ ἀπολαβὼν, ἐκεῖ περὶ ὧν ἥμαρτε κολασθῇ· ὁ δὲ
ἀγαθὸς ἐνταῦθα περὶ ὧν ἥμαρτε κολασθεὶς, ἐκεῖ ὡς ἐν κόλποις δικαίων
κληρονόμος τῶν ἀγαθῶν καταστῇ. ἐπεὶ τοίνυν ὁ θεὸς δίκαιος, πρόδηλον ἡμῖν
ἐστὶν, ὅτι καὶ κρίσις γίνεται, καὶ αἱ ψυχαὶ ἀθάνατοι τυγχάνουσιν. εἰ δέ τις,
ὡς τῷ Σαμαρεῖ δοκεῖ Σίμωνι, καὶ οὐχ ὡς ὁ τῆς ἀληθείας βούλεται λόγος,
τὸ δίκαιον εἶναι μὴ θέλοι δοῦναι θεῷ, τίνι ἔτι τοῦτό τις δοῦναι δύναται;

Ταῦτα ἀκούσας ἐγὼ Κλήμης καὶ τίς ἄρα τυγχάνει, ἔφην,
οὗτος ὃν λέγεις Σίμωνα Σαμαρείτην, μαθεῖν ἤθελον. ὁ δὲ Πέτρος εἰ θέλεις

μαθεῖν, ἔφη, πάρεστί σοι τοῦτο γνῶναι, παρ' ὧν κἀγὼ πάντα τὰ κατ' αὐτὸν
ἐπυθόμην. καὶ μεταπεμψάμενος ἐκέλευσεν, Ἀκύλαν τε καὶ Νικήτην πάντα
μοι ἀκριβῶς τὰ κατὰ τὸν Σίμωνα διηγήσασθαι. οἱ δὲ τὸν θεὸν μαρτυράμενοι,
μηδὲν παρεκκλῖναι τῆς ἀληθείας, οὕτω τὰ κατ' αὐτὸν ἐξετίθεντο. καὶ πρῶτος
Ἀκύλας ἤρξατο λέγειν οὕτως· ἄκουσον, ὦ φίλτατε ἀδελφὲ, ὅπως καὶ αὐτὸς
ἀκριβῶς πάντα τὰ κατὰ τὸν ἄνδρα εἰδῇς, τίνος τε ὢν καὶ τίς καὶ πόθεν,
καὶ τίνα ἐστὶν ἃ πράττει, καὶ ὅπως καὶ διὰ τί.

Σίμων οὗτος πατρὸς μέν ἐστιν Ἀντωνίου, μητρὸς δὲ Ῥαχὴλ, Σαμαρεὺς τὸ γένος ἀπὸ Γιτθῶν τῆς κώμης, οὐ μεῖον ἢ σχοίνους ἓξ τῆς Σαμαρέων πόλεως ἀπεχούσης. οὗτος ἐν Ἀλεξανδρείᾳ τῇ πρὸς Αἴγυπτον
γεγονὼς ἑλληνικῇ τε παιδείᾳ πάνυ ἑαυτὸν ἐξασκήσας καὶ τῇ μάγῳ τέχνῃ
πολλὰ δυνηθεὶς καὶ εἰς ἀπόνοιαν ἐπαρθεὶς θέλει νομίζεσθαί τις εἶναι δύνα-
μις ἀνωτάτω, καὶ αὐτοῦ τὸν κόσμον πάντα παραγαγόντος θεοῦ. ἐνίοτε δὲ
καὶ Χριστὸν ἑαυτὸν αἰνιττόμενος προσαγορεύει. καὶ ταύτῃ δὴ τῇ προση-
γορίᾳ κέχρηται ὡς δὴ συστησόμενός τε ἀεὶ καὶ φθορὰς αἰτίαν, ὥστε τὸ
σῶμα πεσεῖν, οὐκ ἔχων. καὶ οὔτε θεὸν τὸν κτίσαντα τὸν κόσμον, ἀνώτατον
λέγει εἶναι, οὔτε νεκροὺς ἐγερθήσεσθαι πιστεύει ποτέ. τὴν Ἱερουσαλὴμ
ἀρνεῖται, τὸ Γαριζεὶν ὄρος ἀντεισφέρει. ἀντὶ τοῦ ὄντως Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἑαυτὸν ἀναγορεύει. τὰ δὲ τοῦ νόμου ἰδίᾳ προσλήψει ἀλληγορεῖ.
καὶ κρίσιν ἔσεσθαι μὲν λέγει, οὐ προσδοκᾷ δέ.

Τὸ δὲ παρεισελθεῖν αὐτὸν εἰς τὸν τῆς θεοσεβείας λόγον
γέγονεν οὕτως. Ἰωάννης τις ἐγένετο ἡμεροβαπτιστὴς, καὶ ὥσπερ τῷ κυρίῳ
γεγόνασι δώδεκα μαθηταὶ τὸν τοῦ ἡλίου δωδεκάμηνον φέροντες ἀριθμὸν,
οὕτω καὶ αὐτῷ ἕξαρχοι γεγόνασιν ἄνδρες τριάκοντα τὸν μηνιαῖον τῆς

σελήνης λόγον ἀποπληροῦντες, ἐν οἷς καὶ μία τις ἦν γυνὴ καλουμένη Ἑλένη,
ἵνα μηδὲ τοῦτο ἀνοικονόμητον ᾖ. ἥμισυ γὰρ ἀνδρὸς οὖσα ἡ γυνὴ ἀτελῆ τὸν
τῆς τριακοντάδος τίθησιν ἀριθμὸν, ὥςπερ ἄρα καὶ τῆς σελήνης, ἧς ἡ πορεία
τοῦ μηνὸς οὐ τέλειον ποιεῖται τὸν δρόμον. τούτων δὲ τῶν τριάκοντα τῷ Ἰω-
άννῃ πρῶτος καὶ δοκιμώτατος ἦν ὁ Σίμων.

Μετὰ δὲ τὴν τελευτὴν Ἰωάννου τὴν Ἑλένην ὁ Σίμων παρα-
λαβὼν περιέρχεται τοὺς ὄχλους ἀναστατῶν, αὐτήν τε τὴν Ἑλένην λέγων
ἀπὸ τῶν ἀνωτάτω οὐρανῶν κατενεχθῆναι τῷ κόσμῳ, ἧς ἕνεκεν Ἕλληνές τε,
φησὶ, καὶ Βάρβαροι ἐμαχέσαντο εἰκόνα φαντασθέντες ἀληθείας, καὶ πολλὰ
τερατώδη θαυμάσια ποιῶν, ὡς εἰ μὴ ἤδειμεν, ὅτι μαγείᾳ ταῦτα ποιεῖ,
ἠπατήθημεν ἂν καὶ αὐτοί. νῦν δὲ ὅτε πολυμανὴς ἀπατᾶν ἤθελε καὶ τοὺς
ἐν θεοσεβείᾳ, ἀπέστημεν ἀπ' αὐτοῦ. καὶ γὰρ μιαιφονεῖν ἤρξατο, ὡς αὐτὸς
ἔτι φίλοις οὖσιν ἡμῖν οἷα φίλος ἐξέφανεν, ὅτι παιδίου ψυχὴν τοῦ ἰδίου σώμα-
τος χωρίσας ἀπορρήτοις ὅρκοις τισὶ, συνεργὸν πρὸς τὴν τῶν αὐτῷ δοκούντων
φαντασίαν, τὸν παῖδα διαγράψας ἐπὶ εἰκόνος ἔν τινι ἐνδοτέρῳ οἴκῳ, καθ'
ὃν αὐτὸς ὑπνοῖ, ἀνατεθειμένην ἔχει. διὸ ἀσέβειαν αὐτοῦ καταγνόντες ἀπέ-
στημεν ἀπ' αὐτοῦ.

Ταῦτα τοῦ Ἀκύλα εἰπόντος ὁ ἀδελφὸς αὐτοῦ Νικήτης
ἀναγκαῖον, ἀδελφὲ Κλήμη, ἔφη, τὰ παραλειφθέντα τῷ Ἀκύλᾳ ἐμὲ ὑπομνῆ-
σαι. πρῶτον μὲν γὰρ ὁ θεὸς μάρτυς, ὡς οὐδὲν αὐτῷ ἡμεῖς συνειργασάμεθα
ἀσεβὲς, ἀλλ' ὅτι αὐτοῦ πράσσοντος ἱστορήσαμεν. καὶ μέχρις ὅτε ἀβλαβῆ
ποιῶν ἐπεδείκνυτο, ἐτερπόμεθα· ὅτε δὲ τὰ μαγείᾳ τινὶ γινόμενα θεότητι
ποιεῖν πρὸς ἀπάτην θεοσεβῶν ἔλεγεν, οὐκ ἔτι αὐτοῦ ἠνεσχόμεθα, καίτοι πολ-

λὰ ἡμῖν ἐπαγγελλομένου· πρῶτον μὲν ναὸν καὶ ἀνδριάντας ἡμῶν κατασκευ-
ασθῆναι, καὶ θεοὺς νομισθῆναι, καὶ ὑπὸ ὄχλων προσκυνηθῆναι, καὶ ὑπὸ
βασιλέων δοξασθῆναι, καὶ δημοσίων τιμῶν καταξιωθῆναι, καὶ χρήμασιν
ἀπεριορίστοις πλουτῆσαι.

Ταῦτά τε καὶ τὰ τούτοις μείζονα νομιζόμενα ἡμῖν ὑπέ-
σχετο, μόνον ἵνα συνόντες αὐτῷ τὸ τῆς ἐγχειρήσεως κακὸν σιωπῶμεν, ὅπως
αὐτῷ τὰ τῆς ἀπάτης προκόπτῃ. καὶ ὅμως οὐ συνεθέμεθα, ἀλλὰ καὶ αὐτὸν
τῆς τοιαύτης ἀπονοίας παύσασθαι συνεβουλεύσαμεν λέγοντες αὐτῷ· παῦσαι
τῆς τοιαύτης τόλμης· θεὸς εἶναι οὐ δύνασαι· φοβήθητι τὸν ὄντως θεόν.
γνῶθι, ὅτι ἄνθρωπος εἶ, καὶ ὅτι σοῦ μικρός ἐστιν ὁ τῆς ζωῆς χρόνος. κἂν
μέγα πλουτήσῃς ἢ καὶ βασιλεύσῃς, τῷ μικρῷ σου χρόνῳ τῆς ζωῆς ὀλίγα τυγ-
χάνει πρὸς ἀπόλαυσιν. καὶ ἀσεβῶς ζήσαντα αἰωνία κόλασις περιμένει. διὸ
φοβεῖσθαι τὸν θεὸν συμβουλεύομεν, ὑφ' οὗ κριθῆναι ἔχει ἡ ἑκάστου ψυχὴ,
περὶ ὧν ἔπραξεν ἐνταῦθα.

Ὁ δὲ ταῦτα ἀκούσας ἐγέλασεν. ἡμῶν δὲ εἰπόντων· τί τῶν τά
σοι συμφέροντα συμβουλευόντων καταγελᾷς; ἐκεῖνος γελῶ ὑμῶν, ἔφη, τὴν
μωρὰν ὑπόληψιν, ὅτι πιστεύετε ἀθάνατον εἶναι τὴν τοῦ ἀνθρώπου ψυχήν.
κἀγὼ ἔφην· οὐ θαυμάζομεν, ὦ Σίμων, εἰ ἀπατᾶν ἡμᾶς ἐπιχειρεῖς, ἀλλ' ἐκ-
πληττόμεθα τίνι λόγῳ καὶ σεαυτὸν ἀπατᾷς. λέγε οὖν ἡμῖν, ὦ Σίμων· εἰ
καὶ τῶν ἄλλων οὐδεὶς πεπληροφόρηται ἀθάνατον εἶναι τὴν ψυχὴν, ἀλλ' οὖν
γε σὺ καὶ ἡμεῖς· σὺ μὲν, ὡς ἀνθρωπείου σώματος χωρίσας αὐτὴν καὶ προσ-
ομιλήσας καὶ ἐπιτάξας· ἡμεῖς δὲ, ὡς συμπαρόντες καὶ τὴν ἐπιταγὴν ἀκού-

σαντες, καὶ τὸ κελευθὲν ἐναργῶς ἱστορήσαντες. καὶ ὁ Σίμων ἐγὼ μὲν οἶδα,
τί λέγετε· ὑμεῖς δὲ οὐκ οἴδατε, περὶ τίνος διαλέγεσθε. καὶ ἐγὼ Νικήτης
ἔφην· ἐπεὶ οἶδας, λέγε· εἰ δὲ μὴ οἶδας, μὴ δόκει ἡμᾶς τῷ λέγειν σὲ μὲν
εἰδέναι, ἡμᾶς δὲ μὴ, ἀπατᾶσθαι δύνασθαι. οὐ γὰρ ἐσμὲν οὕτω νήπιοι, ἵνα
πανοῦργον ἐνσπείρῃς ἡμῖν ὑποψίαν, καὶ τῷ νομίζειν σέ τι τῶν ἀπορρήτων
εἰδέναι ὑποχειρίους λάβῃς.
Καὶ ὁ Σίμων ἔφη· ὅτι μὲν ἐχώρισα ψυχὴν ἀνθρωπείου σώ-
ματος, οἶδα ὑμᾶς εἰδότας· ὅτι δὲ οὐχ ἡ τοῦ τεθνεῶτος ψυχὴ ὑπουργεῖ,
ἀλλὰ δαίμων τις ὑποκρινόμενος εἶναι ψυχὴ, οἶδα ὑμᾶς ἀγνοοῦντας. καὶ
ἐγὼ Νικήτης ἔφην· πολλὰ ἐν τῷ βίῳ ἠκούσαμεν ἄπιστα· τοῦ δὲ τοιούτου
λόγου ἀνοητότερον οὐ προσεδοκήσαμεν ἀκοῦσαί ποτε. εἰ γὰρ δαίμων ὑποκρί-
νεται ἡ τοῦ τεθνεῶτος εἶναι ψυχὴ, τίς ἄρα τῆς ψυχῆς χρεία τοῦ χωρισθῆναι
τοῦ σώματος; οὐκ αὐτοὶ δὲ παρόντες ἠκούσαμέν σου τοῦ σκήνους τὴν ψυχὴν
ἐξορκίζοντος; πῶς δὲ καὶ ἄλλου ὁρκιζομένου, ἕτερος μὴ ὁρκισθεὶς ὡς φοβη-
θεὶς ὑπακούει; οὐκ ἄρα δὲ καὶ αὐτὸς ἐξεταζόμενός ποτε πρὸς ἡμῶν, τίνος
χάριν ἐνίοτε καὶ παύονται αἱ προσεδρεῖαι, εἴρηκας ὅτι ψυχὴ πληρώσασα τὸν
ὑπὲρ γῆς χρόνον, ὃν ἔμελλεν ἐν σώματι διατελεῖν, εἰς ᾅδην πορεύεται, προσ-
ετίθεις δὲ λέγων, ὅτι τῶν ἰδίῳ θανάτῳ τελευτησάντων αἱ ψυχαὶ, ἐπειδὴ
πρὸς ᾅδην αὐτόθι χωρήσασαι φρουροῦνται, οὐκ εὐκόπως ἐλθεῖν ἀφίενται;

Ταῦτα τοῦ Νικήτου εἰπόντος Ἀκύλας αὐτὸς πάλιν ἔφη·
ἐβουλόμην παρὰ σοῦ τοῦτο μόνον μαθεῖν, Σίμων, εἴτε ψυχὴ, εἴτε δαίμων ἐστὶ
τὸ ὁρκιζόμενον, τί δὲ καὶ φοβούμενον οὐ παραπέμπεται τοὺς ὅρκους; καὶ ὁ
Σίμων, κόλασιν, φησὶ, παρακούσασα οἶδε μέλλειν παθεῖν. καὶ ὁ Ἀκύλας

οὐκοῦν εἰ ὁρκιζομένη ψυχὴ ἔρχεται, καὶ κρίσις ἄρα γίνεται. εἰ οὖν αἱ ψυχαὶ
ἀθάνατοι, πάντως ἐστὶ καὶ κρίσις. ὥςτε εἰ καὶ τοὺς ἐπὶ κακῇ πράξει
ὁρκισθέντας, εἶτα καὶ παρακούσαντας καταδικασθῆναι φ῏ς, πῶς οὐ πεφό-
βησαι σὺ τούτους καταναγκάζειν, τῶν ἀναγκαζομένων ἐπὶ παρακοῇ κολαζο-
μένων; τὸ γὰρ ἤδη σε μὴ παθεῖν, ἐφ' οἷς ἔδρασας, οὐ θαῦμα, ἐπεὶ μήπω
κρίσις ἐστὶν, ἵνα σὺ μὲν δίκην δῷς, περὶ ὧν ἠνάγκασας, τὸ δὲ ἀναγκασθὲν
ὑπὸ συγγνώμην γένηται, ὡς τῆς κακῆς πράξεως τὸν ὅρκον προτιμῆσαν. ὁ δὲ
τούτων ἀκούσας ὠργίσθη θάνατον, εἰ μὴ σιωπῶμεν, ἡμῖν ἀπειλήσας.

Ταῦτα τοῦ Ἀκύλα εἰπόντος ἐγὼ Κλήμης ἐπυθόμην, τί δ'
ἄρα ἐστὶν, ἃ ποιεῖ θαυμάσια. οἱ δὲ ἀνδριάντας, εἶπον, ποιεῖ περιπατεῖν,
καὶ κυλιόμενος ἐπὶ πῦρ οὐ καίεται, ἐνίοτε δὲ καὶ πέταται, καὶ ἐκ λίθων
ἄρτους ποιεῖ, ὄφις γίνεται, εἰς αἶγα μεταμορφοῦται, διπρόσωπος γίνεται, εἰς
χρυσὸν μεταβάλλεται, θύρας κεκλεισμένας ἀνοίγει, σίδηρον λύει, ἐν δείπνοις
εἴδωλα παντοδαπῶν ἰδεῶν παρίστησι, τὰ ἐν οἰκίᾳ σκεύη ὡς αὐτόματα
φερόμενα πρὸς ὑπηρεσίαν ὁρᾶσθαι ποεῖ, τῶν φερόντων οὐ βλεπομένων.
ταῦτα λεγόντων αὐτῶν ἀκούων ἐθαύμαζον· ἐμαρτύρουν δὲ τὰ τοιαῦτα
αὐτοὶ παρόντες ἱστορηκέναι.

Τούτων οὕτω ·ηθέντων ἦκε Ζακχαῖος τοιαῦτα τῷ Πέτρῳ
διασαφῶν· ἤδη λοιπὸν, ὦ Πέτρε, καιρὸς πρὸς τὸ ἐκβάντα σε διαλεχθῆναι
τοῖς συνελθοῦσι. πολὺς γὰρ ἐπὶ τῆς αὐλῆς συναθροισθεὶς ἀναμένει σε ὄχλος,
οὐ ἐν μέσῳ καθάπερ τις πολέμαρχος ὑπ' αὐτῶν δορυφορούμενος ἕστηκε Σί-
μων. ὁ δὲ Πέτρος ταῦτα ἀκούσας, εὐχῆς χάριν ὑποχωρῆσαί μοι κελεύσας
μικρὸν μήπω τὸ σωτήριον βάπτισμα δεξαμένῳ, τοῖς ἤδη τελείοις ἀναστάντες,
ἔφη, εὐξώμεθα, ἵνα θεὸς τοῖς ἀνεκλείπτοις αὐτοῦ οἰκτιρμοῖς συνεργήσῃ

μοι ὁρμῶντι πρὸς σωτηρίαν τῶν ὑπ' αὐτοῦ κτισθέντων ἀνθρώπων. καὶ τοῦτο
εἰπὼν, εὐξάμενος ἐξῄει εἰς τὸν ὕπαιθρον τῆς αὐλῆς τόπον μέγαν ὄντα, ἔνθα
συνεληλυθότες ἦσαν πολλοὶ, ἵν' ἀκουσταὶ γένωνται τῶν
λεχθησομένων. στὰς οὖν καὶ ἰδὼν μετὰ πάσης ἡσυχίας τὸν πάντα λαὸν εἰς αὐτὸν ἀτενίζοντα,
Σίμωνα δὲ τὸν μάγον εἰς μέσον ἑστῶτα, τοῦ λέγειν ἤρξατο οὕτως·
Εἰρήνη εἴη πᾶσιν ὑμῖν τοῖς ἑτοίμως ἔχουσι δεξιὰς διδόναι
τῇ τοῦ θεοῦ ἀληθείᾳ, ἣν αὐτοῦ μεγάλην τε καὶ ἀσύγκριτον ἐν τῷ νῦν κόσμῳ
ὑπάρχουσαν δωρεὰν ὁ ἀποστείλας ἡμᾶς κύριος Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ
ζῶντος θεοῦ, ταύτην ἡμῖν ἐνετείλατο τὴν προσηγορίαν πρὸ τῶν τῆς διδα-
σκαλίας λόγων ὑμῖν ἐπιφθέγγεσθαι, ἵνα ἐὰν ᾖ τις ἐν ὑμῖν εἰρήνης τέκνον,
διὰ τῆς διδασκαλίας ἡμῶν καταλάβῃ αὐτὸν ἡ εἰρήνη· εἰ δὲ ταύτην λαβεῖν
ὑμῶν τις μὴ θέλοι, τότε καὶ ἡμεῖς ἀποτιναξάμενοι τὸν κονιορτὸν τῶν ποδῶν
ἡμῶν εἰς μαρτύριον εἰς ἑτέρων ἀπίωμεν οἰκίας καὶ πόλεις. καὶ ἀληθῶς
ὑμῖν λέγομεν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόῤῥας ἐν ἡμέρᾳ κρί-
σεως ἢ τῷ τῆς ἀπειθείας τόπῳ ἐνδιατρίβειν πρῶτον μὲν, ὅτι ἀφ' ἑαυτῶν
οὐχ οἷοί τε γεγόνατε τὴν ἀλήθειαν ἐπιγνῶναι· δεύτερον, ὅτι τὰ καθ' ἡμᾶς
ἀκούσαντες οὐκ ἤλθετε μέχρις ἡμῶν· τρίτον, ὅτι καὶ ἐλθοῦσιν ἡμῖν ἠπειθήσα-
τε. διὸ φειδόμενοι ὑμῶν προῖκα εὐχόμεθα τὴν εἰρήνην ἡμῶν ἐλθεῖν ἐφ'
ὑμᾶς. εἰ οὖν ταύτην ἔχειν ἐθέλετε, δεῖ ὑμᾶς προθύμως τοὺς περὶ τῆς εὐ-
σεβείας δέξασθαι λόγους, καὶ τὴν θεῷ ἀρέσκουσαν πολιτείαν ἐπανελέσθαι,
ἵν' εὐσεβῶς καὶ δικαίως ζήσαντες τῶν αἰωνίων ἀγαθῶν γένησθε κληρονόμοι.
Καὶ τοῦ Πέτρου ταῦτα εἰπόντος, καὶ περὶ τῶν ἔργων τοῦ
θεοῦ διδάξαντος, καὶ πόσα παρὰ τοῦ θεοῦ τῷ ἀνθρώπῳ τὰ ἀγαθὰ ἐδω-

ρήθη, καὶ παραινέσαντος πολλὰ περὶ μοναρχίας, ὁ Σίμων ἔξω τοῦ ὄχλου βοῇ μεγάλῃ ἔφη· τί ψευδόμενος ἀπατᾶν θέλεις τὸν παρεστῶτά σοι ἰδιώτην ὄχλον πείθων αὐτοὺς, θεοὺς μήτε ὀνομάζειν, μήτε λέγειν ἐξὸν εἶναι, τῶν παρὰ Ἰουδαίοις δημοσίων βίβλων πολλοὺς θεοὺς εἶναι λεγουσῶν; καὶ νῦν δὲ μετὰ πάντων ἀπ' αὐτῶν σοι τῶν βιβλίων περὶ τοῦ δεῖν θεοὺς νομίζειν συζητῆσαι βούλομαι, πρότερον περὶ οὗ ἔφης θεοῦ δείξας μὴ αὐτὸν εἶναι τὴν ἀνωτάτω καὶ πάντα δυναμένην πρόνοιαν, καθ' ὃ ἀπρόγνωστός ἐστιν, ἀτελὴς, ἐνδεὴς, καὶ ὅλως οὐκ ἀγαθός. ἀμέλει καὶ τούτου δειχθέντος ἀπὸ τῶν γραφῶν, ὡς ἐγὼ λέγω, ἕτερος ἀγράφως περιλείπεται εἶναι θεὸς, προγνωστικὸς, τέλειος, ἀνενδεὴς, ἀγαθὸς, πάντων ἀπηλλαγμένος κακῶν· ὃν δὲ σὺ φῊς δημιουργὸν, τοῖς ἐναντίοις ἀντικείμενος τυγχάνει.

Αὐτίκα γοῦν ὁ καθ' ὁμοίωσιν αὐτοῦ γεγονὼς Ἀδὰμ καὶ τυφλὸς κτίζεται καὶ γνῶσιν ἀγαθοῦ τυχὸν ἢ κακοῦ μὴ ἔχων γνωρίζεται, ἐφ' ᾧ καὶ παραβάτης εὑρίσκεται, καὶ τοῦ παραδείσου ἐκβάλλεται, καὶ θανάτῳ τιμωρεῖται. ὁμοίως τε καὶ ὁ πλάσας αὐτὸν, ἐπεὶ μὴ τὰ πάντα ὁρᾷ, ἐπὶ τῇ Σοδόμων καταστροφῇ δεῦτε, λέγει, καὶ καταβάντες ἴδωμεν, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται, εἰ δὲ μὴ ἵνα γνῶ· καὶ ἀγνοοῦντα ἑαυτὸν δείκνυσι. τῷ δὲ εἰπεῖν περὶ τοῦ Ἀδάμ· ἐκβάλωμεν αὐτὸν, μή πως ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἅψηται τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσει εἰς τὸν αἰῶνα· καὶ φθονεῖ. καὶ τῷ γεγράφθαι, ὅτι ἐνεθυμήθη ὁ θεὸς, ὅτι ἐποίησε τὸν ἄνθρωπον· καὶ μετανοεῖ καὶ ἀγνοεῖ. τὸ γὰρ ἐνεθυμήθη, σκέψις ἐστὶν, ᾗ τις δι' ἄγνοιαν, ὧν βούλεται, τὸ τέλος ἀκριβῶσαι θέλει· ἢ ἐπὶ τῷ παρὰ γνώμην ἀποβάντι μεταμελουμένου. καὶ τὸ γεγρά-

φθαι, καὶ ὡσφράνθη κύριος ὀσμὴν εὐωδίας, ἐνδεοῦς ἐστὶ, καὶ τὸ ἐπὶ κνίσῃ σαρκῶν ἡσθῆναι, οὐκ ἀγαθοῦ. τὸ δὲ πειράζειν ὡς γέγραπται, καὶ
ἐπείραζε κύριος τὸν Ἀβραὰμ, κακοῦ καὶ τὸ τέλος τῆς ὑπομονῆς ἀγνοοῦντος.

Ὅμως ὁ Σίμων πολλὰ τῆς γραφῆς κακῶς ἐκλαμβάνων δεικνύειν ἔσπευδε παντὶ πάθει τοῖς ἀνθρώποις ὁμοίως τὸν θεὸν ὑποκείμενον.
καὶ ὁ Πέτρος εἰ μηδὲν ἀγαπᾷ, φησὶν, ὁ κακὸς καὶ πάνυ μοχθηρὸς, ἐφ' οἷς
ἁμαρτάνει, ἑαυτὸν ἐλέγχειν, ἀπόκριναί μοι. καὶ ὁ Σίμων οὐκ ἀγαπᾷ, ἔφη. καὶ
ὁ Πέτρος· πῶς οὖν κακὸς καὶ μοχθηρὸς εἶναι δύναται ὁ θεὸς, εἴ περ αὐτοῦ
θελήματι τὰ κατ' αὐτοῦ δεινὰ δημοσίᾳ γραφέντα προετέθη; καὶ ὁ Σίμων·
ἐνδέχεται μὴ κατὰ προαίρεσιν αὐτοῦ ὑφ' ἑτέρας δυνάμεως τὸν κατ' αὐτοῦ
γραφῆναι ἔλεγχον. καὶ ὁ Πέτρος ἔφη· πρῶτον οὖν τοῦτο ζητήσωμεν. εἰ μὲν
ὑπὸ τῆς ἑαυτοῦ βουλῆς ἑαυτὸν ἤλεγξεν, ὡς φθάσας σὺ πρότερον ὡμολόγη-
σας, μοχθηρὸς οὐκ ἔστιν· εἰ δὲ καὶ ὑφ' ἑτέρας δυνάμεως, ζητητέον καὶ παντὶ σθέ-
νει ἐξεταστέον, μή τις αὐτὸν μόνον ἀγαθὸν ὄντα ἐπὶ πᾶσι τοῖς κακοῖς ὑπέλαβε.

Καὶ ὁ Σίμων· πρόδηλος εἶ φεύγων ἀπὸ τῶν γραφῶν ἀκοῦ-
σαι τὸν κατὰ τοῦ θεοῦ σου ἔλεγχον. καὶ ὁ Πέτρος· αὐτός μοι φαίνῃ τοῦτο
ποιῶν. ὁ γὰρ τάξιν ζητήσεως φεύγων ἐξέτασιν ἀληθῆ γενέσθαι οὐ βούλεται.
ὅθεν ἐγὼ τῇ τάξει χρώμενος καὶ βουλόμενος πρῶτον τὸν συγγραφέα νοηθῆναι
πρόδηλός εἰμι τὴν εὐθεῖαν ὁδεύειν θέλων. καὶ ὁ Σίμων· ὁμολόγησον πρῶτον,
εἴ γε τὰ κατὰ τοῦ δημιουργοῦ γεγραμμένα ἀληθῆ ἐστι, καὶ οὐκ ἔστιν ὁ
τῶν ὅλων ἀνώτερος κατὰ τὰς γραφὰς πάσῃ ὑποκείμενος μοχθηρίᾳ, καὶ ὕστε-
ρον ζητήσομεν τὸν συγγράψαντα. καὶ ὁ Πέτρος· ἵνα μὴ δόξω, ἀποκρίνομαι.
ἐγώ φημι, ὅτι τὰ δοκοῦντά σοι ταῦτα κατὰ θεοῦ γεγράφθαι ἀληθῆ μέν

ἐστιν, ἀλλὰ καὶ οὕτως οὔπω τὸν θεὸν δείκνυσι μοχθηρόν. καὶ ὁ Σίμων πῶς
οὖν, ἔφη, τοῦτο συστῆσαι δύνασαι;

Καὶ ὁ Πέτρος· τὸν Ἀδὰμ τυφλὸν λέγεις γεννηθῆναι, ὅπερ οὐκ
ἦν. οὐ γὰρ ἂν τυφλῷ ἐντελλόμενος ἐδείκνυε λέγων· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γι-
νώσκειν καλὸν καὶ πονηρὸν μὴ γεύσησθε. καὶ ὁ Σίμων μεταβαλών· τυφλὸν
ἔλεγε τὸν νοῦν αὐτοῦ. καὶ ὁ Πέτρος· πῶς καὶ τὸν νοῦν τυφλὸς ἠδύνατο εἶναι
ὁ πρὸ τοῦ γεύσασθαι τοῦ φυτοῦ συμφώνως τῷ κτίσαντι αὐτὸν οἰκεῖα πᾶσιν
ἐπιθεὶς τοῖς ζώοις ὀνόματα; καὶ ὁ Σίμων· εἰ πρόγνωσιν εἶχεν ὁ Ἀδὰμ,
διὰ τί οὐ προέγνω τὸν τὴν γυναῖκα αὐτοῦ ἀπατήσαντα ὄφιν; καὶ ὁ Πέτρος·
εἰ πρόγνωσιν μὴ εἶχεν ὁ Ἀδὰμ, πῶς τοῖς υἱοῖς αὐτοῦ πρὸς τὰς ἐσομένας
πράξεις ἅμα τῷ γεννηθῆναι καὶ τὰ ὀνόματα ἐπιτέθεικε, τὸν μὲν πρῶτον κα-
λέσας Κάϊν, ὃ ἑρμηνεύεται ζῆλος, ὃς καὶ ζηλώσας ἀνεῖλε τὸν ἀδελφὸν αὐτοῦ
τὸν Ἄβελ, ὃ ἑρμηνεύεται πένθος, ἐπ' αὐτῷ γὰρ πρώτῳ φονευθέντι ἐπένθησαν
οἱ γονεῖς; εἰ δὲ Ἀδὰμ ἔργον θεοῦ ὑπάρχων πρόγνωσιν εἶχε, πολλῷ μᾶλλον
ὁ δημιουργήσας αὐτὸν θεός. σὺ δὲ, ὦ Σίμων, κακῶς νοῶν τὰς θείας γραφὰς
φιμώθητι.

Τὸ δὲ γεγράφθαι· ἐνεθυμήθη ὁ θεὸς, ὡς λογισμῷ χρησαμέ-
νου διὰ τὴν ἄγνοιαν, ἔτι μὴν καί· ἐπείραζε κύριος τὸν Ἀβραὰμ, ἵνα γνῷ,
εἰ ὑπενέγκῃ, καὶ τό· καταβάντες ἴδωμεν, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρ-
χομένην πρός με συντελοῦνται· εἰ δὲ μὴ ἵνα γνῶ· καὶ ἵνα μὴ εἰς πολὺ μηκύ-
νω τὸν λόγον, σαφῆ τὴν διάνοιαν καὶ διάγνωσιν αἱ ·»σεις ἔχουσιν αὗται, μὴ
καταγινώσκουσαι τοῦ θεοῦ ἄγνοιαν, κἂν τὴν σὴν τοῦτο διαφεύγῃ διάνοιαν.
ὅτι δὲ ὄντως προγινώσκει, λέγει τῷ Ἀβραάμ· γινώσκων γνώσῃ, ὅτι πάροικον

ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτὸ, καὶ κακώσουσι,
καὶ ταπεινώσουσιν αὐτοὺς ἔτη τετρακόσια. τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι,
κρινῶ ἐγώ. μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς· σὺ δὲ
ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου μετ' εἰρήνης ταφεὶς ἐν γήρει καλῷ· τετάρτῃ
δὲ γενεᾷ ἀποστραφήσονται ὧδε. ταῦτα δὲ πάντως μετὰ πολλὰς ἄρα συμβή-
σεσθαι μέλλοντα γενεὰς προγινώσκοντός ἐστι καὶ σαφέστατα εἰδότος.

Ἡ μὲν οὖν περὶ τούτων ζήτησις καὶ εἰς τρίτην παρετείνετο τὴν ἡμέραν. ἐπιφωσκούσης δὲ τῆς τετάρτης, φυγὰς ὁ Σίμων εἰς Τύρον ᾤχετο.
καὶ οὐ μετὰ πολλὰς ἡμέρας ἀφίκοντό τινες ἐκεῖθεν ἐπαγγέλλοντες τῷ Πέ-
τρῳ, ὅτι Σίμων μεγάλα θαυμάσια ἐν Τύρῳ ποιῶν πολλοὺς τῶν ἐκεῖ κατέ-
πληξε, καί σε πολλαῖς διαβολαῖς μισητὸν ἐποίησε. ταῦτα ἀκούσας ὁ Πέτρος,
τῇ ἐπιούσῃ νυκτὶ πάντα τὸν λαὸν συναθροίσας ἐπειδὴ, φησὶν, ὁρμῶντός μου
εἰς τὰ ἔθνη τὰ πολλοὺς θεοὺς λέγοντα κηρύξαι καὶ διδάξαι, ὅτι εἷς ἐστιν
ὁ θεὸς ἐν τρισὶν ὑποστάσεσιν, ὃς οὐρανὸν ἔκτισε καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτοῖς
πάντα, ὅπως ἀγαπήσαντες αὐτὸν οἱ ἄνθρωποι σωθῆναι δυνηθῶσι, προλαβὼν
ὁ διάβολος Σίμωνα προαπέστειλεν, ἵνα πείσῃ πάντα ἄνθρωπον λατρεύειν
τοῖς μὴ οὖσι θεοῖς, καὶ ἀρνήσωνται πιστεύειν εἰς ἕνα θεὸν τὸν ποιήσαντα
πάντα, τά τε ὁρατὰ καὶ τὰ ἀόρατα. καὶ χρή με ταχέως αὐτὸν καταλαβεῖν,
ἵνα μὴ ἡ διδασκαλία τοῦ Σίμωνος ἐγχρονίσασα παντελῶς πάντων ἐπικρατήσῃ.

Δεῖ οὖν ἀντ' ἐμοῦ τινα τὸν ἐμὸν ἀναπληρῶσαι τόπον. καὶ πάντες τοῦ θεοῦ ἐκτενῶς δεηθῶμεν, ὅπως τὸν ὄντα ἄξιον ὁ θεὸς ἀναδείξῃ.

καὶ ταῦτα εἰπὼν ἐπέθηκε χεῖρας τῷ Ζακχαίῳ καί φησι· δέσποτα κύριε ὁ
πατὴρ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, διὰ τοῦ πνεύ-
ματός σου τοῦ ἁγίου καὶ προσκυνητοῦ σὺ διαφύλαξον τοῦτον ποιμαίνειν τὸν
λαόν σου, ὃν ἐξελέξω. καὶ ταῦτα εἰπὼν πρὸς τὸν λαὸν ἔφη· ὅσοι βαπτισθῆναι
θέλετε, ἀπὸ τῆς αὔριον νηστεύειν ἄρξασθε. μετὰ δὲ τρεῖς ἡμέρας βαπτίζειν
ἀρξάμενος ἐμὲ Κλήμεντα φωνήσας καὶ Νικήτην καὶ Ἀκύλαν ἔφη.

Μέλλοντί μοι πρὸς τὴν Τύρον ὁρμᾶν μεθ' ἡμέρας ἑπτὰ,
βούλομαι τὸ τάχος ὑμᾶς ἐκεῖ γενομένους καὶ παρὰ τῇ Χαναανίτιδι Βερ-
νίκῃ Ἰούστης θυγατρὶ λανθανόντως ἐπιξενωθέντας τὰ κατὰ τὸν Σίμωνα
πάντα διερευνησαμένους ἀκριβῶς γράψαι μοι. διὸ ἐξαυτῆς πορεύεσθε μετ'
εἰρήνης. καὶ δὴ βαπτίζοντα καταλιπόντες αὐτὸν εἰς Τύρον τῆς Φοινίκης ἐπο-
ρευόμεθα. καὶ παρὰ τῇ προειρημένῃ Χαναανίτιδι καταχθέντες καὶ δαψι-
λοῦς παρ' αὐτῇ ξενίας καὶ φιλοτίμου τυχόντες περὶ τοῦ Σίμωνος αὐτίκα
διελεγόμεθα· Σίμων οὗτος ὁ μάγος, εἰπόντες, ἐπὶ τῆς ἐν Καισαρείᾳ πρὸς
τὸν κύριον ἡμῶν Πέτρον ζητήσεως ἡττηθεὶς, φυγὰς ἐνταῦθα ὡς εἶχεν εὐθὺς
ἀπέδρα, καὶ λοιδορούμενος αὐτῷ συναρπάζει τὰς τῶν ἁπλουστέρων ψυχὰς,
καὶ μάγος ὢν αὐτὸς μάγον ἐκεῖνον ἀποκαλεῖ, καὶ πλάνος ὢν οὗτος τὸν ἀπό-
στολον πλάνον ἀποκηρύττει καὶ διὰ πάντων αὐτὸς ἡττηθεὶς καὶ φυγῇ αἰ-
σχρῶς ἑαυτὸν ἐπιτρέψας φάσκει νενικηκέναι.

Ἡ Βερνίκη μὲν οὖν οὕτω καὶ αὐτὴ ταῦτα ἔχειν εἶπε, καὶ
τἄλλα δὲ παρ' ἑαυτῆς τὰ λειπόμενα προσετίθει. φαντάσματα γὰρ, ἔφη, μετὰ
τὸ τῇδε αὐτὸν ἐπιστῆναι καὶ ἰνδάλματα καθ' ἑκάστην ἐν μέσῃ τῇ ἀγορᾷ

ποιῶν πᾶσαν ἐκπλήττει τὴν πόλιν· ὡς ἀνδριάντας μὲν αὐτοῦ διερχομένου
κινεῖσθαι, καὶ σκιὰς δὲ πολλάκις αὐτοῦ προηγεῖσθαι, ἃς καὶ τῶν τεθνηκό-
των ψυχὰς αὐτὸς ὀνομάζει. πολλοὺς δὲ αὐτὸν καὶ γόητα λέγοντας ὕστερον
εἰς εὐωχίαν δῆθεν καλέσας βοῦν τε θύσας καὶ αὐτοὺς ἑστιάσας διαφόροις
περιέβαλε νόσοις, καὶ δαίμονας δὲ αὐτοῖς ἐνῆκε· καὶ ὅλως πολλοὺς κακώ-
σας θεὸς εἶναι νενόμισται. ὅθεν οὐκ οἴομαι δυνήσεσθαί τινα τοσοῦτον πῦρ
ἀναφθὲν κατασβέσαι. διὸ τοῦ μὴ κινδυνεύειν ὑμᾶς χάριν παρακαλῶ, μηδὲν
ἐγχειρήσητε πρὸς αὐτὸν, πρὶν ἂν ὁ ἀπόστολος Πέτρος ἀφίκηται, ὃς τοῦ
κυρίου καὶ θεοῦ ἡμῶν Ἰησοῦ Χριστοῦ δοκιμώτατος ὑπάρχων μαθητὴς δυνή-
σεται μόνος πρὸς τοσαύτην δυναστείαν ἀνταγωνίσασθαι.
Ταῦτα τῆς Βερνίκης εἰπούσης, ἡμεῖς ἕωθεν πάντα τὰ κατὰ
τὸν Σίμωνα γράψαντες εἰς περίπατον ἐτραπόμεθα. καὶ δὴ καὶ Ἀππίων ὑπαν-
τᾷ ἡμῖν μεθ' ἑτέρων τριάκοντα, Ἀππίων ἐκεῖνος, οὗ πρόσθεν ἐμνήσθημεν.
καὶ ἅμα τῷ ἰδεῖν με προσαγορεύσας τε καὶ κατασπασάμενος οὗτός ἐστι Κλή-
μης, ἔφη τοῖς μετ' αὐτοῦ, περὶ οὗ πολὺν ἐν εὐγενείᾳ τε καὶ τρόπων ἐλευθε-
ρίᾳ πρὸς ὑμᾶς ἐποιούμην λόγον, ὅ τι ἀνὴρ γένος τε ὢν ἀπὸ Καίσαρος Τιβε-
ρίου καὶ πᾶσαν Ἑλληνικὴν παιδείαν ἐξησκημένος ὑπὸ βαρβάρου τινὸς τὴν
προσηγορίαν Πέτρου τὰ Χριστιανῶν ποιεῖν καὶ λέγειν ἠπάτηται. ὅθεν ἀξιῶ,
συναγωνίσασθέ μοι πρὸς τὴν τούτου διόρθωσιν. ἐφ' ὑμῶν γὰρ αὐτοῦ πυνθά-
νομαι, καὶ λεγέτω μοι, ἐπειδὴ πρὸς τὸ εὐσεβεῖν ἑαυτὸν ἀποδεδωκέναι νομίζει,
πῶς οὐχὶ καὶ τὰ μέγιστα ἀσεβεῖ τὰ πάτρια μὲν καταλιπὼν, ἀποκλίνας δὲ
εἰς ἔθη βάρβαρα καὶ ἀλλόκοτα.

Κἀγὼ πρὸς αὐτὸν τὴν μὲν πρὸς ἐμέ σου, φημὶ, ἀγαθὴν προαί-
ρεσιν ἀποδέχομαι· τὴν δὲ ἀγνωσίαν ἀποσείομαι. ἡ μὲν γὰρ προαίρεσις ἀγαθὴ,
ὅτιπερ ἐν οἷς δοκεῖς καλοῖς, ἐν τούτοις εἶναι με θέλεις· ἡ δὲ γνῶσις οὐκ ὀρθῶς
ἔχουσα. προφάσει γὰρ φιλίας λανθάνεις πρὸς ἀπάτην ἡμᾶς ἐκκαλούμενος.
καὶ ὁ Ἀππίων οὐκοῦν ἀγνωσία σοι δοκεῖ τὰ πάτρια, ἔφη, φυλάττοντα τὰ
Ἑλλήνων φρονεῖν; κἀγὼ τὸν εὐσεβεῖν προῃρημένον, ἀπεκρινάμην, οὐ πάντως
φυλάσσειν τὰ πάτρια δεῖ· ἀλλὰ φυλάσσειν μὲν, ἐὰν ᾖ εὐσεβῆ, ἀποσείεσθαι
δὲ μὴ οὕτως ἔχοντα. ἐνδέχεται γὰρ, τινὰ πατρὸς ἀσεβοῦς ὄντα καὶ βουλό-
μενον εὐσεβεῖν μὴ τὰ τοῦ πατρὸς ἐθέλειν μιμεῖσθαι, καὶ κατ' ἴχνος αὐτοῖς
ἕπεσθαι. καὶ ὁ Ἀππίων τί οὖν, τὸν σὸν πατέρα φῊς οὐκ ἀγαθοῦ γεγονέναι
βίου; κἀγὼ ἔφην, ὅτι κακοῦ μὲν αὐτὸν οὐκ ἂν εἴποιμι, πλὴν ὅτι τοῖς ψευδέσι
καὶ κακοῖς τῶν Ἑλλήνων ἐπίστευε μύθοις. καὶ ὃς τίνες οἱ μῦθοι οὗτοι; φησίν.
ἐγὼ δὲ ὑπολαβὼν ἡ περὶ τὸν θεὸν, εἶπον, οὐκ ὀρθὴ δόκησις, ἣν ἐὰν μακρο-
θυμῇς, μετὰ τῶν ἄλλων ἀκούσῃ φιλομαθῶν.

Διὸ πρὸ τῶν διαλόγων εἴς τινα πλείονα παρεχόμενον ἡσυχίαν
ὑποχωρήσωμεν τόπον. καὶ δὴ προϊόντες, ἔνθα ναμάτων ἦν ψυχρῶν καθαρὰ
·εύματα καὶ δένδρων παντοίων χλοερῶν τέρψις, ἐκαθεζόμεθα. ἐπεὶ δὲ πάν-
τες ἦσαν ὁρῶντες ἀτενῶς εἰς ἐμὲ, οὕτω τοῦ πρὸς αὐτοὺς ἄρχομαι λόγου·

Πολλή τις, ὦ ἄνδρες, διαφορὰ τυγχάνει ἀληθείας τε καὶ
συνηθείας. οἱ μὲν γὰρ τῶν Ἑλλήνων πολλοὺς θεοὺς κακοὺς καὶ πολυπαθεῖς
ἡγήσαντο, ἵνα οἱ τὰ ὅμοια πράττειν θέλοντες ἐκείνους ἔχωσι τοῦ κακοῦ
συνηγόρους. ἄλλοι δὲ εἱμαρμένην εἰσηγήσαντο τὴν λεγομένην γένεσιν, καὶ

παρ' αὐτὴν οὔτε πάσχειν τινὰ δυνατὸν εἶναί φασιν, οὔτε ποιεῖν, ἵνα νομίσαν-
τες, ὅτι παρὰ γένεσιν οὐδεὶς οὔτε ποιεῖν, οὔτε πάσχειν ἔχει, ·ᾳδίως ἐπὶ τὸ
ἁμαρτάνειν ἔρχωνται, καὶ ἁμαρτάνοντες μὴ μεταμέλωνται, ἐφ' οἷς ἠσεβή-
κασιν. ἄλλοι δὲ ἀπρονόητα δογματίζουσι τὰ παρόντα, καὶ αὐτομάτως φέ-
ρεσθαι τὸ πᾶν εἰσάγουσι, μηδενὸς ἐφεστηκότος δεσπότου· ὃ δή που καὶ
πάντων ἐστὶ χαλεπώτατον, οὕτω τὸν θεὸν βλασφημεῖν καὶ τῆς τοῦ παντὸς
ἐκβάλλειν προνοίας, ὥστε μηδὲ εἶναι λέγειν τὸν ἐφεστῶτα καὶ προνοούμενον
καὶ τὰ κατ' ἀξίαν τῷ πάντι ἀπονέμοντα. ὅθεν οὐ ·ᾳδίως οἱ τὰ τοιαῦτα
φρονοῦντες σωφρονίζονται. τὸν γὰρ ἐπερχόμενον κίνδυνον οὐ προορῶνται.

Ὁ δὲ τῶν, ὡς ὑμεῖς φατὲ, βαρβάρων λόγος εὐσεβέστατός ἐστιν, ἕνα
θεὸν καὶ δημιουργὸν τοῦδε τοῦ παντὸς εἰσηγούμενος, τῇ φύσει ἀγαθὸν καὶ
δίκαιον· ἀγαθὸν μὲν, ὡς μεταμελομένοις συγχωροῦντα τὰ ἁμαρτήματα·
δίκαιον δὲ, ὡς ἑκάστῳ μὴ μετανοοῦντι κατ' ἀξίαν τῶν πεπραγμένων ἀποδι-
δόντα. ἕκαστος γὰρ προσδοκίᾳ τοῦ κριθήσεσθαι ὑπὸ τοῦ παντεπόπτου θεοῦ
πρὸς τὸ σωφρονεῖν μᾶλλον τὴν ὁρμὴν λαμβάνει· καὶ ὁ σωφρόνως βεβιωκὼς
τῆς αἰωνίου λυτροῦται κολάσεως.

Ἑκάστου δὲ τῶν παρ' ὑμῖν λεγομένων τὰς ἀσεβεῖς διελέγχων
πράξεις, τοῦ Διός τε καὶ Ποσειδῶνος, Πλούτωνός τε καὶ Ἀπόλλωνος,
Διονύσου τε καὶ Ἡρακλέους, καὶ τῶν καθ' ἕνα ἕκαστον, ὧν οὐδὲ αὐτοὶ
ἀγνοεῖτε, ἐκ παιδείας Ἑλληνικῆς ὁρμώμενοι, οὓς ἐπαιδεύθητε βίους, ἵνα ὡς
ζηλωταὶ τῶν θεῶν τὰ ὅμοια πράττητε, καὶ ἀπ' αὐτοῦ γε πρότερον, εἰ δοκεῖ,
τοῦ βασιλικωτάτου Διὸς ἄρξομαι. οὗ ὁ μὲν πατὴρ Κρόνος τὰ ἴδια τέκνα, ὡς

λέγεται, καταπιὼν, τῇ ἐξ ἀδάμαντος ἅρπῃ τοῦ πατρὸς τὰ μόρια θερίσας
τῆς πρὸς γονεῖς εὐσεβείας καὶ τῆς πρὸς τὰ τέκνα φιλίας τοῖς τὰ μυστικὰ
τῶν θεῶν ζηλοῦσιν εἰκόνας καὶ τύπους παρέσχετο. αὐτὸς δὲ ὁ Ζεὺς τὸν
αὐτοῦ πατέρα δήσας κατέῤῥαξεν εἰς Τάρταρον, καὶ τοὺς ἄλλους κολάζει
θεούς. τοῖς δὲ ἀῤῥητουργεῖν ἐθέλουσι τὴν Μῆτιν γεννήσας κατέπιεν. ἦν δὲ ἡ
Μῆτις γονή· βρέφος γὰρ καταπιεῖν, ἀδύνατον. ὑπὲρ δὲ ἀπολογίας παιδερα-
στῶν Γανυμήδην ἁρπάζει. καὶ μοιχοῖς ὑπὲρ μοιχείας βοηθῶν, αὐτὸς πολ-
λάκις μοιχὸς εὑρίσκεται. ἀδελφογαμεῖν δὲ προτρέπεται ἀδελφαῖς οὗτος
συνεισελθὼν Ἥρᾳ καὶ Δήμητρι καὶ Ἀφροδίτῃ τῇ οὐρανίᾳ, ἥν τινες Δωδώ-
νην λέγουσι. τοῖς δὲ θυγατράσι μίγνυσθαι βουλομένοις Περσεφόνῃ συνεληλυθὼς
παράδειγμα πονηρὸν ἐκ τῶν μύθων γίνεται. ἄλλα τε μυρία ἠσέβηκεν, ἵνα
ὑπὸ τῶν δυσσεβῶν διὰ τὴν ὑπερβάλλουσαν ἀκρασίαν καὶ θεὸς εἶναι τοῖς
ἰδιώταις ὁ μῦθος δογματισθῇ. τούτων οὐχ ὡς ἔτυχεν ἐγὼ καταγνοὺς τῷ μόνῳ
ἀγαθῷ θεῷ προσέφυγον, ἀποδεδωκὼς τὴν πίστιν ἀσφαλεῖ τῇ κρίσει, ὅτι ἐκ
τῆς τοῦ θεοῦ δικαίας κρίσεως καὶ νόμος ὥρισται, καὶ ἡ ψυχὴ πάντως τὸ κατ'
ἀξίαν, ὧν ἔπραξεν, ὅπου δή ποτε ἀπολαμβάνει.

Ταῦτά μου εἰπόντος ὁ Ἀππίων ἐπήνεγκε τῷ λόγῳ· τί γάρ; οὐχὶ
καὶ Ἕλληνες καὶ οἱ Ἑλλήνων νόμοι ἀπαγορεύουσι τὰ τοιαῦτα, καὶ τοὺς μοι-
χούς τε καὶ ἄλλως τὰ ἐναντία πράττοντας τιμωρεῖσθαι νομοθετοῦσι; κἀγὼ
ἔφην· οὐκοῦν οἱ Ἑλλήνων θεοὶ τὰ ἐναντία τοῖς νόμοις διαπραξάμενοι κόλα-
σιν οὐ τὴν τυχοῦσαν ὀφείλουσι. πῶς δὲ σωφρονίζειν ἐμαυτὸν δυνήσομαι ὑπο-

λαμβάνων, ὅτι οἱ θεοὶ αὐτοὶ πρῶτοι ἅμα τῇ μοιχείᾳ τὰ χαλεπὰ πάντα διε-
πράξαντο, καὶ δίκην οὐ δεδώκασι, ταύτῃ μᾶλλον ὀφείλοντες δοῦναι, ὡς μὴ
δουλεύοντες ἐπιθυμίᾳ; εἰ δὲ ὑπέκειντο, πῶς ἦσαν θεοί; καὶ ὁ Ἀππίων· ἔστω-
σαν ἡμῖν σκοποὶ μηκέτι θεοὶ, ἀλλὰ δικασταὶ, εἰς οὓς ἀφορῶντες φοβηθησό-
μεθα ἁμαρτάνειν. κἀγὼ ἔφην· οὐκ ἔστιν ὅμοιον, ὦ Ἀππίων. ὁ μὲν γὰρ πρὸς
ἄνθρωπον ἔχων τὸν σκοπὸν ἐλπίδι τοῦ λαθεῖν ἁμαρτάνειν πάντως τολ-
μήσειεν· ὁ δὲ θεὸν παντεπόπτην τῇ ἑαυτοῦ ψυχῇ ὁρισάμενος, εἰδὼς αὐτὸν
λαθεῖν μὴ δύνασθαι, καὶ τὸ λάθρα ἁμαρτάνειν παραιτήσεται.

Ταῦτα ὁ Ἀππίων ἀκούσας ᾔδειν, ἔφη, ἐξ ὅτε ἤκουσα Χριστια-
νοῖς σε προσομιλοῦντα ἠλλοιῶσθαι τὴν γνώμην. καλῶς γὰρ εἴρηταί τινι·
φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί. κἀγὼ πρὸς αὐτόν· οὐκοῦν ἐπανορ-
θοῦσιν ἤθη μὴ χρηστὰ ὁμιλίαι καλαί. ταῦτά μου εἰπόντος οἱ παρόντες φανε-
ροὶ ἦσαν ὥσπερ ἡδόμενοι τοῖς ὑπ' ἐμοῦ λεγομένοις· ὅθεν καὶ τῇ ὑστεραίᾳ
ἀξιώσαντες ἀφικέσθαι πάλιν, τό γε νῦν ἔχον ὑπεχώρουν. τῇ δὲ ἐπαύριον
προεληλυθότι τῷ Πέτρῳ ἀπήντων πλησιόχωροί τε οὐκ ὀλίγοι, καὶ αὐτῆς δὲ
τῆς Τύρου πολλοὶ, καὶ ἐπεφώνουν λέγοντες· ὁ θεὸς διά σου ἡμᾶς ἐλεείτω,
διά σου θεραπευέτω. στὰς οὖν ὁ Πέτρος ἐπὶ λίθου τινὸς ὑψηλοῦ πρὸς τὸ δύ-
νασθαι πᾶσι καταφανὴς εἶναι καὶ προσαγορεύσας θεοσεβεῖ νόμῳ οὕτως ἤρξατο·

Θεῷ τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν
οὐ λείπει πρόφασις πρὸς σωτηρίαν τῶν σώζεσθαι βουλομένων· δυνατὸς γάρ
ἐστι καὶ τὰς ψυχὰς ἡμῶν καὶ τὰ σώματα σῶσαι. μανθάνω οὖν, ὡς βουθυτή-
σας Σίμων ὁ μάγος εἱστίασεν ὑμᾶς ἐν μέσῃ τῇ ἀγορᾷ καὶ οἴνῳ πολλῷ κο-

ρέσας ὀλεθρίοις πάθεσι καὶ δαίμοσι παραδέδωκεν. ἀλλ' ὥσπερ οὖν τῶν
δαίμοσιν ἀποδεδομένων θυμάτων μεταλαβόντες τῷ τῆς κακίας ἡγεμόνι κατ-
εδουλώθητε, οὕτως ἂν τούτων παυσάμενοι τῷ θεῷ διὰ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ προσέλθητε, εὖ ἴστε, ὅτι σὺν τῇ τοῦ σώματος ἰάσει καὶ τὰς
ψυχὰς ὑγιαινούσας ἕξετε τὰ θεῷ ἀρέσκοντα μετερχόμενοι. ἔστι δὲ τὰ ἀρέ-
σκοντα τῷ θεῷ τὸ αὐτῷ τε προσεύχεσθαι, καὶ τραπέζης δαιμονίων ἀπέχεσθαι,
μὴ ψαύειν αἵματος, ἐκ παντὸς μιάσματος ἀσπίλους ἑαυτοὺς συντηρεῖν, ἐν
πολλοῖς σώμασι μιᾷ γνώμῃ στοιχοῦντας ὅπερ ἕκαστος ἑαυτῷ θέλει, τοῦτο καὶ
περὶ τοῦ πλησίον φρονεῖν. φησὶ γάρ· οὐ θέλεις φονευθῆναι; σὺ ἕτερον μὴ
φονεύσῃς· οὐ θέλεις τὴν σὴν ὑφ' ἑτέρου μοιχευθῆναι γυναῖκα; τὴν ἑτέρου
μὴ μοίχευε γαμετήν· οὐ θέλεις τι τῶν σῶν ὅλως κλαπῆναι; ἑτέρου μὴ κλέπτε
μηδέν. καὶ οὕτως ἀφ' ὑμῶν αὐτῶν τὸ εὔλογον συννοοῦντές τε καὶ μετιόντες
θεῷ προσφιλεῖς ἔσεσθε καὶ τῆς ἰάσεως ἐπιτεύξεσθε.

Τοιαῦτα ὑπὸ τοῦ Πέτρου ἐν ὀλίγαις ἡμέραις κατηχηθέντες, εἶτα καὶ θεραπείας ἀξιωθέντες τῷ ἱερῷ προσῆλθον βαπτίσματι. ταῦτα καὶ Σιδώνιοι μαθόντες ἱκέτας πρὸς τὸν Πέτρον ἀπέστελλον, μετάκλητον ποιοῦντες πρὸς αὐτοὺς, ἅτε δὴ διὰ τὰς νόσους ἀδυνάτως αὐτοὶ ἔχοντες πρὸς
ἐκεῖνον φοιτᾶν. ὁ Πέτρος τοίνυν ἡμέρας ὀλίγας ἐνδιατρίψας τῇ Τύρῳ καὶ
παντοδαπῶν αὐτοὺς ἀπαλλάξας παθῶν ἐκκλησίαν τε συστησάμενος καὶ
ἀπὸ τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἐπίσκοπον αὐτοῖς καταστήσας ὥρμη-
σεν εἰς Σιδῶνα. Σίμων δὲ πάλιν ὁ μάγος ἥκοντα ἤδη τὸν Πέτρον μεμα-
θηκὼς, φεύγειν ἠγάπα, καὶ πρὸς Βηρυτὸν ἐχώρει μετὰ Ἀππίωνος καὶ τῶν ἑταίρων αὐτοῦ.

Τοῦ δὲ Πέτρου εἰσιόντος εἰς τὴν Σιδῶνα πολλοὺς ἐπὶ κλινῶν

φέροντες εἰς ὄψιν ἐτίθεσαν. ὁ δὲ Πέτρος πρὸς αὐτοὺς μή με νομίσητε, ἔφη,
δύνασθαί τι πρὸς ὑμετέραν ἴασιν, ἄνθρωπον ὄντα θνητὸν καὶ αὐτὸν καὶ
πολλοῖς πάθεσιν ὑποκείμενον· ὑφηγήσασθαι δὲ ὑμῖν τὸν τρόπον, δι' οὗ σω-
θῆναι δυνατοὶ ἔσεσθε, οὐ φθονῶ, ὡς ἂν καὶ αὐτὸς ὑπὸ Χριστοῦ δι-
δαχθεὶς καὶ μαθητὴς ἐκείνου τοῦ ἀγαθοῦ γενόμενος. τοιαῦτα καὶ ἐν Σιδῶνι
τοῦ Πέτρου παραινοῦντος τοῖς συνιοῦσιν, ἐν ὀλίγαις ἡμέραις πολλῶν κἀκεῖ
μετανοίᾳ χρησαμένων καὶ πιστευσάντων, εἶτα καὶ θεραπείας ἀξιωθέντων
ἐκκλησίαν συνέστησε. καὶ τῶν συνεπομένων αὐτῷ πρεσβυτέρων τινὰ κα-
ταστήσας ἐπίσκοπον ἔξεισι τῆς Σιδῶνος.

Ὡς δὲ εὐθὺς ἐπέβη τῆς Βηρυτοῦ σεισμὸς ἐγένετο· καὶ οἱ ὄχ-
λοι προσιόντες τῷ Πέτρῳ βοηθεῖν ἐδέοντο. πεφοβήμεθα γὰρ, ἔλεγον, μὴ
καὶ παντελῶς ἀπολώμεθα. τότε καὶ ὁ Σίμων τολμήσας Ἀππίωνι ἅμα καὶ
Ἀννουβίωνι, Ἀθηνοδώρῳ τε καὶ ὅσοι ἕτεροι ἦσαν αὐτῷ προσηταιρισμένοι δη-
μοσίᾳ τοῖς ὄχλοις ἐβόα τὸν Πέτρον ὑποδεικνύς· φεύγετε τοῦτον, ὦ ἄνδρες,
πάσῃ σπουδῇ, φεύγετε· μάγος ἐστὶ λέγων, πιστεύσατε, καὶ τὸν σεισμὸν
αὐτὸς οὗτος ἐν ὑμῖν εἰργάσατο καὶ τὰς νόσους ἐκίνησεν, ἵνα ὑμᾶς κατα-
πλήξῃ καὶ θεὸς ἄντικρυς παρ' ὑμῖν νομισθῇ. ἡσυχίαν δὲ τοῦ λαοῦ παρα-
σχόντος ὁ Πέτρος βραχὺ ὑπομειδιάσας μετὰ πολλῆς μάλα τῆς παῤῥησίας
ἄνδρες, ἔφη, ἅπερ οὗτοι λέγουσι θεοῦ θέλοντος ποιεῖν δυνατὸς εἶναι ὁμο-
λογῶ· πρὸς δὲ τούτοις ἕτοιμός εἰμι, ἐὰν μὴ πείθησθέ μοι, περὶ ὧν λέγω,
τὴν πᾶσαν ὑμῶν ἐκ βάθρων αὐτῶν ἀναστρέψαι πόλιν.

Τῶν δὲ ὄχλων ὑποπληξάντων, εἶτα προθύμως ἐπαγγελλο-
μένων τὰ ὑπ' αὐτοῦ κελευόμενα πράττειν ὁ Πέτρος μηδεὶς ὑμῶν, ἔφη, τὸ

ἑξῆς ὁμιλείτω μάγοις, μηδ' ὅλως εἰς λόγους αὐτοῖς ἐρχέσθω. οἱ δὲ ὄχλοι
ἐπεὶ ταῦτα ἤκουσαν, τοῖς περὶ τὸν Σίμωνα εὐθὺς ἐπετίθεντο, καὶ πάντας
ἐν ὀλίγῳ τραυματίας ποιήσαντες οὐκ ἀνῆκαν αὐτοὺς παίοντες, ἕως παντελῶς
τῆς πόλεως ἐξεδίωξαν. ἔπειτα προσιόντες ὅσοι νόσοις αὐτῶν καὶ δαίμοσι
προσεπάλαιον, πρὸ τῶν αὐτοῦ ποδῶν ἔκειντο. ὁ δὲ εἰς οὐρανὸν ἄρας τὰς
χεῖρας καὶ τῷ θεῷ προσευξάμενος ἰάσατο πάντας ἐκ μόνης εὐχῆς. οὐκ ὀλί-
γας δέ τινας ἡμέρας παραμείνας τοῖς Βηρυτίοις καὶ πολλοὺς τῇ εἰς πα-
τέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα πίστει καταρτίσας τε καὶ βαπτίσας ἀπὸ
τῶν ἑπομένων αὐτῷ πρεσβυτέρων ἕνα ἐπίσκοπον αὐτοῖς καταστήσας εἰς τὴν
Βύβλον ἐξῄει.

Καὶ γενόμενος ἐκεῖ καὶ μαθὼν, ὅτι Σίμων εἰς Τρίπολιν ὥρ-
μησεν, αὐτὸς βραχὺ παραμείνας αὐτοῖς καὶ θεραπεύσας τῶν ἐν Βύβλῳ
πολλοὺς καὶ τὴν εὐσέβειαν αὐτοὺς ἐκδιδάξας κατ' ἴχνος τοῦ Σίμωνος εἰς
Τρίπολιν ἐπορεύετο, μεταδιώκειν αὐτὸν μᾶλλον, οὐχ ὑποφεύγειν προῃρη-
μένος. εἰς δὲ τὴν Τρίπολιν εἰσιόντι τῷ Πέτρῳ τῶν φιλομαθεστέρων πολλοὶ
συνῆλθον ἔκ τε τῆς Τύρου καὶ Σιδῶνος καὶ Βηρυτοῦ καὶ Βύβλου· οὐχ ἥ-
κιστα δὲ καὶ τῶν ἀπ' αὐτῆς τῆς πόλεως ὄχλων πλείους συνέῤῥεον ἱστορῆσαι
Πέτρον βουλόμενοι. ἔνιοι δὲ τῶν ἀδελφῶν, οἳ καὶ ἦσαν ὑπ' ἐκείνου προεκ-
πεμφθέντες, διηγοῦντο ἡμῖν τά τε κατὰ τὴν πόλιν, καὶ τὰ πραττόμενα παρὰ
Σίμωνος ἀκριβῶς, ἀποδεξάμενοί τε ἡμᾶς ἐπὶ τὴν Μαροώνου ἦγον οἰκίαν.

Ὁ δὲ Πέτρος ἐπ' αὐτῷ ἤδη τῷ τῆς ξενίας πυλῶνι γεγονὼς,
ἐπιστραφεὶς τοῖς ὄχλοις ὑπέσχετο, αὔριον περὶ θεοσεβείας
διαλεχθῆναι. ἐπεὶ

δὲ καὶ εἰσῆλθε, μὴ μεταλαβεῖν πρότερον ἔφη τροφῆς, πρὶν ἢ τοὺς συνελη-
λυθότας διαναπαύσει. ἀποκριναμένων δὲ ἡμῶν, ὅτι σπουδῇ πάντας αὐτοὺς
διαναπαύσομεν, ὁ Πέτρος ἀκούσας καὶ εὐλογήσας ἡμᾶς ἐξῆλθε· καὶ λουσά-
μενος ἐν τῇ θαλάσσῃ καὶ εἰσελθὼν, εἶτα καὶ σιτίων μεταλαβὼν ἑσπέρας κα-
ταλαβούσης ὕπνωσεν.

Ἄρτι δὲ περὶ τὰς δευτεραίας τῶν ἀλεκτρυόνων ᾠδὰς ἀναστὰς
καὶ εὑρὼν ἡμᾶς ἤδη ἐγρηγορότας, οἳ καὶ ἦμεν σὺν αὐτῷ πάντες ἑκκαίδεκα,
αὐτός φημι Πέτρος, κἀγὼ Κλήμης, Νικήτης τε καὶ Ἀκύλας, καὶ οἱ προοδεύ-
σαντες δώδεκα, μετὰ τὸ προσαγορεῦσαι πάντας εἰσῄει τις τῶν συνήθων ἀπαγ-
γέλλων αὐτῷ, ὅτι Σίμων ὁ μάγος μαθών σε τῇ Τριπόλει ἐπιδημήσαντα τὴν
ἐπὶ Συρίαν αὐτὸς ᾤχετο. τὰ δὲ πλήθη τὴν μίαν ταύτην νύκτα ἐνιαυτοῦ περίοδον
ἡγησάμενοι, τὴν δοθεῖσαν ὑπὸ σοῦ προθεσμίαν οὐ δυνάμενοι ἀναμένειν πρὸ
τῶν θυρῶν ἑστήκασι κατὰ συστάσεις καὶ συλλόγους ἀλλήλοις, περὶ τῆς τοῦ
Σίμωνος μοχθηρίας διομιλοῦντες. ὅτι μετεωρίσας αὐτοὺς καὶ ὑποσχόμενος
ἐπὶ πολλοῖς σε κακοῖς ἐλθόντα ἐλέγξειν, ἐπιδημήσαντα γνοὺς νύκτωρ διέφυγε·
πλὴν ἐπιθυμοῦσιν αὐτοὶ ἀκοῦσαί σου.

Καὶ ὁ Πέτρος θαυμάσας τῶν ὄχλων τὴν σπουδὴν ἀπεκρίνα-
το· ὁρᾶτε, ἀδελφοὶ, πῶς οἱ τοῦ κυρίου ἡμῶν λόγοι ἐμφανῶς τελειοῦνται;
μέμνημαι γὰρ αὐτοῦ εἰρηκότος, ὅτι πολλοὶ ἐλεύσονται ἀπὸ ἀνατολῶν καὶ
δυσμῶν καὶ βορρᾶ καὶ θαλάσσης· καὶ ἀνακλιθήσονται μετὰ Ἀβραὰμ καὶ
Ἰσαὰκ καὶ Ἰακώβ. ἀλλὰ καὶ πολλοὶ, φησὶ, κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί. τὸ
μὲν οὖν ἐλθεῖν οὐκ αὐτῶν ἐστιν ἴδιον, ἀλλὰ τοῦ κεκληκότος θεοῦ· ἐὰν δὲ

μετὰ τὸ κληθῆναι τὰ ἀγαθὰ πράξωσι, τοῦτο αὐτῶν ἴδιον, καὶ τῆς προση-
κούσης τεύξονται μισθαποδοσίας. ταῦτα εἶπε, καὶ τὸν πολὺν ὄχλον ἰδὼν πρᾴως
καθάπερ ἥσυχόν τι ·εῦμα ποταμοῦ ἐπιῤῥέοντα ἔφη τῷ Μαροώνῃ· ποῦ σοι
τόπος ἐστὶν ἐνταῦθα τοὺς ὄχλους χωρεῖν δυνάμενος; τοῦ δὲ Μαροώνου εἰς
τὸν κεκηπευμένον τόπον καὶ ὕπαιθρον αὐτὸν ἄγοντος εἵποντο καὶ οἱ ὄχλοι.

Καὶ ὁ Πέτρος ἐπί τινος βάσεως ἀνδριάντος οὐ πάνυ μετεώρου
στὰς, ἅμα τῷ τὸν ὄχλον θεοσεβεῖ ἔθει προσαγορεῦσαι, ἰδὼν πολλοὺς τῶν
παρεστώτων ὑπὸ δαιμόνων τε καὶ πολλῶν παθῶν ἐκ πολλῶν χρόνων ἐνοχ-
λουμένους βρύχοντάς τε μετ' οἰμωγῆς καὶ πίπτοντας μετὰ ἱκεσίας, ἐπιτιμή-
σας αὐτοῖς καὶ ἡσυχίαν ἔχειν ἐπιτάξας καὶ τὴν ἴασιν μετὰ τὸ διαλεχθῆναι
καθυποσχόμενος τοῦ λέγειν ἤρξατο οὕτως·

Ὁ μόνος ἀγαθὸς θεὸς τὰ πάντα καλῶς πεποιηκὼς ἐπὶ σω-
τηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων ἐξαπέστειλε τὸν μονογενῆ αὐτοῦ υἱὸν τὸν
κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὰ ἐκείνῳ δοκοῦντα ἐκφάναι καὶ νόμον αἰώ-
νιον δοῦναι, ἵνα φυλάσσοντες αὐτὸν διὰ παντὸς καὶ βαπτισθέντες εἰς ἄφεσιν
ἁμαρτιῶν τῆς αἰωνίου ζωῆς καταξιωθῶμεν. σπουδάσατε δὲ πρότερον
ἐκδύσασθαι τὸ ·υπαρὸν ὑμῶν ἔνδυμα τῆς ἀπιστίας, ὅπερ οὐκ ἄλλως
ἀποδύσασθαι δύνασθε, εἰ μὴ πρότερον ἐπὶ καλαῖς πράξεσι
βαπτισθῆτε, καὶ οὕτω καθαροὶ σώματί τε καὶ ψυχῇ γενόμενοι τῆς
ἐσομένης ἀϊδίου βασιλείας ἀπολαύσετε. μήτε οὖν εἰδώλοις πιστεύετε,
μήτε τραπέζης αὐτῶν κοινωνεῖτε· μὴ φονεύετε, μὴ μοιχεύετε, μὴ
μισεῖτε ἀλλήλους, μηδὲ κλέπτετε, μηδὲ κακαῖς τισὶ πράξεσιν ὅλως
ἐπιχειρεῖτε.

Ταῦτα εἰπόντος αὐτοῦ καὶ ἀπὸ τῶν γραφῶν πολλὰ παραινέ-
σαντος οἱ πάντες παρέμειναν, οἱ μὲν τοῦ θεραπευθῆναι χάριν, οἱ δὲ τοῦ
ἱστορῆσαι τοὺς τῆς θεραπείας ἐπιτυχόντας. ὁ δὲ Πέτρος τὰς χεῖρας αὐτοῖς
ἐπιθεὶς μόνον καὶ προσευξάμενος τὴν ἀπαλλαγὴν ἑκάστῳ τοῦ πάθους

παρέσχετο, ὡς τοὺς μὲν παραχρῆμα θεραπευθέντας γενέσθαι περιχαρεῖς,
τοὺς δὲ ἱστορήσαντας ὑπερθαυμάσαι τε καὶ δόξαν ὑπὲρ τούτου προσε-
νεγκεῖν τῷ θεῷ. βεβαίως οὖν πιστεύσαντες ἅμα τοῖς θεραπευθεῖσιν ἐπὶ τὰ
ἑαυτῶν ἀπῄεσαν τοῦτο λαβόντες ἐντολὴν, ὥστε πρωϊαίτερον συνελθεῖν.

Τῇ οὖν ἐπιούσῃ ὁ Πέτρος ἅμα τοῖς συνοῦσιν ἑταίροις ἑξιὼν
καὶ ἐπὶ τὸν τόπον πάλιν ἐλθὼν ὁ θεὸς, ἔλεγε πρὸς αὐτοὺς, πάντα δύναται.
ἐκεῖνος γάρ ἐστιν ἀγαθὸς καὶ δίκαιος καὶ νῦν ἐπὶ πᾶσι μακροθυμῶν, ἵνα οἱ
βουλόμενοι ἐφ' οἷς ἔπραξαν κακοῖς μεταμεληθέντες καὶ κατὰ τὸ ἀρέσκον
αὐτῷ βιώσαντες, ἐν ἡμέρᾳ ᾗ τὰ πάντα κρίνεται, τῶν κατ' ἀξίαν ἕκαστος
ἀπολαύσῃ. διὸ νῦν ἄρξασθε γνώσεως ἀγαθῆς θεῷ πειθόμενοι ἀντιλέγειν
ταῖς ἑαυτῶν ἀτόποις ἐπιθυμίαις, ἵνα δυνηθῆτε ἀνακαλέσασθαι τὴν πρώτην
τῇ ἀνθρωπότητι νεμηθεῖσαν χάριν. οὕτω γὰρ ὑμῖν ἐξαυτῆς ἀνατελεῖ τὰ
ἀγαθά· καὶ τῷ δεδωκότι εὐχαριστήσετε εἰς ἀεὶ τῶν ἀπορρήτων ἀπολαύον-
τες ἀγαθῶν, ἀπολουσάμενοι τῇ μακαρίᾳ τῆς τριάδος ἐπικλήσει πρότερον,
εἴ τις κηλὶς, εἴ τις σπῖλος ταῖς ὑμετέραις ἐπιπολάζει ψυχαῖς. οὕτω γὰρ οὐ
μόνον τὰ ἐνδομυχοῦντα πνεύματα ὑμῖν ἀποδιῶξαι δυνήσεσθε, ἀλλὰ καὶ τὰ
ἑτέροις ἐνοχλοῦντα δαιμόνια σὺν τοῖς ἄλλοις πάθεσιν ἀπελάσετε. ταῦτα εἰ-
πὼν τοῖς ὑπό τινων παθῶν ὀχλουμένοις ἐκέλευσεν αὐτῷ προσιέναι, καὶ
χεῖρας αὐτοῖς ἐπιθεὶς καὶ ἑξαυτῆς ἰασάμενος ἐνετείλατο ὀρθριαίτερον
συνελθεῖν.

Τῇ δὲ τρίτῃ ἡμέρᾳ περὶ ὄρθρον ἀναστὰς ὁ Πέτρος καὶ
προσευξάμενος ἐκαθέσθη. ἡμᾶς δὲ περικαθεζομένους καὶ εἰς αὐτὸν ἀτενί-

ζοντας, ὥσπερ ἀκοῦσαί τι βουλομένους, συνεὶς ἔφη· πρὸ πάντων, ὦ φίλοι, ὁ
θεὸν σέβειν αἱρούμενος εἰδέναι ὀφείλει, ὅτι ἐν τρισὶν ὑποστάσεσιν
οὗτος γνωρίζεται. ἔστι δὲ τὸ ἴδιον αὐτοῦ καὶ ἐξαίρετον, τὸ πάντων κτισμάτων
εἶναι δημιουργὸς, πάντα περιέχων, πάντα τε περιορίζων, ὡς ὑπὲρ πάντα
ὢν καὶ πάντα δημιουργήσας. ταῦτα εἰπὼν καὶ πολλὰ περὶ θεοσεβείας διδάξας
ἐκέλευσε τοὺς δαιμονῶντας καὶ νόσοις τισὶ κατειλημμένους αὐτῷ προσφέ-
ρεσθαι. προσενεχθεῖσι δὲ τὰς χεῖρας ἐπιθεὶς καὶ προσευξάμενος ἀπέλυσεν
ὑγιαίνοντας.

Τῇ δὲ ἐπιούσῃ πάλιν ἡμέρᾳ διαναστὰς καὶ προσευξάμενος, εἶτα
καὶ σὺν ἡμῖν καθεσθεὶς λέγειν ἤρξατο οὕτως· τὸν μέλλοντα προσιέναι
τῷ θεῷ χρὴ νήφειν, χρὴ σωφρονεῖν, ὀργῆς κρατεῖν, ἀλλότρια μὴ
νοσφίζεσθαι, δικαίως βιοῦν, ἐπιεικῶς, εὐσταθῶς, πρᾴως, κολάζειν
ἑαυτὸν μᾶλλον ἐν ταῖς ἐνδείαις, ἢ μὴ ἔχοντα ἑτέρου ἀφελόμενον κορεσθῆναι, καθαρὸν
εἶναι τῇ καρδίᾳ καὶ ἁγνὸν τῷ σώματι, καὶ μὴ ὁμοιοῦσθαι τοῖς φαρισαίοις,
πρὸς οὓς ὁ κύριος καὶ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ἔφησεν· οὐαὶ ὑμῖν, γραμ-
ματεῖς καὶ φαρισαῖοι ὑποκριταὶ, ὅτι καθαρίζετε τοῦ ποτηρίου καὶ τῆς παρ-
οψίδος τὸ ἔξωθεν, ἔσωθεν δὲ γέμει ·ύπου. φαρισαῖε τυφλὲ, καθάρισον
πρῶτον τοῦ ποτηρίου καὶ τῆς παροψίδος τὸ ἔσωθεν, ἵνα γένηται καὶ τὸ ἔξω
αὐτοῦ καθαρόν. ἀληθῶς γὰρ ὁ καθάρας τὸ ἔσω, καὶ τὸ ἔξω καθάραι δύνα-
ται· ὁ δὲ τὰ ἔξω καθαίρων, πρὸς ἀνθρώπων ἔπαινον ἀφορῶν τοῦτο ποιεῖ,
παρὰ δὲ τῷ θεῷ μισθὸν οὐκ ἔχει.

Ταῦτα εἰπὼν καὶ ἕτερα πλείονα περὶ ἁγνισμοῦ, τῶν τριῶν
ἤδη μηνῶν πληρωθέντων, ὧν νηστεῦσαί με ἐκέλευσεν, ἀγαγών με εἰς τὰς ἐν
τῇ θαλάσσῃ πλησίον οὔσας πηγὰς, ὡς εἰς ἀένναον ἐβάπτισεν ὕδωρ εἰς τὸ
ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ λαβὼν ἄρτον

καὶ εὐλογήσας καὶ κλάσας μετέδωκεν ἡμῖν τῶν ἀχράντων καὶ ζωοποιῶν
μυστηρίων. καὶ οὕτως εὐωχηθέντες οἱ ἀδελφοὶ ἡμῶν ἐπὶ τῇ θεοδωρήτῳ μου
ἀναγεννήσει δόξαν καὶ εὐχαριστίαν ἀποδεδώκαμεν τῷ θεῷ. πολλοῦ τε
ὄχλου συναθροισθέντος, νόσους, πάθη, δαίμονας ἀπελάσας ὁ Πέτρος καὶ
βαπτίσας πολλοὺς Μαροώνην, τὸν ἀποδεξάμενον αὐτὸν ἤδη λοιπὸν τέλειον
ὄντα, ἐπίσκοπον καταστήσας καὶ πρεσβυτέρους δώδεκα ὁρίσας καὶ διακό-
νους δείξας ὑπέρ τε τοῦ κοινοῦ καὶ συμφέροντος καὶ περὶ τῆς κατὰ τὴν ἐκ-
κλησίαν τάξεώς τε καὶ ἁρμονίας συλλαλήσας τῷ ἐπισκόπῳ τοῖς ἐν Τριπόλει
τῆς Φοινίκης ἀποταξάμενος τὴν ἐπὶ Ἀντιόχειαν τῆς Συρίας ὁδὸν ἐπορεύετο.

Ἐκβάντες δὲ τὴν Τρίπολιν τῆς Φοινίκης, ὡς ἐπὶ Ἀντιόχειαν
τῆς Συρίας ἐλθεῖν, αὐτῆς ἡμέρας ἐν Ὀρθωσίᾳ ἐμείναμεν· καὶ διὰ τὸ πλη-
σίον εἶναι ἧς ἐξήλθομεν πόλεως, πάντων σχεδὸν προακηκοότων τὰ τοῦ κη-
ρύγματος, μιᾶς ἡμέρας ἐκεῖ μείναντες ἀπήραμεν εἰς Ἀντάραδον. πολλῶν δὲ
τῶν συνοδοιποροούντων ἡμῖν ὄντων ὁ Πέτρος Νικήτῃ καὶ Ἀκύλᾳ προσωμίλει
λέγων· ἐπειδὴ ὁ πολὺς ὄχλος τῶν συνοδοιποροούντων οὐ μικρὸν φθόνον εἰσιοῦσι
κατὰ πόλιν ἡμῖν ἐπισπᾶται, ἀναγκαίως ἐσκεψάμην φροντίσαι, ὅπως μήτε
οὗτοι λυπηθῶσι κωλυθέντες συνεῖναι ἡμῖν, μήτε ἡμεῖς περίβλεπτοι γενόμενοι,
φθόνου τοῖς ἄλλοις καταστῶμεν αἴτιοι. τούτου ἕνεκα βούλομαί σε τὸν Νι-
κήτην ἅμα τῷ Ἀκύλᾳ προοδεύειν μου κατὰ συστήματα δύο σποράδην.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ἀπεκρίναντο Νικήτης τε καὶ
Ἀκύλας· οὐ πάνυ ἡμᾶς κύριε λυπεῖ τοῦτο πράττειν διὰ τὸ ὑπὸ σοῦ προσ-
τετάχθαι· πρῶτον μὲν, ὅτι πάντα καλῶς νοεῖν τε καὶ συμβουλεύειν ἄξιος ὢν

ὑπὸ τῆς τοῦ θεοῦ προνοίας ἐξελέγης· ἔπειτα δὲ, ὅτι ὡς ἐπιπολὺ ἡμερῶν
δύο ἀνάγκη τοῦτο πράττειν ἡμᾶς ἀπολιμπανομένους σου· καὶ αὗται δὲ πολ-
λαὶ πρὸς τὸ μή σε τὸν κύριον ἡμῶν καθορᾶν· πλὴν ὡς κελεύεις διὰ τὸ συμ-
φέρον οὐκ ἀντιλέγομεν. ταῦτα εἰπόντες προῆγον.

Πορευθέντων οὖν αὐτῶν ἐγὼ Κλήμης ἔχαιρον, ὅτι σὺν αὐ-
τῷ με ἐκέλευσεν εἶναι. ἀμέλει καὶ πρὸς αὐτὸν εἶπον· εὐχαριστῶ τῷ θεῷ, ὅτι
με οὐκ ἐξαπέστειλας ὡς τοὺς ἑταίρους, ἐπεὶ ὀδυνώμενος ἂν διεπεφωνήκειν.
ὁ δὲ ἔφη· τί δαὶ, εἰ καὶ χρεία τις ἔσται πεμφθῆναί σέ που, σὺ διὰ τὸ πρὸς
ὀλίγον ἀπολιμπάνεσθαί μου συμφερόντως, διὰ τοῦτο τεθνήξῃ; οὐχὶ δὲ προσομιλήσας σεαυτῷ, φέρειν τὰ διὰ τὴν ἀνάγκην σοι προσταττόμενα, εὐ-
θύμως ὑποίσεις; ἢ οὐκ οἶδας, ὅτι σύνεισιν οἱ φίλοι ταῖς μνήμαις, κἂν τοῖς
σώμασιν ἐκείνων ἀπολιμπάνωνται, ὡς ἔνιοι συνόντες τοῖς σώμασι, μακρὰν
ἀφεστήκασι ταῖς ψυχαῖς;

Κἀγὼ ἀπεκρινάμην· ἀλλὰ μή με νομίσῃς κύριε, ὅτι τὰ
λύπης πάσχειν ἔμελλον ἀνοήτως, ἀλλὰ καὶ πάνυ ὀρθῶς ἔχοντι λογισμῷ. ἐπεὶ
γάρ σε ἀντὶ πάντων εἱλόμην, πατρός τε καὶ μητρὸς, ἀδελφῶν ἅμα καὶ συγ-
γενῶν, αἴτιόν μοι γενόμενον διὰ τὸν θεὸν τῆς σωζούσης ἀληθείας, οὕτω καὶ
ἧς ἔμελλον ἐκ πάντων ἀπολαύειν παραμυθίας, διά σου μόνου καρποῦμαι.
δέδοικα γὰρ ὅλως ἀπολειφθῆναί σου, μή ποτε διὰ τὴν ἐκ τῆς ἡλικίας ἀκμὴν
ἥττων ἐπιθυμίας γένωμαι. καὶ διὰ τοῦτο οὕτως ἐνστάσεως ἔχω, ὡς ἀποστῆ-
ναί σου ἀδύνατον εἶναι, εἰ μὴ κατά τινα χόλον θεοῦ τοῦτο γένηται. καὶ γὰρ
μέμνημαί σου ἐν Καισαρείᾳ εἰπόντος· εἴ τίς μοι βούλεται συνοδεῦσαι, εὐσε-
βῶς καὶ συνοδευέτω. εὐσεβῶς δὲ ἔφης τὸ μηδένα λυπῆσαι κατὰ θεὸν, οἷον

ἀπολιπόντα γονεῖς, γυναῖκα, πρὸς δὲ καὶ ἑτέρους τινὰς τῶν εὐσεβεῖν ἑλομέ-
νων. ὅθεν ἐγὼ κατὰ πάντα ἐπιτήδειός εἰμί σοι συνοδοιπόρος, ᾧ καὶ τὰ μέ-
γιστα χαρίζῃ, εἴ μοι τὰς τῶν δούλων ὑπηρεσίας ἐπιτρέποις ποιεῖν.

Καὶ ὁ Πέτρος ἀκούσας μετά τινός φησι μειδιάματος· τί οὖν οἴει, Κλήμη, μὴ ὑπ' αὐτῆς ἀνάγκης εἰς δούλων σε ταγῆναι τόπον; ἐπεὶ τίς τὰς καλάς μοι καὶ πολλὰς σινδόνας μετὰ τῶν ἑπομένων δακτυλίων καὶ τῶν ὑποδημάτων φυλάξει; τίς δὲ καὶ τὰ ἡδέα καὶ πολυτελῆ ὄψα προετοιμάσει, ἅ τινα ποικίλα ὄντα πολλῶν καὶ τεχνικῶν δεῖται μαγείρων, καὶ πάντα ἐκεῖνα, ὅσα ὡς θηρίῳ μεγάλῳ, τῇ ἐπιθυμίᾳ προευτρεπίζεται; πλὴν ἡ τοι-
αύτη σε προαίρεσις ὑπεισῆλθεν, ἴσως μὴ συνιέντα καὶ τὸν ἐμὸν ἀγνοοῦντα βίον, ὅτι ἄρτῳ μόνῳ καὶ ἐλαίαις χρῶμαι καὶ σπανίως λαχάνοις· καὶ ὅτι ἱμάτιόν μοι καὶ τριβώνιον ἔν ἐστι τοῦτο αὐτὸ, ὃ περιβέβλημαι, καὶ ἑτέρου χρείαν οὐκ ἔχω, οὐδὲ ἄλλων τινῶν. ἐν γὰρ τούτοις καὶ περισσεύομαι. ὁ νοῦς γάρ μου τὰ ἐκεῖ πάντα ὁρῶν αἰώνια ἀγαθὰ, τῶν ἐνταῦθα οὐδενὸς ἐπιστρέ-
φεται. ὅμως σοῦ μὲν τὴν ἀγαθὴν προαίρεσιν ἀποδέχομαι καὶ θαυμάζων ἐπαινῶ, πῶς ἀνὴρ ἐκ πολυτελῶν ἐθῶν ὑπάρχων ·ᾳδίως τοῖς ἀναγκαίοις τὸν σεαυτοῦ ὑπήλλαξας βίον. ἡμεῖς γὰρ ἐκ παίδων ἐγώ τε καὶ Ἀνδρέας ὁ σύναιμος οὐ μόνον ἐν ὀρφανίᾳ τραφέντες, ἀλλὰ καὶ ὑπὸ πενίας εἰς ἐργασίαν ἐθισθέντες εὐμαρῶς φέρομεν νῦν τὰς μακρὰς ταύτας ὁδοιπορίας. ὅθεν εἰ ἐπείθου μοι, ἐμοὶ ἂν συγκεχωρήκεις τὰ δούλων ἀποπληροῦν σοι.

Ἐγὼ δὲ ἀκούσας σύντρομος ἐγενόμην καὶ ἐπίδακρυς, οἷον λόγον εἶπεν ἀνὴρ, οὗ πάντες οἱ τῆς νῦν γενεᾶς ἄνθρωποι τῷ τῆς γνώσεως καὶ εὐσεβείας λόγῳ ἥττους εἰσίν. ὁ δὲ ἰδών με σύνδακρυν ἐπυνθάνετο τὴν

αἰτίαν. κἀγὼ πρὸς αὐτὸν καὶ τί τοιοῦτον ἥμαρτον, φημὶ, ἵνα καὶ τοιοῦτον
ἀκοῦσαί με λόγον; Καὶ ὁ Πέτρος εὐθὺς εἰ κακῶς εἴρηκα δουλεῦσαί σοι
προελόμενος, σὺ πρῶτος ἥμαρτες, πρῶτος τοῦτο καὶ ποιῆσαι προθυμηθείς.
κἀγὼ ἔφην· οὐχ ὁμοίως ἔχει· ἐμοὶ μὲν γὰρ καὶ λίαν προσήκει τοῦτο ποιεῖν,
σοὶ δὲ οὐδαμῶς, ἅτε θεοῦ κήρυκι ὄντι καὶ ψυχὰς ἀνθρώπων ποιμαίνειν
πεπιστευμένῳ. καὶ ὁ Πέτρος ὁ κύριος ἡμῶν, εἶπεν, ὁ ἐπὶ σωτηρίᾳ παντὸς
τοῦ κόσμου ἐληλυθὼς, μόνος τε ὑπὲρ πάντας τὴν ἀληθῆ καὶ μόνην εὐγένειαν
ἔχων, δουλεύειν ἠνέσχετο, ἵν' ἡμᾶς πείσῃ, μὴ δι' αἰσχύνης ποιεῖσθαι τὸ δουλι-
κὰς προσφέρειν τοῖς πλησίον ὑπηρεσίας, κἂν εὐγενεῖς ὦμεν, κἂν
πλεῖστον αὐτῶν διαφέρωμεν. κἀγὼ ἔφην· εἰ λόγῳ σε νικήσειν οἴομαι, ἄφρων εἰμὶ κατὰ
τὸ φανερὸν καὶ ἀνόητος· πλὴν ἀλλὰ χάριν οἶδα τῇ τοῦ θεοῦ προνοίᾳ, ὅτι περ
εἰς γονέων μοῖραν ἔχειν σε κατηξίωμαι.

Καὶ ὁ Πέτρος οὐδεὶς δέ σοι ἀληθῶς, ἔφη, πρὸς γένους
ὑπάρχει; κἀγὼ ἀπεκρινάμην· εἰσὶ μὲν πολλοὶ καὶ μεγάλοι ἄνδρες Καίσαρι
προσήκοντες κατὰ γένος. ὅθεν τῷ ἐμῷ πατρὶ ὡς καὶ συντρόφῳ Καῖσαρ
γυναῖκα συγγενῆ συνηρμόσατο, ἀφ' ἧς τρεῖς ἐγενόμεθα υἱοί· δύο μὲν πρὸ
ἐμοῦ οἳ καὶ δίδυμοι ὄντες κομιδῇ ὅμοιοι ἀλλήλοις ἐτύγχανον, ὡς ὁ πατὴρ
ἐξηγεῖτό μοι. ἐγὼ γὰρ οὔτε αὐτοὺς, οὔτε τὴν τεκοῦσαν πάνυ ἐπίσταμαι, ἀλλ'
ὥσπερ δι' ὀνείρων ἀμυδρὸν αὐτῶν καὶ τὸ εἶδος ἀναφέρω. ἡ μὲν οὖν μήτηρ
μου Ματθιδία ἐλέγετο, ὁ δὲ πατὴρ Φαῦστος, οἱ δὲ ἀδελφοὶ ὁ μὲν Φαυστῖ-
νος, ὁ δὲ Φαυστινιανὸς ἐκαλεῖτο. ἐμοῦ οὖν τοῦ τρίτου ἐπιγεννηθέντος
αὐτοῖς, ἡ μήτηρ ὄνειρον ἑωράκει, ὡς ὁ πατὴρ ὑφηγεῖτο, ὅτι ἐὰν μὴ τοὺς
διδύμους αὐτῆς υἱοὺς ἐξαυτῆς παραλαβοῦσα τῆς Ῥωμαίων ἀποδημήσῃ
πόλεως ἐπὶ ἔτη δέκα, πανωλεθρίῳ σὺν αὐτοῖς ἀποθανεῖται θανάτῳ.

Ὁ μὲν οὖν πατὴρ φιλότεκνος ὢν, σύν τε δούλοις καὶ δούλαις ἐφοδιάσας ἱκανῶς καὶ εἰς πλοῖον ἐνθέμενος εἰς τὰς Ἀθήνας ἅμα παιδευθησομένους ἐξέπεμψεν· ἐμὲ δὲ μόνον εἰς παραμυθίαν ἔσχε παρ' ἑαυτῷ.
καὶ ἐπὶ τούτῳ εὐχαριστῶ πολλὰ, ὅτι κἀμὲ ὁ ὄνειρος μὴ ἐκεκελεύκει ἅμα τῇ μητρὶ τὴν Ῥωμαίων ἐκβῆναι πόλιν. τοῦ ἐνιαυτοῦ τοίνυν ἐκείνου περιελθόντος ὁ πατὴρ ἔπεμψεν εἰς Ἀθήνας χρήματα τοῖς ἑαυτοῦ μαθεῖν ἅμα γλιχόμενος, πῶς ἄρα διάγουσιν. οἱ δὲ ἀπελθόντες οὐκ ἐπανῆλθον. τρίτῳ δὲ πάλιν ἐνιαυτῷ ὁ πατὴρ ἀθυμῶν ἑτέρους ἔπεμψεν ὁμοίως σὺν ἐφοδίοις· οἵ τινες τετάρτῳ ἐνιαυτῷ ἧκον ἀπαγγέλλοντες, μήτε μου τὴν τεκοῦσαν ἢ τοὺς ἀδελφοὺς ὅλως ἑωρακέναι, μηδὲ ἄλλου τινὸς τῶν σὺν αὐτοῖς ἀπεληλυθότων κἂν ἴχνος εὑρηκέναι.

Ὁ μὲν οὖν πατὴρ ταῦτα ἀκούσας καὶ ὑπὸ πολλῆς λύπης ἔκθαμβος γενόμενος, καὶ οὐκ εἰδὼς, ποῦ ὁρμήσας κατὰ ζήτησιν ἐκείνων ἐξέλθοι, ἐμὲ παραλαβὼν καὶ εἰς Πόρτον καταβὰς πυκνότερον ἐπυνθάνετο, ποῦ τις ἢ ἴδοι ἢ ἀκούσειεν ἐντὸς τεσσάρων ἐνιαυτῶν ἀπαντῆσαν ναυάγιον. καὶ ἄλλος ἀλλαχῆ ἔλεγεν. ὁ δὲ πάλιν ἀντεπυνθάνετο, εἰ ἑωράκασι σῶμα γυναικὸς μετὰ βρεφῶν ἐκβεβρασμένον τῇ γῇ. πολλῶν οὖν πολλὰ λεγόντων ἑωρακέναι πτώματα κατὰ διαφόρους καιροὺς, ὁ πατὴρ ἀκούων ἐστέναζε. πλὴν ὑπὸ τῶν σπλάγχνων νενικημένος ἀλόγιστα ἐπυνθάνετο, τοσοῦτον θαλάσσης βυθὸν πειρώμενος ἐρευνᾶν· ὅμως συγγνωστὸς ἦν, ὅτι διὰ τὴν πρὸς τοὺς ζητουμένους στοργὴν ἐλπίσιν ἐβουκολεῖτο κεναῖς. καὶ δή ποτε ὑπὸ φροντισταῖς καταλιπών με καὶ ἐπιτρόποις δωδέκατον ἤδη γεγονότα ἔτος,

αὐτὸς δακρύων εἰς Πόρτον κατῆλθε· καὶ εἰς πλοῖον ἐμβὰς εἰς ἐπιζήτησιν
ἐκείνων ἐξέπλευσε· καὶ ἐξ ἐκείνου μέχρι καὶ νῦν οὔτε γράμματα παρ' αὐτοῦ
ἐδεξάμην, οὔτε ἐν ζῶσιν αὐτὸν εἶναι ἢ τεθνηκόσιν ὅλως ἐπίσταμαι. ·οπὴ
δέ μοι πλείων πρὸς τοῦτο τῆς διανοίας, ὅτι τέθνηκέ που, ἢ ὑπὸ λύπης
ἥττων γενόμενος, ἢ ναυαγίῳ περιπεσών. τούτου δὲ τεκμηρίῳ χρῶμαι, ὅτι ἐξ
ἐκείνου ἤδη λοιπὸν εἰκοστὸν ἔτος ἐστὶν, ἀφ' οὗ ἴχνος οὐδὲν ἀληθείας ἐμοὶ
περὶ αὐτοῦ ἤκουσται.

Ταῦτα ἀκούων ὁ Πέτρος ὑπὸ συμπαθείας ἐδάκρυε καὶ
εὐθέως τοῖς συνοῦσι γνησίοις εἶπεν· εἴ τις πέπονθεν εὐσεβὴς ἀνὴρ, οἷα ὁ
τούτου πατὴρ, εὐθέως ἂν τῷ τῆς θεοσεβείας λόγῳ ἢ τῷ πονηρῷ ἐπέγραφε
τὴν αἰτίαν· οὕτω καὶ τοῖς ταλαιπώροις ἔθνεσι συμβαίνει πάσχειν, καὶ
ἀγνοοῦμεν οἱ θεοσεβεῖς. ταλαιπώρους δὲ αὐτοὺς εὐλόγως εἴρηκα, ὅτι
καὶ ἐνταῦθα πλανῶνται, καὶ τῆς ἐκεῖθεν ἐλπίδος ἀποτυγχάνουσι. τοῖς
γὰρ ἐν θεοσεβείᾳ τὰ λυπηρὰ πάσχουσιν ἔκτισις αὐτὰ γίνεται τῶν
παραπτωμάτων.

Οὕτως εἰπόντος τοῦ Πέτρου εἷς τις τῶν ἐν ἡμῖν τολμήσας
ἀντὶ πάντων παρεκάλεσεν αὐτὸν, αὔριον ὀρθριαίτερον εἰς Ἄραδον τὴν κα-
τέναντι νῆσον ἐκπλεῦσαι, τριάκοντα οἶμαι οὐδὲ ὅλους σταδίους ἀπέχουσαν,
ἐπὶ ἱστορίᾳ τῶν ἐκεῖσε ἀμπελίνων δύο στύλων μέγιστα πάχη φερόντων. ὁ
γοῦν πειθήνιος Πέτρος ἐπένευσεν οὕτως εἰπών· ἐπὰν τοῦ πλοίου ἐκβῆτε, μὴ
ἅμα πάντες εἰσέρχησθε εἰς τὴν θεωρίαν, ὧν ἐπιθυμεῖτε. οὐ γὰρ βούλομαι
ὑμᾶς τὰς τῶν πολιτῶν ὄψεις πρὸς ἑαυτοὺς ἐπιστρέφειν. καὶ οὕτω πλεύσαν-
τες μιᾶς ὥρας κατήχθημεν εἰς τὴν νῆσον. ἐκβάντες δὲ τοῦ σκάφους εἰσῄει-
μεν, ἔνθα οἱ ἀμπέλινοι στύλοι ἦσαν· ὅμως καὶ μετὰ τῶν στύλων ἄλλος μὲν
ἄλλο τι τῶν Φειδίου ἔργων ἐθεώρει.

Πέτρος δὲ μόνος οὐκ ἀναγκαῖον ἡγήσατο ἐπὶ τὴν ἱστορίαν

τῶν ἐκεῖ γενέσθαι· γυναικὶ δέ τινι ἔξω πρὸ τῶν θυρῶν καθεζομένῃ καὶ τρο-
φῆς χάριν μεταιτούσῃ προσχὼν ἔφη· γύναι, τί σοι τῶν οἰκείων ἐλλείπει με-
λῶν, ὅτι τοσαύτην ὕβριν ἀνεδέξω, λέγω δὴ τὸ προσαιτεῖν, καὶ μὴ μᾶλλον ταῖς
ὑπὸ τοῦ θεοῦ σοι δεδωρημέναις χερσὶν ἐργαζομένη τὰς ἐφημέρους πορίζῃ
τροφάς; ἡ δὲ βύθιόν τι στενάξασα καὶ περιπαθὲς ἀπεκρίνατο· εἴθε γὰρ
ἦσάν μοι χεῖρες ὑπουργεῖν ὅλως δυνάμεναι. νῦν δέ μοι σχῆμα μόνον χειρῶν
ἀποσώζουσι νεκραὶ καὶ αὗται τυγχάνουσαι. καὶ ὁ Πέτρος· τίς δὲ ἡ αἰτία,
ἤρετο, τοῦ τοῦτό σε τὸ χαλεπώτατον πεπονθέναι; ἡ δὲ πρὸς αὐτόν· ψυχῆς
ἀσθένεια, καὶ πλέον οὐδέν. εἰ γὰρ ἀνδρεῖον εἶχον φρόνημα, ἦν κρημνὸς ἢ
βυθὸς, ὅθεν ἐμαυτὴν ·ίψασα τῶν ὀδυνώντων με παύσασθαι ἠδυνάμην κακῶν.

Καὶ ὁ Πέτρος ἔφη· τί οὖν, οἴει, γύναι, ὅτι πάντες οἱ
ἀναιροῦντες ἑαυτοὺς κολάσεως ἀπαλλάσσονται, ἢ μὴ τῇ χείρονι κολάσει ἐν
ᾅδου αἱ τῶν οὕτως θνησκόντων ψυχαὶ τῆς αὐτοκτονίας χάριν κολάζονται;
ἡ δὲ εἴθε ἐπεπείσμην, ἔφη, ὅτι ὄντως ἐν ᾅδου ψυχαὶ εὑρίσκονται ζῶσαι· καὶ
ἠγάπων ἂν παρ' οὐδὲν θεμένη τὴν τιμωρίαν ἀποθανεῖν, ὥστε τοὺς ἐμοὶ
περιποθήτους θεάσασθαι κἂν βραχύ. καὶ ὁ Πέτρος πρὸς ταῦτα· καὶ τί
ἄρα ἐστὶ τὸ λυποῦν σε; διψῶ γὰρ μαθεῖν. καὶ εἴ με διδάξεις, πίστεις σοι
παρέξω βεβαίας, ὅτι ἐν ᾅδου ζῶσιν αἱ ψυχαὶ, καὶ ἀντὶ κρημνοῦ ἢ βυθοῦ
ὀρέξω σοι φάρμακον, δι' οὗ τοῦ ζῆν ἀνωδύνως ἀπαλλαγήσῃ.

Καὶ ἡ γυνὴ τὸ ·ηθὲν οὐ συνεῖσα, ἡδέως δὲ μόνον ἁρπά-
σασα τὸ λεχθὲν, λέγειν ἤρξατο οὕτως· γένος μὲν καὶ πατρίδα σοι διηγή-
σασθαι, οὐκ οἶμαί ποτε πείσειν ἐμαυτὴν δυνηθῆναι· πλὴν ἀλλὰ καί σοι τί
διαφέρει τοῦτο μαθεῖν, ἢ μόνον τὴν αἰτίαν, ἧς ἕνεκεν ὀδυνωμένη δήγμασι τὰς

ἐμὰς ἐνέκρωσα χεῖρας; ὅμως τὰ κατ' ἐμαυτὴν ὡς δυνατὸν ἀκοῦσαί σε διηγή-
σομαι. ἐγὼ πάνυ ἐξ εὐγενῶν οὖσα δυνατοῦ τινὸς προσταγῇ ἀνδρὶ πρὸς γένους
αὐτῷ τυγχάνοντι ἐγενόμην γυνή· καὶ διδύμους υἱοὺς ἔχουσα καὶ τρίτον ἐπὶ
τούτοις υἱὸν ἔσχον. ὁ δὲ τοῦ ἐμοῦ ἀνδρὸς ἀδελφὸς ἐπιμανείς μου τῇ ὄψει καὶ
τῷ ἐμῷ ἔρωτι κατ' ἄκρας ἁλοὺς, καί τοι σωφρονεῖν σφόδρα τῆς ταλαιπώρου
φιλούσης καὶ μήτε συνθέσθαι τῷ ἐραστῇ βουλομένης, μήτε δὲ τῷ ἐμῷ ἀνδρὶ
πάλιν ἀναθέσθαι τὸν ἐπ' ἐμοὶ τοῦ ἀδελφοῦ ἔρωτα πρέπον εἶναι λογισαμένης,
ὡς ἂν μήτε τὴν τοῦ ἀνδρὸς κοίτην ὑβρίσω, μήτε τῷ ἀδελφῷ τὸν ἀδελφὸν
ἐκπολεμώσω καὶ τῷ ἐκείνου γένει μεγάλῳ ὄντι ὀνειδισμὸν ἐπαγάγω, τὴν
πόλιν ἐλογισάμην μετὰ τῶν ἐμῶν διδύμων παίδων ἐπὶ χρόνον τινὰ καταλι-
πεῖν, ἕως καὶ ὁ μιαρὸς ἔρως παύσεται τοῦ πρὸς ὕβριν με κολακεύσαντος.
τὸν μέν τοι ἕτερον υἱὸν παρὰ τῷ πατρὶ μεῖναι εἰς παραμυθίαν ἔγνων κατα-
λιπεῖν.

Πλὴν ἵνα ταῦτα οὕτω γένηται, ἐπενόησα καὶ ὄνειρον πλάσασθαι, ὡς δή τινος νύκτωρ ἐπιστάντος μοι καὶ εἰπόντος· ἐξαυτῆς ἅμα
τοῖς διδύμοις σου τέκνοις, ὦ γύναι, ἐπὶ χρόνον τινὰ μέχρις ὅτε μηνύσω σοι
πάλιν ἐπανελθεῖν, ἔκβηθι τὴν Ῥωμαίων· ἐπεὶ ἅμα ἀνδρὶ καὶ πᾶσί σου τοῖς
τέκνοις ἐκ τοῦ αἰφνιδίου κακῶς τελευτήσεις. ἅμα δὲ τῷ τὸν ὄνειρόν με ψεύ-
σασθαι πρὸς τὸν ἄνδρα, αὐτὸς περίφοβος γενόμενος τούς τε δύο υἱοὺς,
δούλους τε καὶ παιδίσκας, καὶ χρήματα συχνὰ ἐν πλοίῳ ἐνθέμενος εἰς Ἀθή-
νας ἐξέπεμψεν, ἐντειλάμενος τοὺς υἱοὺς ἐκπαιδεῦσαί με, μέχρις ἂν, φησὶ, τῷ

χρηματίσαντι δόξῃ ἐπανιέναι σε. καὶ δὴ σὺν ἅμα τέκνοις ἡ τάλαινα πλέουσα,
ὑπὸ ἀνέμων ἀταξίας εἰς τούτους ἀπορῥιφεῖσα τοὺς τόπους, νυκτὸς τῆς νηὸς
διαλυθείσης, ναυαγίῳ περιεπέσομεν. πάντων δὲ θανόντων ἡ ἀτυχὴς ἐγὼ
μόνη ὑπὸ σφοδροῦ κύματος ·ιπισθεῖσα ἐπὶ πέτρας ἐῤῥίφην· ἐφ' ἧς καθεσ-
θεῖσα ἐλπίδι τοῦ τὰ τέκνα με ζῶντα εὑρεῖν εἰς τὸν βυθὸν ἐμαυτὴν οὐκ
ἔῤῥιψα τότε, ὅτε καὶ τὴν ψυχὴν εἶχον τοῖς τῆς λύπης κύμασιν ἤδη μεμε-
θυσμένην, καὶ πρᾶξαι τοῦτο εὐπετῶς ἠδυνάμην.

Πλὴν ἐπειδὴ ὄρθρος ἐγένετο, μεγάλα βοῶσα καὶ γοερὰ
κωκύουσα περιεβλεπόμην, ζητοῦσα τῶν ἐμῶν ταλαιπώρων βρεφῶν τὰ νεκρὰ
σώματα. ἐλεήσαντες οὖν με οἱ ἐπιχώριοι καὶ γυμνὴν ἰδόντες ἐνέδυσαν. εἶτα
καὶ τὸν βυθὸν ἀνηρεύνων τὰ ἐμὰ τέκνα ζητοῦντες. ἐπεὶ δὲ μὴ εὕρισκον,
παραμυθίας χάριν τινὲς τῶν φιλοξένων γυναικῶν προσελθοῦσαι διηγοῦντο
ἑκάστη τὰ ἑαυτῆς κακὰ, ἵνα τῇ τῶν ὁμοίων συμφορᾷ παραμυθίας μέρος
ἐν τοῖς ἐμοῖς εὕροιμι· ὃ δή με καὶ μᾶλλον ἐλύπει, καὶ τὴν ψυχὴν ἐπὶ πλεῖον
κατήσθιε, γυναικῶν καὶ ἄλλων ἀκούουσαν συμφοράς. καὶ δὴ καὶ εἰς ξενίαν
πολλῶν με ἄγειν ἀξιουσῶν μία τις τῶν ἐνταῦθα πενιχρὰ πολλὰ βιασαμένη
εἰς τὸ ἑαυτῆς ἐλθεῖν ἀνέπεισε καταγώγιον θάρσει, λέγουσα· καὶ γὰρ ὁ ἐμὸς
ἀνὴρ, ναύτης δὲ οὗτος ἦν, κατὰ θάλασσαν τέθνηκε πάνυ νεώτερος ὤν. καὶ
ἐξ ἐκείνου πολλῶν με ἀξιούντων εἰς γάμον ἐλθεῖν ἐγὼ χηρεύειν εἱλόμην
τὸν ἐμὸν ἄνδρα ποθοῦσα. ἔσται δὲ κοινὰ ἡμῖν, ἃ διὰ χειρῶν ἀμφότεραι πο-
ρίζειν δυνάμεθα. καὶ ταῦτα μὲν ἐκείνη.

Ἐγὼ δὲ ἵνα μή σοι μηκύνω τοὺς ὑπὲρ τούτου λόγους, συν-
όκησα ταύτῃ διὰ τὴν φιλανδρίαν. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τῆς ταλαιπώρου

μὲν αἱ χεῖρες ἐμοῦ ὑπὸ τῶν δηγμάτων παρείθησαν, καὶ ἡ ὑποδεξαμένη με
αὕτη γυνὴ ὑπὸ πάθους τινὸς ὅλη συνδεθεῖσα σχεδὸν ἀκίνητος ἐπὶ τῆς οἰκίας
ἔῤῥιπται. ἐπεὶ οὖν ὁ τῶν πάλαι γυναικῶν ἔλεος ἤδη παρήκμασεν, ἐγὼ δὲ
καὶ ἡ κατ' οἶκον ἀμφότεραι συμφοραῖς ἐπίσης κεχρήμεθα, καθέζομαι νῦν
ὡς ὁρᾷς ἐνταῦθα προσαιτοῦσα, καὶ ὧν ἂν εὐπορήσω, κοινὰ ποιοῦμαι καὶ
τῇ συνταλαιπώρῳ. καὶ τὰ μὲν ἐμὰ τοῦτον ἔχει τὸν τρόπον. λοιπὸν σὺ μὴ
κωλύσῃς τὴν ὑπόσχεσιν πληρῶσαι τοῦ δοῦναι τὸ φάρμακον, ὅπως καὶ τῇ
συνοίκῳ θανεῖν ἐπιθυμούσῃ τοῦ δοθέντος κοινωνήσω, αὐτή τε μετασχοῦσα
τῆς ζωῆς ταύτης θᾶττον ἀπαλλαγῶ.

Ταῦτα τῆς γυναικὸς εἰπούσης ὁ Πέτρος ὑπὸ λογισμῶν
ἵστασθαι μετέωρος ἐδόκει. ἐγὼ δὲ ἐπιστὰς καὶ τὸν διδάσκαλον τῇ γυναικὶ
κοινολογούμενον οὕτω καταλαβὼν ἐκ πολλοῦ σε περιερχόμενος, ἔφην, ἐζή-
τουν· καὶ τὰ νῦν τί ποιητέον; ὁ δὲ Πέτρος προσέταξέ μοι προαγαγόντι μέ-
νειν ἐπὶ τοῦ πλοίου. καὶ ἐπειδὴ ἀντειπεῖν οὐκ ἦν οὕτω κελεύσαντι, τὸ προσ-
ταχθὲν ἐποίουν. ὁ δὲ Πέτρος μικρᾷ τινὶ ὑποψίᾳ, ὡς αὐτός μοι πάντα
ὕστερον διηγήσατο, παλλόμενος τὴν καρδίαν ἐπυνθάνετο τῆς
γυναικὸς λέγων· εἰπέ μοι, γύναι, τὸ γένος καὶ τὴν πόλιν καὶ τῶν
τέκνων δὴ τὰ ὀνόματα, καὶ παραχρῆμα δίδωμί σοι τὸ φάρμακον. ἡ δὲ
βιαζομένη μὲν καὶ εἰπεῖν οὐκ ἐθέλουσα, τὸ φάρμακον δὲ ὅμως
ἐφιεμένη λαβεῖν ἐσοφίσατο ἀντὶ ἄλλων εἰπεῖν ἕτερα, καὶ ὅμως αὐτὴν
μὲν Ἐφεσίαν εἶναι ἔφησε, τὸν ἄνδρα δὲ Σικελὸν, ὡσαύτως δὲ καὶ τῶν
τριῶν παίδων ἤμειψε τὰ ὀνόματα. καὶ ὁ Πέτρος οἰηθεὶς αὐτὴν
ἀληθεύειν οἴμοι γύναι, φησὶν, ἐνόμιζον μεγάλην τινὰ χαρὰν τῇ
σήμερον ἄγειν ἡμέρᾳ ὑπολαβών σέ τινα εἶναι, ἧς τὰ πράγματα ἀκούσας
ἀκριβῶς ἐπίσταμαι. ἡ δὲ ἐξώρκιζε λέγουσα· δέομαί σου, εἰπέ μοι, ἵνα εἰδῶ,
εἰ ἔστι τις ἐν γυναιξὶν ἄλλη ἀθλιωτέρα ἐμοῦ.

Καὶ ὁ Πέτρος ψεύδεσθαι οὐκ εἰδὼς καὶ ἄλλως ὑπὸ ἐλέους τοῦ πρὸς αὐτὴν ἑλκόμενος τὸ ἀληθὲς λέγειν ἤρξατο. ἐμοί τίς ἐστι νεανίας, ὦ γύναι, τῶν τῆς θεοσεβείας ὀρεγόμενος λόγων, Ῥωμαίων ὑπάρχων πολίτης, ὅστις μοι διηγεῖται, πῶς πατέρα τε ἔχων καὶ ἀδελφοὺς δύο διδύμους οὐδένα τούτων ὁρᾷ. ἥ τε γὰρ μήτηρ ὡς ὁ πατὴρ, φησὶ, διηγεῖτό μοι, ὄνειρον ἰδοῦσα τῆς Ῥωμαίων πόλεως ἐπὶ χρόνον τινὰ ἐξῄει μετὰ τῶν διδύμων αὐτῆς τέκνων, ἵνα μὴ κακῷ τελευτήσῃ θανάτῳ, καὶ σὺν αὐτοῖς ἐκβᾶσα νῦν οὐχ εὑρίσκεται· ὁ δὲ ταύτης μὲν ἀνὴρ, αὐτοῦ δὲ πατὴρ, καὶ αὐτὸς εἰς ἐπιζήτησιν αὐτῆς ἐκβὰς, οὐδὲ οὗτος εὑρίσκεται.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ἐπιστήσασα τὸν νοῦν αὐτοῖς ὑπὸ ἐκπλήξεως ἀπέψυξεν ἡ γυνή. ὁ δὲ Πέτρος νήφειν αὐτὴν παρακελευσάμενος, τί ποτέ ἐστιν ὃ πάσχεις, διεπυνθάνετο. ἡ δὲ ὥςπερ ἐκ μέθης ἀνενεγκοῦσα καὶ τὸ πρόσωπον τρίψασα καὶ ποῦ ἐστίν, ἔφη, ποῦ ὁ θρυλλούμενος νεανίας; συνεὶς δὲ ὁ Πέτρος τὸ δρᾶμα εἰπέ μοι σὺ πρῶτον,
ἔφη· ἄλλως γὰρ ἰδεῖν τοῦτον οὐ δύνασαι. ἡ δὲ σπεύδουσα ἐγὼ, φησὶν, ἡ τοῦ
νεανίσκου μήτηρ εἰμὶ, καὶ Κλήμης αὐτῷ ὄνομα. καὶ ὁ Πέτρος ἀκούσας αὐ-
τός ἐστιν, εἶπεν, αὐτός ἐστι. καὶ οὗτος ἦν ὁ πρὸ μικροῦ προσελθὼν καὶ
λαλήσας μοι, ὃν καὶ ἀναμένειν ἐν τῷ πλοίῳ προσέταξα. ἡ δὲ προσπεσοῦσα
τῷ Πέτρῳ ἠξίου σπεύδειν ἐπὶ τὸ πλοῖον. καὶ ὁ Πέτρος εἴ μοι τηρεῖς, ἔφη,
τὰς συνθήκας, καὶ τοῦτο ποιήσω. ἡ δὲ πάντα ποιῶ, φησὶ, μόνον μοι τὸ τέκνον τὸ μονογενὲς γνώρισον· δόξω γὰρ δι' αὐτοῦ καὶ τὰ δύο μου τὰ ἐνταῦ-
θα τεθνηκότα τέκνα ὁρᾶν. καὶ ὁ Πέτρος ἀλλ' ὅταν αὐτὸν ἴδῃς, ἡσύχασον,
μέχρις ἂν τῆς νήσου ἐκβῶμεν.

Λαβόμενος οὖν τῆς χειρὸς αὐτῆς ὁ Πέτρος ἦγεν ἐπὶ τὸ πλοῖον. ἐγὼ δὲ ἰδὼν χειραγωγοῦντα γυναῖκα ἐγέλασα, καὶ προσελθὼν εἰς τιμὴν αὐ-
τοῦ ἀντ' αὐτοῦ χειραγωγεῖν αὐτὴν ἐπειρώμην. καὶ ἅμα τῷ ἅψασθαί με τῆς
χειρὸς αὐτῆς ὀλολύξασα ὡς μήτηρ μέγα καὶ περιπλακεῖσα σφόδρα κατεφίλει
με τὸν αὐτοῦ υἱόν. ἐγὼ δὲ τὸ πρᾶγμα ὅπερ ἦν ἀγνοῶν ὡς μαινομένην ἀπε-

σειόμην, αἰδούμενος δὲ καὶ τὸν Πέτρον πικρίας ἐπληρούμην.

Ὁ δὲ Πέτρος ἔα, φησὶν, ὦ Κλήμη. τί γὰρ καὶ ποιεῖς οὕτως τήν σε τεκοῦσαν ἀποσειόμενος; ἐγὼ δὲ τοῦτο ἀκούσας, περίδακρυς γενόμενος καὶ καταπεσούσῃ τῇ τεκούσῃ προσπεσὼν κατεφίλουν. καὶ γὰρ ἅμα τῷ ·η-θῆναί μοι τοῦτο ἀμυδρῶς πως τὸ εἶδος ἀνεκαλούμην. πολλοὶ μὲν οὖν ὄχλοι συνέτρεχον ἱστορῆσαι τὸ θαῦμα, καὶ πᾶσιν αὐτοῖς διὰ στόματος ἦν, ὅπως ἀνὴρ οὕτως ἀξιόλογος τὴν προσαῖτιν γυναῖκα μητέρα ἑαυτοῦ ἀνεγνώρισεν. βουλομένοις οὖν ἡμῖν σὺν τῇ μητρὶ τῆς νήσου ἐκβαίνειν ἡ μήτηρ ὦ τέκνον μου ποθεινὸν, εἶπεν, εὔλογόν ἐστι συντάξασθαι καὶ τῇ ὑποδεξαμένῃ με γυναικὶ, ἥτις πενιχρὰ οὖσα καὶ ὅλη παρειμένη ἐπὶ τῆς οἰκίας ἔῤῥιπται. καὶ ὁ Πέτρος ἀκούσας ἐθαύμασεν, ἀλλὰ καὶ πάντες οἱ περιεστῶτες ὄχλοι τὸ τῆς γυναικὸς ἀγαθὸν φρόνημα, καὶ εὐθέως ἐκέλευσέ τισι πορευθῆναι καὶ τὴν γυναῖκα ἐπὶ κλίνης κομίσαι. ἧς ἐνεχθείσης τεθῆναι μὲν ἐπιτάττει τὴν κλίνην· αὐτὸς δὲ ὑπὸ ταῖς πάντων ἀκοαῖς εἰ ἀληθείας κήρυξ ἐγὼ, ἔφη, ἐγερθήτω ἐξαυτῆς ὑγιὴς εἰς τὴν τῶν παρεστώτων πίστιν, ἵνα γνῶσιν, ὅτι εἷς ἐστι θεὸς ὁ τὸν κόσμον ποιήσας. ὁ μὲν οὖν ταῦτα εἶπε· καὶ ἡ γυνὴ εὐθὺς ὑγιὴς ἀναστᾶσα τῆς κλίνης τῷ Πέτρῳ προσέπεσεν. εἶτα καὶ τὴν συνήθη καὶ φίλην καταφιλήσασα ἐπυνθάνετο, τί εἴη τοῦτο. ἡ δὲ ὅλον αὐτῇ τὸ πρᾶ-γμα τοῦ ἀναγνωρισμοῦ διηγήσατο, καὶ οἱ ἀκούσαντες κατεπλάγησαν. τότε ἡ μήτηρ τὴν ξενοδόχον ἰαθεῖσαν παραδόξως ἰδοῦσα παρεκάλει καὶ αὐτὴ θε-ραπείας τυχεῖν. ὁ Πέτρος δὲ τὴν χεῖρα ἐπιθεὶς καὶ αὐτὴν ἐθεράπευσεν.

Εἶτα περὶ εὐσεβείας διαλεχθεὶς ἐπὶ τῷ τέλει δὲ καὶ προσθεὶς,

ὡς εἴ τις βούλεται ταῦτα μαθεῖν ἀκριβῶς, εἰς Ἀντιόχειαν ἀφικόμενος, ὅπου πλείους ἡμέρας ἔκρινα παραμένειν, ἐκεῖ ταῦτα καὶ μανθανέτω. εἰ γὰρ ἐμπορίας ἕνεκεν ἢ στρατείας οἰκίας καταλιμπάνειν οἴδατε καὶ εἰς μακροὺς ἀπιέναι τόπους, αἰωνίας δὲ χάριν ζωῆς οὐδὲ τριῶν ἡμερῶν ὁδὸν οἴχεσθαι προθυμήσεσθε; οὕτως εἰπὼν, τὸν λόγον κατέπαυσε. μετὰ δὲ ταῦτα ἐγὼ τῇ ὑγιασθείσῃ γυναικὶ ἐπὶ παντὸς τοῦ ὄχλου χιλίας δραχμὰς εἰς τροφὰς δωρησάμενος, εἶτα καὶ παραθέμενος αὐτὴν ἀγαθῷ τινι ἀνδρὶ πρώτῳ τῆς πόλεως ὄντι, φύσει μετὰ χαρᾶς τοῦτο πράττειν προῃρημένῳ, ἔτι δὲ καὶ ἄλλαις πολλαῖς ἀργύρια διανείμας ταῖς ποτε τὴν μητέρα παραμυθησαμέναις, εὐχαριστήσας τῷ κυρίῳ διέπλευσα εἰς Ἀντάραδον ἅμα τῇ μητρὶ καὶ Πέτρῳ καὶ τοῖς λοιποῖς ἑταίροις, καὶ οὕτως εἰς ξενίαν ὡρμήσαμεν.

Γενομένων δὲ ἡμῶν ἐπὶ τὸ αὐτὸ καὶ τροφῆς μεταλαβόντων, τεινομένης ἔτι τῆς ὥρας ἔφην ἐγὼ τῷ Πέτρῳ· φιλανθρωπίας ἔργον, κύριέ μου Πέτρε, ἡ ἐμὴ πεποίηκε μήτηρ τῆς ξενοδόχου ὑπομνησθεῖσα γυναικός. καὶ ὁ Πέτρος ἀπεκρίνατο· ἆρά γε, ὦ Κλήμη, ἀληθῶς νενόμικας φιλανθρωπίας ἔργον πεποιηκέναι τήν σε τεκοῦσαν, καθ' ὃ τὴν ἀπὸ ναυαγίου αὐτὴν ὑποδεξαμένην ἠμείψατο, ἢ ὡς μητρὶ χαριζόμενος τοῦτο εἴρηκας; εἰ δὲ μὴ χαριζόμενος, ἀλλ' ὡς ἀληθεύων ἔφης, ἔοικάς μοι ἀγνοεῖν, τί ποτέ ἐστι φιλανθρωπίας μέγεθος, ἥτις ἐστὶν ἄνευ τοῦ φυσικῶς πείθοντος ἡ πρὸς οἷον δή ποτε στοργὴ, καθ' ὃ ἄνθρωπός ἐστιν. ἀλλ' οὐδὲ ἡ ξενοδόχος ἡ ἀπὸ ναυαγίου τήν σε τεκοῦσαν ὑποδεξαμένη φιλάνθρωπος ἂν παρ' ἐμοὶ λέγοιτο. ὑπὸ γὰρ ἐλέους κολασθεῖσα ἐπέπειστο γενέσθαι γυναικὸς εὐεργέτις, ναυαγίῳ περι-πεσούσης, τέκνα πενθούσης, ξένης, γυμνῆς, μεμονωμένης, καὶ σφόδρα ἐπὶ ταῖς συμφοραῖς ὀλοφυρομένης. ἐν τοσαύταις οὖν αὐτὴν συμφοραῖς οὖσαν τίς οὐκ ἂν ἰδὼν ἐλεήσειε καὶ τῶν ἀσεβῶν; ὥστε οὔπω φιλανθρωπίας ἔργον οὐδὲ ἡ ξενοδόχος γυνὴ πεποιηκυῖα πρὸς αὐτὴν φαίνεται, ἀλλ' ὑπὸ τοῦ ἐπὶ μυρίαις συμφοραῖς ἐλέου πρὸς εὐεργεσίαν κεκινημένη. καὶ γὰρ ἥ σε τεκοῦσα βίου εὐπορήσασα καὶ τὴν ξενοδόχον ἀμειψαμένη οὐ φιλανθρωπίας, ἀλλὰ φιλίας ἐποίησεν

ἔργον. πολλὴ δὲ διαφορὰ μεταξὺ φιλίας τε καὶ φιλανθρωπίας, ὅτι ἡ μὲν φιλία ἐξ ἀμοιβῆς γίνεται, ἡ φιλανθρωπία δὲ ἄνευ τοῦ φυσικῶς πείθοντος πάντα ἄνθρωπον, καθὸ ἄνθρωπός ἐστι, φιλοῦσα εὐεργετεῖ. εἰ μὲν οὖν ἡ ἐλεήσασα ξενοδόχος αὕτη καὶ ἀδικήσαντας ἐχθροὺς ἐλεοῦσα εὐεργετεῖ, φιλάνθρωπος ἂν εἴη· εἰ δὲ διότι φίλη ἢ ἐχθρὰ, ἡ φίλη τοιαύτη τοῦ τινὸς αἰτίου φίλη ἐστὶν ἢ ἐχθρὰ, οὐ τοῦ ἀνθρώπου.

Κἀγὼ ἀπεκρινάμην· οὐ δοκεῖ σοι οὖν φιλάνθρωπος εἶναι κἂν ἡ ξενοδόχος ξένην, ἣν οὐκ ἠπίστατο, εὐεργετήσασα; καὶ ὁ Πέτρος· ἐλεή-μονα μὲν αὐτὴν εἰπεῖν ἐπίσταμαι, φιλάνθρωπον δὲ οὐ τολμῶ λέγειν, ἅτε δὴ μηδὲ τὴν τεκοῦσαν φιλότεκνον, ὑπὸ ὠδίνων γὰρ καὶ ἀνατροφῆς στέργειν πέ-πεισται. ὥσπερ γὰρ ὁ ἐρῶν ὑπὸ τῆς συνηθείας κολακεύεται, καὶ ὁ φίλος ὑπὸ τῆς ἀμοιβῆς, οὕτω καὶ ὁ ἐλεῶν ὑπὸ τῆς συμφορᾶς. πλὴν ἐγγὺς ὁ ἐλεήμων τῷ φιλανθρώπῳ, ὅτι ἄνευ τοῦ τι θηράσαι καὶ λαβεῖν εὐεργετεῖν πείθεται, οὔπω δὲ καὶ φιλάνθρωπος. κἀγὼ ἀπεκρινάμην· ἐπὶ ποίαις οὖν πράξεσι φι-λάνθρωπός τις εἶναι δύναται; καὶ ὁ Πέτρος ἀπεκρίνατο· ἐπεὶ ὁρῶ σε γλι-χόμενον ἀκοῦσαι, τί ποτέ ἐστι φιλανθρωπίας ἔργον, οὐκ ὀκνήσω εἰπεῖν. φι-λάνθρωπος ἐκεῖνός ἐστιν ὁ καὶ ἐχθροῖς ἡμέρως καὶ εὐεργετικῶς προσφερό-μενος. ὅτι δὲ οὕτως ἔχει, σαφῶς ἄκουε. τὴν φιλανθρωπίαν ἐκ δύο μοι νόει συγκεῖσθαι μερῶν, ὧν τὸ μὲν αὐτῆς ἐλεημοσύνη, τὸ δὲ ἀγάπη ἐστὶν ἡ πρὸς τὸν πλησίον· πλησίον δὲ ἀνθρώπῳ ἐστὶν ὁ πᾶς ἄνθρωπος, οὐχ ὅτι εἷς ἄν-θρωπος. ἄνθρωπος γάρ ἐστι καὶ ὁ κακὸς καὶ ὁ ἀγαθὸς, καὶ ὁ ἐχθρὸς καὶ ὁ φίλος. χρὴ οὖν τὸν φιλανθρωπίαν ἀσκοῦντα μιμητὴν εἶναι θεοῦ, εὐεργε-τοῦντα δικαίους τε καὶ ἀδίκους, ὡς αὐτὸς ὁ θεὸς ἐν τῷ νῦν κόσμῳ τόν τε

ἥλιον καὶ τοὺς ὑετοὺς αὐτοῦ πᾶσι παρέχων. εἰ δὲ θέλεις ἀγαθοὺς μὲν εὐεργετεῖν, κακοὺς δὲ κολάζειν, κριτοῦ ἔργον πράττειν ἐπιχειρεῖς.

Κἀγὼ ἔφην· ἆρά γε καὶ ὁ θεὸς τότε μέλλων κρίνειν, ὡς διδάσκεις ἡμᾶς, οὐ φιλάνθρωπός ἐστι; καὶ ὁ Πέτρος· τοὐναντίον λέγεις. ἐπεὶ γὰρ κρίνει, φιλάνθρωπός ἐστι. φιλῶν γὰρ καὶ ἐλεῶν τοὺς ἠδικημένους τιμωρεῖται τοὺς ἀδικήσαντας. κἀγὼ ἔφην· οὐκοῦν εἰ κἀγὼ ἀγαθοὺς μὲν εὐεργετῶ, τοὺς δὲ ἀδικοῦντας καθ' ὃ ἀνθρώπους ἠδίκησαν τιμωροῦμαι, φιλάνθρωπός εἰμι. καὶ ὁ Πέτρος ἀπεκρίνατο· εἰ μετὰ τοῦ πρόγνωσιν ἔχειν ἐφεῖτό σοι καὶ ἡ τοῦ κρίνειν ἐξουσία, ὀρθῶς ἂν τοῦτο ἐποίεις, διὰ μὲν τοῦ εἰληφέναι τὴν ἐξουσίαν καταδικάζων οὓς ὁ θεὸς ἐδημιούργησε, διὰ δὲ τὴν πρόγνωσιν ἀπταίστως ἐν τῷ κρίνειν οὓς μὲν ὡς δικαίους δικαιῶν, οὓς δὲ ὡς ἀδίκους καταδικάζων. κἀγὼ ἔφην· ὀρθῶς ἔφης καὶ ἀληθῶς· ἀδύνατον γάρ τινα πρόγνωσιν οὐκ ἔχοντα κρίνειν ὀρθῶς. ἐνίοτε γὰρ φαίνονταί τινες ἀγαθοὶ, ἀθέμιτα κρύφα διαπραττόμενοι· ἔνιοι δὲ ἀγαθοὶ, ὑπὸ διαβολῆς ἐχθρῶν κακοὶ ὑπολαμβανόμενοι. ἀλλ' εἰ καὶ τοῦ βασανίζειν καὶ ἀνακρίνειν ἐξουσίαν τις ἔχων δικάζει, οὐδὲ οὕτως ἕξει πάντως τὸ δικαίως δικάζειν. ἔνιοι γὰρ φονεῖς ὄντες, εἶτα τὰς βασάνους ὑπενεγκόντες, ἀφείθησαν ὡς ἀθῷοι· ἕτεροι δὲ πάλιν ἀθῷοι τυγχάνοντες, τὰς βασάνους οὐχ ὑπομείναντες, καὶ διὰ τοῦτο καταψευσάμενοι ἑαυτῶν, ὡς αἴτιοι ἐκολάσθησαν.

Καὶ ὁ Πέτρος ἔχει μετρίως καὶ ταῦτα, ἔφη· τὸ δὲ μεῖζον ἄκουσον. ἐνίων ἀνθρώπων ἁμαρτανόντων ἢ εὖ πραττόντων, ἃ μὲν ὧν ποιοῦσιν ἴδιά ἐστιν αὐτῶν, ἃ δὲ καὶ ἀλλότρια· δίκαιον δὲ ἕκαστον ἐπὶ τοῖς ἰδίοις ἁμαρτήμασι τιμωρεῖσθαι, ἢ ἐπὶ τοῖς κατορθώμασιν ἀμοιβῆς ἀξιοῦσθαι. ἀδύνατον δέ τινι πλὴν προφήτῃ μόνῳ πρόγνωσιν ἔχοντι τὰ ὑπό τινος γενό-

μενα εἰδέναι σαφῶς, ποῖα μὲν αὐτοῦ ἐστὶν ἴδια, ποῖα δὲ οὐκ ἔστι. κἀγὼ
ἔφην· ἐβουλόμην μαθεῖν, πῶς τῶν ἀδικημάτων ἢ κατορθωμάτων τὰ μὲν
ἴδια, τὰ δὲ ἀλλότρια τυγχάνει. καὶ ὁ Πέτρος μοι ἀπεκρίνατο· ὁ κύριος ἡ-
μῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ἔφη· τὰ ἀγαθὰ ἐλθεῖν δεῖ· μακάριος
δὲ, φησὶ, δι' οὗ ἔρχεται. ὁμοίως ἀνάγκη καὶ τὰ κακὰ ἐλθεῖν· οὐαὶ δὲ δι' οὗ
ἔρχεται. εἰ δὲ διὰ κακῶν ἔρχεται τὰ κακὰ, καὶ διὰ ἀγαθῶν ἀγαθὰ φέρε-
ται, προσεῖναι δεῖ ἑκάστῳ, εἴτε ἀγαθὸν ἔπραξεν, εἴτε φαῦλον, ἵνα καὶ τὸ
εἰρημένον ὑπὸ τοῦ πνεύματος· ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ,
ἀληθὲς ᾖ πάντως καὶ ἀναμφίλογον. πλὴν ἀλλὰ τὸν ἀρετῆς ὅλως ἀντι-
ποιούμενον δέον ἐστὶν, ὡς ὁ Χριστὸς εἴρηκε, καὶ τοὺς ἐχθροὺς ἀγαπᾶν· ἔτι
μὴν καὶ ὑπὲρ αὐτῶν εὔχεσθαι, καὶ τοὺς λοιδοροῦντας εὐλογεῖν, καὶ τοῖς ἐπη-
ρεάζουσι συγχωρεῖν. οὕτω γὰρ ἀκριβὴς ἔσται φύλαξ τῶν ἐντολῶν, καὶ
τὰ ἁμαρτήματα πάντα διὰ τῆς εἰς τὸν πλησίον ἀγάπης συγχωρηθεὶς ἀπε-
λεύσεται.

Τούτων ἀκούσας αὐτὸς τἆλλα μὲν πράττειν εἶναι δυνατὸν
ἔφην· ἐχθροὺς δὲ εὐεργετεῖν, πᾶσαν αὐτῶν ὑποφέροντα τὴν ἐπήρειαν, οὐκ
οἶμαι δυνατὸν ἀνθρωπείᾳ προσεῖναι φύσει. καὶ ὁ Πέτρος ὀρθῶς ἔφης,
ἀπεκρίνατο. ἀθανασίας γὰρ αἰτία οὖσα ἡ φιλανθρωπία, πολλοῦ δίδοται.
ἐὰν γὰρ πληροφορηθῇ τις, ὅτι οἱ ἐχθροὶ πρὸς καιρὸν κακουχοῦντες οὓς μι-
σοῦσιν, αἰωνίου κολάσεως ἀπαλλαγῆς αὐτοῖς αἴτιοι γίνονται, ὡς εὐεργέτας
αὐτοὺς ἀγαπήσουσιν. ἄλλως δὲ ἀδύνατόν τινα τὴν τοιαύτην ἐντολὴν κατορ-
θῶσαι, εἰ μὴ σφόδρα τὸν θεὸν ἀγαπῶν εἴη, τῷ τούτου φόβῳ παιδαγωγού-

μενος. φησὶ γάρ· ἀρχὴ σοφίας φόβος θεοῦ. τῷ ἐκείνου δὲ φόβῳ στοιχειωθείς
τις εἰς ἀγάπην ἥξει πάντως, καὶ οὕτως ἕξει καὶ τὸν πλησίον ὡς ἑαυτόν.
ταῦτα τοῦ Πέτρου εἰπόντος ἑσπέρας ἐπικαταλαβούσης εἰς ὕπνον ἐτρά-
πημεν.

Ὄρθρου δὲ γενομένου εἰσιὼν ὁ Πέτρος ἔφη· ὁ μὲν Κλή-
μης μετὰ τῆς ἑαυτοῦ μητρὸς Ματθιδίας καὶ τῆς ἐμῆς γυναικὸς ἅμα ἐπὶ τοῦ
ὀχήματος καθεζέσθωσαν. ὁρμώντων δὲ ἡμῶν τὴν ἐπὶ Βαλαναίας ὁδὸν
ἐπύθετό μου ἡ μήτηρ, πῶς ὁ πατὴρ διάγει. κἀγὼ ἔφην· ἐπὶ ζήτησίν σου καὶ
τῶν διδύμων υἱῶν Φαυστίνου τε καὶ Φαυστινιανοῦ ἐξελθὼν, ἀνεύρετος
μένει. οἶμαι δὲ τάχα καὶ τελευτῆσαι αὐτὸν, ἢ ναυαγίῳ περιπεσόντα, ἢ ἐν
ὁδῷ σφαλέντα, ἢ τηκεδόνι λύπης μαρασμὸν ὑπομείναντα. ἡ δὲ ἀκούσασα
καὶ ἐπίδακρυς γενομένη ἐστέναζε μὲν καὶ λυπηρῶς εἶχε· τῇ δ' ἐμῇ εὑρέσει
τὸ πολὺ τῆς λύπης παρεμυθεῖτο. κατηντήσαμεν οὖν εἰς Βαλαναίας, καὶ
τῇ ἐπιούσῃ εἰς Πάλτον ἤλθομεν, κἀκεῖθεν εἰς Γάβαλα. τῇ δὲ ἑτέρᾳ κα-
τηντήσαμεν εἰς Λαοδίκειαν, καὶ ἰδοὺ πρὸ τῶν θυρῶν Νικήτης τε καὶ Ἀκύλας
ἀπήντων ἡμῖν, καὶ καταφιλήσαντες ἦγον ἐπὶ τὴν ξενίαν. ὁ δὲ Πέτρος κα-
λὴν καὶ μεγάλην πόλιν ἰδὼν ἄξιον, ἔφη, ἐνταῦθα ἡμέρας ἡμᾶς προσμεῖναι.
δυνατὸν γὰρ ἐν τῷ πλήθει καί τινας εὑρέσθαι τῆς τοῦ Χριστοῦ μερίδος
ἀξίους. ὁ μὲν οὖν Νικήτης καὶ Ἀκύλας ἐπυνθάνοντό μου, τίς ἂν εἴη ἡ
ξένη αὕτη γυνή. κἀγὼ ἔφην· ἐμὴ μήτηρ, ἣν ἐπιγνῶναί μοι ὁ θεὸς διὰ Πέτρου
τοῦ κυρίου μου ἐδωρήσατο.

Ταῦτά μου εἰπόντος ὁ Πέτρος αὐτοῖς ἐν κεφαλαίῳ πάντα
ἐξέθετο, ὅσα τε παρὰ τῆς μητρὸς ἀκούσειε, καὶ ὅσα πρότερον παρ' ἐμοῦ
μάθοι, περί τε τοῦ πεπλασμένου ὀνείρου, περί τε τῆς ἐν τῷ πλοίῳ μετὰ

καὶ τῶν υἱῶν ναυαγίας, καὶ ὅπως ὕστερον ὁ πατὴρ εἰς ἀναζήτησιν τῆς γυ-
ναικὸς καὶ τῶν διδύμων αὐτῆς παίδων ἐκβὰς ἄχρι τῆς δεῦρο διέμεινεν ἄγνωσ-
τος, κινδύνῳ τυχὸν καὶ αὐτὸς θαλαττίῳ περιπεσών.

Τούτων οὕτω κεφαλαιωδῶς ·ηθέντων ὑπὸ τοῦ Πέτρου ὁ Νικήτης καὶ Ἀκύλας καταπλαγέντες ἆρά γε δέσποτα καὶ κύριε τῶν ἁπάντων, εἶπον, ἀληθὲς, ἢ ὄνειρός ἐστι ταῦτα; καὶ Πέτρος εἰ μὴ κοιμώμεθα, ἔφη, ἀληθὲς τυγχάνει. οἱ δὲ βραχὺ μείναντες καὶ ὥσπερ ἐπὶ συννοίας γενόμενοι ἡμεῖς ἐσμὲν Φαυστῖνος καὶ Φαυστινιανὸς, ἔφασαν. καὶ ἀπαρχῆς σου διαλεγομένου ἀλλήλοις ἐμβλέποντες πολλὰ περὶ αὐτῶν κατεστοχαζόμεθα, μὴ ἄρα οὐχ ἡμῖν διαφέρῃ τὰ λεγόμενα· λογιζόμενοι [δὲ,] ὅτι πολλὰ παρόμοια γίνεται ἐν τῷ βίῳ· διὸ καὶ ἐσιωπῶμεν παλλόμενοι τὰς καρδίας· πρὸς δὲ τὸ τέλος νῦν τῶν λεγομένων ἰδόντες καὶ γνόντες ἀκριβῶς, ὅτι περ ἡμῖν διαφέρει τὰ εἰρημένα, τότε ἑαυτοὺς ἀνωμολογήσαμεν. καὶ τοῦτο εἰπόντες μετὰ δακρύων ἐπεισῆλθον τῇ μητρὶ, καὶ κοιμωμένην εὑρόντες περιπλέκεσθαι ἤδη ἐβούλοντο. ὁ δὲ Πέτρος ἐκώλυσεν αὐτοὺς εἰπών· ἐάσατέ με, αὐτὸς ὑμᾶς τῇ μητρὶ προσαγάγω, μήπως ὑπὸ τῆς πολλῆς αἰφνιδίου χαρᾶς καὶ εἰς ἔκστασιν ἔλθοι φρενῶν, ἅτε δὴ καὶ κοιμωμένη καὶ τὸ πνεῦμα ὑπὸ τοῦ ὕπνου ἀπησχολημένον ἔχουσα.

Ὅμως ἐπεὶ κόρον ἔσχε τοῦ ὕπνου, διεγερθείσῃ τῇ μητρὶ ὁ Πέτρος περὶ θεοσεβείας αὐτῇ διελέχθη πρότερον εἰπών· γινώσκειν σε θέλω, γύναι, τῆς ἡμετέρας πίστεως τὴν ἀκρίβειαν. ἕνα γὰρ θεὸν σέβομεν τὸν πεποιηκότα οὐρανόν τε καὶ γῆν καὶ ὃν ὁρᾷς κόσμον, καὶ τούτου φυλάσσομεν τὸν νόμον,

περιέχοντα ἐν πρώτοις αὐτὸν σέβειν μόνον, καὶ τὸ αὐτοῦ ἁγιάζειν ὄνομα,
τιμᾶν τε γονεῖς καὶ σωφρονεῖν βιοῦν τε ἀνεπιλήπτως, καὶ τραπέζης ἐθνικῆς
μὴ μετέχειν, διὰ τὸ ἀκαθάρτως αὐτοὺς πολιτεύεσθαι. ὅταν δὲ πείσωμεν
αὐτοὺς τὰ τῆς ἀληθείας φρονεῖν τε καὶ ποιεῖν, τοῦ ἱεροῦ βαπτίσματος ἀξιώ-
σαντες ἐν τρισμακαρίᾳ τινὶ ἐπονομασίᾳ, τότε δὴ αὐτοῖς καὶ συναυλιζόμεθα.
ἐπεὶ οὐδ' ἂν πατὴρ ἢ μήτηρ τυγχάνῃ, ἢ γυνὴ, ἢ τέκνον, ἢ ἀδελφὸς, ἢ ἄλλος
τις ἐκ φύσεως τὴν στοργὴν ἔχων, συνεστιᾶσθαι αὐτῷ θεμιτὸν ἡμῖν. πίστει
γὰρ διαφερόντως τοῦτο ποιοῦμεν. μὴ οὖν ὕβριν ἡγήσῃ τὸ μὴ συνεστιᾶσθαί
σοι τὸν υἱὸν, ἄχρις ἂν τὰ αὐτὰ ἡμῖν φρονῇς καὶ ποιῇς.

Ἡ δὲ ἀκούσασα ἔφη· τί οὖν κωλύει με σήμερον βαπτισθῆναι;
ἤτις καὶ πρὸ τοῦ ἰδεῖν σε τοὺς λεγομένους θεοὺς ἀπεστράφην λογισμῷ τοιού-
τῳ, ὅτι πολλὰ σχεδὸν καθ' ἡμέραν θυούσῃ μοι τούτοις ἐν ταῖς ἀνάγκαις οὐ
παρεστάθησάν μοι. περὶ δὲ μοιχείας τί δεῖ με καὶ λέγειν; ὁπότ' ἂν οὐδὲ
πλουτοῦσαν τρυφή με πρὸς τοῦτο ἠπάτησεν, οὐδὲ ἡ μετὰ ταῦτα πενία ἐπὶ
τοῦτό γε ἐλθεῖν κατηνάγκασεν, ἅτε δὴ τῆς σωφροσύνης ὡς μεγίστου καλοῦ
ἀντιποιουμένης μου, ἧς ἕνεκα καὶ εἰς τοσαύτην ἦλθον περίστασιν. ἀλλ' οὐδέ
σε οἶμαι, κύριέ μου Πέτρε, ἀγνοεῖν, ὅτι ἡ πλείων ἐπιθυμία ἐξ εὐθυμιῶν
γίνεται· ὅθεν ἐγὼ ἐν εὐθυμίᾳ σωφρονήσασα ἐν δυσθυμίᾳ πρὸς ἡδονὰς
ἑαυτὴν οὐκ ἐκδίδωμι. ἀλλὰ μηδὲ νῦν κακουχίας ἀπηλλάχθαι νομίσῃς μου
τὴν ψυχὴν τὴν ποσῶς παραμυθίας τυχοῦσαν διὰ τὴν Κλήμεντος ἀναγνώ-
ρισιν· ἀντεισερχομένη γὰρ ἡ ἐκ τῶν δύο μου τέκνων ἀθυμία καὶ τὴν πο-
σῶς ἀμαυροῖ χαράν. λυπεῖ γὰρ ἡμᾶς οὐ τοσοῦτον τὸ ἐν τῇ θαλάσσῃ τού-

τους παραπολέσθαι, ὅσον τὸ χωρὶς τῆς εἰς θεὸν εὐσεβείας διαφθαρῆναι
μετά γε τῶν ψυχῶν αὐτοῖς καὶ τὰ σώματα. ὁ δὲ τούτων πατὴρ, ἐμὸς δὲ
σύνευνος, ὡς παρὰ Κλήμεντος ἔμαθον, ἐπί τε τὴν ἐμὴν καὶ τῶν υἱῶν ζή-
τησιν ἐκβὰς τοσούτοις ἔτεσιν ἀφανής ἐστι· πάντως δὲ καὶ αὐτὸς ἐτελεύτησε.
καὶ γὰρ ὁ ταλαίπωρος ὑπὸ σωφροσύνης με ἀγαπῶν φιλότεκνος ἦν· ὅθεν
πάντων ἡμῶν τῶν ὑπὲρ πάντα ἠγαπημένων αὐτῷ στερηθεὶς ὁ γέρων ὑπὸ μεγίστης ἀθυμίας διαπεφώνηκε.

Τῆς δὲ μητρὸς ταῦτα λεγούσης ἀκούοντες οἱ παῖδες οὐκέτι κατὰ τὴν τοῦ Πέτρου παραίνεσιν ἠδύναντο στέγειν· ἀλλ' ἀναστάντες περιεπλέ-
κοντό τε αὐτῇ καὶ σὺν δάκρυσι κατεφίλουν. ἐφ' ᾧ δὴ καὶ ἡ μήτηρ κατα-
πλαγεῖσα, τί θέλοι τοῦτο εἶναι, ὑπὸ ἐκστάσεως ὥσπερ καὶ ἀγνοίας τῶν γινο-
μένων ἠρώτα. καὶ ὁ Πέτρος εὐθὺς παράστησον, ὦ γύναι, εἴρηκε, γενναίως
τὸν νοῦν σου, ὥστε τῶν σῶν ἡδέως ἀπολαῦσαι τέκνων. οὗτοι γάρ εἰσι Φαυ-
στῖνος καὶ Φαυστινιανὸς, οὓς ἔλεγες ἐν βυθῷ τεθνάναι, καὶ ὧν τὸ πένθος
ἀβίωτον ἐτίθει σου τὴν ζωήν. πῶς δὲ αὐτῶν ὁ μὲν Νικήτης, ὁ δὲ Ἀκύ-
λας καλεῖται, αὐτοὶ καλῶς λεγέτωσάν τε καὶ διδασκέτωσαν. ταῦτα τοῦ Πέ-
τρου εἰπόντος ἡ μήτηρ ἀμέτρου πλησθεῖσα χαρᾶς μικροῦ ἂν ἀπολελοίποι
καὶ τὴν πνοήν· ἀνενεγκοῦσα δὲ ὅμως καὶ ὥσπερ ἑαυτῆς γενομένη τέκνα
μου ποθεινὰ, ἔφη, τέκνα γλυκύτατα, τέκνα καρδίας καύσωνες τῆς ἐμῆς εἴπα
τέ μοι, τίνα δὴ τὰ μετὰ τὴν χαλεπὴν ἐκείνην νύκτα συμβάντα ὑμῖν.

Καὶ ὁ Νικήτης αὐτίκα τὸν λόγον ἀναλαβὼν οὕτως ἔφη· ἡμῖν,
ὦ μῆτερ, ὡς οἶσθα, τοῦ πλοίου κατὰ τὴν νύκτα διαῤῥαγέντος ἄνδρες τινὲς
ἐν τῷ βυθῷ λῃστεύειν οὐ δεδοικότες ἡμᾶς ἀνελόμενοι καί τινι ἐνθέμενοι σκά-

φει, ἔπειτα δὲ καὶ κώπαις χρώμενοι εἰς τὴν Στράτωνος ἦγον Καισάρειαν.
κἀκεῖ σφόδρα συνεχομένους ἡμᾶς τῷ λιμῷ, πρὸς δὲ καὶ περιδεεῖς ὄντας, μή
τι καὶ προπετὲς καὶ τῶν αὐτοῖς οὐ δοκούντων φθεγξώμεθα, ἐκεῖνοι τὰ ὀνό-
ματα ἡμῶν διαμείψαντες εἰς δουλείαν ἀθλίως ἀπέδοντο. γυνὴ δέ τις ἡμᾶς
Ἰουδαίοις προσήλυτος ἀξιόλογος πάνυ ὄνομα Ἰούστα ὠνησαμένη ἐν τέκνων
ἐφύλαττε μοίρᾳ καὶ πάσῃ ἑλληνικῇ παιδείᾳ μετὰ σπουδῆς ἐξεπαίδευσεν. ἡμεῖς
δὲ γενόμενοι ἐφ' ἡλικίας ἔμφρονες καὶ τὴν θρησκείαν ἠγαπήσαμεν καὶ τὰ
τῆς παιδείας ἐφιλοπονήσαμεν, ὅπως πρὸς τὰ λοιπὰ ἔθνη διαλεγόμενοι ἐλέγ-
χειν αὐτὰ περὶ πλάνης δυνατῶς ἔχωμεν. ἠκριβώσαμεν δὲ καὶ τὰ φιλοσό-
φων, ἐξαιρέτως τὰ ἀθεώτατα, λέγω δὴ τὰ Ἐπικούρου καὶ Πύῤῥωνος, ἵνα
καὶ μᾶλλον ἀνασκευάζειν δυνώμεθα.

Σίμωνι δέ τινι μάγῳ σχεδὸν γενόμενοι σύντροφοι φιλίας ὁδῷ ἀπατηθῆναι ἤδη ἐκινδυνεύομεν. ὅμως ταῦτα, μῆτερ, ἐπὶ καιροῦ σοι ἀκρι-
βέστερον ἐκτεθήσεται. πλὴν μέλλουσιν ἡμῖν ἀπατᾶσθαι ὑπὸ τοῦ Σίμωνος
ἑταῖρός τις τοῦ κυρίου ἡμῶν Πέτρου Ζακχαῖος λεγόμενος, προσηκάμενος
ἐνουθέτησε μὴ συνθέσθαι τῷ μάγῳ. ἐπελθόντι δὲ τῷ Πέτρῳ προσήγαγεν,
ὅπως ἡμᾶς πληροφορήσας πείσῃ περὶ τῶν τῇ θεοσεβείᾳ διαφερόντων. διὸ καί
σε, μῆτερ, εὐχόμεθα, ὧν ἡμεῖς κατηξιώθημεν ἀγαθῶν, τούτων καὶ αὐτὴν
μετασχεῖν, ὅπως κοινῶν ἁλῶν καὶ τραπέζης δυνηθῶμεν μεταλαβεῖν. αὕτη
οὖν ἐστιν ἡ αἰτία, δι' ἣν ἐνόμιζες ἡμᾶς ἐν τῇ θαλάσσῃ τεθνάναι.

Ταῦτα τοῦ Φαυστίνου εἰπόντος ἡ μήτηρ ἡμῶν προσέπεσε τῷ Πέτρῳ δεομένη καὶ ἀξιοῦσα, ὅπως αὐτήν τε καὶ τὴν ξενοδόχον αὐτῆς μετα-

πεμψάμενος βαπτίσῃ, ἵνα, φησὶ, μηδεμία τις ἄμοιρος ἡμέρα γένηται, ἀφ' ἧς
τὰ ἐμαυτῆς ἀπέλαβον τέκνα, καθ' ἣν ἂν οὐ συνεστιαθείην αὐτοῖς. καὶ
ἡμῶν δὲ τὰ ὅμοια τῇ μητρὶ συνικετευόντων ὁ Πέτρος ἔφη· τί οἴεσθε,
μόνος ἐγὼ ἄσπλαγχνός εἰμι, ὅτι μὴ βούλομαι συνεστιαθῆναι ὑμᾶς τῇ
μητρὶ σήμερον βαπτίσας αὐτήν; οὐ μὲν οὖν. ἀλλὰ κἂν μίαν ἡμέραν πρὸ τοῦ
βαπτισθῆναι νηστεῦσαι αὐτὴν δεῖ, ἐπεὶ καί τινα ὑπὲρ ἑαυτῆς ἐφθέγξατο
ἡ μήτηρ· τάχα γὰρ εἰ μὴ τοῦτο, πολλῶν ἡμερῶν αὐτὴν ἁγνισθῆναι ἔδει.

Ἐρομένῳ οὖν μοι, τί ἄρα καὶ φθεγξαμένη τὴν πίστιν αὐτῆς
ἐξέφηνεν, ὁ Πέτρος ἔφη· ἀπόχρη καὶ μόνον αὐτῆς ἡ ἀξίωσις τοῦ συμβαπ-
τισθῆναι αὐτῇ τὴν ξενοδόχον καὶ εὐεργέτιν. οὐκ ἂν δὲ τοῦτο τῇ ὑπ' αὐτῆς
ποθουμένῃ δοθῆναι ἠξίου, εἰ μὴ πρότερον αὐτὴ διετέθη ὡς ἐπὶ μεγάλῃ τῇ
τοῦ βαπτίσματος δωρεᾷ. ὅθεν ἐγὼ πολλῶν ἔχω καταγινώσκειν, ὁπότ' ἂν
αὐτοὶ βαπτισθέντες καὶ πιστεύειν ὁμολογοῦντες μηδὲν ἄξιον πίστεως ποιῶσι,
μηδὲ οὓς ἀγαπῶσι, λέγω δὴ γυναῖκας ἑαυτῶν καὶ υἱοὺς ἅμα καὶ φίλους, εἰς
τοῦτο προτρέπωνται. εἰ γὰρ πεπιστεύκασι, ζωὴν αἰώνιον σὺν ἔργοις καλοῖς
δωρεῖσθαι τὸν θεὸν ἐπὶ τῷ βαπτίσματι, πάντως ἂν καὶ οὓς ἠγάπων προ-
ετρέποντο βαπτισθῆναι. ἐπεὶ τί δή ποτε νοσοῦντας ὁρῶντες, ἢ ἀπαγομένους
τὴν ἐπὶ θάνατον, ἢ ἄλλα τινὰ χαλεπὰ πάσχοντας ὀδύρονται καὶ κατελεοῦ-
σιν; οὕτως εἰ ἐπεπιστεύκεισαν, αἰώνιον πῦρ περιμένειν τοὺς τὸν θεὸν μὴ
σέβοντας, οὐκ ἂν ἐπαύσαντο νουθετοῦντες, ἢ καὶ ἀπειθοῦντας ὁρῶντες, δα-
κρύοντες ἐπ' αὐτοῖς καὶ χαλεπῶς ὀδυνώμενοι. καὶ τὰ νῦν τὴν ξενοδόχον
πέμψας ἀνακρινῶ, εἰ τὸν νόμον ἡμῶν ἀγαπᾶν αἱρεῖται, καὶ οὕτως ἀκολού-

θως ἃ δεῖ πράξομεν. ἡ δὲ μήτηρ ὑμῶν, ἐπειδὴ πιστῶς διάκειται περὶ τοῦ
βαπτίσματος, νηστευσάτω ἡμέραν πρὸ τοῦ βαπτίσματος.

Ἡ δὲ ὤμνυε, δύο τῶν διελθουσῶν ἡμερῶν τῇ γυναικὶ διη-
γουμένη τὰ κατὰ τὸν ἀναγνωρισμὸν ὑπὸ πολλῆς χαρᾶς τροφῆς μὴ μεταλα-
βεῖν, ἢ χθὲς μόνον βραχέος ὕδατος. μαρτυρήσει τε τῷ ὅρκῳ καὶ ἡ γυνὴ
Πέτρου λέγουσα, ὡς ἀληθῶς οὐκ ἐγεύσατο. καὶ ὁ Ἀκύλας ἔφη· οὐκοῦν οὐ-
δὲν κωλύει αὐτὴν, ὦ κύριέ μου, τὴν σήμερον βαπτισθῆναι. καὶ ὁ Πέτρος·
ἀλλ' οὐκ ἔστι τοῦτο νηστεία βαπτίσματος, ἐπεὶ μηδὲ δι' αὐτὸ γέγονε.
καὶ ὁ Φαυστινιανός· ἴσως οὖν ὁ θεὸς βουλόμενος ἡμῶν τὴν μητέρα μη-
δεμίαν μετὰ τὸν ἀναγνωρισμὸν ἡμέραν τῆς ἡμετέρας χωρίσαι τραπέζης,
προῳκονόμησε τὴν νηστείαν. ὡς γὰρ ἐσωφρόνησεν ἐν ἀγνοίᾳ τὸ πρέπον τῇ
ἀληθείᾳ ποιήσασα, οὕτω καὶ νῦν ὁ θεὸς ἴσως ᾠκονόμησεν αὐτὴν πρὸ
μιᾶς ἐν ἀγνοίᾳ νηστεῦσαι ὑπὲρ τοῦ ἀληθοῦς βαπτίσματος, ἵν' ἀπὸ πρώτης
ἡμέρας τοῦ γνωρίσαι ἡμᾶς μεταλαβεῖν σὺν ἡμῖν καὶ ἁλῶν δυνηθείη.

Καὶ ὁ Πέτρος μὴ ἡμᾶς, ἔφη, νικάτω ἡ κακία πρόφασιν εὑροῦ-
σα τὴν πρόνοιαν καὶ τὴν τῆς τεκούσης στοργήν· ἀλλὰ μᾶλλον ὑμεῖς κἀγὼ
σὺν ὑμῖν διαμείνωμεν τὴν σήμερον ἐν νηστείᾳ, καὶ αὔριον βαπτισθήσεται.
οὕτως ἔφη Πέτρος, καὶ οἱ πάντες τῷ λόγῳ συνευδοκήσαμεν. ὀρθριώτερον
δὲ πολλῷ τοῦ καθ' ἡμέραν ὁ Πέτρος διυπνισθεὶς εἰσῄει πρὸς ἡμᾶς, καὶ δια-
ναστήσας Φαυστῖνος, εἶπε, καὶ Φαυστινιανὸς ἅμα Κλήμεντι μετὰ τῶν οἰ-
κείων ἀκολουθησάτωσάν μοι, ὅπως ἐν σκεπεινῷ τῆς θαλάσσης τόπῳ γενό-
μενοι τὰ τοῦ βαπτίσματος σχεδιάσωμεν.

Ἐπὶ τὸν αἰγιαλὸν οὖν γενομένων ἡμῶν καὶ μεταξὺ πετρῶν
τινῶν γαληνοῦ καὶ καθαροῦ τόπου εὑπορησάντων ἐβάπτισεν αὐτὴν εἰς τὸ
ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος. ἡμεῖς δὲ καὶ σὺν

ἡμῖν ὅσοι παρῆσαν, τῶν γυναικῶν χάριν ὑπεχωρήσαμεν. ἔπειτα ὁ Πέτρος
τὰς γυναῖκας διὰ τὸν ὄχλον προέπεμψε δι' ἄλλης ὁδοῦ ἐπὶ τὴν ξενίαν ἐλθεῖν,
μόνοις ἐκ τῶν ἀνδρῶν ἡμῖν συνεῖναι τῇ μητρὶ καὶ ταύταις ἐγκελευσάμενος.
ἐλθόντες οὖν ἐπὶ τὴν ξενίαν καὶ ἀναμένοντες αὐτὸν ἀφικέσθαι ἀλλήλοις
διελεγόμεθα. μετὰ ἱκανὰς δὲ ὥρας ὁ Πέτρος ἐλθὼν καὶ ἄρτον λαβὼν, εὐχα-
ριστήσας, εὐλογήσας, ἁγιάσας, κλάσας τῇ μητρὶ πρῶτον ἐπέδωκε καὶ μετὰ
ταύτην ἡμῖν τοῖς υἱοῖς. καὶ οὕτως αὐτῇ συνειστιάθημεν καὶ τὸν διδόντα
τροφὴν θεὸν εὐλογήσαμεν.

Τότε λοιπὸν ὁ Πέτρος τὸν ὄχλον εἰσεληλυθότα ἰδὼν, καθίσας αὐτὸς καὶ ἡμᾶς δὲ παρακαθεσθῆναι κελεύσας ὑφηγεῖτο, τίνι λόγῳ προπέμ-
ψας ἡμᾶς ἀπὸ τοῦ βαπτίσματος αὐτὸς βραδύνας ἐπῆλθε. τὴν δὲ αἰτίαν ἔλεγεν εἶναι τοιαύτην. ἅμα τῷ ὑμᾶς, φησὶν, ἀποστῆναί μου, γέρων τὶς συνῄει περίεργος, κλέπτων ἑαυτὸν καὶ βουλόμενος ὁρᾶν, αὐτὸς μὴ ὁρᾶ-
σθαι. καὶ προκατασκοπήσας ἡμᾶς, ὡς αὐτὸς ὕστερον ὡμολόγησε, πρὸς τὸ
ἰδεῖν τί ἂν καὶ πράττοιμεν εἰς τὸν σκεπεινὸν τόπον γενόμενοι, λάθρα ἐκβὰς ἠκολούθησεν. εἶτα ἐν εὐκαίρῳ τόπῳ μοι προσελθὼν καὶ προσα-
γορεύσας ἔφη· ἐκ πολλοῦ σοι ἀκολουθῶν καὶ συντυχεῖν ἐθέλων ᾐδούμην,
μήπως ὡς περιέργῳ μοι χαλεπήνῃς. νῦν δὲ τὰ δοκοῦντα ἐμοὶ ἀληθῆ λέγω,
εἰ βούλει. κἀγὼ ἀπεκρινάμην· λέγε ἡμῖν, ὅπερ σοι δοκεῖ καλὸν εἶναι, καὶ ἀπο-
δεξόμεθά σε, κἂν τῷ ὄντι μὴ καλὸν ᾖ τὸ λεγόμενον, ἐπεί περ ἀγαθῇ προαι-
ρέσει τὸ δοκοῦν σοι καλὸν εἰπεῖν ἠθέλησας.

Καὶ ὁ γέρων τοῦ λέγειν ἤρξατο οὕτως· θαλάσσῃ ὑμᾶς λελου-
μένους εἰς τὸν ἀπόκρυφον τόπον ὑποχωρήσαντας ἰδὼν, προσελθὼν λάθρα
κατεσκόπουν τὸ τί ἂν ἐν κρυφῇ πράττοιτε· καὶ ἐπειδὴ εὐχομένους εἶδον,

ὑπεχώρησα, καὶ ἐλεήσας ὑμᾶς ἀνέμεινα, ὅπως ἐξιοῦσι προσομιλήσας πείσω
μὴ ἀπατᾶσθαι. οὔτε γὰρ θεός ἐστιν, οὔτε πρόνοια, ἀλλὰ γενέσει τὰ πάντα
ὑπόκειται, ὡς ἐγὼ ἐφ' οἷς πέπονθα πεπληροφόρημαι ἀκριβῶν ἐκ πολλοῦ τὸ
μάθημα. μὴ οὖν ἀπατῶ. εἴτε γὰρ εὔχῃ, εἴτε καὶ μὴ, τὰ ἐκ τῆς γενέσεως
παθεῖν ἂν ἔχοις. αἱ γὰρ εὐχαὶ εἰ ἐδύναντό τι ἢ τὸ εὖ ποιεῖν, αὐτὸς ἂν ἐν
τοῖς κρείττοσιν ἤμην. καὶ νῦν εἰ μή σε ἀπατᾷ ἡ πενιχρά μου αὕτη ἐσθὴς,
οὐκ ἀπιστήσεις οἷς λέγω. ἐν πολλῇ βίου ποτὲ ὢν εὐθηνίᾳ πολλὰ καὶ θεοῖς
ἔθυον καὶ δεομένοις παρεῖχον, καὶ ὅμως εὐχόμενός τε καὶ εὐσεβῶν τὴν πε-
πρωμένην ἐκφυγεῖν οὐ δεδύνημαι. κἀγὼ πρὸς αὐτόν· καὶ τίνα ἐστὶν, ἃ
πέπονθας; ὁ δὲ ἀπεκρίνατο· οὐκ ἀνάγκη μοι λέγειν νῦν· ἴσως δὲ ἐπὶ τῷ
τέλει ἀκούσῃ, τίς τε ὢν ἐγὼ καὶ τίνων καὶ ἐν ποίαις βίου περιστάσεσι γέ-
γονα. νῦν δὲ ὅτι γενέσει τὰ πάντα ὑπόκειται, πίστεις σοι παρασχεῖν βούλομαι.

Κἀγὼ ἔφην· εἰ γενέσει τὰ πάντα ὑπόκειται, καὶ τοῦθ' οὕτως
ἔχειν πεπληροφόρησαι, σεαυτῷ τἀναντία νοῶν συμβουλεύεις. εἰ μὲν γὰρ
παρὰ γένεσιν οὐ δυνατὸν οὐδὲ τὸ φρονεῖν, τί ματαιοπονεῖς συμβουλεύων ἡμῖν,
ὃ γενήσεσθαι πάντως ἀδύνατον; ἀλλ' ἔτι μὴν εἰ γένεσις ὑφέστηκε, μὴ σπεῦ-
δε πείθειν ἐμὲ μὴ σέβειν τὸν τῶν ἄστρων δεσπότην, οὗ θέλοντος καὶ μὴ
γενέσθαι, γενέσθαι ἀδύνατον. ἀεὶ γὰρ ἂν τὸ ὑποκείμενον τῷ ἡγουμένῳ
πείθεσθαι ἀνάγκην ἔχοι. τὸ μέντοι τοὺς νομιζομένους θεοὺς σέβειν γενέσεως
ἐπικρατούσης περιττόν ἐστιν. οὔτε γὰρ παρὰ τὸ δοκοῦν τῇ πεπρωμένῃ τι γί-
νεται, οὔτε αὐτοί τι ποιεῖν δύνανται τῇ καθόλου αὐτῶν ὑποκείμενοι γενέσει.

Τοιαῦτα πρὸς ἀλλήλους λεγόντων ἡμῶν πολὺς ἐπισυνῆλθεν

ὄχλος. καὶ ὁ Πέτρος εἰς αὐτὸν ἀποβλέψας ἔφη· ἐγὼ καὶ τὸ ἐμὸν φῦλον ἐκ
προγόνων θεὸν σέβειν παρειληφότες καὶ παράγγελμα ἔχοντες γενέσει μὴ
προσανέχειν, φημὶ δὴ τῷ τῆς ἀστρολογίας μαθήματι, διὰ τοῦτο καὶ οὐ προσ-
έσχον. ὅθεν ἀστρολογίας μὲν οὐκ εἰμὶ ἔμπειρος· ὧν δέ εἰμι, ὑφηγήσομαι.
φημὶ γὰρ, ὅτι κατὰ θεοῦ πρόνοιαν διοικεῖται τὰ πάντα, καὶ ἕκαστος πρὸς
ἃ πράττει τιμῆς ἢ κολάσεως τεύξεται. εἴτε δὲ νῦν, εἴτε καὶ αὖθις, οὐδέν μοι
διαφέρει, πλὴν ὅτι πάντως ἀπολαύσει ἕκαστος ὧν ἔπραξεν. ἡ δὲ ἀπόδειξις
τοῦ μὴ εἶναι γένεσιν, ἐστὶν αὕτη· τῶν παρεστώτων εἴ τις ὀφθαλμῶν ἐστέρη-
ται, ἢ πεπηρωμένην ἔχει τὴν χεῖρα, ἢ χωλὸν ἄρα τὸν πόδα, ἢ ἕτερόν τι
περὶ τὸ σῶμα ἰατροῖς οὐ θεραπευθῆναι δυνάμενον οὐδὲ ἀστρολόγοις, ἐπεὶ
μηδὲ ἀπὸ τοῦ μακροῦ αἰῶνος τοιοῦτόν τι γέγονεν, ἐγὼ τοῦ θεοῦ δεηθεὶς
παρέξω τὴν θεραπείαν. τούτου δὲ, ὡς ἐγώ φημι, γενομένου, οὐχ ἁμαρτά-
νουσιν οἱ τὸν πάντα δημιουργήσαντα θεὸν βλασφημοῦντες; καὶ ὁ γέρων ἀπε-
κρίνατο· βλασφημεῖν γάρ ἐστι τὸ λέγειν· γενέσει ὑποκεῖσθαι τὰ πάντα; κἀ-
γὼ πρὸς αὐτόν· καὶ πάνυ. εἰ γὰρ καὶ πᾶσαι αἱ τῶν ἀνθρώπων ἁμαρ-
τίαι καὶ ἀσέβειαι καὶ ἀσέλγειαι ἐξ ἀστέρων, ὡς σὺ φῊς, γίνονται· τὸ δὲ τοὺς
ἀστέρας ταῦτα ποιεῖν ὑπὸ θεοῦ τέτακται, ἵνα πάντων χαλεπῶν ἀποτε-
λεστικοὶ γένωνται, αἱ πάντων ἁμαρτίαι πάντως ἄρα καὶ εἰς αὐτὸν ἀνα-
φέρονται τὸν τὴν γένεσιν ἐνθέντα τοῖς ἄστροις.
Καὶ ὁ γέρων· ἀληθῶς ἔφης· ἀλλὰ πάσῃ σου τῇ ἀπαρα-
βλήτῳ ἀποδείξει ἡ ἐμὴ ἐμποδίζει συνείδησις. ἐγὼ γὰρ ἀστρολόγος ὢν καὶ
Ῥώμην πρῶτον οἰκήσας, εἶτα φιλιωθείς τινι πρὸς γένους ὄντι Καίσαρος,
αὐτοῦ τε καὶ τῆς συμβίου τὴν γένεσιν ἀκριβῶς ἠπιστάμην, καὶ ἱστορήσας

ἀκολούθως τὰς πράξεις ἀποτελεσθείσας αὐτῶν τῇ γενέσει, λόγοις μόνοις
οὐκ ἔχω σοι πείθεσθαι. ἦν γὰρ τῆς γενέσεως αὐτῆς τὸ διάθεμα, ποιοῦν
μοιχάδας ἰδίων δούλων ἐρώσας καὶ ἐπὶ ξένης ἐν ὕδατι θνησκούσας· ὃ καὶ
οὕτω γέγονεν. ἐρασθεῖσα γὰρ τοῦ ἰδίου δούλου καὶ τὸν ψόγον φέρειν οὐ
δυναμένη, φυγοῦσα ἐν ἀλλοδαπῇ καὶ κοίτης αὐτῷ κοινωνήσασα κατὰ θάλασσαν διεφθάρη.

Κἀγὼ ἀπεκρινάμην· καὶ πῶς ἄρα γινώσκεις, ὅτι ἡ φυγοῦσα,
ἐπ' ἀλλοδαπῆς γενομένη τὸν δοῦλον ἔγημε καὶ γήμασα ἐτελεύτησε; καὶ ὁ
γέρων· ἀσφαλῶς οἶδα τἀληθῆ, οὐχ ὅτι ἔγημεν, ὁπότε οὐδὲ ὅτι ἤρα ἐγίνωσ-
κον· ἀλλὰ μετὰ τὴν ἐκείνης ἀπαλλαγὴν ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς πάντα
μοι τὰ κατὰ τὸν αὐτῆς ἔρωτα διηγήσατο, καὶ ὡς σεμνὸς ὢν, ἅτε δὴ καὶ
ἀδελφὸς, οὐκ ἐβουλήθη μιᾶναι τὴν κοίτην· καὶ πῶς βουλομένη καὶ αἰδου-
μένη πάλιν αὐτόν τε καὶ τὸν ψόγον ἡ τάλαινα· οὐκ ἔστι γὰρ αὐτὴν μέμ-
ψασθαι, ὅτι ἐκ γενέσεως ταῦτα καὶ πάσχειν καὶ ποιεῖν ἠναγκάζετο· ὄνειρον
εἴτε ἀληθῆ, εἴτε ψευδῆ ἐπλάσατο, οὐκ ἔχω λέγειν. ἔλεγε γὰρ αὐτὴν εἰρηκέναι,
ὅτι ὄναρ αὐτῇ τις ἐπιστὰς ἐκέλευσεν ἐξ αὐτῆς ἅμα τέκνοις τῆς Ῥωμαίων
ἐκβῆναι πόλεως· ὁ δὲ ἀνὴρ σώζεσθαι ταύτην σὺν τοῖς υἱοῖς σπεύδων
αὐτίκα παιδευθησομένους αὐτοὺς εἰς τὰς Ἀθήνας ἐξέπεμψε σὺν μητρὶ
καὶ δούλοις· τρίτον δὲ υἱὸν ἔχων παρ' ἑαυτῷ, ὡς δὴ τοῦ χρηματίσαντος ἐν
ὀνείρῳ συνεῖναι αὐτῷ ἐπιτρέψαντος· πολλοῦ οὖν παρεληλυθότος χρόνου
ὡς οὐκ ἔλαβε γράμματα παρ' αὐτῆς, αὐτοῦ πολλάκις πέμψαντος εἰς Ἀθή-
νας, ἐμὲ παραλαβὼν ὡς πάντων αὐτῷ γνησιώτατον ὄντα ἐπὶ τὴν ζήτησιν
αὐτῆς ἐπορεύθη. πολλὰ μὲν οὖν αὐτῷ καὶ κατὰ τὴν ἀποδημίαν συνέκαμνον

προθύμως μεμνημένος, ὅτι τῆς πάλαι αὐτοῦ εὐδαιμονίας κοινωνόν με πάν-
των εἶχεν ὑπὲρ πάντας αὐτοῦ με τοὺς φίλους ἀγαπῶν. καὶ δὴ ἀπεπλεύσα-
μεν αὐτῆς Ῥώμης, καὶ οὕτως εἰς τὰ ἐνταῦθα τῆς Συρίας ἐγενόμεθα μέρη.
καὶ οὐ μετὰ πολλὰς ἡμέρας ἐκεῖνος μὲν ἀθυμῶν ἐτελεύτησεν· ἐγὼ δὲ ἐν-
ταῦθα ἐλθὼν τὰς διὰ τῶν χειρῶν τροφὰς ἔκτοτε καὶ εἰς δεῦρο πορίζομαι.

Ταῦτα τοῦ γέροντος εἰπόντος συνιδὼν, ὅτι ὃν ἔλεγε γέροντα οὗτος αὐτὸς ἦν, ἐξ ὧν ἔλεγεν ὁ πατὴρ ὁ ὑμέτερος, οὐκ ἐβουλήθην αὐτῷ
συναντιβαλεῖν, μέχρις ἂν ὑμῖν προσανάθωμαι, πλὴν τὰ κατὰ τὴν ξενίαν
αὐτοῦ καταμαθὼν καὶ τὴν ἐμὴν δὲ μηνύσας ἀκριβείας ἕνεκα, τοῦτο μόνον
ἐπυθόμην, τί τῷ γέροντι ὄνομα· ὁ δὲ ἔφη· Φαῦστος· τί δὲ τοῖς διδύμοις
υἱοῖς· ὁ δὲ ἀπεκρίνατο· Φαυστῖνος καὶ Φαυστινιανός· τί δὲ τῷ τρίτῳ υἱῷ·
ὁ δέ· Κλήμης, εἶπε· τί δὲ τῇ τούτων μητρὶ ὄνομα· Ματθιδία, φησίν.
ὑπὸ συμπαθείας οὖν ἐγὼ σύνδακρυς γενόμενος, ἀπολύσας τοὺς ὄχλους ἦλθον
πρὸς ὑμᾶς, ἵνα μετὰ τὴν ἁλῶν κοινωνίαν ταῦτα προσανάθωμαι ὑμῖν.
πρὸ δὲ τῶν ἁλῶν εἰπεῖν ὑμῖν οὐ δέον ἔκρινα, μήπως ὑπὸ λύπης νικηθέντες
ἐν τῇ τοῦ βαπτίσματος ἡμέρᾳ πενθοῦντες διατελέσητε, ὁπότε καὶ ἄγγελοι
χαίρουσι. ταῦτα τοῦ Πέτρου λέγοντος ἐδακρύομεν οἱ πάντες μετὰ τῆς
μητρός. ὁ δὲ δακρύοντας ἡμᾶς ἰδὼν ἔφη· νῦν ἕκαστος ὑμῶν φόβῳ τῷ πρὸς
τὸν θεὸν γενναίως φερέτω τὰ εἰρημένα. οὐ γὰρ δὴ σήμερον ὑμῖν ἐτελεύτησεν
ὁ πατὴρ, ἀλλὰ καὶ ἔκπαλαι, ὡς ὑμεῖς εἰρήκατε στοχαζόμενοι.

Ταῦτα τοῦ Πέτρου εἰπόντος ἡ μήτηρ μὴ φέρουσα μέγα ἀνέ-
κραγεν· οἴμοι, ἄνερ, ὡς ἀγαπῶν ἡμᾶς κρίσει μὲν αὐτὸς ἐτελεύτησας,
ἡμεῖς δὲ ζῶντες τὸ φῶς ὁρῶμεν καὶ τροφῆς ἄρτι μεταλαμβάνομεν. οὔπω
τῆς μιᾶς ταύτης ὀλολυγῆς παυσαμένης ἰδοὺ καὶ ὁ γέρων εἰσῄει, καὶ ἅμα τῷ

βούλεσθαι αὐτὸν τῆς κραυγῆς τὴν αἰτίαν πυνθάνεσθαι εἰς τὴν γυναῖκα ἐμ-
βλέψας ἔφη· οἴμοι, τί θέλει τοῦτο εἶναι; τίνα ὁρῶ; προσελθὼν δὲ καὶ ἀκρι-
βέστερον ἐνιδὼν καὶ ὁραθεὶς περιεπλέκετο. οἱ δὲ ὑπὸ χαρᾶς αἰφνιδίου διε-
φώνουν ἀμφότεροι καὶ λαλεῖν ἀλλήλοις βουλόμενοι, ἀφασίᾳ συσχεθέντες ἐκ
τῆς ἀπλήστου χαρᾶς ἐπέχειν ἑαυτοὺς οὐκ ἠδύναντο. καὶ μετ' οὐ πολὺ
πρὸς αὐτὸν ἡ μήτηρ· ἔχω σε Φαῦστε τὸν κατὰ πάντα γλυκύτατον. πῶς
ἄρα ζῇς, ὃν ὡς τεθνεῶτα μικρῷ πρόσθεν ἠκούσαμεν; πλὴν οὗτοί εἰσιν οἱ
υἱοὶ Φαυστῖνος καὶ Φαυστινιανὸς, καὶ ὁ ποθεινὸς Κλήμης. ταῦτα εἰπού-
σης ἡμεῖς οἱ τρεῖς προσπεσόντες αὐτῷ καὶ καταφιλοῦντες τὴν ἐκείνου μορ-
φὴν ἀμυδρῶς πως κατεμανθάνομεν.
Ἃ καὶ βλέπων ὁ Πέτρος σὺ εἶ Φαῦστος, εἶπεν, ὁ ταύτης
ἀνὴρ καὶ τῶν αὐτῆς παίδων πατήρ; ὁ δὲ ἐγώ εἰμι, ἔφη. καὶ ὁ Πέτρος· πῶς
οὖν μοι τοὺς σεαυτοῦ ὡς περὶ ἄλλου διηγήσω πόνους εἰπὼν καὶ λύπην καὶ
τάφον; καὶ ὁ πατὴρ ἀπεκρίνατο· συγγενὴς ὢν Καίσαρος καὶ γενέσθαι κα-
τάφωρος οὐκ ἐθέλων ἐπ' ἄλλῳ τινὶ τὴν ἐξήγησιν ἀνετυπωσάμην, ἵν' αὐτοῖς
ὅστις εἰμὶ μὴ ἐπιγνωσθῶ. ᾔδειν γὰρ ὅτι, εἰ ἀναγνώριμος γένωμαι, οἱ κατὰ
τὸν τόπον ἡγούμενοι ταῦτα μαθόντες ἀνακαλέσονται Καίσαρι κεχαρισμένα
ποιοῦντες καὶ τὴν τοῦ βίου πάλιν εὐδαιμονίαν μοι περιθήσουσιν, ὅπερ ὅλῃ
προθέσει πρότερον ἀπεταξάμην, ἄνευ τῶν ἐμοὶ φιλτάτων τέκνων πολιτεύ-
εσθαι ἢ ζῆν ὅλως μὴ ἀνεχόμενος.
Καὶ ὁ Πέτρος· ταῦτα μὲν ἐποίησας, ὡς ἐβουλεύσω. περὶ δὲ
γενέσεως ἆρα ψευδόμενος διισχυρίζου, ἢ ὡς ἀληθεύων ἐβεβαίους; καὶ ὁ
πατὴρ οὐ ψεύσομαι, ἔφη, πρὸς σέ· ὡς ἀληθῶς ἄρα οὔσης γενέσεως ἐβε-

βαίουν. ἔχω γὰρ οὐκ ἀμυήτως τοῦ θεωρήματος. πλὴν ἀλλὰ καὶ συνῆν μοι
τὶς ἀστρολόγων ἀνὴρ ἄριστος Αἰγύπτιος Ἀννουβίων ὄνομα, ὅστις ἐν ταῖς
ἀποδημίαις κατ' ἀρχάς μοι φιλιωθεὶς τὸν τῆς ἐμῆς συμβίου μετὰ τῶν
τέκνων θάνατον ἐδήλου. καὶ ὁ Πέτρος· οὐκοῦν ἔργῳ πέπεισαι νῦν, ὅτι οὐ
συνέστηκε τὰ κατὰ τὴν γένεσιν; καὶ ὁ πατὴρ ἀπεκρίνατο· ἀνάγκη με πάντα
τὰ τὸν ἐμὸν ὑπερβαίνοντα νοῦν κατὰ μέρος ἐκθέσθαι σοι, ἵνα παρὰ σοῦ
πάλιν τἀληθῆ μάθω καὶ βέβαια. πολλὰ πταίειν οἶδα τοὺς ἀστρολόγους,
πολλὰ δὲ καὶ τῆς ἀληθείας αὐτοὺς ἐφικνεῖσθαι. ἀλλὰ μή πως ἃ μὲν ἀκρι-
βοῦσιν, ἀληθεύουσιν. ἃ δὲ πταίουσιν, ἀμαθίᾳ πάσχουσιν· ὡς ὑπονοεῖν με τὸ
μὲν μάθημα συνεστάναι, τοὺς δὲ δι' ἀμαθίαν ψεύδεσθαι μόνην διὰ τὸ μὴ
πάντας περὶ πάντων ἀκριβοῦν δύνασθαι. καὶ ὁ Πέτρος ἄπεχε, ἔφη, μή
πως περὶ ὧν ἀληθεύουσιν ὡς ἐπιτυγχάνοντες καὶ οὐχὶ ὡς ἀκριβοῦντες
ἄρα προλέγουσιν. ἀνάγκη γὰρ πᾶσα ἐκ πολλῶν τῶν λεγομένων ἀποβαίνειν
τινά. καὶ ὁ γέρων· πῶς οὖν ἐστι περὶ τούτου με πιστωθῆναι τὸ εἴτε
συνέστηκε τὸ κατὰ τὴν γένεσιν, ἢ οὔ;

Ἀμφοτέρων οὖν σιωπώντων ἐγὼ Κλήμης ἐπειδὴ τὸ μάθημα,
ἔφην, ἀκριβῶς ἐπίσταμαι, ὁ δὲ κύριος καὶ πατήρ μου οὐχ οὕτως, ἤθελον εἰ
αὐτὸς Ἀννουβίων παρῆν, ἐπὶ τοῦ πατρὸς ποιήσασθαι λόγον. οὕτω γὰρ ἂν
τὸ πρᾶγμα εἰς φανερὸν ἐλθεῖν ἠδύνατο, τεχνίτου πρὸς ὁμότεχνον τὴν ζήτησιν
ἐσχηκότος. καὶ ὁ πατὴρ ἀπεκρίνατο· ποῦ οὖν δυνατόν ἐστιν Ἀννουβίωνι συν-
τυχεῖν; καὶ ὁ Πέτρος ἐν Ἀντιοχείᾳ, ἔφη. ἐκεῖ γὰρ μανθάνω Σίμωνα τὸν
μάγον ἐπιδημεῖν, ᾧ καὶ παρεπόμενος Ἀννουβίων ἀχώριστός ἐστιν. ἐπὰν
οὖν ἐκεῖ γενώμεθα, ἐάν γε καταλάβωμεν αὐτοὺς, ἡ ζήτησις ἐπ' ἐκείνου γενή-

σεται. καὶ ὅμως πολλὰ διαλεχθέντες καὶ ἐπὶ τῷ ἀναγνωρισμῷ χαρᾶς πλη-
ρωθέντες καὶ θεῷ πολλὴν χάριν ὁμολογοῦντες, ἑσπέρας καταλαβούσης
εἰς ὕπνον ἐτράπημεν.

Ὄρθρου δὲ γενομένου ὁ πατὴρ μετὰ τῆς μητρὸς καὶ τῶν
τριῶν υἱῶν εἰσελθὼν ἔνθα ὁ Πέτρος ἦν, καὶ προσαγορεύσας ἐκαθέσθη·
ἔπειτα καὶ ἡμεῖς αὐτοῦ κελεύσαντος. καὶ ὁ Πέτρος τὸν πατέρα προςβλέψας
σπεύδω σε, ἔφη, ὁμόφρονα γενέσθαι γυναικὶ καὶ τέκνοις, ὅπως αὐτοῖς καὶ
ἐνταῦθα ὁμοδίαιτος ᾖς κἀκεῖ μετὰ τὸν ἀπὸ τοῦ σώματος τῆς ψυχῆς χω-
ρισμὸν συνὼν ἐν εὐφροσύνῃ διάγῃς. ἢ γὰρ οὐ τὰ μέγιστά σέ τε λυπεῖ καὶ
αὐτοὺς τὸ μὴ ἀλλήλοις συνεῖναι; καὶ ὁ πατὴρ ἔφη· καὶ πάνυ γε. καὶ ὁ Πέ-
τρος· εἰ οὖν ἐνταῦθα τὸ ἀλλήλων κεχωρίσθαι λυπεῖ, μετὰ θάνατον πάντως
γινόμενον, πόσῳ γε μᾶλλον λυπήσει, σὲ μὲν ἄνδρα σοφὸν ὄντα τῷ τῆς
γνώμης σου λόγῳ τῶν σῶν κεχωρίσθαι, αὐτοὺς δὲ πολὺ μᾶλλον ὀδυνᾶσθαι
τῷ εἰδέναι, ὅτι σε ἄλλα φρονοῦντα αἰώνιος μένει κόλασις ·ητοῦ δόγματος
ἀποφάσει.

Καὶ ὁ πατὴρ ἔφη· ἀλλ' οὐκ ἔστιν, ὦ φίλτατε, τὸ ἐν ᾅδου
ψυχὰς κολάζεσθαι, αὐτῆς ἅμα τῷ ἀποστῆναι τοῦ σώματος εἰς ἀέρα λυο-
μένης. καὶ ὁ Πέτρος ἔφη· μέχρις οὖν ὅτε περὶ τούτου πείσωμέν σε, ἀπό-
κριναί μοι· οὐ δοκεῖ σοι, σὲ μὲν τῇ κολάσει διαπιστοῦντα μὴ λυπεῖσθαι,
ἐκείνους δὲ περὶ σοῦ πεπεισμένους, ὡς ἄρα οὐ μικρὰν ἔχεις ἀνάγκην, ἐκ περισ-
σοῦ ἀνιᾶσθαι; καὶ ὁ πατήρ· ἀκολούθως λέγεις. καὶ ὁ Πέτρος· διὰ τί δὲ
αὐτοὺς οὐκ ἀπαλλάξεις μεγίστης περὶ σοῦ λύπης τῇ πίστει συνθέμενος, οὐ
δυσωπίᾳ λέγω, ἀλλ' εὐγνωμοσύνῃ, περὶ τῶν ὑπ' ἐμοῦ λεγομένων σοι ἀκούων

καὶ κρίνων, εἰ ταῦτα οὕτως ἔχει ἢ οὔ; καὶ εἰ μὲν οὕτως ἔχει ὡς λέγομεν, καὶ
ᾧδε συναπολαύσεις τοῖς φιλτάτοις κἀκεῖ συναναπαύσῃ. εἰ δὲ ἐν τῇ τῶν λό-
γων σου σκέψει δείξῃς τὰ ὑφ' ἡμῶν λεγόμενα ψευδῆ τινα μῦθον εἶναι,
καὶ ὁμογνώμονάς σου λάβοις αὐτοὺς, καὶ οὕτω καλῶς ποιήσεις. τοῦ τε γὰρ
κεναῖς ἐλπίσιν ἐπερείδεσθαι παύσεις, καὶ φόβων αὐτοὺς ψευδῶν ἀπαλ-
λάξεις.

Καὶ ὁ πατήρ· πολλὰ φαίνῃ μοι εὔλογα λέγων. καὶ ὁ Πέ-
τρος· τί οὖν ἐστι τὸ κωλύον συνθέσθαι σε τῇ ἡμετέρᾳ πίστει; οὔτε γὰρ
ἀσχολίαις ἀγορασμῶν, οὔτε πράξεων, οὔτε γεωργιῶν, οὐ φροντίδων, οὐδενὶ
τούτων κατέχῃ. δύνασαι δὲ νοεῖν ὡς οὐκ αὐτομάτως ἐγένετό τι τῶν ὄντων,
οἷα προνοίας οὐκ οὔσης. καὶ τούτου δεῖγμα σαφέστατον τὰ περί σε καὶ τὰ
σὰ τέκνα καὶ τὴν γυναῖκα γεγενημένα. εἰ γὰρ παρά σοι ὄντες καὶ εἰς δεῦρο
ἐτύγχανον, οὐκ ἂν τὸν τῆς εὐσεβείας λόγον ἐδέξαντο, οὐκ ἂν ἐπιγνῶναι τὴν
ἀλήθειαν ἠδυνήθησαν. διὰ τοῦτο μετὰ τῆς ἀποδημίας καὶ ναυάγιον ᾠκονο-
μήθη, καὶ πικροῦ θανάτου ὑπόνοια, προσέτι δὲ καὶ ἡ περὶ τὰ Ἑλληνικὰ τού-
των ἄσκησις, ἵν' ὡς πρότερον αὐτὰ παιδευθέντες, εἶτα μεταβαλόντες πρὸς
τὴν εὐσέβειαν, δυνατοὶ ὦσιν ἑτοίμως αὐτὰ καὶ μετὰ πολλῆς ἀνασκευάζειν τῆς
εὐκολίας, καὶ ἃ κακῶς τηνικαῦτα κατὰ τῆς εὐσεβείας προὐβάλλοντο, τούτοις
καλῶς ὑπὲρ αὐτῆς καὶ ἐν καιρῷ τῷ προσήκοντι χρήσαιντο· εἴσῃ δὲ σαφῶς καὶ
αὐτὸς ἀπό γε τοῦ μακροῦ τούτου ἀναγνωρισμοῦ, καὶ ὧν μεταξὺ σοφῶς ἡ
πρόνοια περί σε ᾠκονόμησεν, ὡς ἄρα οὐδὲν τῶν γινομένων
αὐτομάτως οὕτως καὶ εἰκῆ γίνεται, ἀλλ' ἐκείνη ἐστὶν ἡ ἐφεστῶσα καὶ
τόδε τὸ πᾶν συγκρατοῦσα διηνεκῶς καὶ συνέχουσα, εἰ καὶ τὰ πολλὰ
τὴν διάνοιαν ὑπερβαίνει τὴν ἡμετέραν.

Ἐπεὶ τούτων ἤκουσεν ὁ πατὴρ, τὸν λόγον ἀναλαβὼν μὴ

νόμιζε, εἴρηκε, κύριέ μου Πέτρε, ὡς πάντη μου διαπέφευγε τὸν νοῦν ἡ περὶ
τοῦ ὑπὸ σοῦ κηρυττομένου λόγου δύναμις· ἀλλὰ καὶ τοῦ παιδὸς Κλήμεντος
πολλὰ δι' ὅλης νυκτὸς ὁμιλοῦντός μοι, ὥστε συνθέσθαι τοῖς ὑπὸ σοῦ λε-
γομένοις, καὶ πάντα τρόπον εἰς τοῦτο ἐνάγοντος. τί δαὶ, πρὸς αὐτὸν ἔφην
ἐγὼ, δύναταί τις ἐντέλλεσθαί τι καινότερον, παρ' ὃ πρότερον οἱ ἀρχαῖοι πα-
ρῄνεσαν; κἀκεῖνος ἠρέμα γελάσας πολλὴ διαφορὰ, πάτερ, εἶπε, μεταξὺ τῶν
τῆς θεοσεβείας λόγων καὶ τῆς φιλοσοφίας. ὁ γὰρ τῆς ἀληθείας λόγος τὴν
ἐκ προφητείας ἔχει βεβαίαν ἀπόδειξιν· ὁ δὲ τῆς φιλοσοφίας ἀπὸ συνθέσεως
λόγων καὶ στοχασμῶν δοκεῖ παριστάνειν τὰς ἀποδείξεις. καὶ ὅμως ταῦτα
εἰπὼν δείγματος χάριν τὸν περὶ φιλανθρωπίας μοι λόγον ἐξέθετο, ὃν οὐ
πολλῷ πρότερον αὐτῷ ὑφηγήσω, ὃς ἀδικώτατός μοι μᾶλλον ἐφαίνετο. καὶ
τὸ πῶς, ἐρῶ. δίκαιον ἔφασκεν εἶναι καὶ τῷ τύπτοντι αὐτοῦ τὴν σιαγόνα, πα-
ρατιθέναι καὶ τὴν ἄλλην· καὶ τῷ αἴροντι αὐτοῦ τὸ ἱμάτιον, προσδιδόναι καὶ
τὸν χιτῶνα· ἀγγαρεύοντι δὲ μίλιον ἓν, συναπέρχεσθαι δύο, καὶ ὅσα τοιαῦτα.

Καὶ ὁ Πέτρος ἀπεκρίνατο· ἀλλ' ἐνόμισας ἄδικον, καίτοι
γε δικαιότατόν ἐστι. καὶ εἴ σοι φίλον ἐστὶν, ἄκουσον. καὶ ὃς ἔφη· πάνυ μοι
φίλον. καὶ ὁ Πέτρος· οὐ δοκεῖ σοι δύο ἐχθρῶν βασιλέων ὄντων καὶ διῃρημέ-
νας τὰς χώρας ἐχόντων, εἴ τις ἐκ τῶν τοῦ ἑνὸς ὑπηκόων ἐν τῇ τοῦ ἑτέρου
χώρᾳ φωραθείη, καὶ διὰ τοῦτο θάνατον ὀφείλοι, ἐὰν ·απίσματι καὶ μὴ
θανάτῳ τῆς τιμωρίας ἀπολυθῇ, οὐ φαίνεται ὁ ἀπολύσας φιλάνθρωπος εἶναι;
καὶ ὁ πατὴρ ἔφη· καὶ πάνυ. καὶ ὁ Πέτρος· τί δαὶ, εἰ καὶ ἴδιόν τί τινος αὐ-

τὸς οὗτος ἀφέληται ἢ καὶ ἀλλότριον, καὶ ἐπὶ τούτῳ συλληφθεὶς ἓν ἢ δι-
πλάσιον δῷ, τετραπλάσιον ὀφείλων καὶ τὸ θανεῖν ὡς ὁ ἐν τοῖς τοῦ ἐναν-
τίου ἁλοὺς ὅροις, οὐ δοκεῖ σοι, ὅτι ὁ λαβὼν τὸ διπλάσιον καὶ θανάτου αὐτὸν
ἀπολύσας φιλάνθρωπος τυγχάνει; καὶ ὁ πατὴρ ἀπεκρίνατο· νῦν με πέπει-
κας, ὅτι οἱ ἀδικοῦντες αὐτοὶ ἀδικοῦνται, οἱ δὲ ἀδικούμενοι μᾶλλον πλεονεκ-
τοῦσι. καὶ διὰ τοῦτο ἐπὶ πλέον ἀδικώτατόν μοι φαίνεται τὸ γινόμενον, ὅτι
οἱ μὲν δοκοῦντες ἀδικεῖν ἑαυτοὺς ἔβλαψαν μᾶλλον, πολλὴν δὲ τοῖς ἀδικηθεῖ-
σιν ἐπορίσαντο τὴν ὠφέλειαν· οἱ δὲ δοκοῦντες ἀδικεῖσθαι αὐτοὶ μᾶλλον
ἀδικοῦσιν, ὅτι καίτοι πλεῖστα παρ' ἐκείνων ὠφεληθέντες τοῖς ὁμοίοις αὐτοὺς
οὐκ ἀμείβονται. καὶ ὁ Πέτρος· ἀλλ' οὐ παρὰ τὴν τῶν ἐπηρεαζόντων, ἀλλὰ
παρὰ τὴν τῶν δεχομένων ταῦτα γίνεται γνώμην.

Καὶ ὁ πατὴρ ἐπαινέσας τὰ εἰρημένα πρὸς τὸν Πέτρον
φησίν· ἀλλ' ὦ κύριέ μου, καὶ τοῦτόν μοι τὸν λόγον σαφήνισον. μέμνημαι γὰρ
εἰρηκότος μοι Κλήμεντος, ὅτι τὰ ἀδικήματα καὶ τὰ πάθη πρὸς ἄφεσιν
ἁμαρτιῶν πάσχομεν. καὶ ὁ Πέτρος· ὀρθῶς ἔχει καὶ οὕτως ἐστίν. ἃ γὰρ ἄν-
θρωποι κτώμεθα τοῦ πλείονος ἐφιέμενοι εἴτε ἱμάτια, φημὶ, εἴτε βρώματα,
εἴτε ποτὰ, εἴτε ἄλλα τινὰ, οὐ καλῶς πάντως ποιοῦντες κτώμεθα, διὰ τὸ
δεῖν μηδὲν ἔχειν ὡς μικρῷ πρόσθεν ὑμῖν εἴρηκα. εἰ γὰρ ἐν πᾶσι τὰ κτήματα
προξενεῖν οἶδε τοῖς ἔχουσιν ἁμαρτήματα, ἡ τούτων ὅπως ποτὲ στέρησις
ἁμαρτιῶν ἐστιν ἀφαίρεσις. καὶ ὁ πατὴρ ἔφη· ἀκολούθως ἔχει. καὶ ὁ Πέ-
τρος· καὶ δικαιότατα. ἐπεὶ γὰρ τῶν σωζομένων ἐστὶν, ὡς ἔφην, τὸ μηδὲν
ἔχειν, ὑπάρχει δὲ πολλὰ πολλοῖς κτήματα, τούτου χάριν ἐξ ὑπερβαλλούσης

θεοῦ φιλανθρωπίας ἐπάγονται παιδεῖαι τοῖς μὴ κατὰ τὸ δοκοῦν θεῷ πο-
λιτευομένοις, ἵνα διὰ τὸ ποσῶς φιλόθεον προσκαίρους ὑπομένοντες τιμωρίας
αἰωνίων ἀπαλλαγῶσι κολάσεων. καὶ ὁ πατήρ· τί δαὶ, οὐ πολλοὺς ἀσεβεῖς
ὁρῶμεν πένητας; εἶτα παρὰ τοῦτο καὶ αὐτοὺς τῆς τῶν σωζομένων εἶναι
μερίδος φήσομεν; καὶ ὁ Πέτρος· οὐ πάντως. οὐ γὰρ ἀποδεκτὴ ἡ πενία,
ὧν μὴ προσῆκεν ὀρεγομένη, ἐπεὶ καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ
υἱὸς τοῦ ζῶντος θεοῦ μακαρίζων τοὺς πτωχοὺς μακάριοι οἱ πτωχοὶ, ἔφη,
τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. καὶ ὁ πατήρ· ἀλη-
θῶς πάνυ κατὰ τὴν ὑπόθεσιν ὀρθῶς ἔχειν τὰ πράγματα φαίνεται· διὸ καὶ
προαιρέσεως ἔχω τῇ τάξει παντὸς ἐπακοῦσαι τοῦ λόγου.

Καὶ ὁ Πέτρος· οὐκοῦν τοῦ λοιποῦ σπεύδοντί σοι τὰ κατὰ
τὴν ἡμετέραν πίστιν μαθεῖν, προιόντα τὸν λόγον ἐκθήσομαι ἀπ' αὐτοῦ
πρῶτον ἀρχόμενος τοῦ θεοῦ καὶ δεικνὺς, αὐτὸν μόνον δεῖν λέγειν θεὸν,
ἑτέρους δὲ μήτε λέγειν, μήτε νομίζειν, καὶ ὅτι ὁ παρὰ τοῦτο ποιῶν αἰώνια
κολασθήσεται ὡς εἰς αὐτὸν τὸν τῶν ὅλων ἀσεβήσας θεόν. καὶ τοῦτο εἰπὼν
καὶ τοῖς ὑπὸ παθῶν ὀχλουμένοις καὶ νοσοῦσι καὶ δαιμονῶσι τὰς χεῖρας ἐπι-
θεὶς καὶ τούτους εὐχῇ θεραπεύσας, τὴν ἐκκλησίαν διέλυσεν· εἶθ' οὕτως εἰσελ-
θὼν καὶ τῶν συνήθων ἁλῶν μεταλαβὼν ὕπνωσεν.

Ὄρθρου δὲ πάλιν ὁ Πέτρος ἐξιὼν καὶ ἐπὶ τὸν συνήθη
τοῦ διαλέγεσθαι τόπον στὰς, ἅτε καὶ πολλῶν συνδεδραμηκότων ὄχλων, ἅμα
τῷ μέλλειν διαλέγεσθαι αὐτὸν εἰσῄει τις τῶν αὐτοῦ διακόνων λέγων· Σίμων
ἀπὸ Ἀντιοχείας εἰσεληλυθὼς ἀπ' αὐτῆς ἑσπέρας, μαθὼν ὑποσχόμενόν σε
τὸν περὶ μοναρχίας ποιεῖσθαι λόγον, ἕτοιμός ἐστι μετά γε τοῦ Ἐπικουρείου
Ἀθηνοδώρου διαλεγομένῳ σοι ἐπελθεῖν, ὡς ἂν πᾶσι τοῖς ὑπὸ σοῦ περὶ μο-

ναρχίας ὑπαγορευομένοις δημοσίᾳ παρὼν αὐτὸς ἀντιλέγοι.

Ταῦτα τοῦ διακόνου λέγοντος ἰδοὺ καὶ ὁ Σίμων σὺν Ἀθη-
νοδώρῳ καί τισιν ἄλλοις ἑταίροις εἰσῄει, καὶ πρὸ τοῦ τι τὸν Πέτρον ὅλως
εἰπεῖν αὐτὸς προλαβὼν ἔμαθον, φησὶν, ὅτι χθὲς ὑπέσχου τῷ Φαύστῳ κατὰ
τὴν σήμερον δεῖξαι τῇ τάξει τὸν λόγον ποιούμενος, καὶ ἀπ' αὐτοῦ πρῶτον
ἀρχόμενος τοῦ τῶν ὅλων δεσπότου, ὅτι αὐτὸν δεῖ μόνον λέγειν θεὸν, ἄλλους
δὲ μήτε λέγειν, μήτε νομίζειν, καὶ ὅτι ὁ παρὰ τοῦτο ποιῶν αἰωνίαν ὑφέξει
τὴν τιμωρίαν. πρὸ πάντων οὖν ἀληθῶς καταπέπληγμαί σου τὴν ἀπόνοιαν,
ὅτι ἤλπισας μεταπεῖσαι ἄνδρα σοφὸν οὕτω, καὶ ταῦτα πρεσβύτην. ἀλλ' οὐκ
ἐπιτεύξῃ τῶν ἐλπίδων καὶ τοῦ θελήματος, ἅτε παρόντος ἐμοῦ καὶ τοὺς ψευ-
δεῖς σου διελέγχοντος λόγους. ἴσως γὰρ ἂν καὶ ἠπάτητο μὴ παρόντος ἐμοῦ
ἰδιώτης ὢν τῶν παρὰ Ἰουδαίοις δημοσίᾳ πεπιστωμένων βίβλων. τὰ νῦν δὲ
τοὺς πολλοὺς ὑπερθήσομαι λόγους, ἵνα θᾶττόν σου τὴν ὑπόσχεσιν ἀσθενῶς
ἔχουσαν διελέγξω. λέγε τοιγαροῦν, ὦ ὑπέσχου. εἰ δὲ τὸν ἔλεγχον αἰδούμενος ἐφ'
ἡμῶν αὐτῶν τὴν ὑπόσχεσιν ἐθέλοις παραλιπεῖν, αὐτάρκης καὶ οὕτως ἀπό-
δειξις ὅτι ψευδῆ τὰ ὑπεσχημένα, καθ' ὅτι ἐπὶ τῶν τὰς γραφὰς εἰδότων εἰπεῖν
οὐκ ἐτόλμησας. καὶ νῦν δὲ τί περιμένω σε λέγειν μέγιστον ἔχων μάρτυρα
τῆς ὑποσχέσεώς σου τὸν γέροντα τουτονί; ταῦτα εἰπὼν καὶ τῷ πατρὶ προσ-
βλέψας φησίν· εἰπέ μοι, ἀνδρῶν ἁπάντων ὁ τιμιώτατος, οὐχὶ οὗτος ὑπέσχετό
σοι δεῖξαι σήμερον, ὅτι εἷς ἐστὶ θεὸς, καὶ οὐ χρὴ ἕτερόν τινα λέγειν ἢ νομίζειν
θεόν, ὁ δὲ παρὰ ταῦτα ποιῶν ἀθάνατον εἰσπραχθήσεται τιμωρίαν;

Καὶ ὁ πατὴρ ἔφη· καλῶς ἂν τὴν μαρτυρίαν παρ' ἐμοῦ

ἀπῄτεις, ὦ Σίμων, εἰ πρότερον ἠρνεῖτο Πέτρος· νῦν δὲ οὐκ αἰδεσθήσομαι
λέγειν, ἃ δεῖ λέγειν· οἶμαί σε ὀργῆς πεπλησμένον διαλεχθῆναι βούλεσθαι.
τοῦτο δὲ οὔτε σοι προσήκει ποιεῖν, οὔθ' ἡμῖν οὕτως ἔχοντα ὑπακούειν, ὅτι
μάχην ἐστὶν ἱστορῆσαι, καὶ οὐ πρὸς ἀλήθειαν ὠφελεῖσθαι· ἀλλ' ἑκάτερος
ὑμῶν τὸ ἑαυτοῦ δόγμα ἐκθέσθω, καὶ ὑφ' ἑτέρῳ κρίνοντι τοὺς λόγους δοτέον,
καὶ οὕτω πάντως ἀναμφίλογον τἀληθὲς εὑρεθήσεται. ἤρεσε τῷ Σίμωνι τὸ
λεχθὲν, καὶ ποιήσειν ὑπέσχετο κατὰ ταῦτα. πλὴν ἀλλὰ δέδοικα, τῷ Φαύ-
στῳ ἔφη, μή πως ἤδη προκατειλημένος τοῖς τοῦ Πέτρου λόγοις οὐ φιλαλή-
θης γένῃ κριτής.

Καὶ ὁ πατὴρ ἀπεκρίνατο· μή με βιάζου ἀκρίτως συνθέ-
σθαι σοι, ὡς ἂν δόξω φιλαλήθης εἶναι κριτής. εἰ γὰρ τἀληθῆ βούλει μαθεῖν,
τῷ σῷ φρονήματι προείλημμαι μᾶλλον. καὶ ὁ Σίμων· πῶς προείληψαι, οὐκ
εἰδὼς ὃ φρονῶ; καὶ ὁ πατήρ· τοῦτο ῥᾴδιόν ἐστιν εἰδέναι, καὶ πῶς, ἄκουσον.
ἐλέγξειν ὑπέσχου τὸν Πέτρον ἕνα θεὸν λέγοντα εἶναι, ὅτι ψεύδεται· ὁ δὲ
τὸν ἕνα λέγοντα ἐλέγξαι ἐπαγγελλόμενος, πάντως εὔδηλον ὡς ἐκεῖνος ἀλη-
θεύων, οὐ τὸ αὐτὸ λέγει. εἰ γὰρ τῷ καταψευδομένῳ τὸ αὐτὸ λέγει, καὶ
αὐτὸς ἄρα ψεύδεται· εἰ δὲ τὰ ἐναντία λέγων ἀποδείκνυσιν, ἄντικρυς ἀλη-
θεύει. οὐκ ἄλλως οὖν τὸν ἕνα θεὸν εἶναι λέγοντα ψεύστην λέγεις, εἰ μὴ ἂν
ὅτι πολλοὺς αὐτὸς δοξάζεις θεούς. θεοὺς δὲ πολλοὺς εἶναι καὶ ἐγώ φημι.
τῷ αὐτῷ οὖν σοι πρὸ τῆς ζητήσεως λόγῳ κἀγὼ προκατείλημμαι· καὶ κατὰ
τοῦτο περὶ ἐμοῦ σε τὸ παράπαν οὐ δεδοικέναι χρὴ, ἀλλὰ Πέτρον μᾶλλον·
τυγχάνω γὰρ αὐτῷ καὶ ἔτι τὰ ἐναντία φρονῶν. μετὰ δὲ τὴν ὑμετέραν ζήτησιν

ἐλπίζω φιλαλήθης ὢν κριτὴς, πᾶσαν ἀποδυσάμενος πρόληψιν, τῷ ἐπικρα-
τοῦντι συνθέσθαι λόγῳ. ταῦτα τοῦ πατρὸς εἰπόντος ἠρέμα βοή τις ἐπαίνου
ἐκ τῶν ὄχλων ἐγένετο ἐπὶ τῷ οὕτως τὸν πατέρα διαλεχθῆναι.

Καὶ ὅμως ὁ Πέτρος τὸ ἑαυτοῦ περὶ θεοῦ ἐξέθετο φρό-
νημα, καὶ πολλὰ περὶ μοναρχίας διαλεχθεὶς μετὰ δακρύων τῇ χειρὶ προσε-
καλεῖτο τοὺς ὄχλους, οἷς προσελθοῦσι τὰς χεῖράς τε ἐπετίθει, καὶ ὑπὲρ αὐ-
τῶν ηὔχετο, καὶ ὁμοῦ πάντες εὐλογήσαμεν τὸν θεόν. ὑπεισέδραμε δέ τις
λέγων πρὸς Σίμωνα· Ἀππίων ὁ Πλειστονίκης σὺν Ἀννουβίωνι ἧκεν ἀρ-
τίως ἀπὸ Ἀντιοχείας. καὶ ταῦτα ἀκούσας ὁ Σίμων ἔξεισιν εὐθέως ὡς τοὺς
εἰρημένους ὑποδεξόμενος. ὁ δὲ πατὴρ προσελθὼν τῷ Πέτρῳ εἴ μοι ἐπιτρέ-
πεις, ἔφη, κύριέ μου, πορεύομαι κἀγὼ σὺν αὐτῷ προσαγορεύσων Ἀππίωνά
τε καὶ Ἀννουβίωνα ἐκ πρώτης ἡλικίας φίλους μοι γενομένους. τυχὸν γὰρ
καὶ Ἀννουβίωνα πείσω Κλήμεντι διαλεχθῆναι περὶ γενέσεως. καὶ ὁ Πέτρος
ἐπιτρέπω, ἔφη, καὶ ἐπαινῶ τὰ φίλων σε πληροῦντα μέρη. πλὴν ἐννόει μοι,
ὡς κατὰ πρόνοιαν θεοῦ πανταχόθεν συντρέχει τὰ πρὸς τὴν σὴν πληροφο-
ρίαν, οἰκείαν ἀποτελοῦντα τὴν ἁρμονίαν. τοῦτο δὲ εἶπον διὰ τὴν Ἀννου-
βίωνος χρησίμως σοι γενομένην ἐπιδημίαν. καὶ ὁ πατὴρ ἀληθῶς, ἔφη,
κἀγὼ συνορῶ τοῦτο οὑτωσὶ ἔχον.

Καὶ ταῦτα εἰπὼν ἐπορεύθη πρὸς Σίμωνα. καὶ εὑρὼν
Ἀππίωνά τε καὶ Ἀννουβίωνα καὶ προσαγορεύσας αὐτοὺς ἐκαθέσθη. ὁ
δὲ Σίμων ἀκούσας ἐπιδημήσειν τινὰς ἐκ προσταγῆς βασιλικῆς ἐπιζητοῦντας
αὐτὸν καὶ φάσκοντας, καθ' ὅτι Καῖσαρ πολλοὺς μάγους ἀνελὼν, εἶτα καὶ τὰ
κατὰ τὸν Σίμωνα πυθόμενος εἰς ἐπιζήτησιν αὐτοῦ πέμψειεν, ὅπως καὶ
αὐτὸν ὁμοίως κολάσῃ, πρὸς Ἀννουβίωνα καὶ Ἀππίωνα ἔφη· Φαῦστον
πρὸς ἡμᾶς ἐλθόντα μετασχεῖν ἁλῶν ποιήσατε σὺν ἡμῖν· ἐγὼ δὲ μῦρόν τι

κατασκευάσω, ἵνα δειπνήσας καὶ ἀλειψάμενος τὴν ἐμὴν πᾶσι δόξῃ ἔχειν μορφήν.

Καὶ τοῦ Σίμωνος ταῦτα εἰπόντος Ἀππίων καὶ Ἀννουβίων φασὶ πρὸς αὐτόν· καὶ τί ἄρα σοι κέρδος ἀπὸ τῆς μηχανῆς ἔσται ταύτης; καὶ ὁ Σίμων ἔφη· πρῶτον μὲν συλλαβόντες αὐτὸν, οἱ ἐμὲ ζητοῦντες παύσονται τῆς κατ' ἐμοῦ ζητήσεως. εἰ δὲ καὶ ὑπὸ βασιλικῆς χειρὸς ἀναιρεθείη, μέγιστον πένθος ἕξουσιν οἱ τούτου παῖδες, οἵ τινες ἐμὲ καταλιπόντες Πέτρῳ προσπεφοιτήκασιν. Ἀππίων δὲ καὶ Ἀννουβίων κατ' ἰδίαν πάντα τῷ Φαύστῳ διασαφοῦσι, καὶ τὴν ἐπιβουλὴν φράζουσι. καὶ ὁ Φαῦστος οὐκ ἀληθεῖς εἶναι τοὺς λόγους νομίσας, συνδειπνήσας τῷ Σίμωνι μετά γε τῶν ἑταίρων Ἀππίωνός τε καὶ Ἀννουβίωνος ἐκ χειρὸς τοῦ Σίμωνος λαμβάνει τὸ μῦρον, καὶ τὸ ἴδιον ἀλειψάμενος πρόσωπον τὴν τοῦ Σίμωνος εὐθὺς ὑπέδυ μορφήν. πλὴν ἐν μέσῃ γε τῇ νυκτὶ διαναστὰς ὁ Σίμων τὴν ἐπὶ τῆς Ἰουδαίας φυγὴν ἐποιεῖτο.

Ἡμεῖς δέ γε οἱ τῷ Πέτρῳ συνόντες δι' ὅλης νυκτὸς ἀλλήλοις διομιλοῦντες ὑπό τε ἡδονῆς καὶ χαρᾶς τῶν λεγομένων νήφοντες διενυκτερεύσαμεν. ἤδη δέ πως τῆς νυκτὸς ὑπαυγαζομένης ὁ Πέτρος ἐμβλέψας ἐμοί τε καὶ τοῖς ἀδελφοῖς ἔφη· διαπορῶ, τί ἄρα γε τῷ ὑμετέρῳ πατρὶ γέγονε. καὶ λέγοντος ταῦτα ἰδοὺ καὶ ὁ πατὴρ ἧκε, τὸν Πέτρον ἡμῖν περὶ αὐτοῦ διαλεγόμενον ἤδη καταλαβὼν, ἀθυμοῦντά τε ἰδὼν καὶ προσαγορεύσας ἀπελογήσατο, δι' ἣν αἰτίαν ἔξω κεκοίμηται. ἡμεῖς δὲ ἐμβλέποντες αὐτῷ ἐξεστήκειμεν τὸ εἶδος Σίμωνος ὁρῶντες, φωνῆς δὲ τοῦ πατρὸς ἡμῶν ἀκούοντες Φαύστου. καὶ δὴ φευγόντων ἡμῶν αὐτὸν ὁ πατὴρ ἐξεπέπληκτο. μόνος δὲ Πέτρος τὴν κατὰ φύσιν αὐτοῦ μορφὴν ἐνορῶν πρὸς ἡμᾶς ἔφη· τίνος ἕνεκεν τὸν ὑμέτερον ἀπωθεῖσθε πατέρα καὶ ἀποστρέφεσθε; ἡμεῖς δὲ πρὸς αὐτὸν

καὶ ἡ μήτηρ, ὅτι Σίμων ἡμῖν οὗτος φαίνεται φωνὴν ἔχων τοῦ ἡμετέρου πα-
τρός. καὶ ὁ Πέτρος, οὐ, φησίν. ὑμῖν μὲν ἡ ἀμάγευτος αὐτοῦ φωνὴ γνώριμός
ἐστι μόνη· ἐμοῦ δὲ τοῖς ἀμαγεύτοις ὀφθαλμοῖς καὶ τὸ εἶδος ὁποῖόν ἐστι κα-
θορᾶται· ἐπεὶ μὴ Σίμων ἐστὶν οὗτος, ἀλλὰ Φαῦστος ὁ ὑμέτερος ὄντως
πατήρ. τότε δὴ προσεμβλέψας καὶ τῷ πατρὶ λέγει· τὸ γνήσιόν σου εἶδος
αὐτοῖς οὐ φαίνεται, ἀλλὰ Σίμωνος τοῦ ἀσεβεστάτου καὶ ἡμῖν ἐχθίστου.

Ταῦτα τοῦ Πέτρου διαλεγομένου ἐπεισῄει τις τῶν προ-
όδων ἀπὸ τῆς Ἀντιοχείας ἐληλυθὼς, λέγων· εἰδέναι σε θέλω, κύριέ μου
Πέτρε, ὅτι Σίμων ἐν τῇ Ἀντιοχείᾳ ὅτε ὑπῆρχε, δημοσίᾳ πολλὰ τεράστια
ποιῶν οὐδὲν ἄλλο σπουδάζων ἦν, ἤ σε μισητὸν αὐτοῖς καταστῆσαι, μάγον
τε ὀνομάζων καὶ γόητα καὶ μιαιφόνον, ἐφ' ᾧ καὶ τοσοῦτον αὐτοὺς ἠρέθισε
κατά σου, ὡς γλίχεσθαι τοὺς ἐκεῖ πάντας τῶν σαρκῶν αὐτῶν θηριωδῶς
ἀπογεύσασθαί σου. ἡμεῖς δὲ πολὺ κατὰ σοῦ βρύχουσαν τὴν πόλιν ἑωρακότες,
ἤλθομεν ἀπαγγεῖλαί σοι. ἀλλὰ καὶ ὑπὸ Καίσαρος πεμφθείς τις βασιλικὸς
πρὸς τὸν τῆς ἐπαρχίας ἡγούμενον εἰς ἀναζήτησιν Σίμωνος μαθὼν, ὅτι φυ-
γὰς εἰς Ἰουδαίαν ᾤχετο, καὶ αὐτὸς κατὰ ζήτησιν αὐτοῦ ἀπῆλθεν, ἵνα κατὰ
τὴν πρόσταξιν Καίσαρος τιμωρήσηται αὐτόν.

Ταῦτα ἀκούσας φησὶ πρὸς τὸν πατέρα Φαῦστον ὁ
Πέτρος· αὐτὸς ἰδίοις ὠσὶν ἀκήκοας τῶν προόδων ἀπὸ Ἀντιοχείας εἰσεληλυ-
θότων, ὡς ἐκεῖ γεγονὼς ὁ Σίμων ἰσχυρῶς τοὺς ὄχλους παρώξυνε κατ' ἐμοῦ,
πλάνον τε καὶ μιαιφόνον, πρὸς δὲ καὶ μάγον καὶ γόητα καὶ τὰ τοιαῦτα
καλῶν. νῦν οὖν ἐξαυτῆς ποίησον, ὃ ἐγώ σοι ἐντέλλομαι. καὶ καταλιπὼν Κλή-
μεντα παρ' ἐμοὶ, προλαβὼν αὐτὸς εἰς τὴν Ἀντιοχέων μετὰ καὶ τῆς γυναι-

κὸς Ματθιδίας ἔτι δὲ καὶ Φαυστίνου καὶ Φαυστινιανοῦ τῶν υἱῶν· συνέ-
σονται δέ σοι καὶ ἄλλοι τινὲς, οἵ τινες δυνατοὶ ἔσονται ὑπουργῆσαί μου τῷ
βουλήματι· μετὰ τούτων ἐν τῇ Ἀντιοχείᾳ γενόμενος, ἐν ὅσῳ τὴν μορφὴν
ἔτι Σίμωνος περιφέρεις, δημοσίᾳ κήρυξον τὴν σεαυτοῦ μετάνοιαν.

Ταῦτα τοῦ Πέτρου εἰπόντος, ὀξὺς ὢν εἰς τὸ νοῆσαι
Φαῦστος οἶδα, ἔφη, κύριέ μου, τί βούλεται τὰ ·»ματα ταῦτα. διὸ μὴ κάμνε.
μελήσει γάρ μοι ἐκεῖσε γενομένῳ διατελέσαι τὸ προσταττόμενον. καὶ δῆτα
ὑπὸ νύκτα ὁ πατὴρ μεθ' ὧν ἐκέλευσε Πέτρος τῆς πόλεως ἐξορμήσας ἐπὶ
τὴν πλησίον Ἀντιόχειαν ἦλθε. καὶ στὰς ἐν μέσῳ τῆς ἀγορᾶς εἴρηκε πρὸς τὸ
πλῆθος· ἐγὼ Σίμων, ἐγὼ ταῦτα ὑμῖν κηρύσσω καὶ ὁμολογῶ, ἀδίκως κατα-
ψεύσασθαι Πέτρου. οὔκ ἐστι πλάνος, οὐ μιαιφόνος, οὐ γόης, οὐδὲ ὅσα ποτὲ
φαῦλα περὶ αὐτοῦ ἔλεγον δέομαι ὑμῶν ἐγὼ αὐτὸς ὁ τοῦ πρὸς ὑμᾶς μίσους
αἴτιος αὐτῷ γεγονώς· παύσασθε μισοῦντες αὐτόν. τοῦ γὰρ πρὸς σωτηρίαν
κόσμου ἐπιφανέντος υἱοῦ τοῦ θεοῦ ἀψευδής ἐστιν οὗτος ἀπόστολος. διὸ καὶ
αὐτὸς ἐγὼ σύμβουλος ὑμῖν τά γε πρὸς σωτηρίαν τὴν ὑμετέραν καθίσταμαι
καὶ παραινῶ πείθεσθαι τούτῳ, καὶ πιστεύειν τῷ ὑπ' αὐτοῦ κηρυσσομένῳ
θεῷ· ἐπεὶ πᾶσα ὑμῶν ἡ πόλις ἄρδην ἀπολεῖται, καὶ ὑμεῖς σὺν αὐτῇ. ὅτου
δὲ χάριν εἴρηκα ταῦτα, καὶ τοῦτο ὑμᾶς εἰδέναι βούλομαι. ταύτῃ γὰρ τῇ νυκτὶ
ἄγγελοί με θεοῦ τὸν ἀσεβῆ ὡς ἐχθρὸν ὄντα τῷ τῆς ἀληθείας κήρυκι δεινῶς
ἐμαστίγουν. παρακαλῶ οὖν, μηδ' ἂν αὐτὸς ἐγὼ ἄλλοτε ἐλθὼν κατὰ Πέτρου
ἐπιχειρῶ λέγειν ἀποδέξησθέ με. ἐξομολογοῦμαι γὰρ ὑμῖν, ὡς ἐγὼ μάγος, ἐγὼ

πλάνος, ἐγὼ γόης· ἀλλὰ μετανοῶ. ἔξεστι γὰρ ἴσως μετανοίᾳ μοι τὰ κακῶς
πεπραγμένα μοι συγχωρηθῆναι.

Ταῦτα εἰπὼν ὁ πατὴρ δημοσίᾳ ὡς ἐκ προσώπου τοῦ Σίμω-
νος καὶ Πέτρον εὐλογήσας τὴν πᾶσαν Ἀντιοχέων πόλιν εἰς τὸν ἐκείνου
πόθον μετέθηκε, καὶ πάντες ἐπιθυμεῖν αὐτοῦ δεινῶς ἔλεγον· ἔνιοι δὲ καὶ χα-
λεπαίνοντες αὐτῷ ἦσαν δῆθεν, οἷά περ αὐτῷ ἐκείνῳ Σίμωνι ὄντι, διὰ τὸ
ὑπερβάλλον τῆς περὶ τὸν Πέτρον στοργῆς, καὶ χεῖρας ἐπιβαλεῖν ἐπεχείρουν.
καὶ ὃς μὴ παρ' αὐτῶν ἀναιρεθῇ δεδοικὼς, ἐξαυτῆς ἐλθεῖν πέμψας ἠξίου
τὸν Πέτρον, ὅπως αὐτὸν ἐπικαταλάβῃ ζῶντα, καὶ ἀκμαζούσῃ τῷ πρὸς αὐ-
τὸν πόθῳ τῇ πόλει εὐκαίρως ἐπιφανῇ. Πέτρος δὲ τούτων ἀκούσας πρὸς τὸ
ἐκκλησιάζειν πλείστους ἀγαγὼν, ἐπίσκοπόν τε καταστήσας, καὶ ἰασάμενος
πολλοὺς καὶ βαπτίσας, ἡμέρας ἐπιμείνας τρεῖς τῇ Λαοδικείᾳ ἐπὶ τὸν πλησίον
ὁρμήσειν Ἀντιόχειαν ἔσπευσε.

Καὶ δὴ τὴν πόλιν καταλαβόντα τὸ πλῆθος συνδραμὸν ἅπαν
μετὰ χαρᾶς ὑπεδέξατο ὡς τῆς ἀληθείας κήρυκα καὶ ἀπόστολον. προσευξά-
μενος δὲ καὶ χεῖρας αὐτοῖς ἐπιθεὶς πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν,
ἕνα τε θεὸν ἐν τρισὶν ὑποστάσεσιν εὐαγγελισάμενος καὶ πολλὰ διδάξας αὐ-
τοὺς περὶ μοναρχίας. εἶτα πρὸς τὴν ξενίαν ἀπῄειμεν. γνοὺς δὲ ὁ γέρων, ὅτι
Πέτρος παρῆν, προσδραμὼν ἑαυτόν τε τῇ γῇ προσκαταβαλὼν τὰ ἐκείνου κα-
τησπάζετο ἴχνη ἀξιῶν τῷ θείῳ τελειωθῆναι βαπτίσματι, ὥστε τὸ ἀρχαῖόν τε
τῆς ψυχῆς κάλλος καὶ τὴν μορφὴν τοῦ σώματος ἀπολαβεῖν διὰ τοῦ βαπτίσ-
ματος καὶ κοινωνὸς τῶν ἀχράντων γενέσθαι τοῦ Χριστοῦ μυστηρίων. καὶ ὁ

Πέτρος κατηχήσας αὐτὸν, εἰρηκώς τε πολλὰ περὶ σωτηρίας, ἐπὶ τέλει δὲ καὶ
τοῦτο εἰπὼν, ὡς ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῖς μα-
θηταῖς ἐντελλόμενος, ὁ πιστεύσας, ἔφη, καὶ βαπτισθεὶς, σωθήσεται, καί· κατὰ
τὴν πίστιν σου γενηθήτω σοι ὡς θέλεις· ἐπεί περ ὁ καιρὸς πρὸς ἑσπέραν ἦν,
τροφῆς μεταλαβόντας μετὰ τὴν συνήθη εὐχὴν ὁ ὕπνος ἐλάμβανε.

Τῇ δὲ ἐπιούσῃ ὀρθριώτερον πάλιν ἀναστὰς ὁ Πέτρος καὶ
προσευξάμενος μετακαλεῖται σὺν ἡμῖν τὸν πατέρα καὶ σήμερον, ὦ ἀδελφοὶ,
λέγει, μεγάλη χαρὰ γίνεται ἐν τῷ οὐρανῷ ἐπὶ τῇ θεοδωρήτῳ ἀναγεννήσει
τοῦ καλοῦ γέροντος Φαύστου. καὶ παραλαβὼν ἡμᾶς ἐξῄειμεν κατὰ ἀνατολὰς
τῆς πόλεως, ἔνθα ἦν ὕδατα πολλά τε καὶ καθαρὰ, καὶ μόνον τὸν πατέρα
λαβὼν ἰδίᾳ, κατηχήσας τε πολλὰ καὶ διδάξας αὐτὸν τὰ περὶ θεοῦ καὶ τῆς
διὰ σαρκὸς αὐτοῦ πρὸς ἡμᾶς ἐπιδημίας ἐβάπτισεν αὐτὸν εἰς τὸ ὄνομα τοῦ
πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· καὶ ἄρτον λαβὼν, εὐχαριστή-
σας τε καὶ εὐλογήσας τῶν ἱερῶν αὐτῷ κοινωνεῖ μυστηρίων. καὶ ἦμεν ὁμοῦ
πάντες ἀγαλλιώμενοι ἐν κυρίῳ νύκτα τε καὶ μεθ' ἡμέραν ἐπί τε τῇ τοῦ πα-
τρὸς διὰ τοῦ θείου πνεύματος ἀναγεννήσει, καὶ τῇ ἀκροάσει τῶν Πέτρου
λογίων. χρόνον οὖν τινα ἐπὶ τὸ αὐτὸ διαγαγόντων ἡμῶν, πᾶσι δῆλα κατέστη
τὰ καθ' ἡμᾶς, καὶ ἐν τοῖς ἁπάντων ἦμεν στόμασι, καὶ πάντες ἐθαύμαζον
ἐπὶ πᾶσι τοῖς συμβεβηκόσιν ἡμῖν, καὶ τὴν τοῦ θεοῦ εἰς ἡμᾶς βοήθειαν ἐπὶ
τῷ ἀναγνωρισμῷ ἡμῶν ἐμεγάλυνον.

Τῆς φήμης οὖν πανταχόσε διαθεούσης ὁ τῆς Ἀντιοχέων
ἡγεμὼν πάντα τὰ συμβεβηκότα ἐπί τε τῷ πατρὶ καὶ τῇ μητρὶ γνοὺς, καὶ

ὅτι Καίσαρι κατὰ γένος προσήκουσιν, ἀναφέρει ταῦτα τῷ Τιβερίῳ. καὶ ὁ
βασιλεὺς ἀκούσας κελεύει, τὸ τάχος ἀναπεμφθῆναι αὐτοὺς εἰς Ῥώμην. ὃ καὶ
γέγονε. καὶ μετὰ πολλῆς τιμῆς καὶ δορυφορίας ὁ ἡγεμὼν ἐξ Ἀντιοχείας πρὸς
τὸν Καίσαρα Τιβέριον αὐτοὺς ἀποστέλλει. θεασάμενος δὲ ὁ Καῖσαρ τόν τε
πατέρα καὶ τὴν μητέρα καὶ ἐπιγνοὺς αὐτοὺς ἐξέστη ἐπὶ τούτῳ, καὶ περιφὺς
αὐτοῦ τῷ τραχήλῳ θερμῶς ἔκλαιεν. ἐπισχὼν δὲ τοῦ πένθους, πρὸς τὴν σύγ-
κλητον ἀποβλέψας συγχάρητέ μοι, ἔφη, πάντες καὶ κοινὴν ἑορτὴν ποιησώμεθα
τὴν ἀνεύρεσιν Φαύστου καὶ Ματθιδίας, ὅτι νεκροὶ νομιζόμενοι ἀνέστησαν,
καὶ ἀπολωλότες εὑρέθησαν. εἶτα καὶ εὐωχηθεὶς μετ' αὐτῶν καὶ χρήματα
πολλὰ χαρισάμενος, ἔτι δὲ καὶ παῖδας καὶ παιδίσκας εἰς ὑπηρεσίαν αὐτοῖς
δεδωκὼς, θεραπείᾳ πλείστῃ καὶ τιμῇ περιέβαλεν. οἳ καὶ χρόνον οὔτι βρα-
χὺν ἐν Ῥώμῃ διῆγον, εὐσεβῶς μὲν βιοῦντες καὶ πένησι τὰ ἑαυτῶν χορηγοῦν-
τες καὶ πᾶσαν ἄλλην ἀρετὴν μετερχόμενοι, ἕως ἐν γήρει καλῷ τὰ ἐνταῦθα
λιπόντες τὴν Χριστοῦ βασιλείαν ἠλλάξαντο, ἀρχέτυπον βίου καὶ παράδειγμα
πρὸς ἀρετὴν ἀκριβέστατον τὸν ἑαυτῶν βίον τῇ Ῥωμαίων παρασχόμενοι
πολιτείᾳ.

Ἐγὼ μέντοι Κλήμης μετὰ τῶν ἀδελφῶν ἔτι παρὰ τῷ διδασ-
κάλῳ Πέτρῳ μεμενηκὼς, ἐχομένῳ τε τοῦ κηρύγματος καὶ πολλοὺς ἐκ ποι-
κίλων νόσων καὶ παθῶν ἰωμένῳ. ἐπεὶ τὰς πόλεις ἐκεῖνος ἀμείβων ἔφθασε
καὶ εἰς Ῥώμην, καὶ τοῖς συνιοῦσι τὸν τῆς εὐσεβείας λόγον διήγγειλε, καὶ πολ-
λοὺς τῷ μέρει Χριστοῦ προσήγαγε διὰ τοῦ βαπτίσματος, ἄνδρας τε καὶ γυ-

ναῖκας, ὡς καὶ τῶν εὐγενῶν γυναικῶν τὰς περιφανεστέρας, καὶ ἃς ὁ λόγος
ματρώνας οἶδε καλεῖν, ἐν ὀλίγῳ χρόνῳ μικροῦ δεῖν πάσας προσδραμεῖν πεῖ-
σαι τῷ ἁγίῳ βαπτίσματι καὶ πιστεῦσαι θεῷ.

Ἔμελλε δὲ καὶ αὐτὸς ἤδη τὸν βίον ἀπολιπεῖν καὶ πρὸς τὸν διδάσκαλον ἐκδημῆσαι Χριστὸν τὸν τοῦ εὐαγγελίου δρόμον τετελεκώς. ἐπεί
περ ἔγνωστο τούτῳ καὶ ὅτι σταυρῷ μέλλει καὶ οὗτος κατακριθῆναι, ἵνα τῷ
διδασκάλῳ καὶ πάθους κοινωνήσῃ καὶ δόξης, μιᾷ συνηθροισμένων τῶν ἀδελ-
φῶν πάντων, τῆς χειρός μου λαβόμενος, στὰς ἐν μέσῃ τῇ ἐκκλησίᾳ ἀκούσατέ
μου, ἔφη, τέκνα καὶ ἀδελφοί· τοῦ μὲν ἐμοῦ δρόμου τὸ τέλος ἐγγύς· τοῦτο γὰρ
καὶ ἤδη μοι ἔγνωσται· Κλήμεντα δὲ τοῦτον ἐπίσκοπον ὑμῖν χειροτονῶ σήμε-
ρον, ᾧ καὶ τὴν ἐμὴν τῶν λόγων πιστεύω καθέδραν, ὡς ἀπαρχῆς μοι καὶ
μέχρι νῦν συνοδεύσαντα, καὶ οὕτως πασῶν μου τῶν ὁμιλιῶν ἐπακούσαντα,
ὃς ἐν πᾶσί μοι τῶν πειρασμῶν κοινωνήσας τῇ πίστει προσκαρτερῶν εὑρέθη,
ὃν ἐγὼ ἀκριβέστατα πάντων οἶδα θεοσεβῆ καὶ φιλάνθρωπον, ἁγνόν τε καὶ
σώφρονα, ἀγαθὸν, δίκαιον, μακρόθυμον καὶ γενναίως εἰδότα φέρειν τὰς
ἐνίων τῶν κατηχουμένων ἀχαριστίας. διὸ αὐτῷ μεταδίδωμι τῆς ἐξουσίας τοῦ
δεσμεῖν τε καὶ λύειν. δήσει γὰρ, ὃ δεῖ δεθῆναι, καὶ λύσει πάντως, ὃ δεῖ λυ-
θῆναι, ὡς τὸν τῆς ἐκκλησίας κανόνα καλῶς εἰδώς. αὐτοῦ οὖν ἀκούσατε εἰδό-
τες, ὅτι ὁ τὸν ἀληθείας προκαθεζόμενον λυπῶν εἰς Χριστὸν ἁμαρτάνει, καὶ
τὸν πατέρα τῶν ὅλων παροργίζει θεόν, οὗ εἵνεκεν οὐ ζήσεται. καὶ αὐτὸν οὖν
δεῖ τὸν προκαθεζόμενον ἰατροῦ τόπον ἐπέχειν, οὐ θηρίου ἀλόγου θυμόν.

Ταῦτα αὐτοῦ λέγοντος ἐγὼ Κλήμης πεσὼν ἐπὶ γῆς, πολὺς

ἦν τοῦ διδασκάλου δεόμενος, καὶ τὸν θρόνον ὡς μάλιστα παραιτούμενος.
ἀλλ' ὁ θεῖος ἀπόστολος, περὶ τούτου με μὴ ἀξίου εἰπών· ἃ γὰρ ὁ θεὸς βού-
λεται, τίς ἱκανὸς ἀνθρώπων διασκεδάσαι; ἔτι πρὸς τὸ πλῆθος ἰδὼν καὶ
ὑμεῖς, ἔφη, ἀγαπητοὶ ἀδελφοὶ, τὴν ὀφειλομένην ὡς πατρὶ τιμὴν καὶ εὐπεί-
θειαν διὰ παντὸς ἀποδιδόναι τῷ ὑμῶν πατρὶ μὴ ἐλλίποιτε. οὕτω γὰρ καὶ
ὑμεῖς ποιμαίνεσθαι καλῶς ἕξετε, καὶ ποιμὴν οὗτος ἔσται, καὶ οὐ μισθωτὸς,
τοῦ ποιμνίου ἐπιμελούμενος. ἔσεσθε γὰρ εἰδότες, ὡς ὁ τὸν ποιμένα τε καὶ
διδάσκαλον ἐν τοῖς κατὰ θεὸν λυπῶν τὸ τοῦ θεοῦ πνεῦμα λυπεῖ, οὗ τὴν κα-
θέδραν οὗτος καὶ τὸν τόπον ἐπέχει, καὶ ὁ τοὺς αὐτοῦ λόγους ἀθετῶν Χρι-
στὸν ἀθετεῖ καὶ παραβάτης νόμου εὑρίσκεται. πρὸ πάντων δὲ τὰ τῆς πίστεως ὑμῖν ὑγιῶς ἐχέτωσαν καὶ βεβαίως, κινδύνῳ μηδενὶ σαλευόμενα· ἔπειτα καὶ ὁ βίος ὑμῶν καθαρὸς ἔστω, ἢ καθαιρέσθω, καὶ προηγουμένως ὁ τοῦ σώματος ἁγιασμὸς σπουδαζέσθω· οὐδεὶς γὰρ τούτου χωρὶς τὸν κύριον ὄψεται. τὸ εἰρηνικόν τε καὶ ἥμερον ἀλλήλοις παντὶ τρόπῳ περιποιείσθω. εἰ δὲ καὶ συμβαίη ποτὲ ἀλλήλων μεταξὺ σκάνδαλον, μὴ ἐπιδυέτω ὑμῖν ὁ ἥλιος οὕτως ἔχουσι. τοῦ κρίνειν τὸν πλησίον εὐλαβεῖσθε· Φαρισαϊκὸν γὰρ τοῦτο καὶ κρίσεως ἔνοχον. τῆς φιλοξενίας καὶ εὐποιίας μὴ ἐπιλανθάνεσθε· τοῦτο γὰρ ἐντολὴ τοῦ πρώτου διδασκάλου καὶ σωτῆρος θεοῦ. τοῖς πταίουσι συγ-
χωρεῖτε τὰ ἁμαρτήματα· οὕτω γὰρ καὶ αὐτοὶ ἀπαύστως ἐρεῖτε τὸ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν. ζυγὰ, μέτρα καὶ στάθμια μηδὲ ἓν ἄδικον ἔστω. οὕτω γὰρ εὐνομουμένη πόλις ἡ τοῦ θεοῦ ἔσται καθολικὴ ἐκκλησία.
οἱ πράγματά τινα μετ' ἀλλήλων ἔχοντες ἐπὶ τῶν τῆς ἐκκλησίας πρεσβυτέρων κρινέσθωσαν, καὶ τὸ καλὸν νοοῦντες συμβιβαζέσθωσαν· καὶ μὴ ἕλκετε εἰς

δικαστήρια τοὺς ἀδελφούς. ἀπίστῳ γὰρ τοῦτο, τοῖς ἔξω κρίνεσθαι, ἐπεὶ καὶ
ἀγγέλους κρινοῦμεν γέγραπται. ἐπὶ πᾶσι καὶ πρὸ πάντων οὕτως ἐστὲ τὸν
ποιμένα ὁρῶντες, ὡς ἐμὲ Πέτρον, τὸν ὑπὸ θεοῦ προχειρισθέντα ὑμῖν εἰς
διδάσκαλον.

Ταῦτα εἰπὼν καὶ ἐπὶ πάντων μοι τὰς χεῖρας ἐπιθεὶς εἰς
τὴν αὐτοῦ με καθέδραν καθεσθῆναι πεποίηκε· καθεσθέντι δὲ τοῦτό μοι εὐ-
θέως ἔφη· ἀξιῶ σε ἐπὶ πάντων μου τῶν συμπαρόντων ἀδελφῶν, ὁπηνίκα
τοῦ ἐνταῦθα μεταστῶ βίου, ὡς ἡ τοῦ θεοῦ κέκρικε πρόνοια, πάντα τῷ κυρίῳ
Ἰακώβῳ τῷ ἀδελφῷ τοῦ κυρίου μου ἐν ἐπιτομῇ ἀναγραψάμενον διαπέμψαι,
μέχρι καὶ τῶν ἐκ παιδός σου λογισμῶν, καὶ ὡς ἀπ' ἀρχῆς μέχρι νῦν μοι συνώ-
δευσας, ἐπακούων τῶν κατὰ πόλιν ὑπ' ἐμοῦ κηρυχθέντων λόγων τε καὶ πρά-
ξεων· ἔπειτα πρὸς τῷ τέλει καὶ τὴν τοῦ θανάτου μου πρόφασιν, ὡς προεῖ-
πον, δηλῶσαι μὴ παραλίπῃς. οὐ γὰρ αὐτὸν λυπήσει τοῦτο εἰδότα σαφῶς, ὅτι
ὃ πάντως ἔδει με παθεῖν, εὐσεβῶς ἀποδέδωκα. μεγίστης δὲ παραμυθίας τεύ-
ξεται μαθὼν, ὅτι μετ' ἐμὲ οὐκ ἀμαθὴς ἀνὴρ καὶ ζωοποιοὺς ἀγνοῶν λόγους,
ἐκκλησίας τε κανόνα εἰδὼς μάλιστα, τὴν τοῦ διδάσκοντος ἐπιστεύθη καθέ-
δραν. ὅθεν ἐγὼ, κύριέ μου Ἰάκωβε, τοῦ διδασκάλου Πέτρου ταῦτά μοι ἐπι-
σκήψαντος οὐκ ὤκνησα τὸ κελευσθὲν ἐκπληρῶσαι, καὶ ὡς ἐπιτομῇ σοι πάν-
τα γνώριμα καταστῆσαι ἐπιγράψας τὴν ὑπόθεσιν οὕτως· Κλήμεντος τῶν
Πέτρου ἐπιδημιῶν καὶ κηρυγμάτων ἐπιτομή.

ΑΥΤΗ μὲν οὖν ἡ πλήρης τῆς ἄνωθεν χάριτος τοῦ κορυ-
φαίου τῶν ἀποστόλων Πέτρου ἐπιδημιῶν διήγησις, ἐπίτομόν τε ὁμοῦ διδα-

σκαλίαν αὐτοῦ ἔχουσα καὶ τὸν τοῦ μεγάλου καὶ θαυμασίου Κλήμεντος βίον,
καθάπερ ἐν πίνακι τῷ λόγῳ διατυποῦσα, ὡς αὐτὸς οὗτος Ἰακώβῳ τῷ ἀδελ-
φοθέῳ γράφων ἐγνώρισε. τὸν μέντοι διάπυρον αὐτοῦ πρὸς θεὸν ἔρωτα καὶ
τὸν πολὺν ἐκεῖνον ὑπὲρ τῆς εὐσεβείας ζῆλον ἱκανὰ μὲν τὰ ·ηθέντα δηλῶσαι·
δηλώσει δὲ μάλιστα τὰ πάντων σαφέστατα καὶ αὐτὸ τὸ διὰ μαρτυρίου τέλος.

Τρίτος γὰρ μετὰ Πέτρον τὸν μέγαν ἐπὶ τὸν ὑψηλὸν τῆς Ῥωμαίων ἐκκλησίας θρόνον καθίσας καὶ ἀρετῆς ἆθλον αὐτὸν δεξάμενος
εἵπετο κατ' ἴχνος τῷ διδασκάλῳ, καὶ ἀποστολικὴν διδασκαλίαν καὶ αὐτὸς
ἐπεδείκνυτο, καὶ τοῖς ὁμοίοις διέλαμπε τρόποις, οὐ Χριστιανοῖς μόνον εὐαρε-
στῶν, ἀλλὰ δὴ καὶ Ἰουδαίοις καὶ αὐτοῖς Ἕλλησι, καὶ πᾶσι πάντα γινόμενος,
ἵνα τοὺς πάντας καὶ οὕτω κερδάνῃ καὶ τῷ Χριστῷ παραστήσῃ καὶ συνδήσῃ
τῇ εὐσεβείᾳ. ὅπως δὲ μὴ ψιλὴ μόνον ὑπόληψις εἶναι δοκῇ τὰ παρόντα, καὶ
τὰς αἰτίας ἐροῦμεν. Ἕλλησι μὲν γὰρ διὰ τοῦτο τιμώμενος ἦν, καὶ ἡδέως
αὐτῷ προσεῖχον ἐκεῖνοι, ὅτι μὴ λοιδορούμενος αὐτοῖς, μηδὲ ἀποστρεφόμενος,
ἀλλ' ὥσπερ ἀπολογούμενος, καὶ μαρτυρίας πάντοθεν παράγων ἀπὸ
τῶν παρ' αὐτοῖς βιβλίων τε καὶ γραφῶν ἐδείκνυ σαφῶς, ὅθεν τε οἱ ὑπ'
αὐτῶν νομιζόμενοι θεοὶ ὥρμηνται, καὶ ὅπου γεγέννηνται, ἅ, τε
πράξειαν, καὶ εἰς οἷον ἔλθοιεν τέλος, καὶ ὅπως τὸν βίον ἀθλίως
κατέστρεψαν. εἶτα καὶ ὡς οὐκ ἀποκέκλεισται αὐτοῖς παρὰ τοῦ θεοῦ ἡ
τῆς μετανοίας ὁδὸς, οὐδὲ παντάπασι τῆς σωτηρίας ἐξέπεσον· ἀλλ' εἰ
καὶ μόνον ἐπιστρέψαντας ἴδοι, καὶ τῆς προτέρας ἀπωλείας καὶ τῆς
ἀπάτης ἀποσχομένους καὶ συγγνώσεται αὐτοῖς φιλανθρώπως καὶ
προσηνῶς ὑποδέξεται καὶ βασιλείαν οὐρανῶν ἑτοιμάσει καὶ ἀγαθῶν
ἀξιώσει τῶν ἀπορρήτων.

Ἰουδαίοις δὲ πάλιν ἐντεῦθεν ἐδόκει χαρίζεσθαι, ὅτι τε φίλους
τοῦ θεοῦ τοὺς ἐκείνων πατέρας ὑπέφαινε, καὶ ὅτι τὸν παρ' αὐτοῖς νόμον

ἱερόν τε παρίστη καὶ θεῖον, καὶ οὔτε αὐτὸν παυθήσεσθαι, οὔτε τὴν πολιτείαν
μετατεθήσεσθαι, ἀλλὰ κλῆρον αὐτοῖς ἔσεσθαι τὴν Παλαιστίνην διηνεκῆ,
εἴ γε τὸν τοιοῦτον καὶ αὐτοὶ νόμον τηρήσουσιν· ὥστε γενέσθαι αὐτὸν πα-
τέρα τοσούτων ἐκγόνων, ὡς παρισοῦσθαι τὸ πλῆθος αὐτῶν τῷ πλήθει τῶν
ἄστρων· καὶ ἐν τῷ σπέρματι αὐτοῦ κληροδοτεῖσθαι πάντα τὰ ἔθνη· καὶ ὃ
πρὸς τὸν Δαβὶδ εἶπεν αὖθις· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ
θρόνου σου· καὶ διὰ Ἡσαΐου πάλιν, ὅτι ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ
τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. εἰ τοίνυν μὴ ἀθετοῦ-
σιν, ἀλλὰ πίστει παραδέχονται ταῦτα, τῆς προτέρας αὐτοὺς τοῦ θεοῦ προ-
νοίας μὴ ἐκπεσεῖν, ἀλλ' ἀναφαίρετον μένειν παρ' αὐτοῖς τὴν Παλαιστίνην
διεβεβαίου. Ἕλληνας μὲν οὕτω καὶ Ἰουδαίους δεξιῶς ἄγαν καὶ οἰκείως ὑπήρ-
χετο, χαριζόμενός τε αὐτοῖς ὁμοῦ καὶ ἠρέμα πρὸς τὴν εὐσέβειαν ἐπαγόμενος.

Χριστιανοὶ δὲ πολλὰ καὶ ἄλλα τῆς τοῦ ἀνδρὸς περὶ αὐτοὺς κηδεμονίας δείγματα εἶχον· μάλιστα δὲ τὴν εὐποιίαν, οἷος ἐκεῖνος, πένησι θησαυρίζων ἀεὶ ταῖς ἀσφαλέσιν ἀποθήκαις, καὶ τῶν ἐπιβουλευόντων ἰσχυρο-
τέραις. τούς τε γὰρ ἐν ἑκάστῳ μέρει τῆς πόλεως ἐνδεεῖς ἀπογραψάμενος
τῶν ἀναγκαίων αὐτοῖς καθ' ἑκάστην ἡμέραν ἐποιεῖτο τὴν χορηγίαν· καὶ ὅσοι
παρ' αὐτῷ πάλιν τοῦ θείου κατηξιοῦντο βαπτίσματος, δημοσίων αὐτοὺς
ἀπέλυε φόρων, καὶ παντελῆ παρεῖχεν ἀτέλειαν. παρῄνει δὲ καὶ τοῖς ἑκάστοτε
διὰ τὸ κήρυγμα καὶ τὴν διδασκαλίαν πρὸς αὐτὸν συνιοῦσι, καὶ μάλιστα
ὅσους περιττοὺς ᾔδει τῷ πλούτῳ καὶ πρὸς τὸ διδόναι δυνατῶς ἔχοντας, μὴ

τοὺς ἅπαξ τῷ βαπτίσματι τῷ ἁγίῳ καθαρθέντας, περιορᾶν δημοσίᾳ παρὰ
τῶν Ἰουδαίων τρεφομένους δι' ἀπορίαν, καὶ τὴν λαμπρὰν στολὴν τοῦ χαρί-
σματος διὰ τῆς ἐναγοῦς ἐκείνης κοινωνίας μολύνοντας. ἀφ' ὧν οὕτω προθύ-
μως αὐτοὺς ἐποίει τοῖς βασανιζομένοις τὰ πρὸς τὴν χρείαν ἀποδιδόναι,
ὡς τοῦτό γε μόνον κέρδος νομίζειν, ὅ, τι ἂν εἰς αὐτοὺς ἀναλώσειαν.

Οὕτω μὲν οὖν ὁ ἱερὸς Κλήμης ἔχων καὶ οὕτως ἐν ταῖς ἁπάν-
των ψυχαῖς κείμενος καὶ οὐ Χριστιανοὺς μόνον, ἀλλὰ καὶ αὐτοὺς Ἕλληνας
καὶ Ἰουδαίους τῆς οἰκείας καὶ ψυχῆς πάλιν ἐκεῖνος καὶ γλώττης ἀνηρτημένος,
τῷ Σισιννίῳ ἐκείνῳ· φίλος δὲ οὗτος τῷ βασιλεῖ Νερούᾳ καὶ τῶν ἐπιτη-
δείων· ἐμισεῖτο καὶ διεβάλλετο, ἐπειδὴ τὴν σύζυγον Θεοδώραν ὁ Σισίννιος
ὑπῃσθάνετο ἔρωτι τῆς ἐκείνου διδασκαλίας ἁλισκομένην, καὶ οἴκου μὲν καὶ
παίδων καὶ ἀνδρὸς ἀμελοῦσαν, ὅλην δὲ τῷ Κλήμεντι προσκειμένην, καὶ αὐτῷ
συνεχῶς φοιτῶσαν, καὶ τοῦτον πάλιν ἐπὶ τῆς οἰκείας ψυχῆς ἀεὶ πνευματι-
κῶς περιφέρουσαν. ἀλλ' ἡ μὲν Θεοδώρα τῇ σειρῆνι τῆς τοῦ Κλήμεντος γλώττης
καταθελχθεῖσα καὶ τῷ Χριστῷ δι' ἐκείνου πιστεύσασα θερμότερον ἀντεποιεῖτο
τῆς εὐσεβείας, καὶ διηνεκῶς ἔψαλλε, καὶ οὐκ ἀπελιμπάνετο τῆς συνάξεως.

Ὁ Σισίννιος δὲ ὑπὸ τῆς ἀδίκου ζηλοτυπίας κεντούμενος ἐπι-
βουλὴν κατὰ τῆς γυναικὸς ἐμελέτα, καὶ ὑπὸ τοῦ πάθους καθ' ἑκάστην ὡπλί-
ζετο τὴν ἡμέραν. καὶ δή ποτε τηρήσας αὐτὴν πρὸς τὴν σύναξιν ἀπιοῦσαν
λάθρα μετὰ τῶν οἰκετῶν καὶ αὐτὸς εἰς τὸν ναὸν παρεισῆλθεν, ὥστε περιερ-
γάσασθαι καὶ καταμαθεῖν τὰ ἐν αὐτῷ πάντα τελούμενα, καὶ ὧν χάριν ἡ
Θεοδώρα συνεχῶς ἐκεῖ ἀφικνεῖται. τοῦ θαυμασίου δὲ Κλήμεντος τὴν συνήθη

παραχρῆμα τῶν ἱερῶν ὕμνων εὐχὴν προειπόντος τυφλὸς εὐθὺς ὁ Σισίννιος
ἐγένετο καὶ κωφὸς, ὡς μήτε ἀκούειν, μήτε ὁρᾶν δύνασθαι. καὶ πρὸς τοὺς
οἰκέτας ἐπιστραφεὶς λάβετέ με, ἔφη, καὶ πρὸς τὴν οἰκίαν χειραγωγήσατε·
ἀθρόον γάρ τι κατασκῆψαν εἰς ἐμὲ κακὸν οὔτε ἀκούειν, οὔτε βλέπειν ἀνίησι.

Χεῖρα μὲν οὖν εὐθὺς ὀρέγουσιν αὐτῷ οἱ οἰκέται καὶ ἀπαίρουσι δῆθεν πρὸς τὴν οἰκίαν· ἐξελθεῖν δὲ οὐκ εἶχον, καίτοι γε πάσης τοῦ ναοῦ πύλης ἀνεῳγμένης, ἀλλὰ διὰ πάσης αὐτόν τε περιῆγον τῆς ἐκκλησίας ἀνὰ τὸ τῶν δόντων πλῆθος. ἀπέκλειε γὰρ τὴν ἔξοδον αὐτοῖς δύναμις θειοτέρα σωφρονέστερον τὸν ἀνόητον ἐκεῖνον ἐργαζομένη. περιιόντες τοίνυν πανταχοῦ τοῦ νεῶ ἐντυγχάνουσι προσευχομένῃ τῇ αὐτοῦ συζύγῳ. κἀκείνη τὸν ἄνδρα σὺν τοῖς οἰκέταις ἰδοῦσα πρῶτα μὲν ἐκκλίνει τὴν θέαν δεδοικυῖα, μὴ καὶ οὗτος αὐτῆς ἴδοι· οὐδὲν γὰρ τέως τῶν πραχθέντων ἡ Θεοδώρα ᾔδει. ἔπειτα δὲ τῶν οἰκετῶν ἕνα μετακαλεσαμένη τὴν αἰτίαν ἠρώτα, δι' ἣν οὕτω σὺν αὐ-τοῖς ὁ ἀνὴρ ἀνὰ τὸν ναὸν περιέρχοιτο. κἀκεῖνος αὐτῇ πάντα καταλέγει σὺν ἀκριβείᾳ, ὅπως τε μετὰ τὴν ἐκ τοῦ οἴκου αὐτῆς ὑποχώρησιν λάθρα τὴν ἐκκλη-σίαν καὶ αὐτοὶ καταλάβοιεν, καὶ ὅπως τὴν εὐχὴν τοῦ πατριάρχου διατελέ-σαντος τυφλὸς εὐθὺς ὁ κύριος αὐτῶν γένοιτο καὶ κωφὸς, καὶ ὡς προστάξειε μὲν αὐτοῖς χειραγωγῆσαι αὐτὸν ἐπὶ τὴν οἰκίαν, οὐδεμία δὲ αὐτοῖς ἔξοδος καί-τοι πολλὰ καμοῦσι καὶ πανταχοῦ τῆς ἐκκλησίας περιελθοῦσιν εὑρίσκεται.

Τούτων ἐκείνη ἀκούσασα συνῆκεν εὐθέως, ὅθεν ἡ τῶν ὤτων αὐτῷ καὶ τῶν ὀφθαλμῶν πήρωσις ἦν, καὶ βοηθὸς ἀληθῶς αὐτῷ γίνεται.

τραπεῖσα γὰρ εἰς εὐχὴν αὐτίκα καὶ δάκρυα μετὰ τῆς εὐχῆς θερμὰ χέουσα
ἐδεῖτο τοῦ θεοῦ, ὥστε τὴν ἔξοδον ἐπιτραπῆναι τῷ Σισιννίῳ καὶ οἴκαδε ὑπο-
στρέψαι αὐτόν. καὶ πρὸς τοὺς οἰκέτας ἐπιστραφεῖσα· ᾔδει γὰρ ὡς οὐδὲ τὸν
ἄνδρα περιόψεται πάντως ὁ ἐκείνης θεός· ἄγετε, φησὶ, τὸν κύριον ὑμῶν
πρὸς τὸν οἶκον χειραγωγήσατε, καταλαμβάνω δὲ μετὰ βραχὺ καὶ αὐτή.
ταῦτα ἔφη, καὶ ·ᾳδία ἡ ἔξοδος εὐθὺς τοῖς οἰκέταις ἐγένετο. καὶ ὁ Σισίννιος
ὀφθαλμοὺς ἔτι καὶ ὦτα πεπηρωμένος ἐχειραγωγεῖτο πρὸς τὴν οἰκίαν. οἱ οἰκέ-
ται τοίνυν ἐλθόντες παρὰ τὴν Θεοδώραν καὶ αὖθις ἔτι κωφὸν εἶναι καὶ
τυφλὸν τὸν ἑαυτῶν ἀπαγγέλλουσι κύριον. καὶ αὐτὴ συντονωτέρα πάλιν
πρὸς τὸν θεὸν τῇ δεήσει καὶ θερμοτέροις ἐδεῖτο τοῖς δάκρυσιν, ὥστε τὸν
ἄνδρα τοῦ πάθους ἀπαλλαγῆναι. ἤδη δὲ καὶ τοῦ πατριάρχου τὴν ἱερὰν ἐκτελέ-
σαντος λειτουργίαν πίπτει πρὸς τοὺς αὐτοῦ πόδας ἡ Θεοδώρα, καὶ τὴν πήρω-
σιν τοῦ ἀνδρὸς ἀπαγγέλλει, καὶ δεῖται καὶ ἱκετεύει καὶ δάκρυα τῶν
ποδῶν καταχέει, θεραπεῦσαι τῷ ἀνδρὶ τὸ πάθος, καὶ μὴ οὕτω
περιιδεῖν κακῶς ἔχοντα.

Τούτων ὁ μακάριος Κλήμης ἀκούσας καὶ παθὼν ἐπὶ τῇ τῆς
γυναικὸς συμφορᾷ τὴν ψυχὴν εἰς δάκρυα καὶ αὐτὸς φανερὰ κατάγεται, καὶ
προτρέπεται τοὺς παρόντας κοινῇ τοῦ θεοῦ δεηθῆναι, ὥστε λυθῆναι τῷ
Σισιννίῳ τὴν πήρωσιν. τούτου δὲ γενομένου θαῤῥούντως ἄπεισι μετὰ τῆς
γυναικὸς ἐπὶ τὸν οἶκον ὁ πατριάρχης, καὶ ἀνεῳγμένους μὲν εὑρίσκει
τῷ ἀνδρὶ τοὺς ὀφθαλμοὺς, εἰς δὲ τὸ βλέπειν οὐδὲν τῶν πεπηρωμένων ἄμεινον ἔχοντας.
κεκώφωτο δὲ καὶ τὰ ὦτα, καὶ βαρυτάτῃ συμφορᾷ περὶ τὸ σῶμα ἐκέχρητο.
ὀδυρμὸς οὖν ἐκ τῶν παρόντων ἐγένετο, καὶ κατέσχεν οἰμωγὴ τὸν οἶκον. ἀλλ'

ὁ μὲν Σισίννιος οὐκ ᾐσθάνετο τῶν γεγενημένων, πῶς ὅσ τε οὔτε ἀκούειν
οὔτε ὁρᾶν εἶχεν.

Ὑπεραλγήσας δὲ ὁ θεῖος Κλήμης τῆς γυναικὸς καὶ τοῦ οἴκου
ἱκέτης γίνεται τοῦ θεοῦ, καὶ μετὰ δακρύων ἐδεῖτο, καὶ περιπαθεῖς ἐξέτεινε
τὰς δεήσεις κύριε Ἰησοῦ Χριστὲ, λέγων, ὁ τὰς τῶν οὐρανῶν κλεῖς δεδωκὼς
τῷ ἀποστόλῳ σου Πέτρῳ, καὶ ἅπερ ἀνοίξεις ἀνέῳκται εἰπὼν, καὶ ἅπερ ἂν
κλείσῃς κέκλεισται, αὐτὸς καὶ τοὺς πεπηρωμένους ὀφθαλμοὺς τοῦ ἀνδρὸς
τοῦδε καὶ τὰ ὦτα διάνοιξον, ὅτι σὸν καὶ τοῦτο τὸ ῥῆμα τὸ ἅπερ ἂν αἰτή-
σητε πιστεύοντες, λήψεσθε, καὶ αὕτη σου ἡ ἐπαγγελία διαμένει εἰς τὸν αἰῶνα.
ταῦτα τοῦ πατριάρχου προσευξαμένου καὶ τῶν παρόντων τὸ ἀμὴν ἐπειπόν-
των, εὐθέως ἡ τῶν ὀφθαλμῶν καὶ τῶν ὤτων πήρωσις διελέλυτο. καὶ ὁ Σι-
σίννιος καθάπερ ἐξ ὕπνου διαναστὰς καὶ τὸν μακάριον Κλήμεντα μετὰ τῆς
γυναικὸς ἑστῶτα ἰδὼν κακὰς ὁ ἀνόητος τῷ ἁγίῳ χάριτας ἀπεδίδου. καὶ κα-
τασχεῖν εὐθέως τὸν πατριάρχην τοῖς οἰκέταις παρεκελεύετο τοῦ δίκας ὑπο-
σχεῖν αὐτὸν τῆς πηρώσεως. ᾤετο γάρ τινα γοητείαν εἶναι, ὅτι καὶ πηρωθῆναι
πρότερον αὐτὸν, καὶ ἀναβλέψαι καὶ ἀκοῦσαι πάλιν ἐποίησεν.

Οἱ μὲν οὖν οἰκέται σπουδαίως τὰ προστεταγμένα ποιεῖν εἰς
αὐτὸν ἐπειρῶντο. ἐλάνθανον δὲ ἄρα τῶν παρακειμένων λίθων καὶ ξύλων
ἁπτόμενοι, καὶ σύροντες αὐτὰ καὶ δεσμοῦντες, καὶ τῇδε κἀκεῖσε μανικῶς
περιάγοντες. τοῦτο δὲ καὶ τῷ Σισιννίῳ ἐδόκει, καὶ δεσμώτην ὑπὸ τῶν οἰκε-
τῶν γεγενῆσθαι τὸν πατριάρχην καὶ αὐτὸς ᾤετο. ἐκεῖνος δὲ ἀπαθὴς ἀπὸ
τῶν ἀδίκων ἐκείνων ἐτηρεῖτο χειρῶν, οὐδὲ μικρὰν ἀφὴν ὑπομένων, οὐδὲ ἐν

μέσοις τοῖς δεινοῖς θορυβούμενος. εἶτα καὶ πρὸς τὸν ἀνόητον ἐκεῖνον ἰδὼν
πεπώρωσαι τὴν καρδίαν, ἔφη, λίθους οὕτω καὶ ξύλα κινῶν καὶ ὅλην κατ'
αὐτῶν ἀφιεὶς τὴν ὀργὴν, ἃ μικρῷ πρόσθεν ἐτίμας καὶ ὡς θεοὺς ἐθεράπευες.
ὁ δὲ ἀλλ' ἐγώ σε κακῶς ἀπολῶ, φησὶν, ὡς καὶ μεταβαλεῖν πολλοὺς τῶν γοή-
των ἐντεῦθεν καὶ σωφρονῆσαι, ἀφ' ὧν αὐτὸς τὰ ἔσχατα πείσῃ, τὰ μεγάλα
ἐκείνους κερδάναντας.

Ταῦτα ὁ μὲν φυσώμενος ὑπὸ τῶν παρόντων ἔλεγε καὶ αὐχῶν,
ὅτι καὶ δεσμοῖς ὑποβεβλήκει τὸν πατριάρχην. ὁ δὲ οὐδὲ οὕτως αὐτὸν ἀπε-
στρέφετο, ἀλλὰ τὴν ἐκείνου σύζυγον εὐλογήσας καὶ εἰς τὰς εὐγνώμονας ἐκείνας
καὶ καταπειθεῖς ἀκοὰς ὥσπερ εἰς βαθύγειόν τινα καὶ λιπαρὰν ἄρουραν δα-
ψιλῆ τὰ σπέρματα τῆς εὐσεβείας καταβαλὼν ᾤχετο, μὴ ἀνεῖναι προσευ-
χομένην πρότερον ἐντειλάμενος, ἕως καὶ τὸν ἄνδρα εἰς ἐπίγνωσιν τῆς ἀλη-
θείας χειραγωγήσειε. τῇ εὐχῇ τοίνυν θερμότερον προσκειμένῃ τῇ Θεοδώρᾳ
ἐπιφαίνεταί τις αὐτῇ πρὸς ἑσπέραν αἰδέσιμος ἀνὴρ καὶ πολιὸς τὴν τρίχα·
ἐόκει δὲ ἄρα ὁ πρῶτος τῶν μαθητῶν εἶναι Πέτρος, ὁ τοῦ διδασκάλου θερ-
μὸς ἐραστής· καί φησι πρὸς αὐτήν· διά σε, ὦ γύναι, ὑγιὴς ἔσται Σισίννιος,
ὅπως ἂν καὶ ἀνὴρ κατὰ τὸν ἀδελφόν μου Παῦλον ἁγιασθῇ διὰ τὴν γυναῖκα.
ὁ μὲν οὖν ταῦτα εἰπὼν ἀπῆλθεν.

Ὁ Σισίννιος δὲ αὐτίκα καὶ ὥσπερ ἐκ συνθήματος τὴν Θεο-
δώραν καλέσας· ἦν δὲ ἄρα τοῦτο πέρας τῆς φανείσης αὐτῇ ὄψεως· τοῦ
πόθου τε αὐτὴν καὶ τῶν κοινῶν ἁλῶν, καὶ τῆς ἑστίας καὶ τῆς λοιπῆς ἀπά-
σης κοινωνίας ἀναμιμνήσκει, καὶ πάντων αὐτῶν μίαν ἀπαιτεῖ χάριν, καὶ
λιπαρεῖ τὴν γυναῖκα καὶ ἱκετεύει, ὥστε δεηθῆναι τοῦ θεοῦ ἀφεῖναί τε τὰ

ἡμαρτημένα, καὶ τὴν ὁδὸν αὐτῷ ὑποδεῖξαι τῆς σωτηρίας. εἶτα κατήγορος
αὐτὸς ἑαυτοῦ γίνεται, καὶ πάντα ποιῆσαι δι' αὐτὴν καὶ παθεῖν ἀπαγγέλλει.

Ἐγὼ γὰρ ἐζηλοτύπουν, φησὶν, ἐπί σοι, ὅτι τὸν σύζυγον ἐμὲ
περιορῶσα παρὰ τὸν ξένον τοῦτον ἐφοίτας, τὸ τοῦ πατριάρχου προσθεὶς
ὄνομα καὶ τοὺς τῆς φύσεως θορύβους καὶ τὰς ἐκ τῆς ζάλης ταραχὰς οὐ
φέρων ἠναγκάσθην πρὸς τὴν ἐκκλησίαν ἀπιοῦσαν ἐπιφυλάξαι σε καὶ ἰδεῖν
τὰ τελούμενα. εἰσελθὼν τοίνυν καὶ αὐτὸς κατόπιν εἰς τὸν ναὸν, καὶ περιέργοις
ὀφθαλμοῖς τὰ ὑπὸ τοῦ πατριάρχου γινόμενα θεωρῶν, ὅλην τε αὐτῷ τὴν
ἀκοὴν διανιστῶν, καὶ ἀκροατὴς εἶναι τῶν λεγομένων ἐθέλων τὰς ὄψεις τε
ὁμοῦ καὶ τὰ ὦτα πηροῦμαι. εἰ καὶ πάλιν ἐκεῖνος, ἅτε θεοῦ μιμητὴς ὢν,
ἀναβλέψαι τε καὶ ἀκοῦσαι πεποίηκεν, ἐγὼ δὲ ἀγαθοῦ τοσούτου ἀμνημονήσας
οὐ μόνον οὐκ ἀπέδωκα χάριτας αὐτῷ τῆς εὐεργεσίας, ἀλλὰ καὶ τερατείαν ὁ
μάταιος τὸ θαῦμα εἰπὼν τιμωρήσασθαί τε αὐτὸν ἐπεχείρουν, ὅση μοι δύνα-
μις, καὶ κατασχεῖν, οἴμοι, καὶ δεσμοῖς περιβαλεῖν ἐκέλευον τοῖς οἰκέταις· ἐκεί-
νοις δὲ κατέχειν τε αὐτὸν νομίζουσι καὶ εἰς δεσμὰ φέρειν ξύλα ἦν ἐν χερσὶ
μόνον καὶ λίθοι· τοῦτο δὲ καὶ αὐτῷ μοι ἐδόκει, καὶ οἷα ὑπ' αὐτῶν κατεχο-
μένου τοῦ πατριάρχου, ἀπειλὰς ἐγὼ χαλεπωτέρας ἐπῆγον. διὰ τοῦτο δέομαι
ὁ σὸς ἀνὴρ, καὶ ταύτην παρὰ γυναικὸς ἐμῆς αἰτῶ χάριν, ὥστε πρῶτα
μὲν εὐμενῆ γενέσθαι μοι τὸν θεόν, ἔπειτα δὲ καὶ αὐτὸν διαλλαγῆναι
τὸν πατριάρχην.

Τούτων ἀκούσασα Θεοδώρα πρὸς τὸν ὅσιον εὐθὺς ἀφικνεῖ-
ται, καὶ ὅσα τε ἴδοι, καὶ ὅσα παρὰ τοῦ ἀνδρὸς ἀκούσειε, πάλιν ἀπαγγέλλει
πάντα τῷ πατριάρχῃ. ὁ δὲ μὴ μελλήσας μηδὲν, αὐτίκα μάλα πρὸς τὸν Σι-

σίννιον παραγίνεται, καὶ οὐχ ὡς τὸ πρότερον αὐτῷ ἐντυγχάνει, ἀλλὰ μεθ'
ὅσης ἐκεῖνος τῷ πατριάρχῃ προσέβαλε τότε τῆς ἀγριότητος, μετὰ πλείονος
αὐτὸν νῦν τῆς τιμῆς ὑποδέχεται. ἀθρόαν τοίνυν οὕτω καὶ πολλὴν τὴν
μεταβολὴν ὁ μέγας ἰδὼν, λόγους τε περὶ τῆς εὐσεβείας δεξιῶς ἄγαν αὐτῷ
ὑποτείνει, καὶ ὅλον ὑποποιεῖται τὸν ἄνδρα. καὶ πιστεύσας ἀπὸ ψυχῆς ὁ
Σισίννιος τῷ θεῷ ἥψατο τῶν μακαρίων ἐκείνων τοῦ πατριάρχου ποδῶν, καὶ
τοιαῦτα μετὰ δακρύων ἐφθέγγετο·

Εὐχαριστῶ σοι τῷ ἀληθεῖ καὶ μόνῳ θεῷ, τῷ διὰ τοῦτό
μοι τοὺς ὀφθαλμοὺς πεπηρωκότι τοῦ σώματος, ὅπως τοὺς τῆς ψυχῆς δια-
νοίξῃς, καὶ διαβλέψαι με παρασκευάσῃς πρὸς τὴν ἀλήθειαν· διὰ τοῦτο δὲ
καὶ τῶν ὤτων τὴν ἐνέργειαν ἀποσβέσαντι, ὅπως νηφούσῃ διανοίᾳ, καὶ μη-
δενὸς τῶν ἔξωθεν ὅλως αἰσθανομένῃ, τὸ τῆς εὐσεβείας ὑποδέξωμαι κήρυ-
γμα. νῦν δὲ αὐτήν τε τὴν ἀλήθειαν ἐμυήθην καὶ ἀκριβῶς τὰ τῶν Ἑλλήνων
διέγνων, ἀπάτην ὄντα μόνον καὶ τερατείαν ἀπίθανον. ἐπὶ τούτοις φαιδρότης
ἔσχε καὶ ἡδονὴ τὸν οἶκον, καὶ τῷ Χριστῷ πάντες ἐπίστευσαν. τοῦ πάσχα δὲ
ἤδη ἐνισταμένου ἐβαπτίσαντο μετὰ τοῦ Σισιννίου πάντες πατέρες ὁμοῦ καὶ
μητέρες καὶ παῖδες εἰς εἴκοσι καὶ τρεῖς ἐπὶ τοῖς τετρακοσίοις ὄντες. τοῦτο
πολλοὺς ἐπεσπάσατο τῶν ἐπιφανεστέρων, ὅσοι τε μακρᾷ τῇ δόξῃ διέπρεπον,
καὶ οἷς ὁ βασιλεὺς Νερούας φίλοις μάλιστα καὶ συμβούλοις ἐχρῆτο· καὶ τῇ
εὐσεβείᾳ πάντες συνέθεντο.

Ταῦτα ὁρῶν ὁ πονηρότατος κατ' ἐκεῖνο καιροῦ τῶν ὀφφι-
κίων κόμης Πούπλιος Τουρκουτιανὸς ἐδυσχέραινε καὶ δεινὰ ἐποίει, καὶ
σκοπῶν ὅπως ἂν ἐπίσχῃ περαιτέρω προβαίνουσαν τὴν εὐσέβειαν, αὐτὸν ἔγνω

πρῶτον ἐκ ποδῶν ποιῆσαι τὸν Κλήμεντα, οἷα τῶν παρόντων αἰτιώτατον
αὐτὸν ὄντα, καὶ τοὺς ἑκάστου μέρους τῆς πόλεως προεστῶτας συγκαλεσά-
μενος καὶ χρήμασιν αὐτοὺς διαφθείρας, στάσιν τινὰ κινῆσαι κατὰ τοῦ Κλή-
μεντος αὐτοῖς ὑπετίθει, καὶ διαβαλεῖν αὐτοῦ τὴν ὑπόληψιν προετρέπετο,
ταύτῃ καταλῦσαι τὸ πρὸς αὐτὸν τῆς πόλεως φίλτρον βουλόμενος καὶ πρὸς
ἐπιβουλὴν εὐχείρωτον τὸν ἄνδρα παρασκευάσαι.

Συστάντες οὖν ἐπ' αὐτὸν οἱ πονηρότατοι τῶν πολιτῶν ἐκεῖνοι, ψόγους τε, ὡς αὐτοὶ ᾤοντο, καταχέουσιν αὐτοῦ πονηροὺς, καὶ πολλὰς ἐπά-
γουσι τὰς αἰτίας, γοητείαν αὐτῷ περιάπτοντες καὶ τῆς ἐκείνων θρησκείας
ἀνατροπὴν, ἄλλα τε πολλὰ ἐξυβρίζειν αὐτὸν λέγοντες, καὶ τοὺς πατρόους
διασύρειν θεούς· τὸν μὲν ἁπάντων θεῶν μέγιστον Δία μηδὲ θεὸν ἁπλῶς
ὀνομάζοντα, Ἡρακλέα δὲ τὸν Ἀλκμήνης τὸν ἐκείνων φασὶ σωτῆρα, ἐναγῆ
τινὰ δαίμονα καὶ μιαρὸν ἀποκαλοῦντα, πόρνην τε τὴν φίλην Ἀφροδίτην εἰ-
σάγοντα, καὶ τὴν ἑκηβόλον Ἄρτεμιν, καὶ τὸν σοφὸν Ἑρμῆν, τὸν τοῦ λόγου
θεόν· τὸν πολεμικόν τε Ἄρεα, καὶ τὸν Κρόνον αὐτὸν ἐπίσης βλασφημοῦντα
πάντας καὶ διαβάλλοντα, καὶ τὰ τεμένη τούτων καὶ τοὺς βωμοὺς καταστρέ-
φοντα. κεφάλαιον τοῦ λόγου ἢ θυσάτω τοῖς θεοῖς, ἔλεγον, ἢ τῆς ζωῆς τὸ
τάχος ἀπαλλαγήτω. οἱ μὲν οὖν τοιαῦτα κινοῦντες ἔκδοτον ἠξίουν τὸν πατρι-
άρχην ἐπὶ θανάτῳ λαβεῖν. ἐφ' οἷς ἠγανάκτουν πάντες, ὅσοι μὴ χρημάτων
ὤνιον τὴν συνείδησιν προετίθεσαν, καὶ λόγους πρὸς τὸν δῆμον ἐλευθέρους
ἐποιοῦντο τί τῷ πατριάρχῃ κακὸν εἴργασται, λέγοντες· μᾶλλον δὲ ποίων οὐχ
ἡ πόλις παρ' αὐτῷ χαρίτων ἀπέλαυσεν; εἶτα καὶ αὐτὰ ἕκαστα τῶν ὑπ'

αὐτοῦ παραδόξως γεγενημένων ἀπηριθμοῦντο, καὶ μάρτυρας αὐτοὺς ἐποι-
οῦντο τῶν λεγομένων.

Μαρμεντῖνος δὲ ὁ τῆς πόλεως ἔπαρχος μὴ φέρων ἐπὶ πολὺ στασιάζουσαν οὕτω τὴν πόλιν ὁρᾶν, ἄλλως τε καὶ τῇ τῆς εὐσεβείας ἐπιδόσει
βασκαίνων, ἄγει τὸν μακάριον Κλήμεντα πρὸς ἑαυτὸν καὶ λόγοις τὴν γενναίαν οὕτω ψυχὴν κλέπτειν ἐπεχείρει ἐξ εὐγενοῦς, λέγων, προελήλυθας ·ίζης· τοῦτο πᾶς ὁ τῶν Ῥωμαίων σοι μαρτυρεῖ δῆμος· ἀλλ' ἀνθρωπίνην καὶ αὐτὸς πλάνην ὑπέστης, καὶ διὰ τοῦτο οὐδὲ σιωπᾶν ἡ πόλις ἀνέχεται. φασὶ γὰρ, σὲ καινοτέραν εἰσάγειν θρησκείαν, καί τινα παρὰ τοὺς πατρόους θεοὺς κηρύσσειν Χριστόν. ὅθεν ἀποθέσθαι σε χρὴ τὴν περιττὴν ταύτην δεισιδαιμονίαν, καὶ μόνους αἰδεῖσθαι καὶ τιμᾶν τοὺς συνήθεις τῇ πόλει θεούς. καὶ ὁ πατριάρχης εὔχομαι τὴν σὴν στερῥότητα, ἔφη, μεταδοῦναί μοι λόγου, καὶ προσχεῖν μου ταῖς ἀποκρίσεσιν, ἀλλὰ μὴ οὕτως ἀλόγῳ στάσει καὶ ματαίοις ἕπεσθαι θορύβοις. οὐδὲ γὰρ δεῖ στάσεως, οὐδὲ θορύβων, ὅπου σκοπῆσαί τε περὶ τῆς ἑαυτοῦ σωτηρίας τινὶ καὶ περὶ θεοῦ διαλεχθῆναι πρόκειται. ὁ ἔπαρχος τοίνυν τὸ τοῦ ἀνδρὸς γενναῖον καὶ στάσιμον ἐξ αὐτῶν εὐθὺς τῶν προοιμίων καταμαθὼν, καὶ εἰπεῖν τε αὐτὸς καὶ ἀκοῦσαι παρ' ἐκείνου πάλιν ὀκνήσας, καὶ ἀναβαλλόμενος τὴν διάλεξιν Τραϊανῷ περὶ αὐτοῦ τῷ αὐτοκράτορι ἀναφέρει. καὶ ὁ βασιλεὺς αὐτῷ οὕτως ἐπιλύει τὰ γεγραμμένα, ὡς ἢ θῦσαι τὸν Κλήμεντα τοῖς πατρόοις θεοῖς, ἢ πέραν τοῦ Πόντου εἰς ἔρημόν τινα πόλιν τῶν τῇ Χερσῶνι παρακειμένων ἀπὸ τῆς Ῥώμης ἀιδίῳ φυγῇ ἐλαθῆναι.

Τῆς ἀποφάσεως οὖν ταύτης καταλαβούσης ἐσκέπτετο Μαρμεντῖνος, ὅπως ἂν μὴ ὁ Κλήμης ἕληται τὴν ὑπερορίαν, ἀλλ' αὐτῷ μᾶλ-
λον καὶ τῷ βασιλεῖ πεισθείη καὶ θύσειεν. οὐδὲ γὰρ ἔφερε τηλικαύτην ἀνδρὸς
ἀρετὴν ζημιούμενος. τῷ δὲ τοσοῦτον ἐμέλησεν ἐκείνοις πεισθῆναι, ἢ δυσχε-
ράναι πρὸς τὴν ὑπερορίαν, ὅσῳ καὶ αὐτὸν ἐσπούδαζε πρὸς τὴν εὐσέβειαν τὸν
ἔπαρχον ἐπισπάσασθαι. τοσαύτη γάρ τις ἄνωθεν τὸν Κλήμεντα περιίπτατο
χάρις, καὶ οὕτως ἡ ἐκείνου γλῶττα κηρίου παντὸς καὶ μέλιτος γλυκύτερον
ἔσταζεν, ὡς καὶ αὐτὸν ἔρωτι θερμῷ τοῦ ἀνδρὸς ληφθέντα τὸν Μαρμεντῖνον,

πολλά τε τῇ ἀποδημίᾳ ἐπιστενάξαι, καὶ δάκρυα τῷ πατριάρχῃ ἐπιβαλεῖν ὁ
θεὸς, εἰπόντα, ᾧ σὺ εἰλικρινῶς λατρεύεις, αὐτός σοι βοηθὸς ἐπὶ τῇ συμ-
φορᾷ παρασταίη· καὶ αὐτίκα πλοῖον εὐτρεπίσαι, διαρκῆ τε αὐτῷ τὰ πρὸς
τὴν χρείαν ἐνθέσθαι, καὶ δεξιώσασθαι αὐτὸν, καὶ περιβαλεῖν, καὶ οὕτω μετὰ
τῶν προσηκόντων ἀσπασμῶν ἀπολῦσαι. πολλοὶ δὲ αὐτῷ καὶ τῶν εὐλαβῶν
ἠκολούθησαν, καὶ εἰς τὴν ὑπερορίαν γενόμενοι καταλαμβάνουσιν ἐν τῇ τῶν
μαρμάρων λατομίᾳ Χριστιανοὺς, περί που τοὺς χιλίους ἢ καὶ πλείονας, πο-
λὺν διὰ τὴν εὐσέβειαν ἐκεῖ χρόνον κατεχομένους. οἳ καὶ περὶ τοῦ πατριάρχου
πρότερον ἀκούσαντες, καὶ ὅτι τῆς πόλεως ἀπελαθεὶς ὑπερόριος πρὸς ἐκείνους
καὶ αὐτὸς ἄγεται, παραμυθίαν ἔσχον οὐ τὴν τυχοῦσαν τὴν ἐκείνου ἐπιδημίαν.

Ὅτε γοῦν πρὸς αὐτοὺς κατελάμβανε, τοῦ τῶν χειρῶν ἔργου ἀφέμενοι καὶ τούτῳ προσελθόντες μετὰ δακρύων καὶ τῶν ἁγίων ἐκείνου ποδῶν ἁψάμενοι καὶ τὰς καθαρὰς περιπτυξάμενοι χεῖρας τὰς καταλαβούσας αὐτοὺς ἀνεκλαίοντο συμφορὰς, τὴν τῆς πατρίδος ἔκπτωσιν, τὴν ἄφιλον ἐπὶ ξένης διαγωγὴν, τῶν ἀναγκαίων τὴν ἀπορίαν, καὶ ὃ πάντων βαρύτατον ἦν, τὴν αὐτοῦ τοῦ ὕδατος ἔνδειαν. εἰ γάρ τις ὅλην τὴν ἡμέραν τῇ τῶν χειρῶν ἐργασίᾳ καὶ τῷ καμάτῳ προστετηκὼς, ἔλεγον, ὕδατος βραχεῖάν τινα σταγόνα λαβεῖν ἐθελήσειεν, ὥστε τὴν ἐκ τοῦ κόπου ἀναψύξαι ταλαιπωρίαν, οὐκ ἔλαττον ὁ τοιοῦτος ἢ σταδίους πέντε καὶ τεσσαράκοντα προελθὼν ἂν ὕδωρ κομίσαιτο. πρὸς ταῦτα συναλγήσας τε αὐτοῖς ὁ πατριάρχης καὶ συνδακρύσας, εἶτα καὶ τῷ θεῷ εὐχαριστήσας, καὶ ἱκανῶς τὰς ἐκείνων ψυχὰς παραμυθησάμενος οὐχ ἁπλῶς οὕτω καὶ ἀλόγως, εἶπεν, ἐνταῦθά με ὁ θεὸς συνεχώρησεν ἐκβληθῆναι, ἀλλ' ὥστε καὶ κοινωνὸν ὑμῖν γενέσθαι τῶν παθημάτων, καὶ ὑπομονῆς μάλιστα καὶ καρτερίας ὑπόθεσιν.

Ἔπειτα μέντοι καὶ εἰς εὐχὴν τρέπεται καὶ δεῖται σὺν αὐτοῖς τοῦ θεοῦ, ὥστε τοῖς αὐτοῦ ὁμολογηταῖς πηγὴν ὕδατος διανοῖξαι, καὶ ὁ πα-

τάξας πέτραν ἐν ἐρήμῳ, καὶ ἐῤῥύησαν ὕδατα, αὐτὸς ἄφθονον καὶ αὐτοῖς
τοῦ ὕδατος παρέχοις τὴν χορηγίαν. ἤδη γὰρ πάντων τῇ εὐχῇ προσκειμένων
ὁ πατριάρχης τῇ δὲ κἀκεῖσε περιβλεψάμενος ἀμνόν τινα ὁρᾷ τὸν δεξιὸν
μετεωρίζοντα πόδα καὶ ὥσπερ ἐκείνῳ ὑποδεικνύντα τὸ ὑποκείμενον ἔδαφος.
οὐδενὶ γὰρ ὁ ἀμνὸς τῶν ἄλλων τεθέατο. καὶ συμβαλὼν τὴν ὄψιν ὁ πατρι-
άρχης τῷ ὑποδειχθέντι τόπῳ μετὰ τῶν παρόντων ἐφίσταται καὶ φησίν· ἐν
ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνταῦθά μοι, τέκνα, ὀρύξατε. καὶ
ἐπειδὴ αὐτόν τε τὸν τόπον, εἰς ὃν ὁ ἀμνὸς ἵστατο, καὶ τὸ κύκλῳ πᾶν περιέ-
σκαψαν, λαβὼν σκαφεῖον ὁ πατριάρχης κρούει τὸν τόπον, ἔνθα ὁ ἀμνὸς
ὑπεδείκνυ, κούφῳ τινὶ καὶ μετεώρῳ τῷ κρούματι· καὶ παραχρῆμα διειδὲς ὕδωρ
ἡ γῆ καὶ ἡδὺ πιεῖν ἀναδίδωσι, καὶ τοῦτο σὺν ὁρμῇ ἐκχυθὲν ποταμὸν ἀθρόον
ποιεῖ. πάντων οὖν χαιρόντων ἐπὶ τῷ ὕδατι ὁ πατριάρχης τοῦ ποταμοῦ τὰ
ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ θεοῦ, ἔλεγεν.

Ἐντεῦθεν ἡ πόλις περὶ αὐτὸν πᾶσα συνέῤῥεον, καὶ τῇ τῆς πνευματικῆς ἐκείνης διδασκαλίας γλυκύτητι πρὸς τὴν ἀληθῆ πίστιν πάντας
ἐπήγετο, ὡς καὶ πολλοὺς ὅσαι ἡμέραι βαπτίζεσθαι, εἰς πεντακοσίους τε τὸν
ἀριθμὸν ἀναβῆναι, καὶ τὴν εὐσέβειαν καθ' ἑκάστην ἐπιδιδόναι. οὔπω τοίνυν
ἐνιαυτὸς τὴν ὑπερορίαν ἐμέτρει, καὶ οἰκοδομοῦνται μὲν ὑπὸ τῶν πιστευσάν-
των ἐκκλησίαι τὸν ἀριθμὸν πέντε καὶ ἑβδομήκοντα, τεμένη τε εἰδώλων καὶ
ναοὶ καθαιροῦνται, καὶ τὰ παραπεφυκότα τούτοις ἄλση ἐπὶ πολὺ γῆς διικ-
νούμενα τὸ πῦρ κατανέμεται, καὶ πᾶσα τῶν δαιμόνων καταβάλλεται ἡ μανία.

Τηνικαῦτα οὖν ἐπίφθονός τε καὶ βαρεῖα φήμη τὰς τοῦ βα-

σιλέως ἀκοὰς ὑποτρέχει, ἐπιδοῦναι τὰ Χριστιανῶν εἰς πλῆθος ἀριθμοῦ κρεῖτ-
τον, καὶ καθ' ἑκάστην αὔξεσθαι τὴν ἡμέραν διδάσκουσα. ἐφ' ᾧ δὴ καὶ
Αὐφιδιανὸν αὐτίκα τὸν ἡγεμόνα ἐκεῖνος ἐκπέμπει, ὥστε μὴ μόνον μηδὲ περαι-
τέρω προελθεῖν αὐτὰ συγχωρῆσαι, ἀλλὰ καὶ τοὺς ἤδη χειρωθέντας ἐπανα-
γαγεῖν, καὶ ἀποστῆσαι τῆς εὐσεβείας. οὗτος τοίνυν τὴν Χερσῶνα καταλα-
βὼν καὶ πολλοὺς τῶν Χριστιανῶν πολλαῖς βασάνοις καὶ ποικίλαις ὑποβαλὼν
ἐπεὶ πάντας τῇ προθέσει μάρτυρας γεγενημένους ἑώρα, καὶ πρὸς μυρίους
παρεσκευασμένους θανάτους, τί ποιεῖ; ἀπέχεται μὲν τοῦ πλήθους δεδοικὼς,
μὴ καὶ ἀπὸ τοῦ τέλους μάρτυρας πλείους ἐργάσηται· τὸν αἴτιον δὲ μόνον
κολάζει, καὶ πάντα θυμὸν κατὰ τῆς μακαρίας ἐκείνης τοῦ Κλήμεντος ἀφίησι
κεφαλῆς. ἐπειδὴ δὲ πάντα οὖν αὐτῷ κοῦφα καὶ εἰς οὐδὲν λογιζόμενα, καὶ ἀφ'
ὧν αὐτὸς ἔπασχε μᾶλλον πλείονα τοῖς ἄλλοις παρείχετο τὴν ἀσφάλειαν, σύν-
τομον ἀπαλλαγὴν αὐτῷ τοῦ βίου καὶ ταχεῖαν ἐπινοεῖται, καὶ εἰς μέσην τὸν
μάρτυρα τὴν θάλασσαν ἀγαγὼν καὶ ἄγκυραν σιδηρᾶν τοῦ τραχήλου ἐκδή-
σας καθίησι τῷ βυθῷ, ὅπως μηδὲ λείψανον ἐκείνου, φησὶν, ὑπολειφθείη
Χριστιανοῖς.

Ἀλλ' ὁ μὲν ἔῤῥιπτος κατὰ τοῦ πελάγους· τὸ δὲ τῶν
Χριστιανῶν πλῆθος ἐπὶ τοῦ αἰγιαλοῦ ἑστὸς ἐθρήνουν ἐλεηνῶς, ὠλοφύροντο
καὶ οἰκτροτάταις φωναῖς ἀνεκάλουν τὸν πατριάρχην. Κορνήλιος δὲ καὶ Φοῖ-
βος οἱ μαθηταὶ οἵας τὸ πάθος ἀπῄτει φωνὰς καὶ αὐτοὶ βοῶντες, καὶ οὐκ
ἔχοντες, ὅ,τι τῆς συμφορᾶς ποιήσονται παραμύθιον, εὐξώμεθα πάντες ὁμο-
θυμαδὸν, εἶπον, ὥστε κἂν ἀναδειχθῆναι ἡμῖν τὸ τοῦ μάρτυρος λείψανον. καὶ

προσευχομένων αὐτῶν, ὦ τῶν μεγάλων σου δέσποτα τεραστίων, θαυμα-
τουργεῖταί τι κἀνταῦθα θεὸς τοῦ Μωσέως παραδοξότερον. ὑποφεύγει μὲν
γὰρ ἡ θάλασσα προσωτέρω σταδίους σχεδὸν οὐκ ἐλάττους τῶν εἴκοσι. προσ-
ελθόντες δὲ τὸ πλῆθος διὰ ξηροῦ τοῦ ἐδάφους, τῆς θαυμαστῆς σου καὶ
τοῦτο Χριστὲ δυνάμεως, εὑρίσκουσι λίθον ἐν εἴδει ναοῦ παρὰ τῆς σῆς ἀπορ-
ρήτου σοφίας πεποιημένον, καὶ τὸ μαρτυρικὸν σῶμα λαμπρῶς ἐν αὐτῷ κεί-
μενον, καὶ τὴν βαρείαν ἐκείνην ἄγκυραν ἔγγιστά που τοῦ λίθου καὶ αὐτὴν
κειμένην.

Ἀλλ' ἀπεκαλύφθη Κορνηλίῳ καὶ Φοίβῳ, ὥστε μὴ τὸ
λείψανον ἐκεῖθεν μετακινῆσαι, καλῶς ἐν τῷ βυθῷ κείμενον, καὶ ὅτι καθ'
ἑκάστην ἐνιαυτοῦ περιτροπὴν ἐν τῷ καιρῷ τῆς τοῦ μάρτυρος τελειώσεως ὑπο-
χωρήσει παρ' ὅλας ἑπτὰ ἡμέρας τοῖς προσιοῦσιν ἡ θάλασσα, πεζῇ καὶ βάδην
αὐτοῖς μέχρι τοῦ λειψάνου τὴν πάροδον ἐπιτρέπουσα. ὅπερ ἐτησίως ἐξ ἐκεί-
νου καὶ εἰς δεῦρο τελεῖται, τὴν ἐπιδημίαν τῆς αὐτοῦ μνήμης οἱονεί τινα ὅρον
ἔχον καὶ προθεσμίαν. ἐντεῦθεν αἵρεσις παρ' αὐτοῖς πᾶσα καὶ ἑλληνισμὸς
καταλέλυται, τῶν ἐν τῇ τοῦ μάρτυρος μνήμῃ τελουμένων ἐκεῖ σημείων καὶ
τῶν θαυμάτων εἰς ἐπίγνωσιν πάντας χειραγωγούντων, καὶ καθαρῶς ἐναγόν-
των πρὸς τὴν ἀλήθειαν. οὐδενὶ γὰρ τῶν ὑπό τινος ἀνηκέστου κακοῦ πιεζο-
μένων τῆς τοῦ ὕδατος ἐκείνου μεταλήψεως καὶ τοῦ ·αντισμοῦ πλέον ἐδέησε
πρὸς τὴν τοῦ κατέχοντος αὐτὸν πάθους ἀπαλλαγήν.

Ἀλλὰ ταῦτα μὲν δὴ τοιαῦτα καὶ οὕτως ἔχοντα· ἐκεῖνο δὲ
καὶ λίαν πολλῷ μεῖζον καὶ ἱκανὸν τὰ προλαβόντα πιστώσασθαι. ἐπειδὴ γὰρ,
ὡς ὁ λόγος φθάσας ἐδήλωσεν, εἰς πέλαγος ὁ μάρτυς ἠφίετο, καὶ εἰς ὑδάτων

μυχοὺς ἔῤῥιπτο, ἥ τε θάλασσα ὑπέβαινε πορῤῥωτέρω, καθάπερ ὑπὸ πόδα
χωροῦσα, καὶ μηνυτὴς τοῦ λειψάνου παραδόξως γινομένη, καὶ βυθὸν πε-
ζεύειν τῷ βουλομένῳ παρέχουσα, πολὺ μέντοι πλῆθος τηνικαῦτα Χριστιανῶν
πρὸς τὴν τοῦ λειψάνου θέαν ἠπείγοντο. μετὰ δὲ ταῦτα καὶ ἡ μεγίστη ἑορτὴ
τὸ θαῦμα ἤγετο, ἐκεῖνο δὲ μᾶλλον ἐποίει τὴν ἑορτὴν, οὐ γεγονὸς ἅπαξ, εἶτα
παυσάμενον, ἀλλὰ καθ' ἑκάστην ἐνιαυτοῦ περίοδον ὁμοίως τελούμενον, καὶ
τὰς εὐσεβεῖς ψυχὰς συγκαλοῦν εἰς ἑστίασιν. ἐπεὶ τοίνυν οὕτω ταῦτα καὶ οἱ
κατὰ Χερσῶνα πάντες Χριστιανοὶ πρὸς τὴν τοῦ θαύματος πανήγυριν ἐτη-
σίως συνέτρεχον, θαυματουργεῖ τι κἀνταῦθα θεὸς τῶν προγεγονότων παρα-
δοξότερον.

Ἀνὴρ γάρ τις θεοσεβὴς ἅμα γυναικὶ καὶ ἄῤῥενι τέκνῳ
τοῦ θαύματος ἤδη τελουμένου πρὸς τὸ μαρτυρικὸν ἐκεῖνο καὶ αὐτοὶ σῶμα
μετὰ τοῦ συῤῥέοντος πλήθους ἐχώρουν. τὸ πέλαγος οὖν ἐκ ποδὸς διαβάντες
καὶ τὸν ἐν μυχῷ τούτου καταλαβόντες ναὸν, τῆς χειρὸς λαβόμενοι τοῦ παιδὸς
οἱ πατέρες ἐπεὶ τοῦ ναοῦ ἔνδον ἐγένοντο, καὶ τὴν ἁγίαν ἐκείνην περιστάντες
σορὸν, τάτε ἄλλα ἐδέοντο τοῦ ἁγίου, καὶ ὑπὲρ τοῦ παιδὸς ἐλιπάρουν, ὅσα
τοὺς πατέρας εἰκός. εὐξάμενοι οὖν καὶ θερμῶς τὸν τάφον περιπτυξάμενοι,
αὐτοὶ μὲν ἤδη τῆς πανηγύρεως τελεσθείσης καὶ οἴκαδε πάντων ἐπανιόντων
ὀπίσω πάλιν μετὰ τοῦ συνδραμοῦντος πλήθους ἐχώρουν. τὸ παιδίον δὲ τοὺς
τεκόντας λαθὸν, οὐκ οἶδ' ὅπως, μόνον παρὰ τῇ σορῷ καταλέλειπται, πάν-
τως τῆς ἀκαταλήπτου προνοίας τοῦ θεοῦ καὶ τοῦτο οἰκονομησαμένης, ἵνα

τιμήσῃ πλέον τὸν καὶ ψυχὴν καὶ σῶμα δι' αὐτὸν ἡδέως προϊέμενον. καὶ τὸ
μὲν ὕδωρ ἐπαναστρέφον εἰς τὰ οἰκεῖα ἐκάλυπτε τὸν βυθὸν, καὶ πέλαγος
αὖθις ἐγίνετο.

Οἱ πατέρες δὲ μικρὸν ἀπὸ τοῦ λειψάνου προελθόντες ὡς
ἤδη τὸν παῖδα παρ' αὐτοῖς οὐχ ἑώρων, εἰς ἔρευναν αὐτοῦ τρέπονται· καὶ
ὀπίσω στραφέντες, ὥστε τὸ παιδίον εὑρεῖν, πέλαγος ὁρῶσι πάλιν τὴν ἐπὶ τὸ
λείψανον ἑξῆς φέρουσαν· καὶ αὐτίκα θορυβοῦνται, ταράττονται, κλονοῦνται,
θερμότερον ὁρμῶσι πρὸς τὴν τοῦ παιδὸς ζήτησιν. τὸ δὲ ἄρα ἦν ἐν τῇ σορῷ
καταλελειμμένον. ἐπεὶ δὲ πολλὰ καμόντες τὸ παιδίον οὐχ εὗρον, ἀλλ' ἐν τῷ
βυθῷ καταλελεῖφθαι αὐτοῖς ἐνομίσθη, ὥσπερ ἄρα καὶ ἦν, μακρόν τε καὶ
γοερὸν ἀνεβόων ἀνακαλούμενοι τὸν υἱὸν καὶ τὰ στήθη ἔπαιον, καὶ τὴν κατα-
σχοῦσαν αὐτοὺς ἀνωλοφύροντο συμφοράν. εἶτα καὶ πρὸς τὸν ἅγιον, οἷά περ
ἂν ὀδυνωμένη ψυχὴ φθέγξαιτο, ἔλεγον θάνατον ἑαυτοῖς ἀντὶ τῶν παρόντων
εὐχόμενοι, ἕως τῶν πλησίον τινὲς περιπεσόντες αὐτοῖς ἐκλελυμένοις ὑπὸ τῶν
θρήνων ἤδη, καὶ πολλὰ ἐπὶ τῷ πάθει καὶ αὐτοὶ ἐκχέαντες δάκρυα, παρεμυ-
θήσαντό τε αὐτοὺς καὶ ὑφεῖναι τῆς μακρᾶς λύπης ἐποίησαν. ἀλλὰ πρὸς τὴν
οἰκίαν ἐκείνων ἐπανελθόντων μεῖζον καὶ πάλιν τὸ πάθος ἐγίνετο, καὶ ἱμά-
τιον ὀφθὲν τοῦ παιδὸς, εἴτε τινὰ τῶν ἐκείνῳ συνήθων εἰς μνήμην τοῖς πατρά-
σιν ἐλθόντα χαλεπωτέραν αὐτοῖς ἐποίει τὴν συμφοράν.

Τοῦ ἐνιαυτοῦ δὲ ἤδη περιελθόντος καὶ τῆς λαμπρᾶς
ἑορτῆς ἐκείνης ἄγεσθαι πάλιν μελλούσης ἐκέντει τε αὐτοὺς ἐπὶ πλέον τὸ πά-
θος, καὶ σφοδρότερον πάλιν τοῦ παιδὸς ἀνεμίμνησκε. καὶ δῆτα πρὸς ἀλλήλους

ἴωμεν, φασὶ, πρὸς τὸν τάφον· ἴδωμεν, εἴ τι τοῦ παιδὸς ὑπολέλειπται λείψα-
νον, εἴ πως κἂν αὐτὸ κομιούμεθα. ταῦτα καὶ ὅσα τοῦ πάθους πρὸς ἑαυτοὺς
κοινολογησάμενοι προέρχονται τῆς οἰκίας πενθικῶς ἐσκευασμένοι καὶ τὰς
ὁράσεις ὑπὸ τῶν δακρύων ἐκτετηκότες, καὶ παρὰ τὸν αἰγιαλὸν ἀφικνοῦνται.
καὶ ὑποχωρεῖ μὲν εὐθέως ἡ θάλασσα τῆς προθεσμίας καταλαβούσης. ἀκο-
λουθοῦσι δὲ αὐτοὶ πρῶτοι, καὶ κατὰ πόδας ἕτεροι πάλιν, τῇ θαλάσσῃ κα-
θάπερ ὁδηγῷ χρώμενοι. καὶ τὸν αὐτομάτως οἰκοδομηθέντα ναὸν ἐκεῖνον,
μᾶλλον δὲ τὸν ὑπὸ τῆς σῆς, δέσποτα, σοφίας δημιουργηθέντα καταλαβόντες,
ὁρῶσι τὸ παιδίον, ὦ τοῦ θαύματος, ζῶν καὶ ἁλλόμενον παρὰ τῷ ναῷ. καὶ
πρῶτον μὲν ἀμφιβόλως εἶχον πρὸς τὰ ὁρώμενα λογιζόμενοι, μὴ οὐχ ὁ παῖς
ἢ τὸ φαινόμενον. ἐπεὶ δὲ καὶ τοῖς γνωρίσμασι καὶ τοῖς σχήμασι πάντοθεν εἰς
πίστιν αὐτοὺς τὸ παιδίον ἐνῆγε, καὶ τοῦτον ἐκεῖνον εἶναι τὸν υἱὸν ἐπίστευ-
σαν, περιχυθέντες εὐθέως αὐτῷ, καὶ ὀφθαλμοὺς καὶ χείλη προσφύντες,
ἔκλαιόν τε μέχρι πολλοῦ, τὰ γλυκέα δὴ ταῦτα ὑφ' ἡδονῆς προχέοντες δάκρυα,
καὶ θερμῶς αὐτὸν ὥσπερ γυμνῇ τῇ ψυχῇ κατεφίλουν.

Ἔπειτα μικρὸν ἑαυτοὺς ἀναλαβόντες ἠρώτων ἀκριβῶς
ἕκαστα τὸ παιδίον, ὅπως οὕτω παραδόξως διεσώθη, τίνος φυλάττοντος,
τίνος τρέφοντος, τίνος θάλποντος, τίνος ζωογονοῦντος. τὸ δὲ τῇ μὲν λαιᾷ
χειρὶ τὴν σορὸν κατέχον, θατέρᾳ δὲ τὸν ἐν αὐτῇ κείμενον ὑποδεικνύον οὗτός
μοι καὶ τῆς ζωῆς πάροχος, ἔλεγε, καὶ τροφεὺς καὶ φύλαξ, παρ' ἑαυτῷ γνη-
σίως ἀεί με τηρῶν καὶ καλῶς τιθηνούμενος. θαύματι οὖν οἱ τεκόντες ἀπορ-

ῥήτῳ σὺν ἡδονῇ ληφθέντες τοὺς προτέρους θρήνους καὶ τὰ σκυθρωπὰ τοῦ
πάθους ἐκεῖνα ῥήματα εἰς φαιδρότητα καὶ εὐχαριστίαν μετέβαλον θαυμα-
στὸς, λέγοντες, ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ ὅσα ἑξῆς προστιθέντες.
ἐπανέρχονται τοίνυν μακάριοι καὶ ζηλωτοὶ πρὸς τὴν οἰκίαν, ὃν ὡς νεκρὸν
ἐπένθουν, καὶ τάφον αὐτῷ θαλαττίου γαστέρα θηρὸς ἐπεφήμιζον, μᾶλλον
δὲ οὗ μηδὲ λείψανον εὑρεῖν προσεδόκων, τοῦτον μεθ' ἑαυτοῦ βαδίζοντα ἔχον-
τες, καὶ συλλαλοῦντα ὁρῶντες, ἄφατόν τι χρῆμα πατράσιν εἰς ἡδονὴν, καὶ
ἀπόῤῥητον γλυκύτητα τοῖς ἐκείνων σπλάγχνοις ἐναποστάζον.

Οὕτω τιμᾶν οἶδεν ὁ κοινὸς ἁπάντων δεσπότης Χριστὸς
τοὺς δι' αὐτὸν παθόντας τῶν οἰκετῶν καὶ τοσοῦτον κίνδυνον ἀναδεξα-
μένους, τοιαύτῃ θαυμάτων ὑπερβολῇ, τοιαύταις λαμπρότησιν, ὧν
γένοιτο καὶ ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
μεθ' οὗ τῷ πατρὶ δόξα ἅμα τῷ ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.
ἀμήν.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΕΦΡΑΙΜ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΧΕΡΣΩΝΟΣ

ΠΕΡΙ ΤΟΥ ΘΑΥΜΑΤΟΣ ΤΟΥ ΓΕΓΟΝΟΤΟΣ ΕΙΣ ΠΑΙΔΑ ΥΠΟ ΤΟΥ ΑΓΙΟΥ ΙΕΡΟΜΑΡΤΥΡΟΣ ΚΛΗΜΕΝΤΟΣ.

ι. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, εὔκαι-ρον μετὰ τοῦ Προφήτου εἰπεῖν σήμερον· καὶ Ὡς θαυμαστὰ τὰ ἔργα σου, Κύριε! καὶ Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν; καὶ, Σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυ-μάσια μόνος. Καὶ τί γὰρ ἂν ἄλλο τι προοίμιον τῷ παρόντι λόγῳ προθήσομαι; Ἀπὸ γὰρ τεχνικῶν με-θόδων τὸ παρὸν ὑπέρκειται θαῦμα, θαύματος πολλῶν ὑπερανεστηκότος θαυμάτων, καὶ προφητικῶν αὐτῶν θαυμάτων ὑπερεξέχοντος, ὡς ὁ λόγος δηλώσειεν.

ιι. Καὶ οἶδα ὅτι ποθεῖτε οἷον καὶ τίνος τὸ θαῦμα μαθεῖν, καὶ εἰπεῖν ἡμᾶς κατεπείγεσθε· τὸ δέ ἐστι πρῶτα μὲν Θεοῦ, παρ' οὗ πᾶσα δόσις ἀγαθὴ καὶ
πᾶν δώρημα τέλειον· ἔπειτα δὲ Κλήμεντος τοῦ Ῥωμαίου, τοῦ μετὰ Πέτρον τῆς ἀληθείας κήρυκος, καὶ τοῦ τῆς Ῥώμης θρόνου τούτου διαδόχου πιστοῦ·
Κλήμεντος ἐκείνου, οὗ μέχρι καὶ νῦν ἡ σύμπασα τὰς σωτηριώδεις διδαχὰς καὶ σιγῶσα βοᾷ γεγονότα Κλήμεντος τοῦ ἀληθοῦς κλήματος τῆς ἀμπέλου
Χριστοῦ, δι' οὗ ἡμῖν ὁ τῆς διδασκαλίας βότρυς περκάσας, γλεῦκος εὐσεβείας καὶ σωτηρίας ἐστάλαξεν· Κλήμεντος, τῆς ἀληθοῦς κλίμακος, τῆς οὐ πρὸς γεώλοφόν τι ὕψος ἐπαναγαγούσης ἡμᾶς, ἀλλὰ ταῖς τῶν ἀρετῶν ἀναβάσεσιν, ὥσπερ τισὶ βαθμίσι, πρὸς οὐρανόν τε καὶ τὰ οὐράνια ἡμᾶς διαβιβαζούσης· κλίμακος, καὶ τῆς Ἰακὼβ ὁραθείσης οὐδὲν ἀποδεούσης, οὐκ ἀγγέλους δι' αὐτῆς ἀνιόντας καὶ κατιόντας ἡμῖν δεικνυούσης, ἀλλὰ ἀνθρώπων ψυχὰς ταῖς θειοτάταις παραινέσεσιν, ὡς ἐκ βαθμῶν εἰς βαθμοὺς δι' ἀρετῶν τῷ Θεῷ συνεισφερούσης.

ιιι. Οὕτινος δὴ τὸ θαῦμα μὴ μαθόντες, ὦ κάλλιστον καὶ πιστότατον ἄθροισμα, καὶ οἷόν ἐστι καὶ ὅσον ἀκηκοέναι, ὡς φιλευσεβεῖς, ἀγωνίζεσθε, καὶ προσκιρτᾶτε τοῦ λόγου, καὶ τὴν ἀκοὴν ὑποκλίνετε, καὶ τῆς βραδυτῆτος ἡμῶν καταμέμφεσθε· χαίρω δ' οὖν τούτου ἕνεκα· μόνον, μέχρι τέλους μοι, παρακαλῶ, οὕτως συντεταμένην τηρήσατε τὴν διάνοιαν, καὶ μή τινα βιωτικὸν λογισμὸν

τῷ νῷ ὑμῶν ὑπεισελθεῖν, καὶ τὸ πρόθυμον χαυνῶσαι ἐάσητε· ἀλλ' ἐγρηγορότι λογισμῷ καὶ φρονήματι τοῦτο πιστῶς ὑποδέξασθε. Ἔστιν δὲ οὕτως.

ια. Τοῦ ἀοιδίμου καὶ μακαριωτάτου Κλήμεντος τὸν τῆς διδασκαλίας καὶ ἀποστολῆς δρόμον ἐκτελέσαντος, καὶ τῶν τῇδε διὰ τῆς τοῦ μαρτυρίου τελειώσεως μετακεχωρηκότος· ὡς καὶ ἡ τοῦ ἐνδόξου αὐτοῦ μαρ-τυρίου βίβλος δεδήλωκεν, ἣν μὴ ἀγνοεῖν ὑμᾶς πέ-πεισμαι· οὐ δίκαιον κέκρικεν ὁ δοξάζων τοὺς δοξάζον-τας αὐτὸν Κύριος, μὴ ἀντιδοξάσαι τὸν οὕτως ὑπὲρ τῆς εἰς αὐτὸν ἀγάπης ἀγωνισάμενον· ἀλλὰ καὶ ὑπερ-δοξάσαι καὶ μεγαλῦναι, καὶ ὡς ἐν οὐρανῷ τοῖς ἀγγέ-λοις, οὕτω κἀνταῦθα τοῖς ἀνθρώποις λαμπρότατον αὐτὸν καταστῆσαι, διὰ τῆς τῶν θαυματουργιῶν ἐπι-δείξεως, καὶ αἰδεσιμώτατον· θαυματουργιῶν, ὧν νοῦς μὲν τὸ μέγεθος ἐννοῆσαι ἀτονεῖ, λόγος δὲ τὸ πλῆθος εἰπεῖν, καὶ χεὶρ διαχαράξαι τὸ ἄπειρον· ἵνα οὖν ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα μετὰ τὴν παροι-μίαν γνοίητε ἐν ὑμῖν, ὃ καὶ ὑπεσχόμην διηγήσομαι.

ια. Τοῦ πανσέπτου λειψάνου τοῦ πανοσίου ἱερομάρτυρος Κλήμεντος ἐν τῷ τῆς θαλάσσης ἀποῤῥιφέντος βυθῷ παρὰ τῶν ἀθέων ἐκείνων εἰδωλολατρῶν, καὶ τοῦ ἐν βυθῷ θεοδμήτου ναοῦ τοῦτο ὑποδεξαμένου, θαυματουργεῖ τι μέγιστον κἀνταῦθα ὁ τῶν θαυμασίων Θεός. Τούτου γὰρ γεγονότος, καὶ τῶν μαθητῶν αὐτοῦ σὺν τῶν ἐκεῖσε πιστῶν ὀδυρομένων, δεῖξαί τε τούτοις τὸ πανίερον λείψανον τοῦ πανενδόξου Κλήμεντος, ὅ τι καὶ γέγονε, πρὸς Θεὸν ἱκετευόντων, παρευθὺ τὸ ἄπειρον ἐκεῖνο πέλαγος ὑπολοφῆσαν καὶ εἰς τοὐπίσω ἀναποδίσαν, εἰσιτητὸν καὶ αὐτὸν τὸν βυθὸν τοῖς εὐσεβέσι πεποίηκεν, ἄχρι μιλίων τριῶν. Καὶ δὴ εἰσελθόντες εὗρον ἐν σχήματι ναοῦ μαρμαρίνου οἴκημα, καὶ αὐτόθι ἐν σορῷ λιθίνῃ τὸ πανάγιον καὶ ἔνδοξον ἀποτεθειμένον τοῦ μάρτυρος λείψανον: Οἷς ἆραι βουλομένοις τὸ πανάγιον ἐκ τοῦ βυθοῦ λείψανον, νύκτωρ ἐπιστὰς τούτοις ὁ ἅγιος, οὑτωσὶ διηγόρευσε· Τὸ μὲν λείψανον ἆραι μὴ δόξητε· χαρίζομαι δὲ ὑμῖν ταύτην τὴν χάριν, ἵν' ἑκάστῳ χρόνῳ ἐν τῇ τῆς ἐμῆς ἀθλήσεως ἡμέρᾳ ἐπὶ ἑπτὰ ἡμέρας ὑποχωρῶν ὁ βυθὸς, διὰ ξηρᾶς πεζεύειν, μέχρις ὧδε παρασκευασθήσεται. Καὶ ὁ λόγος ἔργον ἐγένετο. Ἔκτοτε γὰρ μέχρι τῆς σήμερον ἑκάστῳ χρόνῳ τὸ θαυμαστὸν τοῦτο τελεῖται θεουργικῶς μεγαλούργημα.

ια. Τί τοῦτο τοῦ Μωσέως θαύματος ἀτιμότερον; Τί δὲ τοῦ Ἐλισσαίου ἀδοξότερόν τε καὶ ταπεινότερον; πολὺ μὲν οὖν γε ἐνδοξότερόν τε καὶ ὑψηλότερον. Ὁ μὲν γὰρ ·άβδῳ καὶ ζῶν καὶ ἅπαξ τὴν θάλασσαν διασχίσας, τρίβον τὸν βυθὸν ἀπειργάσατο· ὁ δὲ

ὡσαύτως τῇ μηλωτῇ τὸν Ἰορδάνην τεμὼν, ἅπαξ καὶ οὗτος τοῦτο τεθαυματούργηκεν· εἰς τὴν προτέραν ἀμφο-
τέρων τῶν ὑδάτων, μετὰ τὴν διάβασιν, φύσιν καταστάντων, καὶ μηκέτι τοῦτο πεπραχότων· οὗτος δὲ τί; μετὰ θάνατον, καὶ οὐχ ἅπαξ, ἀλλ' ἕκτοτε μέχρι σή-
μερον. Ὦ τοῦ θαύματος καὶ τῆς δόξης τοῦ μάρτυρος! οἵας εἴληχεν ἑκάστῳ χρόνῳ ἐν τῇ τῆς ἐνδόξου αὐτοῦ ἀθλήσεως ἡμέρᾳ! Ἐπὶ ἑπτὰ γὰρ, ὡς προέφημεν, ἡμέραις ὑποχωροῦν τὸ ἄπειρον ἐκεῖνο πέλαγος, πορείαν εὐεπίβατον τοῖς εὐσεβέσι παρέχεται.

ϟαιι. Τούτου οὖν οὕτως γινομένου, πάντες τῶν ἐν ἡμῖν φιλευσεβῶν ἐγχωρίων καὶ πολιτῶν τῆς Χερσῶνος, τοῦτο ἀκηκοότες, πρὸς τὴν τοῦ θαύματος θέαν ἠπείγοντο. Μεθ' ὧν καί τις ἀνὴρ εὐσεβὴς σὺν εὐσεβεῖ γυναικὶ καὶ τέκνῳ ἄῤῥενι τὴν ἐπὶ τὸν ἁγίου ἱερομάρτυρος ναὸν διήνυον ὁδὸν προθυμότατα. Καὶ δὴ τὸν τόπον καταλαβόντες, καὶ τὸ θαῦμα εἰσέτι τελού-
μενον θεασάμενοι, τῇ χειρὶ τὸν παῖδα λαβόμενοι, εἰς τὸν ἐν τῷ βυθῷ θεόδμητον ἐκεῖνον ναὸν εἰσῄεσαν· καὶ τῇ σορῷ παραστάντες, ἱκετικῶς τὸν ἅγιον ἐλιτάνευον, ἁμαρτημάτων συγχώρησιν δι' αὐτοῦ λαβεῖν ἐξαιτούμενοι, καὶ τῷ παιδὶ δοθῆναι δεόμενοι ζωὴν μακρὰν καὶ ἀπήμονα, βίου τε εὐμάρειαν, καὶ οἷα εἰκὸς γονεῖς ἐπὶ τέκνῳ αἰτεῖσθαι μονογενεῖ.

ϟαιιι. Ὡς οὖν τὴν εὐχὴν τετελέκασι, καὶ τὸ τοῦ ἁγίου κατησπάσαντο λείψανον, εἰς τοὐπίσω πάλιν ἐξῄεσαν. Ὧν ἐξελθόντων, τὸ ὕδωρ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐπέδραμεν. Οἱ δὲ μεταστραφέντες, καὶ πέλα-γος τὴν πρὶν θεασάμενοι τρίβον, τῇδε κἀκεῖσε περι-σκοποῦντες, τὴν τοῦ τέκνου ζήτησιν ἐπεχείριζον· τὸ δὲ ἦν ἐν τῇ τοῦ ἁγίου λάρνακι καταλειφθέν· καὶ τοῦτο οὐ τῇ τῶν γονέων λήθῃ, ἀλλὰ τῇ τοῦ Θεοῦ εὐδοκίᾳ ἐγεγόνει, ἵνα καὶ ἐνταῦθα μειζόνως θαυμαστώσῃ τὸν μάρτυρα.

ιξ. Ὡς δ' οὖν οἱ γονεῖς τὸ τέκνον οὐχ ηὕρισκον,
καὶ ὅτι ἐν τῷ βυθῷ τούτοις ἐπελήσθη ὁ παῖς ἐνενόη-
σαν, τί δεῖ καὶ λέγειν, τούς τε τοῦ πατρὸς θρήνους,
καὶ τὰς τῆς μητρὸς οἰμωγάς; Πᾶσαν γὰρ τὴν λαμ-
πρὰν ἐκείνην ἑορτὴν εἰς θρῆνον μετεποίησαν. Τί γὰρ
οὐκ ἔλεγον; τί δὲ οὐκ ἔπραττον; τῶν ὅσα εἰκὸς ἦν
καὶ λίθον αὐτὸν κινῆσαι πρὸς δάκρυον. Ἡ γὰρ τε-
κοῦσα, τοὺς ὀφθαλμοὺς τῷ πελάγει ἐντείνασα, καὶ
τὰς χεῖρας πρὸς ὕψος διάρασα, τοιάσδε τῷ ἁγίῳ ἠφίει
φωνάς· Αὗταί σου, ἅγιε, αἱ ἀμοιβαί; τοιαῦταί σου
τῶν πόθῳ πρὸς σὲ προστρεχόντων αἱ ἀνταμείψεις;
Οὕτω τὸν κόπον ἀντιμετρήσας ὃν ἀφ' ἧς παρεγενό-

μην ὑπέμεινα, τὴν ἀντιμισθίαν μοι δέδωκας; Ποῦ μου ὁ παῖς; Ποῖον τοῦ ἐμοῦ τέκνου τὰ σπλάγχνα θηρίον θαλάττης ἐσπάραξεν; Ποῖον δὲ ·όθιον κῦμα κατεπαναστὰν, ὡς τάφος, ζῶντα τοῦτο ἐκάλυψεν; Τίνα τοῖς ὀφθαλμοῖς ἄρτι θεάσομαι; Ὑπὲρ δὲ τίνος προσεύξομαι; Τίς δέ μου τοῦ γήρως καὶ βακτηρία γενήσεται; Ἵνα τί με, ὦ ἅγιε, μὴ τῷ τοῦ τέκνου θανάτῳ κοινωνῆσαι πεποίηκας, ὡς ἂν ὥσπερ πρὸς σὲ τοῦτο τῇ χειρὶ κατέχουσα παραγέγονα, οὐτωσὶ κἂν τῷ °δῃ ἀγκαληφοροῦσα τούτῳ ἡ δύστηνος καταβέβηκα. Ὦ θάλασσα καὶ βυθὲ, ποίῳ σου κόλπῳ τὸν ἐμὸν καθέξεις υἱόν; Πῶς δὲ καὶ θρέψεις αὐτόν; οἴμοι τέκνον ἐλεεινὸν, τέκνον πρὸ ὥρας ἀναρπασθέν· τέκνον, πῶς ἔδυς τῶν ἐμῶν ὀφθαλμῶν, ποίοις ποσὶν ὑποστρέφω; Τίνα δὲ ὡς ἄρνα ἐπισκιρτῶντα θεάσομαι;

ξ. Ὁ δέ γε πατὴρ τοιαῦτα πάλιν, τῷ χειρὶ τὴν ὄψιν παίων, ὠδύρετο· Ἵνα τί, ὦ ἅγιε, ἐξαίφνης ἄπαιδά με κατέστησας; Ἵνα τί οὕτως οἰκτίστῳ θανάτῳ τὸ ἐμὸν τέκνον θανεῖν παρεχώρησας; Ἵνα τί τὰ ἐναντία ὧν ἤλπισα μοὶ συνήντησεν; ἐπὶ τοιαύταις πρὸς σὲ παραγεγόναμεν; Τοιαῦται τῶν πόθῳ προσερχομένων τοῖς μάρτυσιν αἱ δωρεαί; Ὄντως οὐ σὺ, ἀλλ' αἱ τῶν ἐμῶν ἁμαρτημάτων θύελλαι τὸν παῖδα τῇ θαλάσσῃ παραδεδώκασιν. Ὦ τέκνον ἐμὸν, τίς σου τοὺς ὀφθαλμοὺς θανόντα καλύψει; Τίς δὲ ἐνταφιάσει; Ποῖα δὲ σορὸς τὸ περικαλλὲς καὶ τερπνότατον κατακρύψει σου σκήνωμα; Ἢ πάντως ἐκάλυψε μέν σου τοὺς ὀφθαλμοὺς θάλασσα· ἐνεταφίασε δὲ βυθός· καὶ γαστὴρ ἰχθύων σορός σοι ἐγένετο.

ξι. Οὕτω δ' οὖν κοπτομένων τῶν τεκόντων τὸν θρῆνον, τῶν ἐκεῖσε συνελθόντων τινὲς, μόλις ποτὲ τοῦ θρήνου ἀνεῖναι τούτους πεπείκασι. Καὶ δὴ τῆς οἰμωγῆς κἂν πρὸς ὀλίγον παυσάμενοι, οἴκαδε ᾤχοντο. Τοῦ οὖν χρόνου προοδεύσαντος, καὶ τῶν τῆς τοῦ ἁγίου μνήμης ἡμερῶν καταλαβουσῶν, τοιάδε πρὸς ἀλλήλους ἔλεγον, εἰς ἀνάμνησιν τοῦ ἰδίου τέκνου γενόμενοι· Δεῦρο δὴ καὶ πορευθῶμεν πρὸς τὸν ἅγιον, ὡς ἂν εἴ πού τι λείψανον, ὅπερ ἀδύνατον, ὑπελείφθη τοῦ τέκνου ἡμῶν λαβώμεθα, καὶ τὸν ἅγιον δικασώμεθα, εἴ πως καὶ θανοῦμεν ἐκεῖσε, τῷ θανάτῳ τοῦ παιδὸς κοινω-

νήσαντες. Ταῦτ' οὖν εἰπόντες, οὔπω τέλος τοῖς λεγομένοις τεθείκασι, καὶ τὴν πορείαν ἀπήρξαντο. Καὶ δὴ παραγεγονότες, καὶ τὸν τόπον καταλαβόντες, καὶ τῆς θαλάσσης ὑποχωρησάσης, τιμῶντος τοῦ Θεοῦ κἀνταῦθα τὸν μάρτυρα, τῷ τοῦ τέκνου πόθῳ δακνόμενοι, πρῶτοι τῷ βυθῷ εἰσεπήδησαν· ἐφεπόμενόν τε τούτοις τὸ πλῆθος ἐπήρχετο.

ξιι. Καὶ δὴ τὸν πάνσεπτον ναὸν καταλαβόντες τοῦ μάρτυρος, ὦ τοῦ θαύματος! ὁρῶσι τὸ ἴδιον τέκνον ζῶν καὶ φαιδρὸν καὶ ἁλλόμενον. Ὡς δὲ ἐν θαύμασι θαῦμα περιτυχόντες, ἐκπλαγέντες τε τῷ ἐξαισίῳ μεγαλουργήματι, πρῶτα μὲν τὸ θεῖον ἐγέραιρον· ἔπειτα δὲ τὸν μάρτυρα εὐχαριστηρίοις φωναῖς ἐπευφήμιζον· εἶτα τῷ νέῳ ἐπύθοντο, πῶς σέσωσται, τίνος ζωογονοῦντος, τίνος φυλάσσοντος, καὶ τίνος τρέφοντος. Ὁ δέ γε παῖς, τῇ μὲν μιᾷ χειρὶ κατέχων τὴν λάρνακα, τῇ δὲ ἑτέρᾳ δακτυλοδεικτῶν τὸν ἔνδοθεν κείμενον, τοῖς ἐρωτῶσιν ἀνταπεκρίνετο· Οὗτός μου μετὰ Θεὸν καὶ ζωὴ καὶ τροφὴ, καὶ τῶν ἐν τῇ θαλάσσῃ θηρίων ἀμυντήριον ἐγεγόνει· οὗτός με καθ' ἑκάστην ἐτιθηνεῖτο λαμπρότατα.

ξιιι. Οἱ δ' οὖν τεκόντες, θάμβει καὶ χαρᾷ συσχεθέντες, τῇ τε πίστει πλέον βεβαιωθέντες τοῦ μάρτυρος, δι' οὗ τὸν νεκρὸν νομισθέντα υἱὸν ζῶντα ἀπείληφαν, τοὺς προτέρους θρήνους εἰς εὐχαριστίαν ἐτρέψαντο, τοιάδε τῷ ἁγίῳ ἐπιβοώμενοι· Ὡς ἀληθῶς ἄρα θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, καὶ θέλημα τῶν φοβουμένων αὐτὸν ποιῶν, καὶ τῆς δεήσεως αὐτῶν εἰσακούων. Ἔσωσας ἡμῶν, Ἅγιε, τὸν υἱὸν, ἀπέδωκας ἡμῖν τὸν οὐκ ἐλπιζόμενον. Ὦ οὐρανὲ καὶ γῆ, καὶ σὺ βυθὲ, ὁ πρὶν ὑφ' ἡμῶν ἐπαρώμενος, ἔκστηθι τῷ ὑπὲρ φύσιν τούτῳ μεγαλουργήματι. Ἵλεως δὲ καὶ αὐτὸς γενοῦ, ἅγιε, ὧν πρὸς σὲ τῇ θλίψει τρυχόμενοι ἐπράξαμέν τε καὶ εἴπομεν· μὴ ἀνταποδώσεις ἡμῖν τὴν τῶν βλασφημιῶν ἀνταπόδοσιν. Τὸν υἱὸν ἀπελάβομεν, τὸν νεκρὸν διὰ σοῦ νῦν ἀναστάντα ἐδεξάμεθα, τὴν τοῦ γήρως βακτηρίαν σῇ βοηθείᾳ πάλιν ἔχομεν. Τί τὰ πολλὰ λέγομεν; τὸν οὐ τριήμερον ἀλλ' ἐνιαύσιον νεκρὸν, καὶ οὐ λίθῳ ἀλλ' ὕδατι καλυπτόμενον, καὶ οὐχ ὑπὸ σκωλήκων, ἃ τῆς τοῦ σώματός ἐστι φύσεως ἴδια, δαπανηθέντα, ἀλλὰ τὸν ὑπὸ ἰχθύων ὡς

ἐνομίσαμεν καταβρωθέντα, σῶον διὰ σοῦ ἀπελάβομεν. Εὖγε τῆς χάριτος, εὖγε τῆς δόξης, εὖγε τῆς δυνάμεως καὶ τῆς εὐεργεσίας σου, ἅγιε. Οὕτω τοίνυν τὸν ἅγιον μετὰ δακρύων ἐπευφημήσαντες, τὸν παῖδα ἀράμενοι, οἴκαδε παρεγένοντο, πᾶσι τὸ θαῦμα ἐκδιηγούμενοι.

ξιᾳ. Τί οὖν πρὸς ταῦτα καὶ παρισώσαιμεν; τὸν Ἠλίαν φασί ποτε τὸν νεκρὸν ζῶντα υἱὸν τῇ ἰδίᾳ ἀποδοῦναι μητρί· ὃ μέγα τε ὑπάρχει καὶ ὑπερθαύμαστον. Ἀλλὰ καὶ τῷ Ἐλισσαίου ποτὲ, ὡς ἱστοροῦσι, μνήματι, ὑπό τινων ἀνδροφόνων φονευθέντα τινὰ, καὶ ἐν αὐτῷ ·ιφέντα, εὐθὺς ἀνεγερθῆναί τε καὶ ζῆσαι· ὃ μεῖζον τοῦ προτέρου καὶ ἐξαισιώτερον. Καὶ Πέτρος δὲ ἐν τοῖς καθ' ἡμᾶς, ἡ τῶν ἀποστόλων κορωνὶς, τὴν πτωχοτρόφον ἐκείνην χήραν Ταβιθὰν θανοῦσαν αὔθωρον προσευχῇ ἐξανέστησεν. Ταῦτα μὲν οὖν θαυμαστὰ καὶ ὑπέρλαμπρα· τὸ δὲ παρὸν θαῦμα, ὅσον τούτων ὑπερανέστηκεν!

ξᾳ. Καὶ ὅρα μοι προσέχων τὸ ὑπέροχον τοῦ θαύματος. Ὁ μὲν Ἠλίας, ὡς προέφημεν, ἄρτι θανόντα τὸν παῖδα καὶ οὔπω καταψυχέντα, ἀλλ' εἰσέτι τὸ θερμὸν τῆς φύσεως διασώζοντα, ἐξανέστησεν. Ἡ δὲ τοῦ Ἐλισσαίου δύναμις δυοῖν εἵνεκα αἰτιῶν τὸ θαῦμα τετέλεκεν· ἑνὶ μὲν, ἀγνοούμενον προφήτην δεικνύουσα, ἑτέρῳ δὲ, μὴ συγχωροῦσα φόνον καὶ μετὰ θάνατον. Ὁ δέ γε Πέτρος τῇ ἰδίᾳ δυνάμει, καὶ τὴν τῶν εὐεργετουμένων παρὰ τῆς χήρας εὐχὴν συνεργὸν λαβόμενος, ἄρτι καὶ αὐτὸς ταύτην θανοῦσαν ἐξανεστήσατο. Ὁ δέ γε ἱερομάρτυς Κλήμης, ὦ τοῦ θαύματος! οὐκ ἀρτιθανῆ, ἀλλ' ἐνιαυσιαῖον, ἢ μᾶλλον εἰπεῖν καθ' ἑκάστην στιγμὴν καὶ ταύτης τῷ λεπτοτάτῳ ἀποθνήσκοντα παῖδα διέσωζεν. Καὶ ἴστε πάντες οἱ πεπειραμένοι τοῦ πράγματος, πόσον εἰκὸς ἦν παῖδα ἐν οὕτω ἁπλέτῳ βυθῷ διασώζεσθαι χρόνον.

ξᾳι. Ἀλλά μοι ἀκριβῶς σκοποῦντι, οὐχ ἕνα νεκρὸν, ἀλλ' ὅσην ὥραν ἴσμεν ἐν ὕδατι παῖδα πνίγεσθαι, τὸν χρόνον ἀναποδίζοντες, καὶ ταύτας ἀναμετροῦντες, τοσούτους νεκροὺς ἀνεστᾶναι τὸν ἅγιον ἐφευρήσομεν. Καὶ τὸ δὴ θαυμαστότερον, ὅτι οὐ τῆς τῶν ὑδάτων μόνον πνιγμονῆς, ἀλλὰ καὶ τῆς θηρίων βλάβης τὸν παῖδα διέσωζεν. Ὦ χάριτος, ὦ δυνάμεως ἀμφότερα

δεικνυμένης, καὶ τῷ ὕδατι πέδησις, καὶ τῶν θη-
ρίων ἀμυντήριον. Πρὸς ταῦτα τί φατε; Οὐχ ὑπέρ-
κειται τὸ θαῦμα τῶν ἄλλων; Εἰ μή τις ἡμᾶς κακῶς
καταμέμψοιτο, ὡς προφητικῶν τοῦτο θαυμάτων ὑπ-
εξαίροντας. Οὐδεὶς ἡμῶν μῶμος τούτου χάριν καθ-
άψεται. Καὶ οἴδατε γὰρ σαφῶς τὸν ἱερομάρτυρα,
καὶ ὁσίων, καὶ μαρτύρων, καὶ ἀποστόλων, καὶ προ-
φητῶν, καὶ ἀγγέλων αὐτῶν, ὁμόδοξον ὑπάρχειν αὐτὸν
καὶ σύσκηνον.

ξαιι. Ἀλλ', ὦ μαρτύρων ἀγλάϊσμα, ὁσίων τι ἐγκαλλώπισμα,
ἱεραρχῶν ἀκροθίνιον, ἴδε τοῦτο καὶ τὰ νῦν τὸ
παρὸν σύνταγμα, τὸ εὐσεβὲς καὶ φιλόθεον, καὶ καθ' ἑκά-
στην ὑπὸ τῶν τοῦ βίου κλυδωνισμῶν καταποντιζόμενον·
ταῖς σαῖς λιταῖς ἀβλαβὲς φρούρει τε καὶ περίσωζε·
καὶ τοὺς ὡσεὶ θῆρας ἀγρίους ἐπιπηδῶντας δαίμονας
καὶ καταφαγεῖν τὸ τῆς ψυχῆς εὐγενὲς ἐπαπειλοῦντας,
τῷ τῶν σῶν πρεσβειῶν ἀκοντίῳ ἀποδιώκοις, πανόσιε.
Ἀλλ' οὖν καὶ ὑμεῖς, ὦ πιστότατον ἄθροισμα, δεῦτέ
μοι παρακαλῶ· δι' ἀγαθῶν ἔργων καὶ θεοφιλῶν ἀξίους
ἑαυτοὺς τῶν τοῦ ἁγίου χαρίτων καὶ δωρεῶν ἐργασώ-
μεθα. Καὶ πρῶτα μὲν τὴν πρὸς Θεὸν καὶ ἀλλήλους
ἀγάπην, εἰλικρινῆ καὶ ἀθόλωτον φυλαξώμεθα· ἔπειτα
πάσης λοιδορίας, καὶ παντὸς ψεύδους, καὶ πάσης
ἐπιορκίας, ἑαυτοὺς ἐκκαθάρωμεν.

ξαιιι. Πρὸ δὲ τούτων καὶ μετὰ ταῦτα, τὴν ἐλεημοσύ-
νην κατεργασώμεθα, ἢ καὶ μᾶλλον οἶδε τὸν Θεὸν θερα-
πεύειν, ἵλεών τε ποιεῖν ταῖς ἁμαρτίαις ἡμῶν. Τίς
γὰρ, ταύτης ἐπιλαθόμενος, βασιλείαν Θεοῦ κληρονο-
μήσειεν; Μηδεὶς ἡμῶν προβαλέσθω πενίαν, μηδεὶς
χηρείαν, μήτε παιδοτροφίαν, τὰς ψυχρὰς ταύτας προ-
φάσεις καὶ ὀλεθρίους. Οὐδεὶς ὑμῶν τῆς χήρας ἐκείνης
πενέστερος, τῆς μηδὲν ἕτερον εἰ μὴ δράκα κεκτημένης
ἀλεύρου, καὶ ταῦτα παιδοτροφούσης, καὶ μὴ προτι-
μησάσης τὴν ἰδίαν ζωὴν, ἢ τῇ τοῦ τέκνου, ὑπὲρ
τὸν ἔλεον. Μὴ προφασιζώμεθα προφάσεις ἐν ἁμαρ-
τίαις. Θεὸς οὐ μυκτηρίζεται. Ἐμβλέψωμεν τῷ νῷ
εἰς τὰ ταμιεῖα ἡμῶν· ἴδωμεν εἰ μηδὲν ἡμῖν τῆς
ἐφημέρου τροφῆς περισσεύηται. Μὴ μηνῶν κύκλους
ἀναμετρήσωμεν, καὶ περιόδους ἐνιαυτῶν· ἄλλος ὁ
τούτων προνοητὴς καὶ μεριμνητὴς, κἂν ἡμεῖς ἀγνοῶ-
μεν. Ἡμᾶς αὐτοὺς τῶν ἡμετέρων ἐξεταστὰς καταστή-

σωμεν· καὶ εἰ μὲν μηδὲν ἡμῖν, ὡς προέφημεν, τῆς ἐφη-
μέρου τροφῆς περισσεύει, οἶδεν ὁ Θεὸς συμπαθεῖν τῇ
ἐνδείᾳ δεδουλωμένοις· εἰ δὲ μὴ μόνον βρωτῶν καὶ πο-
τῶν τὰ ταμιεῖα ἡμῶν βρίθοντα θεασώμεθα, ἀλλὰ καὶ
χρυσοῦ καὶ ἀργύρου, καὶ τῶν ἄλλων ἃ τοῖς φιλοκτή-
μοσιν ἕπεται, ἄλλων πεινώντων καὶ ·ιγώντων, γνωσώ-
μεθα ὡς τὸ αἰώνιον καὶ ἀτελεύτητον πῦρ ἑαυτοῖς
θησαυρίζομεν. Ἵν' οὖν τοῦτο ἐκφύγωμεν, ταῖς τοῦ
Θεοῦ ἐντολαῖς ὅση δύναμις πορευσώμεθα· ὡς ἂν τῆς
τε τοῦ ἱερομάρτυρος πρεσβείας κατευμοιρήσωμεν,
καὶ τῶν ἀπορρήτων καὶ αἰωνίων τοῦ Χριστοῦ ἀγαθῶν
ἐπιτύχωμεν· χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου
ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν
καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΒΑΡΝΑΒΑ ΕΠΙΣΤΟΛΗ

Χαίρετε, υἱοὶ καὶ θυγατέρες, ἐν ὀνόματι κυρίου τοῦ ἀγαπήσαντος ἡμᾶς, ἐν εἰρήνῃ.

Μεγάλων μὲν ὄντων καὶ πλουσίων τῶν τοῦ θεοῦ δικαιωμάτων εἰς ὑμᾶς, ὑπέρ τι καὶ καθ' ὑπερβολὴν ὑπερευφραίνομαι ἐπὶ τοῖς μακαρίοις καὶ ἐνδόξοις ὑμῶν πνεύμασιν· οὕτως ἔμφυτον τῆς δωρεᾶς πνευματικῆς χάριν εἰλήφατε.

Διὸ καὶ μᾶλλον συγχαίρω ἐμαυτῷ ἐλπίζων σωθῆναι, ὅτι ἀληθῶς βλέπω ἐν ὑμῖν ἐκκεχυμένον ἀπὸ τοῦ πλουσίου τῆς πηγῆς κυρίου πνεῦμα ἐφ' ὑμᾶς.

Οὕτως με ἐξέπληξεν ἐπὶ ὑμῶν ἡ ἐμοὶ ἐπιποθήτη ὄψις ὑμῶν.

Πεπεισμένος οὖν τοῦτο καὶ συνειδὼς ἐμαυτῷ, ὅτι ἐν ὑμῖν λαλήσας πολλὰ ἐπίσταμαι, ὅτι ἐμοὶ συνώδευσεν ἐν ὁδῷ δικαιοσύνης κύριος, καὶ πάντως εἰς τοῦτο κἀγὼ ἀναγκάζομαι, ἀγαπᾶν ὑμᾶς ὑπὲρ τὴν ψυχήν μου, ὅτι μεγάλη πίστις καὶ ἀγάπη ἐγκατοικεῖ ἐν ὑμῖν ἐπ' ἐλπίδι ζωῆς αὐτοῦ.

Λογισάμενος οὖν τοῦτο, ὅτι ἐὰν μελήσῃ μοι περὶ ὑμῶν τοῦ μέρος τι μεταδοῦναι ἀφ' οὗ ἔλαβον, ὅτι ἔσται μοι τοιούτοις πνεύμασιν ὑπηρετήσαντι εἰς μισθόν, ἐσπούδασα κατὰ μικρὸν ὑμῖν πέμπειν, ἵνα μετὰ τῆς πίστεως ὑμῶν τελείαν ἔχητε καὶ τὴν γνῶσιν.

Τρία οὖν δόγματά ἐστιν κυρίου· ζωῆς ἐλπίς, ἀρχὴ καὶ τέλος πίστεως ἡμῶν, καὶ δικαιοσύνη, κρίσεως ἀρχὴ καὶ τέλος, ἀγάπη, εὐφροσύνης καὶ ἀγαλλιάσεως ἔργων ἐν δικαιοσύνῃ μαρτυρία.

Ἐγνώρισεν γὰρ ἡμῖν ὁ δεσπότης διὰ τῶν προφητῶν τὰ

παρεληλυθότα καὶ τὰ ἐνεστῶτα, καὶ τῶν μελλόντων δοὺς ἀπαρχὰς ἡμῖν γεύσεως.

Ὧν τὰ καθ' ἕκαστα βλέποντες ἐνεργούμενα, καθὼς ἐλάλησεν, ὀφείλομεν πλουσιώτερον καὶ ὑψηλότερον προσάγειν τῷ φόβῳ αὐτοῦ.

Ἐγὼ δέ, οὐχ ὡς διδάσκαλος ἀλλ' ὡς εἷς ἐξ ὑμῶν, ὑποδείξω ὀλίγα, δι' ὧν ἐν τοῖς παροῦσιν εὐφρανθήσεσθε.

Ἡμερῶν οὖν οὐσῶν πονηρῶν καὶ αὐτοῦ τοῦ ἐνεργοῦντος ἔχοντος τὴν ἐξουσίαν, ὀφείλομεν ἑαυτοῖς προσέχοντες ἐκζητεῖν τὰ δικαιώματα κυρίου.

Τῆς οὖν πίστεως ἡμῶν εἰσὶν βοηθοὶ φόβος καὶ ὑπομονή, τὰ δὲ συμμαχοῦντα ἡμῖν μακροθυμία καὶ ἐγκράτεια.

Τούτων οὖν μενόντων τὰ πρὸς κύριον ἁγνῶς, συνευφραίνονται αὐτοῖς σοφία, σύνεσις, ἐπιστήμη, γνῶσις.

Πεφανέρωκεν γὰρ ἡμῖν διὰ πάντων τῶν προφητῶν, ὅτι οὔτε θυσιῶν οὔτε ὁλοκαυτωμάτων οὔτε προσφορῶν χρῄζει, λέγων ὁτὲ μέν·

«Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος. Πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. Τίς γὰρ ἐξεζήτησεν ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; Πατεῖν μου τὴν αὐλὴν οὐ προσθήσεσθε. Ἐὰν φέρητε σεμίδαλιν, μάταιον· θυμίαμα βδέλυγμά μοί ἐστιν· τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι.»

Ταῦτα οὖν κατήργησεν, ἵνα ὁ καινὸς νόμος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄνευ ζυγοῦ ἀνάγκης ὤν, μὴ ἀνθρωποποίητον ἔχῃ τὴν προσφοράν.

Λέγει δὲ πάλιν πρὸς αὐτούς· «Μὴ ἐγὼ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐκπορευομένοις ἐκ γῆς Αἰγύπτου, προσενέγκαι μοι ὁλοκαυτώματα καὶ θυσίας, ἀλλ’ ἢ τοῦτο ἐνετειλάμην αὐτοῖς· ἕκαστος ὑμῶν κατὰ τοῦ πλησίον ἐν τῇ καρδίᾳ ὑτοῦ

κακίαν μὴ μνησικακείτω, καὶ ὅρκον ψευδῆ μὴ ἀγαπάτω.»

Αἰσθάνεσθαι οὖν ὀφείλομεν, μὴ ὄντες ἀσύνετοι, τὴν γνώμην

τῆς ἀγαθωσύνης τοῦ πατρὸς ἡμῶν, ὅτι ἡμῖν λέγει, θέλων

ἡμᾶς μὴ ὁμοίως πλανωμένους ἐκείνοις ζητεῖν πῶς προσάγω-

μεν αὐτῷ.

Ἡμῖν οὖν οὕτως λέγει· «Θυσία τῷ θεῷ καρδία συντετριμμένη, ὀσμὴ εὐωδίας τῷ κυρίῳ καρδία δοξάζουσα τὸν πεπλακότα αὐτήν.»

Ἀκριβεύεσθαι οὖν ὀφείλομεν, ἀδελφοί, περὶ τῆς σωτηρίας ἡμῶν, ἵνα μὴ ὁ πονηρὸς παρείσδυ
σιν πλάνης ποιήσας ἐν ἡμῖν ἐκσφενδονήσῃ ἡμᾶς ἀπὸ τῆς

ζωῆς ἡμῶν.

Λέγει οὖν πάλιν περὶ τούτων πρὸς αὐτούς· «Ἱνατί

μοι νηστεύετε, λέγει κύριος, ὡς σήμερον ἀκουσθῆναι ἐν

κραυγῇ τὴν φωνὴν ὑμῶν; Οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην,

λέγει κύριος, οὐκ ἄνθρωπον ταπεινοῦντα τὴν ψυχὴν αὐτοῦ.

Οὐδ’ ἂν κάμψητε ὡς κρίκον τὸν τράχηλον ὑμῶν καὶ σάκκον καὶ σποδὸν ἐνδύσησθε, οὐδ’ οὕτως καλέσετε νηστείαν δεκτήν.»

Πρὸς ἡμᾶς δὲ λέγει· «Ἰδοὺ αὕτη ἡ νηστεία ἣν ἐγὼ

ἐξελεξάμην, λέγει κύριος· λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε

στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσ

μένους ἐν ἀφέσει, καὶ πᾶσαν ἄδικον συγγραφὴν διάσπα.

Διάθρυπτε πεινῶσιν τὸν ἄρτον σου, καὶ γυμνὸν ἐὰν ἴδῃς περί-

βαλε· ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου, καὶ ἐὰν ἴδῃς

ταπεινόν, οὐχ ὑπερόψῃ αὐτόν, οὐδὲ ἀπὸ τῶν οἰκείων τοῦ

σπέρματός σου.

Τότε ·αγήσεται πρώϊμον τὸ φῶς σου, καὶ

τὰ ἰάματά σου ταχέως ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπρο-

σθέν σου ἡ δικαιοσύνη, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε.
Τότε βοήσεις, καὶ ὁ θεὸς ἐπακούσεταί σου–ἔτι λαλοῦντός
σου ἐρεῖ· Ἰδοὺ πάρειμι'–ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον
καὶ χειροτονίαν καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι τὸν
ἄρτον σου ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐλεήσῃς.»
Εἰς τοῦτο οὖν, ἀδελφοί, ὁ μακρόθυμος προβλέψας, ὡς ἐν
ἀκεραιοσύνῃ πιστεύσει ὁ λαὸς ὃν ἡτοίμασεν τῷ ἠγαπημένῳ
αὐτοῦ, προεφανέρωσεν ἡμῖν περὶ πάντων, ἵνα μὴ προσρησσώ-
μεθα ὡς προσήλυτοι τῷ ἐκείνων νόμῳ.

Δεῖ οὖν ἡμᾶς περὶ τῶν ἐνεστώτων ἐπιπολὺ ἐρευνῶν-
τας ἐκζητεῖν τὰ δυνάμενα ἡμᾶς σώζειν.

Φύγωμεν οὖν
τελείως ἀπὸ πάντων τῶν ἔργων τῆς ἀνομίας, μήποτε κατα-
λάβῃ ἡμᾶς τὰ ἔργα τῆς ἀνομίας· καὶ μισήσωμεν τὴν πλάνην
τοῦ νῦν καιροῦ, ἵνα εἰς τὸν μέλλοντα ἀγαπηθῶμεν.

Μὴ δῶμεν τῇ ἑαυτῶν ψυχῇ ἄνεσιν, ὥστε ἔχειν αὐτὴν ἐξουσίαν
μετὰ πονηρῶν καὶ ἁμαρτωλῶν συντρέχειν, μήποτε ὁμοιω-
θῶμεν αὐτοῖς.

Τὸ τέλειον σκάνδαλον ἤγγικεν, περὶ οὗ γέγραπται, ὡς
Ἐνὼχ λέγει.

Εἰς τοῦτο γὰρ ὁ δεσπότης συντέτμηκεν
τοὺς καιροὺς καὶ τὰς ἡμέρας, ἵνα ταχύνῃ ὁ ἠγαπημένος αὐτοῦ,
καὶ ἐπὶ τὴν κληρονομίαν ἥξει.

Λέγει δὲ οὕτως ὁ προφήτης· «Βασιλεῖαι δέκα ἐπὶ τῆς γῆς βασιλεύσουσιν, καὶ
ἐξαναστήσεται ὄπισθεν μικρὸς βασιλεύς, ὃς ταπεινώσει τρεῖς ὑφ' ἓν τῶν βασιλειῶν.»
Ὁμοίως περὶ τοῦ αὐτοῦ λέγει Δανιήλ· «Καὶ εἶδον τὸ τέταρτον θηρίον τὸ πονηρὸν καὶ
ἰσχυρὸν καὶ χαλεπώτερον παρὰ πάντα τὰ θηρία τῆς θαλάσσης,
καὶ ὡς ἐξ αὐτοῦ ἀνέτειλεν δέκα κέρατα, καὶ ἐξ αὐτῶν μικρὸν

κέρας παραφυάδιον, καὶ ὡς ἐταπείνωσεν ὑφ' ἓν τρία τῶν
μεγάλων κεράτων.»
Συνιέναι οὖν ὀφείλετε.
Ἔτι δὲ καὶ τοῦτο ἐρωτῶ ὑμᾶς ὡς εἷς ἐξ ὑμῶν ὤν, ἰδίως
δὲ καὶ πάντας ἀγαπῶν ὑπὲρ τὴν ψυχήν μου, προσέχειν ἑαυτοῖς
καὶ μὴ ὁμοιοῦσθαί τισιν ἐπισωρεύοντας ταῖς ἁμαρτίαις ὑμῶν
λέγοντας ὅτι ἡ διαθήκη ἡμῶν ἡμῖν μένει.
Ἡμῶν μέν· ἀλλ' ἐκεῖνοι οὕτως εἰς τέλος ἀπώλεσαν αὐτὴν λαβόντος ἤδη
τοῦ Μωϋσέως.
Λέγει γὰρ ἡ γραφή· «Καὶ ἦν Μωϋσῆς ἐν τῷ ὄρει νηστεύων ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα καὶ ἔλαβεν τὴν διαθήκην ἀπὸ τοῦ κυρίου,
πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τῆς χειρὸς τοῦ κυρίου.»
Ἀλλὰ ἐπιστραφέντες ἐπὶ τὰ εἴδωλα ἀπώλεσαν αὐτήν.
Λέγει γὰρ οὕτως κύριος· «Μωϋσῆ Μωϋσῆ, κατάβηθι τὸ τάχος, ὅτι ἠνόμησεν ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου.»
Καὶ συνῆκεν Μωϋσῆς καὶ ἔριψεν τὰς δύο πλάκας ἐκ τῶν χειρῶν αὐτοῦ,
καὶ
συνετρίβη αὐτῶν ἡ διαθήκη, ἵνα ἡ τοῦ ἠγαπημένου Ἰησοῦ
ἐνκατασφραγισθῇ εἰς τὴν καρδίαν ἡμῶν ἐν ἐλπίδι τῆς πίστεως
αὐτοῦ.
Πολλὰ δὲ θέλων γράφειν, οὐχ ὡς διδάσκαλος ἀλλ' ὡς
πρέπει ἀγαπῶντι, ἀφ' ὧν ἔχομεν μὴ ἐλλείπειν, γράφειν
ἐσπούδασα–περίψημα ὑμῶν.
Διὸ προσέχωμεν ἐν ταῖς ἐσχάταις ἡμέραις· οὐδὲν γὰρ
ὠφελήσει ἡμᾶς ὁ πᾶς χρόνος τῆς ζωῆς ἡμῶν καὶ τῆς πίστεως,
ἐὰν μὴ νῦν ἐν τῷ ἀνόμῳ καιρῷ καὶ τοῖς μέλλουσιν σκανδάλοις,
ὡς πρέπει υἱοῖς θεοῦ, ἀντιστῶμεν.
Ἵνα οὖν μὴ σχῇ
παρείσδυσιν ὁ μέλας, φύγωμεν ἀπὸ πάσης ματαιότητος,

μισήσωμεν τελείως τὰ ἔργα τῆς πονηρᾶς ὁδοῦ.

Μὴ καθ’ ἑαυτοὺς ἐνδύνοντες μονάζετε ὡς ἤδη δεδικαιωμένοι, ἀλλ’ ἐπὶ τὸ αὐτὸ συνερχόμενοι συνζητεῖτε περὶ τοῦ κοινῇ συμφέ

ροντος.

Λέγει γὰρ ἡ γραφή· «Οὐαὶ οἱ συνετοὶ παρ’

ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες.»

Γενώμεθα

πνευματικοί, γενώμεθα ναὸς τέλειος τῷ θεῷ.

Ἐφ’ ὅσον ἐστὶν ἐφ’ ἡμῖν, μελετῶμεν τὸν φόβον τοῦ θεοῦ καὶ φυλάσσειν ἀγωνιζώμεθα τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἐν τοῖς δι-

καιώμασιν αὐτοῦ εὐφρανθῶμεν.

Ὁ κύριος ἀπροσω-

πολήπτως κρινεῖ τὸν κόσμον· ἕκαστος καθὼς ἐποίησεν

κομιεῖται–ἐὰν ᾖ ἀγαθός, ἡ δικαιοσύνη αὐτοῦ προηγήσεται

αὐτοῦ· ἐὰν ᾖ πονηρός, ὁ μισθὸς τῆς πονηρίας ἔμπροσθεν

αὐτοῦ.

Προσέχωμεν μήποτε ἐπαναπαυόμενοι ὡς κλητοὶ

ἐπικαθυπνώσωμεν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ὁ πονηρὸς ἄρχων

λαβὼν τὴν καθ’ ἡμῶν ἐξουσίαν ἀπώσηται ἡμᾶς ἀπὸ τῆς

βασιλείας τοῦ κυρίου.

Ἔτι δὲ κἀκεῖνο, ἀδελφοί μου,

νοεῖτε· ὅταν βλέπετε μετὰ τηλικαῦτα σημεῖα καὶ τέρατα

γεγονότα ἐν τῷ Ἰσραήλ, καὶ οὕτως ἐνκαταλελεῖφθαι αὐτούς,

προσέχωμεν, μήποτε, ὡς γέγραπται, «πολλοὶ κλητοί, ὀλίγοι

δὲ ἐκλεκτοὶ» εὑρεθῶμεν.

Εἰς τοῦτο γὰρ ὑπέμεινεν ὁ κύριος παραδοῦναι τὴν

σάρκα εἰς καταφθοράν, ἵνα τῇ ἀφέσει τῶν ἁμαρτιῶν ἁγνισθῶ

μεν, ὅ ἐστιν ἐν τῷ ·αντίσματι αὐτοῦ τοῦ αἵματος.

Γέγραπται γὰρ περὶ αὐτοῦ ἃ μὲν πρὸς τὸν Ἰσραήλ, ἃ δὲ πρὸς ἡμᾶς

–λέγει δὲ οὕτως· «Ἐτραυματίσθη διὰ τὰς ἀνομίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη καὶ ὡς ἀμνὸς ἄφωνος ἐναντίον τοῦ κείραντος αὐτόν.»

Οὐκοῦν ὑπερευχαριστεῖν ὀφείλομεν τῷ κυρίῳ, ὅτι καὶ τὰ παρεληλυθότα ἡμῖν ἐγνώρισεν καὶ ἐν τοῖς ἐνεστῶσιν ἡμᾶς ἐσόφισεν, καὶ εἰς τὰ μέλλοντα οὐκ ἐσμὲν ἀσύνετοι.

Λέγει δὲ ἡ γραφή· «Οὐκ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς»– τοῦτο λέγει, ὅτι δικαίως ἀπολεῖται ἄνθρωπος, ὃς ἔχων ὁδοῦ δικαιοσύνης γνῶσιν ἑαυτὸν εἰς ὁδὸν σκότους ἀπο συνέχει.

Ἔτι δὲ καὶ τοῦτο, ἀδελφοί μου· εἰ ὁ κύριος ὑπέμεινεν παθεῖν ὑπὲρ τῆς ψυχῆς ἡμῶν, ὢν παντὸς τοῦ κόσμου κύριος, ᾧ εἶπεν ὁ θεὸς ἀπὸ καταβολῆς κόσμου· «Ποιήσωμεν ἄνθρωπον κατ’ εἰκόνα καὶ καθ’ ὁμοίωσιν ἡμετέραν», πῶς οὖν ὑπέμεινεν ὑπὸ χειρὸς ἀνθρώπων παθεῖν; μάθετε.

Οἱ προφῆται, ἀπ’ αὐτοῦ ἔχοντες τὴν χάριν, εἰς αὐτὸν ἐπροφήτευσαν· αὐτὸς δέ, ἵνα καταργήσῃ τὸν θάνατον καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν δείξῃ, ὅτι ἐν σαρκὶ ἔδει αὐτὸν φανερωθῆναι, ὑπέμεινεν, ἵνα τοῖς πατράσιν τὴν ἐπαγγελίαν ἀποδῷ καὶ αὐτὸς ἑαυτῷ τὸν λαὸν τὸν καινὸν ἑτοιμάζων ἐπιδείξῃ ἐπὶ τῆς γῆς ὤν, ὅτι τὴν ἀνάστασιν αὐτὸς ποιήσας κρινεῖ.

Πέρας γέ τοι διδάσκων τὸν Ἰσραὴλ καὶ τηλικαῦτα τέρατα καὶ σημεῖα ποιῶν, οὐχ ὅτι ἐκήρυσσεν καὶ ὑπερηγάπησαν αὐτόν.

Ὅτε δὲ τοὺς ἰδίους ἀποστόλους τοὺς μέλλοντας κηρύσσειν τὸ εὐαγγέλιον αὐτοῦ ἐξελέξατο, ὄντας ὑπὲρ πᾶσαν ἁμαρτίαν ἀνομωτέρους, ἵνα δείξῃ ὅτι οὐκ ἦλθεν καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλούς, τότε ἐφανέρωσεν ἑαυτὸν

εἶναι υἱὸν θεοῦ.

Εἰ γὰρ μὴ ἦλθεν ἐν σαρκί, πῶς ἂν
ἐσώθησαν οἱ ἄνθρωποι βλέποντες αὐτόν, ὅτε τὸν μέλλοντα

μὴ εἶναι ἥλιον, ἔργον τῶν χειρῶν αὐτοῦ ὑπάρχοντα, ἐμβλέ-

ποντες οὐκ ἰσχύουσιν εἰς τὰς ἀκτῖνας αὐτοῦ ἀντοφθαλμῆσαι;

Οὐκοῦν ὁ υἱὸς τοῦ θεοῦ εἰς τοῦτο ἐν σαρκὶ ἦλθεν, ἵνα

τὸ τέλειον τῶν ἁμαρτημάτων ἀνακεφαλαιώσῃ τοῖς διώξασιν

ἐν θανάτῳ τοὺς προφήτας αὐτοῦ.

Οὐκοῦν εἰς τοῦτο ὑπέμεινεν.
Λέγει γὰρ ὁ θεὸς τὴν πληγὴν τῆς σαρκὸς

αὐτοῦ ἐξ αὐτῶν· «Ὅταν πατάξωσιν τὸν ποιμένα αὐτῶν,

τότε ἀπολεῖται τὰ πρόβατα τῆς ποίμνης.»

Αὐτὸς

δὲ ἠθέλησεν οὕτως παθεῖν· ἔδει γάρ, ἵνα ἐπὶ ξύλου

πάθῃ.

Λέγει γὰρ ὁ προφητεύων ἐπ’ αὐτῷ· «Φεῖσαί μου τῆς ψυχῆς ἀπὸ ·ομφαίας, καὶ καθήλωσόν μου τὰς σάρκας, ὅτι πονηρευομένων συναγωγὴ ἐπανέστησάν μοι.»
Καὶ πάλιν λέγει· «Ἰδού, τέθεικά μου τὸν νῶτον εἰς μάστιγας, καὶ τὰς σιαγόνας εἰς ·απίσματα, τὸ δὲ πρόσωπόν μου ἔθηκα ὡς στερεὰν πέτραν.»

Ὅτε οὖν ἐποίησεν τὴν ἐντολήν, τί λέγει; «Τίς ὁ

κρινόμενός μοι; ἀντιστήτω μοι· ἢ τίς ὁ δικαιούμενός μοι; ἐγγισάτω τῷ παιδὶ κυρίου. Οὐαὶ ὑμῖν, ὅτι ὑμεῖς πάντες παλαιωθήσεσθε ὡς ἱμάτιον καὶ σὴς καταφάγεται ὑμᾶς.»

Καὶ πάλιν λέγει ὁ προφήτης, ἐπεὶ ὡς λίθος ἰσχυρὸς ἐτέθη εἰς συντριβήν· «Ἰδού, ἐμβαλῶ εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτόν, ἀκρογωνιαῖον, ἔντιμον.»
Εἶτα τί λέγει; «Καὶ ὁ πιστεύων εἰς αὐτὸν ζήσεται εἰς τὸν αἰῶνα.»
Ἐπὶ λίθον οὖν ἡμῶν ἡ ἐλπίς; μὴ γένοιτο· ἀλλ’ ἐπεὶ ἐν ἰσχύϊ τέθεικεν τὴν σάρκα αὐτοῦ ὁ
κύριος.

Λέγει γάρ· «Καὶ ἔθηκέ με ὡς στερεὰν πέτραν.»

Λέγει δὲ πάλιν ὁ προφήτης· «Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας.»
Καὶ πάλιν λέγει· «Αὕτη ἐστὶν ἡ ἡμέρα ἡ μεγάλη θαυμαστή, ἣν ἐποίησεν ὁ κύριος.»

Ἁπλούστερον ὑμῖν γράφω, ἵνα συνιῆτε· ἐγὼ περίψημα τῆς ἀγάπης ὑμῶν.

Τί οὖν λέγει πάλιν ὁ προφήτης; «Περιέσχον με συναγωγὴ πονηρευομένων, ἐκύκλωσάν με ὡσεὶ μέλισσαι κηρίον, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον.»

Ἐν σαρκὶ

οὖν αὐτοῦ μέλλοντος φανεροῦσθαι καὶ πάσχειν, προεφανερώθη τὸ πάθος.

Λέγει γὰρ ὁ προφήτης ἐπὶ τὸν Ἰσραήλ·
«Οὐαὶ τῇ ψυχῇ αὐτῶν, ὅτι βεβούλευνται βουλὴν πονηρὰν καθ’ ἑαυτῶν, εἰπόντες· ‘Δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστίν.’»

Τί λέγει ὁ ἄλλος προφήτης Μωϋσῆς αὐτοῖς; «Ἰδού, τάδε λέγει κύριος ὁ θεός· Εἰσέλθετε εἰς τὴν γῆν τὴν ἀγαθήν, ἣν ὤμοσεν κύριος τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ κατακληρονομήσατε αὐτήν, γῆν ·έουσαν γάλα καὶ μέλι.»

Τί δὲ λέγει ἡ γνῶσις; μάθετε. «Ἐλπίσατε», φησίν, «ἐπὶ τὸν ἐν σαρκὶ μέλλοντα φανεροῦσθαι ὑμῖν Ἰησοῦν.»

Ἄνθρωπος γὰρ γῆ ἐστιν πάσχουσα· ἀπὸ προσώπου γὰρ τῆς γῆς ἡ πλάσις τοῦ Ἀδὰμ ἐγένετο.

Τί οὖν λέγει;

«Εἰς τὴν γῆν τὴν ἀγαθήν, γῆν ·έουσαν γάλα καὶ μέλι.»

Εὐλογητὸς ὁ κύριος ἡμῶν, ἀδελφοί, ὁ σοφίαν καὶ νοῦν θέμενος ἐν ἡμῖν τῶν κρυφίων αὐτοῦ.

Λέγει γὰρ ὁ προφήτης· «Παραβολὴν κυρίου τίς νοήσει, εἰ μὴ σοφὸς καὶ ἐπιστήμων καὶ ἀγαπῶν τὸν κύριον αὐτοῦ;»

Ἐπεὶ οὖν ἀνακαινίσας ἡμᾶς ἐν τῇ ἀφέσει τῶν ἁμαρτιῶν

ἐποίησεν ἡμᾶς ἄλλον τύπον, ὡς παιδίον ἔχειν τὴν ψυχήν, ὡς ἂν δὴ ἀναπλάσσοντος αὐτοῦ ἡμᾶς.

Λέγει γὰρ ἡ γραφὴ περὶ ἡμῶν, ὡς λέγει τῷ υἱῷ· «Ποιήσωμεν κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἡμῶν τὸν ἄνθρωπον, καὶ ἀρχέτωσαν τῶν θηρίων τῆς γῆς καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν ἰχθύων τῆς θαλάσσης.»

Καὶ εἶπεν κύριος, ἰδὼν τὸ καλὸν πλάσμα ἡμῶν· «Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν.»

Ταῦτα πρὸς τὸν υἱόν.

Πάλιν σοι ἐπιδείξω, πῶς πρὸς ἡμᾶς λέγει· δευτέραν πλάσιν ἐπ' ἐσχάτων ἐποίησεν.

Λέγει δὲ κύριος·
«Ἰδού, ποιῶ τὰ ἔσχατα ὡς τὰ πρῶτα.»
Εἰς τοῦτο οὖν ἐκήρυξεν ὁ προφήτης· «Εἰσέλθετε εἰς γῆν ·ἐουσαν γάλα καὶ μέλι καὶ κατακυριεύσατε αὐτῆς.»

Ἴδε οὖν, ἡμεῖς ἀναπεπλάσμεθα, καθὼς πάλιν ἐν ἑτέρῳ προφήτῃ λέγει· «Ἰδού, λέγει κύριος, ἐξελῶ τούτων», τουτέστιν ὧν προέβλεπεν τὸ πνεῦμα κυρίου, «τὰς λιθίνας καρδίας, καὶ ἐμβαλῶ σαρκίνας»–

ὅτι αὐτὸς ἐν σαρκὶ ἔμελλεν φανεροῦσθαι καὶ ἐν ἡμῖν κατοικεῖν.
Ναὸς γὰρ ἅγιος, ἀδελφοί μου, τῷ κυρίῳ τὸ κατοικητήριον ἡμῶν τῆς καρδίας.

Λέγει γὰρ πάλιν κύριος· «Καὶ ἐν τίνι ὀφθήσομαι τῷ κυρίῳ τῷ θεῷ μου καὶ δοξασθήσομαι;»
Λέγει· «Ἐξομολογήσομαί σοι ἐν ἐκκλησίᾳ ἀδελφῶν μου, καὶ ψαλῶ σοι ἀναμέσον ἐκκλησίας ἁγίων.»

Οὐκοῦν ἡμεῖς ἐσμέν, οὓς εἰσήγαγεν εἰς τὴν γῆν τὴν ἀγαθήν.

Τί οὖν τὸ «γάλα» καὶ τὸ «μέλι»; ὅτι πρῶτον τὸ παιδίον μέλιτι, εἶτα γάλακτι ζωοποιεῖται· Οὕτως οὖν καὶ ἡμεῖς τῇ πίστει τῆς ἐπαγγελίας καὶ τῷ λόγῳ ζωοποιούμενοι ζήσομεν κατακυριεύοντες τῆς γῆς.

Προείρηκε δὲ ἐπάνω· «Καὶ αὐξανέσθωσαν καὶ πληθυνέσθωσαν καὶ ἀρχέτωσαν τῶν ἰχθύων.» Τίς οὖν ὁ δυνάμενος νῦν ἄρχειν θηρίων ἢ ἰχθύων ἢ πετεινῶν τοῦ οὐρανοῦ; Αἰσθάνεσθαι γὰρ ὀφείλομεν, ὅτι τὸ ἄρχειν ἐξουσίας ἐστίν, ἵνα τις ἐπιτάξας κυριεύσῃ. Εἰ οὖν οὐ γίνεται τοῦτο νῦν, ἄρα ἡμῖν εἴρηκεν πότε–ὅταν καὶ αὐτοὶ τελειωθῶμεν κληρονόμοι τῆς διαθήκης κυρίου γενέσθαι.

Οὐκοῦν νοεῖτε, τέκνα εὐφροσύνης, ὅτι πάντα ὁ καλὸς κύριος προεφανέρωσεν ἡμῖν, ἵνα γνῶμεν ᾧ κατὰ πάντα εὐχαριστοῦντες ὀφείλομεν αἰνεῖν.

Εἰ οὖν ὁ υἱὸς τοῦ θεοῦ, ὢν κύριος καὶ μέλλων κρίνειν ζῶντας καὶ νεκρούς, ἔπαθεν ἵνα ἡ πληγὴ αὐτοῦ ζωοποιήσῃ ἡμᾶς, πιστεύσωμεν ὅτι ὁ υἱὸς τοῦ θεοῦ οὐκ ἠδύνατο παθεῖν εἰ μὴ δι’ ἡμᾶς.

Ἀλλὰ καὶ σταυρωθεὶς ἐποτίζετο ὄξει καὶ χολῇ. Ἀκούσατε, πῶς περὶ τούτου πεφανέρωκαν οἱ ἱερεῖς τοῦ ναοῦ, γεγραμμένης ἐντολῆς· «Ὃς ἂν μὴ νηστεύσῃ τὴν νηστείαν, θανάτῳ ἐξολεθρευθήσεται.» Ἐνετείλατο κύριος, ἐπεὶ καὶ αὐτὸς ὑπὲρ τῶν ἡμετέρων ἁμαρτιῶν ἔμελλεν τὸ σκεῦος τοῦ πνεύματος προσφέρειν θυσίαν, ἵνα καὶ ὁ τύπος ὁ γενόμενος ἐπὶ Ἰσαὰκ τοῦ προσενεχθέντος ἐπὶ τὸ θυσιαστήριον τελεσθῇ.

Τί οὖν λέγει ἐν τῷ προφήτῃ; «Καὶ φαγέτωσαν ἐκ τοῦ τράγου τοῦ προσφερομένου τῇ νηστείᾳ ὑπὲρ πασῶν τῶν ἁμαρτιῶν.»

Προσέχετε ἀκριβῶς· «Καὶ φαγέτωσαν οἱ ἱερεῖς μόνοι πάντες τὸ ἔντερον ἄπλυτον μετὰ ὄξους.»

Πρὸς τί; «Ἐπειδὴ ἐμὲ ὑπὲρ ἁμαρτιῶν μέλ-

λοντα τοῦ λαοῦ μου τοῦ καινοῦ προσφέρειν τὴν σάρκα μου

μέλλετε ποτίζειν χολὴν μετὰ ὄξους, φάγετε ὑμεῖς μόνοι,

τοῦ λαοῦ νηστεύοντος καὶ κοπτομένου ἐπὶ σάκκου καὶ

σποδοῦ»– ἵνα δείξῃ ὅτι δεῖ αὐτὸν παθεῖν ὑπ' αὐτῶν.

Πῶς οὖν ἐνετείλατο; προσέχετε· «Λάβετε δύο τράγους καλοὺς καὶ ὁμοίους καὶ προσενέγκατε, καὶ λαβέτω ὁ ἱερεὺς τὸν ἕνα εἰς ὁλοκαύτωμα ὑπὲρ ἁμαρτιῶν.»

Τὸν δὲ ἕνα τί ποιήσουσιν; «Ἐπικατάρατος», φησίν, «ὁ εἷς».

Προ

σέχετε, πῶς ὁ τύπος τοῦ Ἰησοῦ φανεροῦται.

«Καὶ ἐμπτύσατε πάντες καὶ κατακεντήσατε καὶ περίθετε τὸ ἔριον τὸ κόκκινον περὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ οὕτως εἰς ἔρημον

βληθήτω.»

Καὶ ὅταν γένηται οὕτως, ἄγει ὁ βαστά-

ζων τὸν τράγον εἰς τὴν ἔρημον καὶ ἀφαιρεῖ τὸ ἔριον καὶ

ἐπιτίθησιν αὐτὸ ἐπὶ φρύγανον τὸ λεγόμενον ·αχῆ, οὗ καὶ

τοὺς βλαστοὺς εἰώθαμεν τρώγειν ἐν τῇ χώρᾳ εὑρίσκοντες.

Οὕτως μόνης τῆς ·αχῆς οἱ καρποὶ γλυκεῖς εἰσίν.

Τί οὖν καὶ τοῦτο; προσέχετε· «Τὸν μὲν ἕνα ἐπὶ τὸ

θυσιαστήριον, τὸν δὲ ἕνα ἐπικατάρατον», καὶ ὅτι τὸν ἐπικατά-

ρατον ἐστεφανωμένον.

Ἐπειδὴ ὄψονται αὐτὸν τότε τῇ ἡμέρᾳ τὸν ποδήρη ἔχοντα τὸν κόκκινον περὶ τὴν σάρκα καὶ ἐροῦσιν· «Οὐχ οὗτός ἐστιν, ὅν ποτε ἡμεῖς ἐσταυρώσαμεν

ἐξουθενήσαντες καὶ κατακεντήσαντες καὶ ἐμπτύσαντες;

ἀληθῶς οὗτος ἦν, ὁ τότε λέγων ἑαυτὸν υἱὸν θεοῦ εἶναι.»

Πῶς γὰρ ὅμοιος ἐκείνῳ; εἰς τοῦτο «ὁμοίους» τοὺς τράγους καὶ «καλούς», ἴσους, ἵνα ὅταν ἴδωσιν αὐτὸν τότε ἐρχόμενον, ἐκπλαγῶσιν ἐπὶ τῇ ὁμοιότητι τοῦ τράγου. Οὐκοῦν ἴδε τὸν τύπον τοῦ μέλλοντος πάσχειν Ἰησοῦ. Τί δέ, ὅτι τὸ ἔριον εἰς μέσον τῶν ἀκανθῶν τιθέασιν; τύπος ἐστὶν τοῦ Ἰησοῦ τῇ ἐκκλησίᾳ κείμενος, ὅτι ὃς ἐὰν θέλῃ τὸ ἔριον ἆραι τὸ κόκκινον, δεῖ αὐτὸν πολλὰ παθεῖν διὰ τὸ εἶναι φοβερὰν τὴν ἄκανθαν, καὶ θλιβέντα κυριεῦσαι αὐτοῦ. «Οὕτως», φησίν, «οἱ θέλοντές με ἰδεῖν καὶ ἅψασθαί μου τῆς βασιλείας ὀφείλουσιν θλιβέντες καὶ παθόντες λαβεῖν με».

Τίνα δὲ δοκεῖτε τύπον εἶναι, ὅτι ἐντέταλται τῷ Ἰσραὴλ προσφέρειν δάμαλιν τοὺς ἄνδρας, ἐν οἷς εἰσὶν ἁμαρτίαι τέλειαι, καὶ σφάξαντας κατακαίειν, καὶ αἴρειν τότε τὴν σποδὸν παιδία καὶ βάλλειν εἰς ἄγγη καὶ περιτιθέναι τὸ ἔριον τὸ κόκκινον ἐπὶ ξύλου–ἴδε πάλιν ὁ τύπος τοῦ σταυροῦ καὶ τὸ ἔριον τὸ κόκκινον–καὶ τὸ ὕσσωπον, καὶ οὕτως ·αντίζειν τὰ παιδία καθ’ ἕνα τὸν λαόν, ἵνα ἁγνίζωνται ἀπὸ τῶν ἁμαρτιῶν; Νοεῖτε, πῶς ἐν ἁπλότητι λέγει ὑμῖν.

Ὁ μόσχος Ἰησοῦς ἐστίν, οἱ προσφέροντες ἄνδρες ἁμαρτωλοὶ οἱ προσενέγκαντες αὐτὸν ἐπὶ τὴν σφαγήν.

Εἶτα οὐκέτι ἄνδρες, οὐκέτι ἁμαρτωλῶν ἡ δόξα.

Οἱ ῥαντίζοντες παῖδες οἱ εὐαγγελισάμενοι ἡμῖν τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τὸν ἁγνισμὸν τῆς καρδίας, οἷς ἔδωκεν τοῦ εὐαγγελίου τὴν ἐξουσίαν, οὗσιν δεκαδύο εἰς μαρτύριον τῶν φυλῶν (ὅτι δεκαδύο φυλαὶ τοῦ Ἰσραήλ), εἰς τὸ κηρύσσειν.

Διατί δὲ τρεῖς

παῖδες οἱ ·αντίζοντες; εἰς μαρτύριον Ἀβραάμ, Ἰσαάκ,

Ἰακώβ, ὅτι οὗτοι μεγάλοι τῷ θεῷ.

Ὅτι δὲ τὸ ἔριον ἐπὶ τὸ ξύλον, ὅτι ἡ βασιλεία Ἰησοῦ ἐπὶ

ξύλου, καὶ ὅτι οἱ ἐλπίζοντες ἐπ' αὐτὸν ζήσονται εἰς τὸν αἰῶνα.

Διατί δὲ ἅμα τὸ ἔριον καὶ τὸ ὕσσωπον; ὅτι ἐν τῇ βασιλείᾳ
αὐτοῦ ἡμέραι ἔσονται πονηραὶ καὶ ·υπαραί, ἐν αἷς ἡμεῖς
σωθησόμεθα·
Ὅτι καὶ ὁ ἀλγῶν σάρκα διὰ τοῦ ·ύπου
τοῦ ὑσσώπου ἰᾶται.

Καὶ διὰ τοῦτο οὕτως γενόμενα ἡμῖν μέν ἐστιν φανερά,

ἐκείνοις δὲ σκοτεινά, ὅτι οὐκ ἤκουσαν φωνῆς κυρίου.

Λέγει γὰρ πάλιν περὶ τῶν ὠτίων, πῶς περιέ-

τεμεν ἡμῶν τὰς ἀκοὰς καὶ τὰς καρδίας.

Λέγει κύριος
ἐν τῷ προφήτῃ· «Εἰς ἀκοὴν ὠτίου ὑπήκουσάν μου.»
Καὶ πάλιν λέγει· «Ἀκοῇ ἀκούσονται οἱ πόρρωθεν, καὶ
ἃ ἐποίησα γνώσονται· καὶ περιτμήθητε, λέγει κύριος, τὰς
ἀκοὰς ὑμῶν.»
Καὶ πάλιν λέγει· «Ἄκουε Ἰσραήλ, ὅτι
τάδε λέγει κύριος ὁ θεός σου· Τίς ἐστιν ὁ θέλων ζῆσαι εἰς

τὸν αἰῶνα; ἀκοῇ ἀκουσάτω τῆς φωνῆς τοῦ παιδός μου.»

Καὶ πάλιν λέγει· «Ἄκουε οὐρανέ, καὶ ἐνωτίζου γῆ, ὅτι

κύριος ἐλάλησεν» (ταῦτα εἰς μαρτύριον).

Καὶ πάλιν
λέγει· «Ἀκούσατε λόγον κυρίου, ἄρχοντες τοῦ λαοῦ τούτου.»
Καὶ πάλιν λέγει· «Ἀκούσατε, τέκνα, τῆς φωνῆς βοῶντος
ἐν τῇ ἐρήμῳ.»
Οὐκοῦν περιέτεμεν ἡμῶν τὰς ἀκοάς,
ἵνα ἀκούσαντες λόγον πιστεύσωμεν ἡμεῖς.
Ἀλλὰ καὶ ἡ περιτομὴ ἐφ' ᾗ πεποίθασιν κατήργηται.

Περιτομὴν γὰρ εἴρηκεν οὐ σαρκὸς γενηθῆναι· ἀλλὰ παρέ-

βησαν, ὅτι ἄγγελος πονηρὸς ἐσόφιζεν αὐτούς.

Λέγει δὲ

πρὸς αὐτούς· «Τάδε λέγει κύριος ὁ θεὸς ὑμῶν» (ὧδε εὑρίσκω ἐντολήν)· «Οὐ μὴ σπείρητε ἐπ' ἀκάνθαις, περιτμήθητε τῷ κυρίῳ ὑμῶν.»
Καί τί λέγει; «Καὶ περιτμήθητε τὴν πονηρίαν ἀπὸ τῆς καρδίας ὑμῶν.»
Λέγει δὲ πάλιν·
«Ἰδού, λέγει κύριος, πάντα τὰ ἔθνη ἀπερίτμητα ἀκροβυστίαν, ὁ δὲ λαὸς οὗτος ἀπερίτμητος καρδίᾳ.»

Ἀλλ' ἐρεῖς· «Καὶ μὴν περιτέτμηται ὁ λαὸς εἰς σφραγῖδα.» Ἀλλὰ καὶ πᾶς Σύρος καὶ Ἄραψ καὶ πάντες οἱ ἱερεῖς τῶν εἰδώλων· ἄρα οὖν κἀκεῖνοι ἐκ τῆς διαθήκης αὐτῶν εἰσίν; –ἀλλὰ καὶ οἱ Αἰγύπτιοι ἐν περιτομῇ εἰσίν.

Μάθετε οὖν, τέκνα ἀγάπης, περὶ πάντων πλουσίως, ὅτι Ἀβραάμ, πρῶτος περιτομὴν δούς, ἐν πνεύματι προβλέψας εἰς τὸν Ἰησοῦν περιέτεμεν, λαβὼν τριῶν γραμμάτων δόγματα.

Λέγει γάρ· «Καὶ περιέτεμεν Ἀβραὰμ ἐκ τοῦ οἴκου αὐτοῦ ἄνδρας δεκαοκτὼ καὶ τριακοσίους.»

Τίς οὖν ἡ δοθεῖσα αὐτῷ γνῶσις; μάθετε· ὅτι τοὺς «δεκαοκτὼ» πρώτους, καὶ διάστημα ποιήσας λέγει «τριακοσίους». Τὸ «δεκαοκτὼ», Ι (δέκα) Η (ὀκτώ)· ἔχεις ἸΗ(σοῦν). Ὅτι δὲ ὁ σταυρὸς ἐν τῷ Τ ἤμελλεν ἔχειν τὴν χάριν, λέγει καὶ τοὺς «τριακοσίους».

Δηλοῖ οὖν τὸν μὲν Ἰησοῦν ἐν τοῖς δυσὶν γράμμασιν, καὶ ἐν τῷ ἑνὶ τὸν σταυρόν.

Οἶδεν ὁ τὴν ἔμφυτον δωρεὰν τῆς διδαχῆς αὐτοῦ θέμενος ἐν ἡμῖν. Οὐδεὶς γνησιώτερον ἔμαθεν ἀπ' ἐμοῦ λόγον· ἀλλὰ οἶδα ὅτι ἄξιοί ἐστε ὑμεῖς.

Ὅτι δὲ Μωϋσῆς εἶπεν· «Οὐ φάγεσθε χοῖρον οὔτε ἀετὸν οὔτε ὀξύπτερον οὔτε κόρακα οὔτε πάντα ἰχθύν, ὃς οὐκ ἔχει λεπίδα ἐν αὐτῷ», τρία ἔλαβεν ἐν τῇ συνέσει δόγματα.

Πέρας γέ τοι λέγει αὐτοῖς ἐν τῷ Δευτερονομίῳ· «Καὶ διαθήσομαι πρὸς τὸν λαὸν τοῦτον τὰ δικαιώματά μου.» Ἄρα οὖν οὐκ ἔστιν ἐντολὴ θεοῦ τὸ μὴ τρώγειν, Μωϋσῆς δὲ ἐν πνεύματι ἐλάλησεν.

Τὸ οὖν «χοιρίον» πρὸς τοῦτο εἶπεν· οὐ μὴ κολληθήσῃ, φησίν, ἀνθρώποις τοιούτοις, οἵτινές εἰσιν ὅμοιοι χοίροις· τουτέστιν ὅταν σπαταλῶσιν, ἐπιλανθάνονται τοῦ κυρίου, ὅταν δὲ ὑστερῶνται, ἐπιγινώσκουσιν τὸν κύριον, ὡς καὶ ὁ χοῖρος, ὅταν τρώγει, τὸν κύριον οὐκ οἶδεν, ὅταν δὲ πεινᾷ, κραυγάζει, καὶ λαβὼν πάλιν σιωπᾷ.

«Οὐδὲ φάγῃ», φησίν, «τὸν ἀετὸν οὐδὲ τὸν ὀξύπτερον οὐδὲ τὸν ἰκτῖνα οὐδὲ τὸν κόρακα»· οὐ μή, φησίν, κολληθήσῃ οὐδὲ ὁμοιωθήσῃ ἀνθρώποις τοιούτοις, οἵτινες οὐκ οἴδασιν διὰ κόπου καὶ ἱδρῶτος ἑαυτοῖς πορίζειν τὴν τροφήν, ἀλλὰ ἁρπάζουσιν τὰ ἀλλότρια ἐν ἀνομίᾳ αὐτῶν καὶ ἐπιτηροῦσιν ὡς ἐν ἀκεραιοσύνῃ περιπατοῦντες καὶ περιβλέπονται, τίνα ἐκδύσωσιν διὰ τὴν πλεονεξίαν, ὡς καὶ τὰ ὄρνεα ταῦτα μόνα ἑαυτοῖς οὐ πορίζει τὴν τροφήν, ἀλλὰ ἀργὰ καθήμενα ἐκζητεῖ, πῶς ἀλλοτρίας σάρκας καταφάγῃ, ὄντα λοιμὰ τῇ πονηρίᾳ αὐτῶν.

«Καὶ οὐ φάγῃ», φησίν, «σμύραιναν οὐδὲ πόλυπα οὐδὲ σηπίαν»· οὐ μή, φησίν, ὁμοιωθήσῃ κολλώμενος ἀνθρώποις τοιούτοις, οἵτινες εἰς τέλος εἰσὶν ἀσεβεῖς καὶ κεκριμένοι ἤδη τῷ θανάτῳ,

ὡς καὶ ταῦτα τὰ ἰχθύδια μόνα ἐπικατά-
ρατα ἐν τῷ βυθῷ νήχεται μὴ κολυμβῶντα ὡς τὰ λοιπά, ἀλλ' ἐν
τῇ γῇ κάτω τοῦ βυθοῦ κατοικεῖ.

Ἀλλὰ καὶ «τὸν δασύποδα οὐ φάγῃ»·

πρὸς τί;

οὐ μὴ γένῃ, φησίν, παιδοφθόρος οὐδὲ ὁμοιωθήσῃ τοῖς τοιού-
τοις.

Ὅτι ὁ λαγωὸς κατ' ἐνιαυτὸν πλεονεκτεῖ τὴν ἀφό-
δευσιν–ὅσα γὰρ ἔτη ζῇ, τοσαύτας ἔχει τρύπας.

Ἀλλὰ
«οὐδὲ τὴν ὕαιναν φάγῃ»·
οὐ μή, φησίν, γένῃ μοιχὸς
οὐδὲ φθορεὺς οὐδὲ ὁμοιωθήσῃ τοῖς τοιούτοις.
Πρὸς τί;
ὅτι τὸ ζῷον τοῦτο παρ' ἐνιαυτὸν ἀλλάσσει τὴν φύσιν καὶ ποτὲ
μὲν ἄρρεν, ποτὲ δὲ θῆλυ γίνεται.

Ἀλλὰ καὶ «τὴν γαλῆν»
ἐμίσησεν.
Καλῶς· οὐ μὴ γένῃ, φησίν, τοιοῦτος, <οὐδὲ>
ὁμοιωθήσῃ τοῖς τοιούτοις οἵους ἀκούομεν ἀνομίαν ποιοῦντας
ἐν τῷ στόματι δι' ἀκαθαρσίαν, οὐδὲ κολληθήσῃ ταῖς ἀκαθάρ-
τοις ταῖς τὴν ἀνομίαν ποιούσαις ἐν τῷ στόματι.

Τὸ γὰρ
ζῷον τοῦτο τῷ στόματι κύει.

Περὶ μὲν τῶν βρωμάτων λαβὼν Μωϋσῆς τρία δόγματα
οὕτως ἐν πνεύματι ἐλάλησεν· οἱ δὲ κατ' ἐπιθυμίαν τῆς σαρκὸς
ὡς περὶ βρώσεως προσεδέξαντο.

Λαμβάνει δὲ τῶν αὐτῶν τριῶν δογμάτων γνῶσιν
Δαυὶδ καὶ λέγει ὁμοίως· «Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη
ἐν βουλῇ ἀσεβῶν«–καθὼς καὶ οἱ ἰχθύες πορεύονται ἐν
σκότει εἰς τὰ βάθη–

«οὐδὲ ἐν ὁδῷ ἁμαρτωλῶν ἔστη«–καθὼς οἱ δοκοῦντες φοβεῖσθαι τὸν κύριον ἁμαρτά-

νουσιν ὡς ὁ χοῖρος– «οὐδὲ ἐπὶ καθέδραν λοιμῶν ἐκάθισεν«–καθὼς τὰ πετεινὰ καθήμενα εἰς ἁρπαγήν.

Ἔχετε τελείως καὶ περὶ τῆς βρώσεως.

Ἀλλ’ εἶπεν Μωϋσῆς· «Φάγεσθε πᾶν διχηλοῦν καὶ μαρυκώμενον.»

Τί λέγει; ὅτι τὴν τροφὴν λαμβάνων οἶδεν τὸν τρέφοντα αὐτὸν καὶ ἐπ’ αὐτῷ ἀναπαυόμενος εὐφραί-

νεσθαι δοκεῖ.

Καλῶς εἶπεν βλέπων τὴν ἐντολήν. Τί οὖν

λέγει; κολλᾶσθε μετὰ τῶν φοβουμένων τὸν κύριον, μετὰ τῶν

μελετώντων ὃ ἔλαβον διάσταλμα ·»ματος ἐν τῇ καρδίᾳ, μετὰ

τῶν λαλούντων τὰ δικαιώματα κυρίου καὶ τηρούντων, μετὰ

τῶν εἰδότων, ὅτι ἡ μελέτη ἐστὶν ἔργον εὐφροσύνης, καὶ ἀναμα-

ρυκωμένων τὸν λόγον κυρίου.

Τί δὲ τὸ «διχηλοῦν»; ὅτι ὁ δίκαιος καὶ ἐν τούτῳ τῷ κόσμῳ περιπατεῖ καὶ τὸν ἅγιον

αἰῶνα ἐκδέχεται.

Βλέπετε, πῶς ἐνομοθέτησεν Μωϋσῆς καλῶς.

Ἀλλὰ πόθεν ἐκείνοις ταῦτα νοῆσαι ἢ συνιέναι; ἡμεῖς

δὲ δικαίως νοήσαντες τὰς ἐντολὰς λαλοῦμεν, ὡς ἠθέλησεν

κύριος.

Διὰ τοῦτο περιέτεμεν τὰς ἀκοὰς ἡμῶν καὶ τὰς

καρδίας, ἵνα συνιῶμεν ταῦτα.

Ζητήσωμεν δέ, εἰ ἐμέλησεν τῷ κυρίῳ προφανερῶσαι

περὶ τοῦ ὕδατος καὶ περὶ τοῦ σταυροῦ.

Περὶ μὲν τοῦ ὕδατος γέγραπται ἐπὶ τὸν Ἰσραήλ, πῶς τὸ

βάπτισμα τὸ φέρον ἄφεσιν ἁμαρτιῶν οὐ μὴ προσδέξονται, ἀλλ’

ἑαυτοῖς οἰκοδομήσουσιν.

Λέγει γὰρ ὁ προφήτης·

«Ἔκστηθι οὐρανέ, καὶ ἐπὶ τούτῳ πλεῖον φριξάτω ἡ γῆ, ὅτι
δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος· ἐμὲ ἐγκατέλιπον,
πηγὴν ὕδατος ζῶσαν, καὶ ἑαυτοῖς ὤρυξαν βόθρον θανάτου.
Μὴ πέτρα ἔρημός ἐστιν τὸ ὄρος τὸ ἅγιόν μου Σινᾶ;
ἔσεσθε γὰρ ὡς πετεινοῦ νοσσοὶ ἀνιπτάμενοι νοσσιᾶς ἀφῃρη-
μένοι.»
Καὶ πάλιν λέγει ὁ προφήτης· «Ἐγὼ πορεύσομαι
ἔμπροσθέν σου καὶ ὄρη ὁμαλιῶ καὶ πύλας χαλκᾶς συντρίψω
καὶ μοχλοὺς σιδηροῦς συνκλάσω, καὶ δώσω σοι θησαυροὺς
σκοτεινούς, ἀποκρύφους, ἀοράτους, ἵνα γνῶσιν, ὅτι ἐγὼ
κύριος ὁ θεός.
Καὶ κατοικήσεις ἐν ὑψηλῷ σπηλαίῳ πέτρας ἰσχυρᾶς, καὶ τὸ ὕδωρ αὐτοῦ πιστόν· βασιλέα μετὰ δόξης ὄψεσθε, καὶ ἡ ψυχὴ ὑμῶν μελετήσει φόβον κυρίου.»
Καὶ πάλιν ἐν ἄλλῳ προφήτῃ λέγει· «Καὶ ἔσται ὁ
ταῦτα ποιῶν ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διε-
ξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ
αὐτοῦ, καὶ τὰ φύλλα αὐτοῦ οὐκ ἀπορρυήσεται, καὶ πάντα
ὅσα ἂν ποιῇ κατευοδωθήσεται.
Οὐχ οὕτως οἱ ἀσε
βεῖς, οὐχ οὕτως, ἀλλ’ ἢ ὡς ὁ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος
ἀπὸ προσώπου τῆς γῆς.
Διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων, ὅτι
γινώσκει κύριος ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.»
Αἰσθάνεσθε, πῶς τὸ ὕδωρ καὶ τὸν σταυρὸν ἐπὶ τὸ
αὐτὸ ὥρισεν.
Τοῦτο γὰρ λέγει· «μακάριοι», οἳ ἐπὶ τὸν
σταυρὸν ἐλπίσαντες κατέβησαν εἰς τὸ ὕδωρ, ὅτι τὸν μὲν
μισθὸν λέγει «ἐν καιρῷ αὐτοῦ»· τότε, φησίν, ἀποδώσω.

Νῦν δὲ ὃ λέγει· «τὰ φύλλα οὐκ ἀπορρυήσεται».

Τοῦτο λέγει· ὅτι πᾶν ῥῆμα, ὃ ἐὰν ἐξελεύσεται ἐξ ὑμῶν

διὰ τοῦ στόματος ὑμῶν ἐν πίστει καὶ ἀγάπῃ, ἔσται εἰς ἐπι-

στροφὴν καὶ ἐλπίδα πολλοῖς.

Καὶ πάλιν ἕτερος προφήτης λέγει· «Καὶ ἦν ἡ γῆ τοῦ

Ἰακὼβ ἐπαινουμένη παρὰ πᾶσαν τὴν γῆν.»

Τοῦτο

λέγει· τὸ σκεῦος τοῦ πνεύματος αὐτοῦ δοξάζει.

Εἶτα τί λέγει; «Καὶ ἦν ποταμὸς ἕλκων ἐκ δεξιῶν, καὶ ἀνέβαινεν ἐξ αὐτοῦ δένδρα ὡραῖα· καὶ ὃς ἂν φάγῃ ἐξ αὐτῶν, ζήσεται εἰς τὸν αἰῶνα.»

Τοῦτο λέγει, ὅτι ἡμεῖς μὲν καταβαίνομεν εἰς τὸ ὕδωρ γέμοντες ἁμαρτιῶν καὶ ·ύπου, καὶ ἀναβαί-

νομεν καρποφοροῦντες ἐν τῇ καρδίᾳ τὸν φόβον καὶ τὴν ἐλπίδα

εἰς τὸν Ἰησοῦν ἐν τῷ πνεύματι ἔχοντες.

«Καὶ ὃς ἂν

φάγῃ ἀπὸ τούτων, ζήσεται εἰς τὸν αἰῶνα.»

Τοῦτο

λέγει· ὃς ἄν, φησίν, ἀκούσῃ τούτων λαλουμένων καὶ πιστεύσῃ,

ζήσεται εἰς τὸν αἰῶνα.

Ὁμοίως πάλιν περὶ τοῦ σταυροῦ ὁρίζει ἐν ἄλλῳ

προφήτῃ λέγοντι· «Καὶ πότε ταῦτα συντελεσθήσεται; λέγει

κύριος· Ὅταν ξύλον κλιθῇ καὶ ἀναστῇ, καὶ ὅταν ἐκ ξύλου

αἷμα στάξῃ.»

Ἔχεις πάλιν περὶ τοῦ σταυροῦ καὶ τοῦ

σταυροῦσθαι μέλλοντος.

Λέγει δὲ πάλιν τῷ Μωϋσῇ, πολεμουμένου τοῦ Ἰσραὴλ

ὑπὸ τῶν ἀλλοφύλων, καὶ ἵνα ὑπομνήσῃ αὐτοὺς πολεμουμέ-

νους, ὅτι διὰ τὰς ἁμαρτίας αὐτῶν παρεδόθησαν εἰς θάνατον·

λέγει εἰς τὴν καρδίαν Μωϋσέως τὸ πνεῦμα, ἵνα ποιήσῃ

τύπον σταυροῦ καὶ τοῦ μέλλοντος πάσχειν, ὅτι ἐὰν μή, φησίν, ἐλπίσωσιν ἐπ' αὐτῷ, εἰς τὸν αἰῶνα πολεμηθήσονται.

Τί-

θησιν οὖν Μωϋσῆς ἓν ἐφ' ἓν ὅπλον ἐν μέσῳ τῆς πυγμῆς, καὶ σταθεὶς ὑψηλότερος πάντων ἐξέτεινεν τὰς χεῖρας, καὶ οὕτως πάλιν ἐνίκα ὁ Ἰσραήλ. Εἶτα, ὁπόταν καθεῖλεν, πάλιν ἐθανα-

τοῦντο.

Πρὸς τί; ἵνα γνῶσιν ὅτι οὐ δύνανται σωθῆναι ἐὰν

μὴ ἐπ' αὐτῷ ἐλπίσωσιν.

Καὶ πάλιν ἐν ἑτέρῳ προφήτῃ λέγει· «Ὅλην τὴν ἡμέραν διεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα ὁδῷ δικαίᾳ μου.»

Πάλιν Μωϋσῆς ποιεῖ τύπον τοῦ Ἰησοῦ, ὅτι δεῖ αὐτὸν

παθεῖν, καὶ αὐτὸς ζωοποιήσει, ὃν δόξουσιν ἀπολωλεκέναι ἐν

σημείῳ, πίπτοντος τοῦ Ἰσραήλ.

Ἐποίησεν γὰρ κύριος

πάντα ὄφιν δάκνειν αὐτούς, καὶ ἀπέθνησκον–ἐπειδὴ ἡ

παράβασις διὰ τοῦ ὄφεως ἐν Εὔᾳ ἐγένετο–ἵνα ἐλέγξῃ αὐτούς,

ὅτι διὰ τὴν παράβασιν αὐτῶν εἰς θλῖψιν θανάτου παραδοθή-

σονται.

Πέρας γέ τοι αὐτὸς Μωϋσῆς ἐντειλάμενος·

«Οὐκ ἔσται ὑμῖν οὔτε χωνευτὸν οὔτε γλυπτὸν εἰς θεὸν

ὑμῖν«–αὐτὸς ποιεῖ, ἵνα τύπον τοῦ Ἰησοῦ δείξῃ.

Ποιεῖ

οὖν Μωϋσῆς χαλκοῦν ὄφιν καὶ τίθησιν ἐνδόξως καὶ κηρύγ

ματι καλεῖ τὸν λαόν.

Ἐλθόντες οὖν ἐπὶ τὸ αὐτὸ ἐδέοντο Μωϋσέως, ἵνα περὶ αὐτῶν ἀνενέγκῃ δέησιν περὶ τῆς ἰάσεως

αὐτῶν.

Εἶπεν δὲ Μωϋσῆς πρὸς αὐτούς· «Ὅταν»,

φησίν, «δηχθῇ τις ὑμῶν, ἐλθέτω ἐπὶ τὸν ὄφιν τὸν ἐπὶ τοῦ

ξύλου ἐπικείμενον καὶ ἐλπισάτω πιστεύσας, ὅτι αὐτὸς ὢν

νεκρὸς δύναται ζωοποιῆσαι, καὶ παραχρῆμα σωθήσεται»

–καὶ οὕτως ἐποίουν.

Ἔχεις πάλιν καὶ ἐν τούτοις τὴν

δόξαν τοῦ Ἰησοῦ, ὅτι ἐν αὐτῷ πάντα καὶ εἰς αὐτόν.

Τί λέγει πάλιν Μωϋσῆς Ἰησοῦ, υἱῷ Ναυή, ἐπιθεὶς αὐτῷ

τοῦτο τὸ ὄνομα, ὄντι προφήτῃ, ἵνα μόνον ἀκούσῃ πᾶς ὁ λαός,

ὅτι πάντα ὁ πατὴρ φανεροῖ περὶ τοῦ υἱοῦ Ἰησοῦ;

Λέγει οὖν Μωϋσῆς Ἰησοῦ, υἱῷ Ναυή, ἐπιθεὶς αὐτῷ τοῦτο τὸ ὄνομα, ὁπότε ἔπεμψεν αὐτὸν κατάσκοπον τῆς γῆς· «Λάβε βιβλίον εἰς τὰς χεῖράς σου καὶ γράψον, ἃ λέγει κύριος, ὅτι ἐκκόψει ἐκ ·ιζῶν πάντα τὸν οἶκον τοῦ Ἀμαλὴκ ὁ υἱὸς τοῦ θεοῦ ἐπ’ ἐσχάτων τῶν ἡμερῶν.»

Ἴδε πάλιν Ἰησοῦς, οὐχὶ υἱὸς ἀνθρώπου, ἀλλὰ υἱὸς τοῦ θεοῦ, τύπῳ δὲ ἐν σαρκὶ φανε

ρωθείς.

Ἐπεὶ οὖν μέλλουσιν λέγειν ὅτι ὁ Χριστὸς υἱός ἐστιν Δαυίδ, αὐτὸς προφητεύει Δαυίδ, φοβούμενος καὶ συνίων τὴν πλάνην τῶν ἁμαρτωλῶν· «Εἶπεν κύριος τῷ κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον

τῶν ποδῶν σου.»

Καὶ πάλιν λέγει οὕτως Ἡσα ας·

«Εἶπεν κύριος τῷ Χριστῷ μου κυρίῳ, οὗ ἐκράτησα τῆς δεξιᾶς

αὐτοῦ, ἐπακοῦσαι ἔμπροσθεν αὐτοῦ ἔθνη, καὶ ἰσχὺν βασιλέων

διαρρήξω.»

Ἴδε, πῶς Δαυὶδ λέγει αὐτὸν κύριον, καὶ

υἱὸν οὐ λέγει.

Ἴδωμεν δέ, εἰ οὗτος ὁ λαὸς κληρονόμος ἢ ὁ πρῶτος,

καὶ εἰ ἡ διαθήκη εἰς ἡμᾶς ἢ εἰς ἐκείνους.

Ἀκούσατε οὖν περὶ τοῦ λαοῦ τί λέγει ἡ γραφή·

«Ἐδεῖτο δὲ Ἰσαὰκ περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ,

ὅτι στεῖρα ἦν· καὶ συνέλαβεν.

Εἶτα καὶ ἐξῆλθεν Ῥε-

βέκκα πυθέσθαι παρὰ κυρίου, καὶ εἶπεν κύριος πρὸς αὐτήν·

‘Δύο ἔθνη ἐν τῇ γαστρί σου καὶ δύο λαοὶ ἐν τῇ κοιλίᾳ σου,

καὶ ὑπερέξει λαὸς λαοῦ καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσ-

σονι.’»

Αἰσθάνεσθαι ὀφείλετε, τίς ὁ Ἰσαὰκ καὶ τίς ἡ

Ῥεβέκκα, καὶ ἐπὶ τίνων δέδειχεν, ὅτι μείζων ὁ λαὸς οὗτος

ἢ ἐκεῖνος.

Καὶ ἐν ἄλλῃ προφητείᾳ λέγει φανερώτερον ὁ Ἰακὼβ πρὸς Ἰωσὴφ τὸν υἱὸν αὐτοῦ, λέγων· «Ἰδού, οὐκ ἐστέρησέν με κύριος τοῦ προσώπου σου· προσάγαγέ μοι τοὺς υἱούς σου, ἵνα εὐλογήσω αὐτούς.»

Καὶ προσήγαγεν Ἐφραὶμ καὶ Μανασσῆ, τὸν Μανασσῆ θέλων ἵνα εὐλογηθῇ, ὅτι πρεσβύτερος

ἦν· ὁ γὰρ Ἰωσὴφ προσήγαγεν εἰς τὴν δεξιὰν χεῖρα τοῦ πατρὸς

Ἰακώβ.

Εἶδεν δὲ Ἰακὼβ τύπον τῷ πνεύματι τοῦ λαοῦ

τοῦ μεταξύ.

Καὶ τί λέγει; «Καὶ ἐποίησεν Ἰακὼβ ἐναλλὰξ τὰς χεῖρας αὐτοῦ καὶ ἐπέθηκεν τὴν δεξιὰν ἐπὶ τὴν

κεφαλὴν Ἐφραίμ, τοῦ δευτέρου καὶ νεωτέρου, καὶ εὐλόγησεν

αὐτόν.

Καὶ εἶπεν Ἰωσὴφ πρὸς Ἰακώβ· ‘Μετάθες σου

τὴν δεξιὰν ἐπὶ τὴν κεφαλὴν Μανασσῆ, ὅτι πρωτότοκός μου

υἱός ἐστιν.’ Καὶ εἶπεν Ἰακὼβ πρὸς Ἰωσήφ· Ὀἶδα, τέκνον,

οἶδα· ἀλλ’ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι‘–καὶ οὗτος δὲ

εὐλογηθήσεται.»

Βλέπετε, ἐπὶ τίνων τέθεικεν, τὸν λαὸν

τοῦτον εἶναι πρῶτον καὶ τῆς διαθήκης κληρονόμον.

Εἰ οὖν ἔτι καὶ διὰ τοῦ Ἀβραὰμ ἐμνήσθη, ἀπέχομεν τὸ

τέλειον τῆς γνώσεως ἡμῶν.
Τί οὖν λέγει τῷ Ἀβραάμ,
ὅτε μόνος πιστεύσας ἐτέθη εἰς δικαιοσύνην; «Ἰδού, τέθεικά
σε, Ἀβραάμ, πατέρα ἐθνῶν τῶν πιστευόντων δι’ ἀκροβυστίας
τῷ θεῷ.»
Ναί. Ἀλλὰ ἴδωμεν εἰ ἡ διαθήκη, ἣν ὤμοσεν τοῖς
πατράσιν δοῦναι τῷ λαῷ, εἰ δέδωκεν, ζητῶμεν.
Δέδω-
κεν· αὐτοὶ δὲ οὐκ ἐγένοντο ἄξιοι λαβεῖν διὰ τὰς ἁμαρτίας
αὐτῶν.
Λέγει γὰρ ὁ προφήτης· «Καὶ ἦν Μωϋσῆς
νηστεύων ἐν ὄρει Σινᾶ, τοῦ λαβεῖν τὴν διαθήκην κυρίου πρὸς
τὸν λαόν, ἡμέρας τεσσαράκοντα καὶ νύκτας τεσσαράκοντα.
Καὶ ἔλαβεν Μωϋσῆς παρὰ κυρίου τὰς δύο πλάκας
γεγραμμένας τῷ δακτύλῳ τῆς χειρὸς κυρίου ἐν πνεύματι·
καὶ λαβὼν Μωϋσῆς κατέφερεν πρὸς τὸν λαὸν δοῦναι.
Καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν· ‘Μωϋσῆ Μωϋσῆ, κατά-
βηθι τὸ τάχος, ὅτι ὁ λαός σου, ὃν ἐξήγαγες ἐκ γῆς Αἰγύπτου,
ἠνόμησεν.’
Καὶ συνῆκεν Μωϋσῆς, ὅτι ἐποίησαν ἑαυτοῖς
πάλιν χωνεύματα, καὶ ἔρριψεν ἐκ τῶν χειρῶν τὰς πλάκας, καὶ
συνετρίβησαν αἱ πλάκες τῆς διαθήκης κυρίου.»
Μωϋ-
σῆς μὲν ἔλαβεν, αὐτοὶ δὲ οὐκ ἐγένοντο ἄξιοι.
Πῶς δὲ ἡμεῖς ἐλάβομεν, μάθετε.
Μωϋσῆς θερά-
πων ὧν ἔλαβεν, αὐτὸς δὲ ὁ κύριος ἡμῖν ἔδωκεν εἰς λαὸν κληρο-
νομίας, δι’ ἡμᾶς ὑπομείνας.
Ἐφανερώθη δέ, ἵνα κἀκεῖνοι

τελειωθῶσιν τοῖς ἁμαρτήμασιν, καὶ ἡμεῖς δι' αὐτοῦ κληρονο-
μοῦντος διαθήκην κυρίου Ἰησοῦ λάβωμεν– ὃς εἰς
τοῦτο ἡτοιμάσθη, ἵνα αὐτὸς φανείς, τὰς ἤδη δεδαπανημένας
ἡμῶν καρδίας τῷ θανάτῳ καὶ παραδεδομένας τῇ τῆς πλάνης
ἀνομίᾳ λυτρωσάμενος ἐκ τοῦ σκότους, διάθηται ἐν ἡμῖν διαθή
κην λόγῳ.

Γέγραπται γάρ, πῶς αὐτῷ ὁ πατὴρ ἐντέλλε-
ται, λυτρωσάμενον ἡμᾶς ἐκ τοῦ σκότους ἑτοιμάσαι ἑαυτῷ λαὸν
ἅγιον.

Λέγει οὖν ὁ προφήτης· «Ἐγὼ κύριος ὁ θεός σου
ἐκάλεσά σε ἐν δικαιοσύνῃ καὶ κρατήσω τῆς χειρός σου καὶ
ἰσχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν,
ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδη-
μένους καὶ ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει.»

Γινώσκετε οὖν πόθεν ἐλυτρώθημεν.

Πάλιν ὁ προφήτης λέγει· «Ἰδού, τέθεικά σε εἰς φῶς ἐθνῶν, τοῦ εἶναι εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς· οὕτως λέγει κύριος ὁ λυτρωσάμενός
σε θεός.»

Καὶ πάλιν ὁ προφήτης λέγει· «Πνεῦμα κυρίου ἐπ' ἐμέ, οὗ εἵνεκεν ἔχρισέν με εὐαγγελίσασθαι ταπεινοῖς χάριν, ἀπέσταλκέν με ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενθοῦντας.»

Ἔτι οὖν καὶ περὶ τοῦ σαββάτου, γέγραπται ἐν τοῖς δέκα λόγοις, ἐν οἷς ἐλάλησεν ἐν τῷ ὄρει Σινᾶ πρὸς Μωϋσῆν κατὰ πρόσωπον· «Καὶ ἁγιάσατε τὸ σάββατον κυρίου χερσὶν καθαραῖς καὶ καρδίᾳ καθαρᾷ.»

Καὶ ἐν ἑτέρῳ λέγει· «Ἐὰν φυλάξωσιν οἱ υἱοί μου τὸ σάββατον, τότε ἐπιθήσω τὸ ἔλεός μου ἐπ' αὐτούς.»

Τὸ «σάββατον» λέγει ἐν ἀρχῇ τῆς κτίσεως· «Καὶ ἐποίησεν ὁ θεὸς ἐν ἓξ ἡμέραις τὰ ἔργα τῶν χειρῶν αὐτοῦ, καὶ συνετέλεσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ κατέπαυσεν ἐν αὐτῇ καὶ ἡγίασεν αὐτήν.»

Προσέχετε, τέκνα, τί λέγει τὸ «συνετέλεσεν ἐν ἓξ ἡμέραις.»

Τοῦτο λέγει, ὅτι ἐν ἑξακισχιλίοις ἔτεσιν συντελέσει κύριος τὰ σύμπαντα· ἡ γὰρ ἡμέρα παρ' αὐτῷ σημαίνει χίλια ἔτη.

Αὐτὸς δέ μοι

μαρτυρεῖ λέγων· «Ἰδού, ἡμέρα κυρίου ἔσται ὡς χίλια ἔτη.»

Οὐκοῦν, τέκνα, «ἐν ἓξ ἡμέραις», ἐν τοῖς ἑξακισχιλίοις

ἔτεσιν, συντελεσθήσεται τὰ σύμπαντα.

«Καὶ κατέπαυσεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ.»

Τοῦτο λέγει· ὅταν ἐλθὼν ὁ υἱὸς αὐτοῦ καταργήσει τὸν καιρὸν τοῦ ἀνόμου καὶ κρινεῖ τοὺς

ἀσεβεῖς καὶ ἀλλάξει τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς

ἀστέρας, τότε καλῶς καταπαύσεται ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ.

Πέρας γέ τοι λέγει· «Ἁγιάσεις αὐτὴν χερσὶν καθαραῖς καὶ καρδίᾳ καθαρᾷ.»

Εἰ οὖν ἦν ὁ θεὸς ἡμέραν ἡγίασεν νῦν τις δύναται ἁγιάσαι καθαρὸς ὢν τῇ καρδίᾳ, ἐν πᾶσιν

πεπλανήμεθα.

Εἰ δὲ οὐ <νῦν>, ἄρα τότε καλῶς κατα-

παυόμενος ἁγιάσει αὐτήν, ὅτε δυνησόμεθα αὐτοὶ δικαιωθέντες

καὶ ἀπολαβόντες τὴν ἐπαγγελίαν, μηκέτι οὔσης τῆς ἀνομίας,

καινῶν δὲ γεγονότων πάντων ὑπὸ κυρίου–

τότε δυνη-

σόμεθα αὐτὴν ἁγιάσαι, αὐτοὶ ἁγιασθέντες πρῶτον.

Πέρας γέ τοι λέγει αὐτοῖς· «Τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι.»

Ὁρᾶτε πῶς λέγει· «Οὐ τὰ νῦν σάββατα ἐμοὶ δεκτά, ἀλλὰ ὃ πεποίηκα, ἐν ᾧ κατα-

παύσας τὰ πάντα ἀρχὴν ἡμέρας ὀγδόης ποιήσω, ὅ ἐστιν ἄλλου

κόσμου ἀρχήν.»

Διὸ καὶ ἄγομεν τὴν ἡμέραν τὴν ὀγδόην

εἰς εὐφροσύνην, ἐν ᾗ καὶ ὁ Ἰησοῦς ἀνέστη ἐκ νεκρῶν καὶ

φανερωθεὶς ἀνέβη εἰς οὐρανούς.

Ἔτι δὲ καὶ περὶ τοῦ ναοῦ, ἐρῶ ὑμῖν πῶς πλανώ-

μενοι οἱ ταλαίπωροι εἰς τὴν οἰκοδομὴν ἤλπισαν, καὶ οὐκ ἐπὶ

τὸν θεὸν αὐτῶν τὸν ποιήσαντα αὐτούς, ὡς ὄντα οἶκον θεοῦ.

Σχεδὸν γὰρ ὡς τὰ ἔθνη ἀφιέρωσαν αὐτὸν ἐν τῷ ναῷ.

Ἀλλὰ πῶς λέγει κύριος καταργῶν αὐτόν; μάθετε· «Τίς ἐμέτρησεν τὸν οὐρανὸν σπιθαμῇ ἢ τίς τὴν γῆν δρακί; οὐκ ἐγώ, λέγει κύριος; Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι, ἢ τίς τόπος τῆς καταπαύσεώς μου;»

Ἐγνώκατε, ὅτι ματαία ἡ ἐλπὶς αὐτῶν.

Πέρας γέ τοι πάλιν λέγει· «Ἰδού, οἱ καθελόντες τὸν ναὸν τοῦτον αὐτοὶ αὐτὸν οἰκοδομήσουσιν.»

Γίνεται διὰ γὰρ τὸ πολεμεῖν αὐτοὺς καθῃρέθη ὑπὸ τῶν ἐχθρῶν·

νῦν καὶ αὐτοὶ οἱ τῶν ἐχθρῶν ὑπηρέται ἀνοικοδομήσουσιν

αὐτόν.

Πάλιν ὡς ἔμελλεν ἡ πόλις καὶ ὁ ναὸς καὶ ὁ λαὸς Ἰσραὴλ

παραδίδοσθαι, ἐφανερώθη.

Λέγει γὰρ ἡ γραφή· «Καὶ ἔσται ἐπ’ ἐσχάτων τῶν ἡμερῶν, καὶ παραδώσει κύριος τὰ πρόβατα τῆς νομῆς καὶ τὴν μάνδραν καὶ τὸν πύργον αὐτῶν εἰς

καταφθοράν.»

Καὶ ἐγένετο καθ’ ἃ ἐλάλησεν κύριος.

Ζητήσωμεν δέ, εἰ ἔστιν ναὸς θεοῦ; ἔστιν, ὅπου αὐτὸς

λέγει ποιεῖν καὶ καταρτίζειν.

Γέγραπται γάρ· «Καὶ ἔσται, τῆς ἑβδομάδος συντελουμένης οἰκοδομηθήσεται ναὸς θεοῦ ἐνδόξως ἐπὶ τῷ ὀνόματι κυρίου.»

Εὑρίσκω οὖν, ὅτι ἔστιν ναός.

Πῶς οὖν «οἰκοδομηθήσεται ἐπὶ τῷ ὀνόματι κυρίου»; μάθετε· πρὸ τοῦ ἡμᾶς πιστεῦσαι τῷ θεῷ ἦν

ἡμῶν τὸ κατοικητήριον τῆς καρδίας φθαρτὸν καὶ ἀσθενές, ὡς

ἀληθῶς οἰκοδομητὸς ναὸς διὰ χειρός, ὅτι ἦν πλήρης μὲν
εἰδωλολατρείας καὶ ἦν οἶκος δαιμονίων διὰ τὸ ποιεῖν ὅσα ἦν
ἐναντία τῷ θεῷ.
«Οἰκοδομηθήσεται δὲ ἐπὶ τῷ ὀνόματι
κυρίου«–προσέχετε–ἵνα ὁ ναὸς τοῦ θεοῦ «ἐνδόξως»
οἰκοδομηθῇ.
Πῶς; μάθετε· λαβόντες τὴν ἄφεσιν τῶν ἁμαρτιῶν καὶ ἐλπίσαντες ἐπὶ τὸ ὄνομα ἐγενόμεθα καινοί, πάλιν ἐξ ἀρχῆς κτιζόμενοι· διὸ ἐν τῷ κατοικητηρίῳ ἡμῶν ἀληθῶς ὁ θεὸς κατοικεῖ ἐν ἡμῖν.
Πῶς; ὁ λόγος αὐτοῦ τῆς πίστεως, ἡ κλῆσις αὐτοῦ τῆς ἐπαγγελίας, ἡ σοφία τῶν
δικαιωμάτων, αἱ ἐντολαὶ τῆς διδαχῆς–
αὐτὸς ἐν ἡμῖν
προφητεύων, αὐτὸς ἐν ἡμῖν κατοικῶν, τοὺς τῷ θανάτῳ δεδου-
λωμένους ἀνοίγων ἡμῖν τὴν θύραν τοῦ ναοῦ, ὅ ἐστιν στόμα,
μετάνοιαν διδοὺς ἡμῖν, εἰσάγει εἰς τὸν ἄφθαρτον ναόν.
Ὁ γὰρ ποθῶν σωθῆναι βλέπει οὐκ εἰς τὸν ἄνθρωπον,
ἀλλ’ εἰς τὸν ἐν αὐτῷ κατοικοῦντα καὶ λαλοῦντα, ἐπ’ αὐτῷ
ἐκπλησσόμενος, ἐπὶ τῷ μηδέποτε μήτε τοῦ λέγοντος τὰ
·»ματα ἀκηκοέναι ἐκ τοῦ στόματος μήτε αὐτός ποτε ἐπιτε-
θυμηκέναι ἀκούειν.
Τουτέστιν πνευματικὸς ναὸς οἰκοδομούμενος τῷ κυρίῳ.
Ἐφ’ ὅσον ἦν ἐν δυνατῷ καὶ ἁπλότητι δηλῶσαι
ὑμῖν, ἐλπίζει μου ἡ ψυχὴ μὴ παραλελοιπέναι τι.
Ἐὰν γὰρ
περὶ τῶν ἐνεστώτων ἢ μελλόντων γράφω ὑμῖν, οὐ μὴ νοήσητε
διὰ τὸ ἐν παραβολαῖς κεῖσθαι.
Ταῦτα μὲν οὕτως· μεταβῶμεν δὲ καὶ ἐπὶ ἑτέραν
γνῶσιν καὶ διδαχήν.
Ὁδοὶ δύο εἰσὶν διδαχῆς καὶ ἐξουσίας, ἥ τε τοῦ φωτὸς

καὶ ἡ τοῦ σκότους· διαφορὰ δὲ πολλὴ τῶν δύο ὁδῶν.

Ἐφ’ ἧς μὲν γάρ εἰσιν τεταγμένοι φωταγωγοὶ ἄγγελοι τοῦ θεοῦ, ἐφ’ ἧς δὲ ἄγγελοι τοῦ σατανᾶ.

Καὶ ὁ μέν ἐστιν κύριος ἀπ’ αἰώνων καὶ εἰς τοὺς αἰῶνας, ὁ δὲ ἄρχων καιροῦ τοῦ νῦν τῆς ἀνομίας.

Ἡ οὖν ὁδὸς τοῦ φωτός ἐστιν αὕτη–ἐάν τις θέλων ὁδὸν ὁδεύειν ἐπὶ τὸν ὡρισμένον τόπον, σπεύσῃ τοῖς ἔργοις αὐτοῦ.

Ἔστιν οὖν ἡ δοθεῖσα ἡμῖν γνῶσις τοῦ περιπατεῖν ἐν αὐτῇ τοιαύτη· Ἀγαπήσεις τόν σε ποιήσαντα, φοβηθήσῃ τόν σε πλάσαντα, δοξάσεις τόν σε λυτρωσάμενον ἐκ θανάτου.

Ἔσῃ ἁπλοῦς τῇ καρδίᾳ καὶ πλούσιος τῷ πνεύματι.

Οὐ κολληθήσῃ μετὰ τῶν πορευομένων ἐν ὁδῷ θανάτου.

Μισήσεις πᾶν ὃ οὐκ ἔστιν ἀρεστὸν τῷ θεῷ.

Μισήσεις πᾶσαν ὑπόκρισιν.

Οὐ μὴ ἐγκαταλίπῃς ἐντολὰς κυρίου.

Οὐχ ὑψώσεις σεαυτόν, ἔσῃ δὲ ταπεινόφρων κατὰ πάντα.

Οὐκ ἀρεῖς ἐπὶ σεαυτὸν δόξαν, οὐ λήμψῃ βουλὴν πονηρὰν κατὰ τοῦ πλησίον σου,

οὐ δώσεις τῇ ψυχῇ σου θράσος.

Οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις.

Οὐ μή σου ὁ λόγος τοῦ θεοῦ ἐξέλθῃ ἐν ἀκαθαρσίᾳ τινῶν.

Οὐ λήμψῃ πρόσωπον ἐλέγξαι τινὰ ἐπὶ παραπτώματι.

Ἔσῃ πραΰς, ἔσῃ ἡσύχιος, ἔσῃ τρέμων τοὺς λόγους οὓς ἤκουσας.

Οὐ μὴ μνησικακήσεις τῷ ἀδελφῷ σου.

Οὐ μὴ διψυχήσῃς πότερον ἔσται ἢ οὔ.

Οὐ μὴ λάβῃς ἐπὶ ματαίῳ τὸ ὄνομα κυρίου.

Ἀγαπήσεις τὸν πλησίον σου ὑπὲρ τὴν ψυχήν σου.

Οὐ φονεύσεις τέκνον ἐν φθορᾷ, οὐδὲ πάλιν γεννηθὲν ἀνελεῖς.

Οὐ μὴ ἄρῃς τὴν χεῖρά σου ἀπὸ τοῦ υἱοῦ σου ἢ ἀπὸ τῆς θυγατρός σου,

ἀλλὰ ἀπὸ νεότητος διδάξεις φόβον κυρίου.

Οὐ μὴ γένῃ ἐπιθυμῶν τὰ τοῦ πλησίον σου.

Οὐ μὴ γένῃ πλεονέκτης,

οὐδὲ κολληθήσῃ ἐκ ψυχῆς σου μετὰ ὑψηλῶν,

ἀλλὰ μετὰ δικαίων καὶ ταπεινῶν ἀναστραφήσῃ.

Τὰ συμβαίνοντά σοι ἐνεργήματα ὡς ἀγαθὰ προσδέξῃ,

εἰδὼς ὅτι ἄνευ θεοῦ οὐδὲν γίνεται.

Οὐκ ἔσῃ διγνώμων οὐδὲ δίγλωσσος·

παγὶς γὰρ θανάτου ἐστὶν ἡ διγλωσσία.

Ὑποταγήσῃ κυρίοις ὡς τύπῳ θεοῦ ἐν αἰσχύνῃ καὶ φόβῳ.

Οὐ μὴ ἐπιτάξῃς δούλῳ σου ἢ παιδίσκῃ ἐν πικρίᾳ, τοῖς ἐπὶ τὸν αὐτὸν θεὸν ἐλπίζουσιν, μή ποτε οὐ φοβηθῶσιν τὸν ἐπ’ ἀμφοτέροις θεόν· ὅτι ἦλθεν οὐ κατὰ πρόσωπον καλέσαι, ἀλλ’ ἐφ’ οὓς τὸ πνεῦμα ἡτοίμασεν.

Κοινωνήσεις ἐν πᾶσιν τῷ πλησίον σου καὶ οὐκ ἐρεῖς ἴδια εἶναι· εἰ γὰρ ἐν τῷ ἀφθάρτῳ κοινωνοί ἐστε, πόσῳ μᾶλλον ἐν τοῖς φθαρτοῖς;

Οὐκ ἔσῃ πρόγλωσσος, παγὶς γὰρ στόμα θανάτου.

Ὅσον δύνασαι, ὑπὲρ τῆς ψυχῆς σου ἁγνεύσεις.

Μὴ γίνου πρὸς μὲν τὸ λαβεῖν ἐκτείνων τὰς χεῖρας, πρὸς δὲ τὸ δοῦναι συσπῶν.

Ἀγαπήσεις ὡς κόρην ὀφθαλμοῦ σου πάντα τὸν λαλοῦντα σοι τὸν λόγον κυρίου.

Μνησθήσῃ ἡμέραν κρίσεως νυκτὸς καὶ ἡμέρας,

καὶ ἐκζητήσεις καθ’ ἑκάστην ἡμέραν,

ἢ διὰ λόγου κοπιῶν καὶ πορευόμενος εἰς τὸ παρακαλέσαι

καὶ μελετῶν εἰς τὸ σῶσαι ψυχὴν τῷ λόγῳ,

ἢ διὰ τῶν χειρῶν σου ἐργάσῃ εἰς λύτρον ἁμαρτιῶν σου.

Οὐ διστάσεις δοῦναι οὐδὲ διδοὺς γογγύσεις,

γνώσῃ δὲ τίς ὁ τοῦ μισθοῦ καλὸς ἀνταποδότης.

Φυλάξεις ἃ παρέλαβες, μήτε προστιθεὶς μήτε ἀφαιρῶν.

Εἰς τέλος μισήσεις τὸ πονηρόν.

Κρινεῖς δικαίως.

Οὐ ποιήσεις σχίσμα, εἰρηνεύσεις δὲ μαχομένους συναγαγών.

Ἐξομολογήσῃ ἐπὶ ἁμαρτίαις σου.

Οὐ προσήξεις ἐπὶ προσευχὴν ἐν συνειδήσει πονηρᾷ.

Ἡ δὲ τοῦ μέλανος ὁδός ἐστιν σκολιὰ καὶ κατάρας μεστή.

Ὅλως γάρ ἐστιν ὁδὸς θανάτου αἰωνίου

μετὰ τιμωρίας, ἐν ᾗ ἐστὶν τὰ ἀπολλύντα τὴν ψυχὴν αὐτῶν·

εἰδωλολατρεία, θρασύτης, ὕψος δυνάμεως, ὑπόκρισις,

διπλοκαρδία, μοιχεία, φόνος, ἁρπαγή, ὑπερηφανία, παρά-

βασις, δόλος, κακία, αὐθάδεια, φαρμακεία, μαγεία, πλεονεξία,

ἀφοβία θεοῦ.

Διῶκται τῶν ἀγαθῶν,

μισοῦντες ἀλήθειαν,

ἀγαπῶντες ψεῦδος,

οὐ γινώσκοντες μισθὸν δικαιοσύνης,

οὐ κολλώμενοι ἀγαθῷ,

οὐ κρίσει δικαίᾳ, χήρᾳ καὶ ὀρφανῷ οὐ προσέχοντες, ἀγρυπνοῦντες οὐκ εἰς φόβον θεοῦ, ἀλλ’ ἐπὶ τὸ πονηρόν– ὧν μακρὰν καὶ πόρρω πραΰτης καὶ ὑπομονή ἀγαπῶντες μάταια, διώκοντες ἀνταπόδομα, οὐκ ἐλεοῦντες πτωχόν,

οὐ πονοῦντες ἐπὶ καταπονουμένῳ, εὐχερεῖς ἐν καταλαλιᾷ, οὐ γινώσκοντες τὸν ποιήσαντα αὐτούς, φονεῖς τέκνων, φθορεῖς πλάσματος θεοῦ,

ἀποστρεφόμενοι τὸν ἐνδεόμενον, καταπονοῦντες τὸν θλιβόμενον,

πλουσίων παράκλητοι, πενήτων ἄνομοι κριταί– πανταμάρτητοι.

Καλὸν οὖν ἐστίν, μαθόντα τὰ δικαιώματα τοῦ

κυρίου, ὅσα γέγραπται, ἐν τούτοις περιπατεῖν.

Ὁ γὰρ

ταῦτα ποιῶν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ δοξασθήσεται· ὁ ἐκεῖνα

ἐκλεγόμενος μετὰ τῶν ἔργων αὐτοῦ συναπολεῖται.
Διὰ
τοῦτο ἀνάστασις, διὰ τοῦτο ἀνταπόδομα.
Ἐρωτῶ τοὺς ὑπερέχοντας–εἴ τινά μου γνώμης ἀγαθῆς
λαμβάνετε συμβουλίαν–ἔχετε μεθ' ἑαυτῶν εἰς οὓς ἐργάσεσθε
τὸ καλόν· μὴ ἐλλείπητε.
Ἐγγὺς ἡ ἡμέρα, ἐν ᾗ συνα-
πολεῖται πάντα τῷ πονηρῷ· ἐγγὺς ὁ κύριος καὶ ὁ μισθὸς
αὐτοῦ.
Ἔτι καὶ ἔτι ἐρωτῶ ὑμᾶς· ἑαυτῶν γίνεσθε νομοθέται
ἀγαθοί, ἑαυτῶν μένετε σύμβουλοι πιστοί, ἄρατε ἐξ ὑμῶν
πᾶσαν ὑπόκρισιν.
Ὁ δὲ θεός, ὁ τοῦ παντὸς κόσμου
κυριεύων, δώῃ ὑμῖν σοφίαν, σύνεσιν, ἐπιστήμην, γνῶσιν τῶν
δικαιωμάτων αὐτοῦ, ὑπομονήν.
Γίνεσθε δὲ θεοδίδακτοι, ἐκζητοῦντες τί ζητεῖ κύριος
ἀφ' ὑμῶν, καὶ ποιεῖτε, ἵνα εὕρητε ἐν ἡμέρᾳ κρίσεως.
Εἰ δέ τίς ἐστιν ἀγαθοῦ μνεία, μνημονεύετέ μου μελετῶντες
ταῦτα, ἵνα καὶ ἡ ἐπιθυμία καὶ ἡ ἀγρυπνία εἴς τι ἀγαθὸν
χωρήσῃ.
Ἐρωτῶ ὑμᾶς, χάριν αἰτούμενος, ἕως ἔτι τὸ καλὸν σκεῦός
ἐστιν μεθ' ὑμῶν, μὴ ἐλλείπητε μηδενὶ αὐτῶν, ἀλλὰ συνεχῶς
ἐκζητεῖτε ταῦτα καὶ ἀναπληροῦτε πᾶσαν ἐντολήν–ἔστιν
γὰρ ἄξια.
Διὸ μᾶλλον ἐσπούδασα γράψαι ἀφ' ὧν
ἠδυνήθην.
Σώζεσθε, ἀγάπης τέκνα καὶ εἰρήνης.
Ὁ κύριος
τῆς δόξης καὶ πάσης χάριτος μετὰ τοῦ πνεύματος ὑμῶν. Ἀμήν.

ΠΟΙΜΗΝ ΕΡΜΑ

Ὁ θρέψας με πέπρακέν με Ῥόδῃ τινὶ εἰς Ῥώμην· μετὰ πολλὰ ἔτη ταύτην
ἀνεγνωρισάμην καὶ ἠρξάμην αὐτὴν ἀγαπᾶν ὡς ἀδελφήν. μετὰ χρόνον τινὰ
λουομένην εἰς τὸν ποταμὸν τὸν Τίβεριν εἶδον καὶ ἐπέδωκα αὐτῇ τὴν
χεῖρα καὶ ἐξήγαγον αὐτὴν ἐκ τοῦ ποταμοῦ. ταύτης οὖν ἰδὼν τὸ
κάλλος διελογιζόμην ἐν τῇ καρδίᾳ μου λέγων· Μακάριος ἤμην εἰ
τοιαύτην γυναῖκα εἶχον καὶ τῷ κάλλει καὶ τῷ τρόπῳ. μόνον τοῦτο
ἐβουλευσάμην, ἕτερον δὲ οὐδέν. μετὰ χρόνον τινὰ πορευομένου μου
εἰς Κούμας καὶ δοξάζοντος τὰς κτίσεις τοῦ θεοῦ, ὡς μεγάλαι καὶ
ἐκπρεπεῖς καὶ δυναταί εἰσιν, περιπατῶν ἀφύπνωσα. καὶ πνεῦμά με
ἔλαβεν καὶ ἀπήνεγκέν με δι' ἀνοδίας τινός, δι' ἧς ἄνθρωπος οὐκ
ἐδύνατο ὁδεῦσαι· ἦν δὲ ὁ τόπος κρημνώδης καὶ ἀπερρηγὼς ἀπὸ τῶν
ὑδάτων. διαβὰς οὖν τὸν ποταμὸν ἐκεῖνον ἦλθον εἰς τὰ ὁμαλά, καὶ
τιθῶ τὰ γόνατα καὶ ἠρξάμην προσεύχεσθαι τῷ κυρίῳ καὶ
ἐξομολογεῖσθαί μου τὰς ἁμαρτίας.
προσευχομένου δέ μου ἠνοίγη ὁ οὐρανός, καὶ βλέπω τὴν γυναῖκα ἐκείνην ἣν
ἐπεθύμησα ἀσπαζομένην με ἐκ τοῦ οὐρανοῦ, λέγουσαν· Ἑρμᾶ, χαῖρε.
βλέψας δὲ εἰς αὐτὴν λέγω αὐτῇ· Κυρία, τί σὺ ὧδε ποιεῖς; ἡ δὲ ἀπεκρίθη μοι·
Ἀνελήμφθην ἵνα σου τὰς ἁμαρτίας ἐλέγξω πρὸς τὸν κύριον. λέγω αὐτῇ·
Νῦν σύ μου ἔλεγχος εἶ; Οὔ, φησίν, ἀλλὰ ἄκουσον τὰ ·»ματα ἅ σοι μέλλω
λέγειν. ὁ θεὸς ὁ ἐν τοῖς οὐρανοῖς κατοικῶν καὶ κτίσας ἐκ τοῦ μὴ ὄντος τὰ
ὄντα καὶ πληθύνας καὶ αὐξήσας ἕνεκεν τῆς ἁγίας ἐκκλησίας αὐτοῦ ὀργίζεταί
σοι ὅτι ἥμαρτες εἰς ἐμέ. ἀποκριθεὶς αὐτῇ λέγω· Εἰς σὲ ἥμαρτον; ποίῳ
τρόπῳ; ἢ πότε σοι αἰσχρὸν ῥῆμα ἐλάλησα; οὐ πάντοτέ σε ὡς θεὰν ἡγησά-
μην; οὐ πάντοτέ σε ἐνετράπην ὡς ἀδελφήν; τί μου καταψεύδῃ, ὦ γύναι, τὰ
πονηρὰ ταῦτα καὶ ἀκάθαρτα; γελάσασά μοι λέγει· Ἐπὶ τὴν καρδίαν σου

ἀνέβη ἡ ἐπιθυμία τῆς πονηρίας. ἢ οὐ δοκεῖ σοι ἀνδρὶ δικαίῳ πονηρὸν πρᾶγμα
εἶναι ἐὰν ἀναβῇ αὐτοῦ ἐπὶ τὴν καρδίαν ἡ πονηρὰ ἐπιθυμία; ἁμαρτία γέ ἐστιν
καὶ μεγάλη, φησίν. ὁ γὰρ δίκαιος ἀνὴρ δίκαια βουλεύεται. ἐν τῷ οὖν δίκαια
βουλεύεσθαι αὐτὸν κατορθοῦται ἡ δόξα αὐτοῦ ἐν τοῖς οὐρανοῖς καὶ εὐ-
κατάλλακτον ἔχει τὸν κύριον ἐν παντὶ πράγματι αὐτοῦ. οἱ δὲ πονηρὰ βου-
λευόμενοι ἐν ταῖς καρδίαις αὐτῶν θάνατον καὶ αἰχμαλωτισμὸν ἑαυτοῖς
ἐπισπῶνται, μάλιστα οἱ τὸν αἰῶνα τοῦτον περιποιούμενοι καὶ γαυριῶντες
ἐν τῷ πλούτῳ αὐτῶν καὶ μὴ ἀντεχόμενοι τῶν ἀγαθῶν τῶν μελλόντων. μετα-
νοήσουσιν αἱ ψυχαὶ αὐτῶν, οἵτινες οὐκ ἔχουσιν ἐλπίδα, ἀλλὰ ἑαυτοὺς ἀπε-
γνώκασιν καὶ τὴν ζωὴν αὐτῶν. ἀλλὰ σὺ προσεύχου πρὸς τὸν θεόν, καὶ
ἰάσεται τὰ ἁμαρτήματά σου καὶ ὅλου τοῦ οἴκου σου καὶ πάντων τῶν ἁγίων.

Μετὰ τὸ λαλῆσαι αὐτὴν τὰ ·»ματα ταῦτα ἐκλείσθησαν οἱ οὐρανοί· κἀγὼ
ὅλος ἤμην πεφρικὼς καὶ λυπούμενος. ἔλεγον δὲ ἐν ἐμαυτῷ· Εἰ αὕτη μοι ἡ
ἁμαρτία ἀναγράφεται, πῶς δυνήσομαι σωθῆναι; ἢ πῶς ἐξιλάσομαι τὸν θεὸν
περὶ τῶν ἁμαρτιῶν μου τῶν τελείων; ἢ ποίοις ·»μασιν ἐρωτήσω τὸν κύριον
ἵνα ἱλατεύσηταί μοι; ταῦτά μου συμβουλευομένου καὶ διακρίνοντος ἐν τῇ
καρδίᾳ μου βλέπω κατέναντί μου καθέδραν λευκὴν ἐξ ἐρίων χιονίνων γεγο-
νυῖαν μεγάλην· καὶ ἦλθεν γυνὴ πρεσβῦτις ἐν ἱματισμῷ λαμπροτάτῳ, ἔχουσα
βιβλίον εἰς τὰς χεῖρας, καὶ ἐκάθισεν μόνη καὶ ἀσπάζεταί με· Ἑρμᾶ, χαῖρε.
κἀγὼ λυπούμενος καὶ κλαίων εἶπον· Κυρία, χαῖρε. καὶ εἶπέν μοι· Τί
στυγνός, Ἑρμᾶ; ὁ μακρόθυμος, ὁ ἀστομάχητος, ὁ πάντοτε γελῶν, τί οὕτως
κατηφὴς τῇ ἰδέᾳ καὶ οὐχ ἱλαρός; κἀγὼ εἶπον αὐτῇ· Ὑπὸ γυναικὸς ἀγα-

θωτάτης λεγούσης μοι ὅτι ἥμαρτον εἰς αὐτήν. ἡ δὲ ἔφη· Μηδαμῶς ἐπὶ τὸν δοῦλον τοῦ θεοῦ τὸ πρᾶγμα τοῦτο. ἀλλὰ πάντως ἐπὶ τὴν καρδίαν σου
ἀνέβη περὶ αὐτῆς. ἔστιν μὲν τοῖς δούλοις τοῦ θεοῦ ἡ τοιαύτη βουλὴ ἁμαρτίαν
ἐπιφέρουσα· πονηρὰ γὰρ βουλὴ καὶ ἔκπληκτος εἰς πάνσεμνον πνεῦμα καὶ
ἤδη δεδοκιμασμένον, ἐὰν ἐπιθυμήσῃ πονηρὸν ἔργον, καὶ μάλιστα Ἑρμᾶς ὁ
ἐγκρατής, ὁ ἀπεχόμενος πάσης ἐπιθυμίας πονηρᾶς καὶ πλήρης πάσης ἁπλό-
τητος καὶ ἀκακίας μεγάλης.

Ἀλλ' οὐχ ἕνεκα τούτου σοι ὀργίζεται ὁ θεός, ἀλλ' ἵνα τὸν οἶκόν σου τὸν
ἀνομήσαντα εἰς τὸν κύριον καὶ εἰς ὑμᾶς τοὺς γονεῖς αὐτῶν ἐπιστρέψῃς. ἀλλὰ
φιλότεκνος ὢν οὐκ ἐνουθέτεις σου τὸν οἶκον, ἀλλὰ ἀφῆκες αὐτὸν κατα-
φθαρῆναι· διὰ τοῦτο ὀργίζεταί σοι ὁ κύριος· ἀλλὰ ἰάσεταί σου πάντα τὰ
προγεγονότα πονηρὰ ἐν τῷ οἴκῳ σου· διὰ γὰρ τὰς ἐκείνων ἁμαρτίας καὶ
ἀνομήματα σὺ κατεφθάρης ἀπὸ τῶν βιωτικῶν πράξεων. ἀλλ' ἡ πολυ-
σπλαγχνία τοῦ κυρίου ἠλέησέν σε καὶ τὸν οἶκόν σου καὶ ἰσχυροποιήσει σε καὶ
θεμελιώσει σε ἐν τῇ δόξῃ αὐτοῦ. σὺ μόνον μὴ ·αθυμήσῃς, ἀλλὰ εὐψύχει καὶ
ἰσχυροποίει σου τὸν οἶκον. ὡς γὰρ ὁ χαλκεὺς σφυροκοπῶν τὸ ἔργον αὐτοῦ
περιγίνεται τοῦ πράγματος οὗ θέλει, οὕτω καὶ ὁ λόγος ὁ καθημερινὸς ὁ
δίκαιος περιγίνεται πάσης πονηρίας. μὴ διαλίπῃς οὖν νουθετῶν σου τὰ
τέκνα· οἶδα γὰρ ὅτι ἐὰν μετανοήσουσιν ἐξ ὅλης καρδίας αὐτῶν, ἐνγραφή-
σονται εἰς τὰς βίβλους τῆς ζωῆς μετὰ τῶν ἁγίων. μετὰ τὸ παῆναι αὐτῆς
τὰ ·»ματα ταῦτα λέγει μοι· Θέλεις ἀκοῦσαί μου ἀναγινωσκούσης; λέγω
κἀγώ· Θέλω, κυρία. λέγει μοι· Γενοῦ ἀκροατὴς καὶ ἄκουε τὰς δόξας τοῦ

θεοῦ. ἤκουσα μεγάλως καὶ θαυμαστῶς ὃ οὐκ ἴσχυσα μνημονεῦσαι· πάντα
γὰρ τὰ ·»ματα ἔκφρικτα, ἃ οὐ δύναται ἄνθρωπος βαστάσαι. τὰ οὖν ἔσχατα
·»ματα ἐμνημόνευσα· ἦν γὰρ ἡμῖν σύμφορα καὶ ἥμερα· Ἰδοὺ ὁ θεὸς τῶν
δυνάμεων, ὁ ἀοράτῳ δυνάμει καὶ κραταιᾷ καὶ τῇ μεγάλῃ συνέσει
αὐτοῦ κτίσας τὸν κόσμον καὶ τῇ ἐνδόξῳ βουλῇ περιθεὶς τὴν
εὐπρέπειαν τῇ κτίσει αὐτοῦ, καὶ τῷ ἰσχυρῷ ·»ματι πήξας τὸν οὐρανὸν
καὶ θεμελιώσας τὴν γῆν ἐπὶ ὑδάτων καὶ τῇ ἰδίᾳ σοφίᾳ καὶ προνοίᾳ
κτίσας τὴν ἁγίαν ἐκκλησίαν αὐτοῦ, ἣν καὶ ηὐλόγησεν, ἰδοὺ
μεθιστάνει τοὺς οὐρανοὺς καὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς καὶ τὰς
θαλάσσας, καὶ πάντα ὁμαλὰ γίνεται τοῖς ἐκλεκτοῖς αὐτοῦ, ἵνα ἀποδοῖ
αὐτοῖς τὴν ἐπαγγελίαν, ἣν ἐπηγγείλατο, μετὰ πολλῆς δόξης καὶ
χαρᾶς, ἐὰν τηρήσωσιν τὰ νόμιμα τοῦ θεοῦ ἃ παρέλαβον ἐν μεγάλῃ πίστει.

Ὅτε οὖν ἐτέλεσεν ἀναγινώσκουσα καὶ ἠγέρθη ἀπὸ τῆς καθέδρας, ἦλθαν
τέσσαρες νεανίαι καὶ ἦραν τὴν καθέδραν καὶ ἀπῆλθον πρὸς τὴν ἀνατολήν.
προσκαλεῖται δέ με καὶ ἥψατο τοῦ στήθους μου καὶ λέγει μοι· Ἤρεσέν σοι
ἡ ἀνάγνωσίς μου; καὶ λέγω αὐτῇ· Κυρία, ταῦτά μοι τὰ ἔσχατα ἀρέσκει,
τὰ δὲ πρότερα χαλεπὰ καὶ σκληρά. ἡ δὲ ἔφη μοι λέγουσα· Ταῦτα τὰ ἔσχατα
τοῖς δικαίοις, τὰ δὲ πρῶτα τοῖς ἔθνεσιν καὶ τοῖς ἀποστάταις. λαλούσης αὐ-
τῆς μετ' ἐμοῦ δύο τινὲς ἄνδρες ἐφάνησαν καὶ ἦραν αὐτὴν τῶν ἀγκώνων καὶ
ἀπῆλθαν, ὅπου καὶ ἡ καθέδρα, πρὸς τὴν ἀνατολήν. ἱλαρὰ δὲ ἀπῆλθεν καὶ
ὑπάγουσα λέγει μοι· Ἀνδρίζου, Ἑρμᾶ.

Ὅρασις β

Πορευομένου μου εἰς Κούμας κατὰ τὸν καιρὸν ὃν καὶ πέρυσι, περιπατῶν
ἀνεμνήσθην τῆς περυσινῆς ὁράσεως, καὶ πάλιν με αἴρει πνεῦμα καὶ ἀπο-

φέρει εἰς τὸν αὐτὸν τόπον ὅπου καὶ πέρυσι. ἐλθὼν οὖν εἰς τὸν τόπον τιθῶ
τὰ γόνατα καὶ ἠρξάμην προσεύχεσθαι τῷ κυρίῳ καὶ δοξάζειν αὐτοῦ τὸ ὄνομα,
ὅτι με ἄξιον ἡγήσατο καὶ ἐγνώρισέν μοι τὰς ἁμαρτίας μου τὰς πρότερον.
μετὰ δὲ τὸ ἐγερθῆναί με ἀπὸ τῆς προσευχῆς βλέπω ἀπέναντί μου τὴν πρεσ-
βυτέραν ἣν καὶ πέρυσιν ἑωράκειν, περιπατοῦσαν καὶ ἀναγινώκουσαν βιβλα-
ρίδιον. καὶ λέγει μοι· Δύνῃ ταῦτα τοῖς ἐκλεκτοῖς τοῦ θεοῦ ἀναγγεῖλαι;
λέγω αὐτῇ· Κυρία, τοσαῦτα μνημονεῦσαι οὐ δύναμαι· δὸς δέ μοι τὸ βι-
βλίδιον ἵνα μεταγράψωμαι αὐτό. Λάβε, φησίν, καὶ ἀποδώσεις μοι. ἔλα-
βον ἐγώ, καὶ εἴς τινα τόπον τοῦ ἀγροῦ ἀναχωρήσας μετεγραψάμην πάντα
πρὸς γράμμα· οὐχ ηὕρισκον γὰρ τὰς συλλαβάς. τελέσαντος οὖν τὰ γράμ-
ματα τοῦ βιβλιδίου ἐξαίφνης ἡρπάγη μου ἐκ τῆς χειρὸς τὸ βιβλίδιον· ὑπὸ
τίνος δὲ οὐκ εἶδον.

Μετὰ δὲ δέκα καὶ πέντε ἡμέρας νηστεύσαντός μου καὶ πολλὰ ἐρωτήσαν-
τος τὸν κύριον ἀπεκαλύφθη μοι ἡ γνῶσις τῆς γραφῆς. ἦν δὲ γεγραμμένα
ταῦτα· Τὸ σπέρμα σου, Ἑρμᾶ, ἠθέτησαν εἰς τὸν θεὸν καὶ ἐβλασφή-
μησαν εἰς τὸν κύριον καὶ προέδωκαν τοὺς γονεῖς αὐτῶν ἐν πονηρίᾳ μεγάλῃ
καὶ ἤκουσαν προδόται γονέων καὶ προδόντες οὐκ ὠφελήθησαν, ἀλλὰ ἔτι
προσέθηκαν ταῖς ἁμαρτίαις αὐτῶν τὰς ἀσελγείας καὶ συμφυρμοὺς πονη-
ρίας, καὶ οὕτως ἐπλήσθησαν αἱ ἀνομίαι αὐτῶν. ἀλλὰ γνώρισον ταῦτα
τὰ ·»ματα τοῖς τέκνοις σου πᾶσιν καὶ τῇ συμβίῳ σου τῇ μελλούσῃ σου
ἀδελφῇ· καὶ γὰρ αὕτη οὐκ ἀπέχεται τῆς γλώσσης, ἐν ᾗ πονηρεύεται· ἀλλὰ
ἀκούσασα τὰ ·»ματα ταῦτα ἀφέξεται καὶ ἕξει ἔλεος. μετὰ τὸ γνωρίσαι
σε ταῦτα τὰ ·»ματα αὐτοῖς ἃ ἐνετείλατό μοι ὁ δεσπότης ἵνα σοι ἀποκα-
λυφθῇ, τότε ἀφίενται αὐτοῖς αἱ ἁμαρτίαι πᾶσαι ἃς πρότερον ἥμαρτον,

καὶ πᾶσιν τοῖς ἁγίοις τοῖς ἁμαρτήσασι μέχρι ταύτης τῆς ἡμέρας, ἐὰν ἐξ
ὅλης τῆς καρδίας μετανοήσουσιν καὶ ἄρωσιν ἀπὸ τῆς καρδίας αὐτῶν τὰς
διψυχίας. ὤμοσεν γὰρ ὁ δεσπότης κατὰ τῆς δόξης αὐτοῦ ἐπὶ τοὺς ἐκλεκ-
τοὺς αὐτοῦ· ἐὰν ὡρισμένης τῆς ἡμέρας ταύτης ἔτι ἁμάρτησις γένηται,
μὴ ἔχειν αὐτοὺς σωτηρίαν· ἡ γὰρ μετάνοια τοῖς δικαίοις ἔχει τέλος· πε-
πλήρωνται αἱ ἡμέραι μετανοίας πᾶσιν τοῖς ἁγίοις· καὶ τοῖς δὲ ἔθνεσιν με-
τάνοιά ἐστιν ἕως ἐσχάτης ἡμέρας. ἐρεῖς οὖν τοῖς προηγουμένοις τῆς ἐκ-
κλησίας ἵνα κατορθώσωνται τὰς ὁδοὺς αὐτῶν ἐν δικαιοσύνῃ, ἵνα ἀπολάβωσιν
ἐκ πλήρους τὰς ἐπαγγελίας μετὰ πολλῆς δόξης. ἐμμείνατε οὖν οἱ ἐργα-
ζόμενοι τὴν δικαιοσύνην καὶ μὴ διψυχήσητε, ἵνα γένηται ὑμῶν ἡ πάροδος
μετὰ τῶν ἀγγέλων τῶν ἁγίων. μακάριοι ὑμεῖς ὅσοι ὑπομένετε τὴν θλῖψιν
τὴν ἐρχομένην τὴν μεγάλην καὶ ὅσοι οὐκ ἀρνήσονται τὴν ζωὴν αὐτῶν.
ὤμοσεν γὰρ κύριος κατὰ τοῦ υἱοῦ αὐτοῦ, τοὺς ἀρνησαμένους τὸν κύριον
αὐτῶν ἀπεγνωρίσθαι ἀπὸ τῆς ζωῆς αὐτῶν, τοὺς νῦν μέλλοντας ἀρνεῖσθαι
ταῖς ἐρχομέναις ἡμέραις· τοῖς δὲ πρότερον ἀρνησαμένοις, διὰ τὴν πολυ-
σπλαγχνίαν ἵλεως ἐγένετο αὐτοῖς.

Σὺ δέ, Ἑρμᾶ, μηκέτι μνησικακήσῃς τοῖς τέκνοις σου, μηδὲ τὴν ἀδελφήν
σου ἐάσῃς, ἵνα καθαρισθῶσιν ἀπὸ τῶν προτέρων ἁμαρτιῶν αὐτῶν. παι-
δευθήσονται γὰρ παιδείᾳ δικαίᾳ, ἐὰν σὺ μὴ μνησικακήσῃς αὐτοῖς. μνησι-
κακία θάνατον κατεργάζεται. σὺ δέ, Ἑρμᾶ, μεγάλας θλίψεις ἔσχες ἰδιωτι-
κὰς διὰ τὰς παραβάσεις τοῦ οἴκου σου, ὅτι οὐκ ἐμέλησέν σοι περὶ αὐτῶν.
ἀλλὰ παρενεθυμήθης καὶ ταῖς πραγματείαις σου συνανεφύρης ταῖς πονηραῖς·

ἀλλὰ σώζει σε τὸ μὴ ἀποστῆναί σε ἀπὸ θεοῦ ζῶντος, καὶ ἡ ἁπλότης σου
καὶ ἡ πολλὴ ἐγκράτεια· ταῦτα σέσωκέν σε, ἐὰν ἐμμείνῃς, καὶ πάντας σώζει τοὺς τὰ τοιαῦτα ἐργαζομένους καὶ πορευομένους ἐν ἀκακίᾳ καὶ ἁπλότητι. οὗτοι κατισχύσουσιν πάσης πονηρίας καὶ παραμενοῦσιν εἰς ζωὴν
αἰώνιον. μακάριοι πάντες οἱ ἐργαζόμενοι τὴν δικαιοσύνην. οὐ διαφθαρή-
σονται ἕως αἰῶνος. ἐρεῖς δὲ Μαξίμῳ· Ἰδοὺ θλῖψις ἔρχεται· ἐάν σοι φανῇ,
πάλιν ἄρνησαι. ἐγγὺς κύριος τοῖς ἐπιστρεφομένοις, ὡς γέγραπται ἐν τῷ
Ἐλδὰδ καὶ Μωδάτ, τοῖς προφητεύσασιν ἐν τῇ ἐρήμῳ τῷ λαῷ.

Ἀπεκαλύφθη δέ μοι, ἀδελφοί, κοιμωμένῳ ὑπὸ νεανίσκου εὐειδεστάτου
λέγοντός μοι· Τὴν πρεσβυτέραν, παρ' ἧς ἔλαβες τὸ βιβλίδιον, τίνα δοκεῖς
εἶναι; ἐγώ φημι· Τὴν Σίβυλλαν. Πλανᾶσαι, φησίν, οὐκ ἔστιν. Τίς οὖν
ἐστιν; φημί. Ἡ Ἐκκλησία, φησίν. εἶπον αὐτῷ· Διατί οὖν πρεσβυτέρα;
Ὅτι, φησίν, πάντων πρώτη ἐκτίσθη· διὰ τοῦτο πρεσβυτέρα, καὶ διὰ ταύ-
την ὁ κόσμος κατηρτίσθη. μετέπειτα δὲ ὅρασιν εἶδον ἐν τῷ οἴκῳ μου. ἦλ-
θεν ἡ πρεσβυτέρα καὶ ἠρώτησέν με εἰ ἤδη τὸ βιβλίον δέδωκα τοῖς πρεσβυτέ-
ροις. ἠρνησάμην δεδωκέναι. Καλῶς, φησίν, πεποίηκας· ἔχω γὰρ ·»ματα
προσθεῖναι. ὅταν οὖν ἀποτελέσω τὰ ·»ματα πάντα, διὰ σοῦ γνωρισθήσε-
ται τοῖς ἐκλεκτοῖς πᾶσιν. γράψεις οὖν δύο βιβλαρίδια καὶ πέμψεις ἓν
Κλήμεντι καὶ ἓν Γραπτῇ. πέμψει οὖν Κλήμης εἰς τὰς ἔξω πόλεις, ἐκείνῳ
γὰρ ἐπιτέτραπται. Γραπτὴ δὲ νουθετήσει τὰς χήρας καὶ τοὺς ὀρφανούς. σὺ
δὲ ἀναγνώσῃ εἰς ταύτην τὴν πόλιν μετὰ τῶν πρεσβυτέρων τῶν προϊστα-
μένων τῆς ἐκκλησίας.

Ὅρασις γ

ἣν εἶδον, ἀδελφοί, τοιαύτη. νηστεύσας πολλάκις καὶ δεηθεὶς τοῦ κυρίου
ἵνα μοι φανερώσῃ τὴν ἀποκάλυψιν ἥν μοι ἐπηγγείλατο δεῖξαι διὰ τῆς πρεσ-
βυτέρας [ἐκείνης], αὐτῇ τῇ νυκτί μοι ὦπται ἡ πρεσβυτέρα καὶ εἶπέν μοι·
Ἐπεὶ οὕτως ἐνδεὴς εἶ καὶ σπουδαῖος εἰς τὸ γνῶναι πάντα, ἐλθὲ εἰς τὸν ἀγρὸν
ὅπου χονδρίζεις, καὶ περὶ ὥραν πέμπτην ἐμφανισθήσομαί σοι καὶ δείξω σοι
ἃ δεῖ σε ἰδεῖν. ἠρώτησα αὐτὴν λέγων· Κυρία, εἰς ποῖον τόπον τοῦ ἀγροῦ;
Ὅπου, φησίν, θέλεις. ἐξελεξάμην τόπον καλὸν ἀνακεχωρηκότα. πρὶν δὲ
λαλῆσαι αὐτῇ καὶ εἰπεῖν τὸν τόπον, λέγει μοι· Ἧξω ἐκεῖ ὅπου θέλεις.
ἐγενόμην οὖν, ἀδελφοί, εἰς τὸν ἀγρόν, καὶ συνώψισα τὰς ὥρας, καὶ ἦλθον εἰς
τὸν τόπον ὅπου διεταξάμην αὐτῇ ἐλθεῖν, καὶ βλέπω συμψέλιον κείμενον
ἐλεφάντινον, καὶ ἐπὶ τοῦ συμψελίου ἔκειτο κερβικάριον λινοῦν, καὶ ἐπάνω
λέντιον ἐξηπλωμένον λινοῦν καρπάσινον. ἰδὼν ταῦτα κείμενα καὶ μη-
δένα ὄντα ἐν τῷ τόπῳ ἔκθαμβος ἐγενόμην, καὶ ὡσεὶ τρόμος με ἔλαβεν, καὶ
αἱ τρίχες μου ὀρθαί· καὶ ὡσεὶ φρίκη μοι προσῆλθεν, μόνου μου ὄντος· ἐν
ἐμαυτῷ οὖν γενόμενος καὶ μνησθεὶς τῆς δόξης τοῦ θεοῦ καὶ λαβὼν θάρσος, θεὶς
τὰ γόνατα ἐξωμολογούμην τῷ κυρίῳ πάλιν τὰς ἁμαρτίας μου ὡς καὶ πρότε-
ρον. ἡ δὲ ἦλθεν μετὰ νεανίσκων ἕξ, οὓς καὶ πρότερον ἑωράκειν, καὶ ἐπε-
στάθη μοι καὶ κατηκροᾶτο προσευχομένου καὶ ἐξομολογουμένου τῷ κυρίῳ
τὰς ἁμαρτίας μου. καὶ ἁψαμένη μου λέγει· Ἑρμᾶ, παῦσαι περὶ τῶν ἁμαρ-
τιῶν σου πάντα ἐρωτῶν· ἐρώτα καὶ περὶ δικαιοσύνης ἵνα λάβῃς μέρος τι
ἐξ αὐτῆς εἰς τὸν οἶκόν σου. καὶ ἐξεγείρει με τῆς χειρὸς καὶ ἄγει με πρὸς

τὸ συμψέλιον, καὶ λέγει τοῖς νεανίσκοις· Ὑπάγετε καὶ οἰκοδομεῖτε. καὶ
μετὰ τὸ ἀναχωρῆσαι τοὺς νεανίσκους καὶ μόνων ἡμῶν γεγονότων λέγει μοι·
Κάθισον ὧδε. λέγω αὐτῇ· Κυρία, ἄφες τοὺς πρεσβυτέρους πρῶτον καθίσαι. Ὅ σοι λέγω, φησίν, κάθισον. θέλοντος οὖν μου καθίσαι εἰς τὰ δεξιὰ μέρη οὐκ εἴασέν με, ἀλλ' ἐννεύει μοι τῇ χειρὶ ἵνα εἰς τὰ ἀριστερὰ μέρη
καθίσω. διαλογιζομένου μου οὖν καὶ λυπουμένου ὅτι οὐκ εἴασέν με εἰς τὰ
δεξιὰ μέρη καθίσαι, λέγει μοι· Λυπῇ, Ἑρμᾶ; ὁ εἰς τὰ δεξιὰ μέρη τόπος ἄλ-
λων ἐστίν, τῶν ἤδη εὐαρεστηκότων τῷ θεῷ καὶ παθόντων εἵνεκα τοῦ ὀνόμα-
τος· σοὶ δὲ πολλὰ λείπει ἵνα μετ' αὐτῶν καθίσῃς· ἀλλὰ ὡς ἐμμένεις τῇ ἁπλότητί σου, μεῖνον, καὶ καθιῇ μετ' αὐτῶν καὶ ὅσοι ἐὰν ἐργάσωνται τὰ
ἐκείνων ἔργα καὶ ὑπενέγκωσιν ἃ καὶ ἐκεῖνοι ὑπήνεγκαν.

Τί, φημί, ὑπήνεγκαν; Ἄκουε, φησίν· μάστιγας, φυλακάς, θλίψεις μεγά-
λας, σταυρούς, θηρία εἵνεκεν τοῦ ὀνόματος· διὰ τοῦτο ἐκείνων ἐστὶν τὰ δεξιὰ
μέρη τοῦ ἁγιάσματος, καὶ ὃς ἐὰν πάθῃ διὰ τὸ ὄνομα· τῶν δὲ λοιπῶν τὰ ἀρι-
στερὰ μέρη ἐστίν. ἀλλὰ ἀμφοτέρων, καὶ τῶν ἐκ δεξιῶν καὶ τῶν ἀριστερῶν
καθημένων, τὰ αὐτὰ δῶρα καὶ αἱ αὐταὶ ἐπαγγελίαι· μόνον ἐκεῖνοι ἐκ δεξιῶν κάθηνται καὶ ἔχουσιν δόξαν τινά. σὺ δὲ κατεπιθυμεῖς καθίσαι ἐκ δεξιῶν μετ' αὐτῶν, ἀλλὰ τὰ ὑστερήματά σου πολλά· καθαρισθήσῃ δὲ
ἀπὸ τῶν ὑστερημάτων σου· καὶ πάντες δὲ οἱ μὴ διψυχοῦντες καθαρισθή-
σονται ἀπὸ πάντων τῶν ἁμαρτημάτων εἰς ταύτην τὴν ἡμέραν. ταῦτα εἶ-
πασα ἤθελεν ἀπελθεῖν· πεσὼν δὲ αὐτῆς πρὸς τοὺς πόδας ἠρώτησα αὐτὴν
κατὰ τοῦ κυρίου ἵνα μοι ἐπιδείξῃ ὃ ἐπηγγείλατο ὅραμα. ἡ δὲ πάλιν ἐπελά-
βετό μου τῆς χειρὸς καὶ ἐγείρει με καὶ καθίζει ἐπὶ τὸ συμψέλιον ἐξ εὐωνύ-

μων· ἐκαθέζετο δὲ καὶ αὐτὴ ἐκ δεξιῶν. καὶ ἐπάρασα ·άβδον τινὰ λαμπρὰν
λέγει μοι· Βλέπεις μέγα πρᾶγμα; λέγω αὐτῇ· Κυρία, οὐδὲν βλέπω. λέγει
μοι· Σύ, ἰδοὺ οὐχ ὁρᾷς κατέναντί σου πύργον μέγαν οἰκοδομούμενον ἐπὶ
ὑδάτων λίθοις τετραγώνοις λαμπροῖς; ἐν τετραγώνῳ δὲ ᾠκοδομεῖτο ὁ πύρ-
γος ὑπὸ τῶν ἓξ νεανίσκων τῶν ἐληλυθότων μετ' αὐτῆς· ἄλλαι δὲ μυριάδες
ἀνδρῶν παρέφερον λίθους, οἱ μὲν ἐκ τοῦ βυθοῦ, οἱ δὲ ἐκ τῆς γῆς, καὶ ἐπεδί-
δουν τοῖς ἓξ νεανίσκοις. ἐκεῖνοι δὲ ἐλάμβανον καὶ ᾠκοδόμουν· τοὺς μὲν
ἐκ τοῦ βυθοῦ λίθους ἑλκομένους πάντας οὕτως ἐτίθεσαν εἰς τὴν οἰκοδομήν·
ἡρμοσμένοι γὰρ ἦσαν καὶ συνεφώνουν τῇ ἁρμογῇ μετὰ τῶν ἑτέρων λίθων·
καὶ οὕτως ἐκολλῶντο ἀλλήλοις, ὥστε τὴν ἁρμογὴν αὐτῶν μὴ φαίνεσθαι·
ἐφαίνετο δὲ ἡ οἰκοδομὴ τοῦ πύργου ὡς ἐξ ἑνὸς λίθου ᾠκοδομημένη. τοὺς
δὲ ἑτέρους λίθους τοὺς φερομένους ἀπὸ τῆς ξηρᾶς τοὺς μὲν ἀπέβαλλον, τοὺς
δὲ ἐτίθουν εἰς τὴν οἰκοδομήν· ἄλλους δὲ κατέκοπτον καὶ ἔρριπτον μακρὰν
ἀπὸ τοῦ πύργου. ἄλλοι δὲ λίθοι πολλοὶ κύκλῳ τοῦ πύργου ἔκειντο καὶ οὐκ
ἐχρῶντο αὐτοῖς εἰς τὴν οἰκοδομήν· ἦσαν γάρ τινες ἐξ αὐτῶν ἐψωριακότες,
ἕτεροι δὲ σχισμὰς ἔχοντες, ἀλλοὶ δὲ κεκολοβωμένοι, ἄλλοι δὲ λευκοὶ καὶ
στρογγύλοι, μὴ ἁρμόζοντες εἰς τὴν οἰκοδομήν. ἔβλεπον δὲ ἑτέρους λίθους
·ιπτομένους μακρὰν ἀπὸ τοῦ πύργου καὶ ἐρχομένους εἰς τὴν ὁδὸν καὶ μὴ μέ-
νοντας ἐν τῇ ὁδῷ, ἀλλὰ κυλιομένους ἐκ τῆς ὁδοῦ εἰς τὴν ἀνοδίαν· ἑτέρους
δὲ ἐπὶ πῦρ ἐμπίπτοντας καὶ καιομένους· ἑτέρους δὲ πίπτοντας ἐγγὺς ὑδά-

των καὶ μὴ δυναμένους κυλισθῆναι εἰς τὸ ὕδωρ, καίπερ θελόντων κυλισθῆ-
ναι καὶ ἐλθεῖν εἰς τὸ ὕδωρ.

Δείξασά μοι ταῦτα ἤθελεν ἀποτρέχειν. λέγω αὐτῇ· Κυρία, τί μοι ὄφελος
ταῦτα ἑωρακότι καὶ μὴ γινώσκοντι τί ἐστιν τὰ πράγματα; ἀποκριθεῖσά
μοι λέγει· Πανοῦργος εἶ, ἄνθρωπε, θέλων γινώσκειν τὰ περὶ τὸν πύργον.
Ναί, φημί, κυρία, ἵνα τοῖς ἀδελφοῖς ἀναγγείλω, καὶ ἱλαρώτεροι γένωνται,
καὶ ταῦτα ἀκούσαντες γινώσκωσιν τὸν κύριον ἐν πολλῇ δόξῃ. ἡ δὲ ἔφη·
Ἀκούσονται μὲν πολλοί· ἀκούσαντες δέ τινες ἐξ αὐτῶν χαρήσονται, τινὲς
δὲ κλαύσονται· ἀλλὰ καὶ οὗτοι, ἐὰν ἀκούσωσιν καὶ μετανοήσωσιν, καὶ αὐτοὶ
χαρήσονται. ἄκουε οὖν τὰς παραβολὰς τοῦ πύργου· ἀποκαλύψω γάρ σοι
πάντα. καὶ μηκέτι μοι κόπους πάρεχε περὶ ἀποκαλύψεως· αἱ γὰρ ἀπο-
καλύψεις αὗται τέλος ἔχουσιν· πεπληρωμέναι γάρ εἰσιν. ἀλλ' οὐ παύσῃ
αἰτούμενος ἀποκαλύψεις· ἀναιδὴς γὰρ εἶ. ὁ μὲν πύργος, ὃν βλέπεις οἰκο-
δομούμενον, ἐγώ εἰμι ἡ Ἐκκλησία, ἡ ὀφθεῖσά σοι καὶ νῦν καὶ τὸ πρότερον·
ὃ ἂν οὖν θελήσῃς ἐπερώτα περὶ τοῦ πύργου, καὶ ἀποκαλύψω σοι, ἵνα χαρῇς
μετὰ τῶν ἁγίων. λέγω αὐτῇ· Κυρία, ἐπεὶ ἅπαξ ἄξιόν με ἡγήσω τοῦ
πάντα μοι ἀποκαλύψαι, ἀποκάλυψον. ἡ δὲ λέγει μοι· Ὃ ἐὰν ἐνδέχηταί σοι
ἀποκαλυφθῆναι, ἀποκαλυφθήσεται. μόνον ἡ καρδία σου πρὸς τὸν θεὸν
ἤτω καὶ μὴ διψυχήσεις ὃ ἂν ἴδῃς. ἐπηρώτησα αὐτήν· Διατί ὁ πύργος ἐπὶ
ὑδάτων ᾠκοδόμηται, κυρία; Εἶπά σοι, φησίν, καὶ τὸ πρότερον, καὶ
ἐκζητεῖς ἐπιμελῶς· ἐκζητῶν οὖν εὑρίσκεις τὴν ἀλήθειαν. διατί οὖν ἐπὶ ὑδά-
των ᾠκοδόμηται ὁ πύργος, ἄκουε· ὅτι ἡ ζωὴ ὑμῶν διὰ ὕδατος ἐσώθη καὶ

σωθήσεται. τεθεμελίωται δὲ ὁ πύργος τῷ ·»ματι τοῦ παντοκράτορος καὶ
ἐνδόξου ὀνόματος, κρατεῖται δὲ ὑπὸ τῆς ἀοράτου δυνάμεως τοῦ δεσπότου.

Ἀποκριθεὶς λέγω αὐτῇ· Κυρία, μεγάλως καὶ θαυμαστῶς ἔχει τὸ πρᾶγ-
μα τοῦτο. οἱ δὲ νεανίσκοι οἱ ἓξ οἱ οἰκοδομοῦντες τίνες εἰσίν, κυρία; Οὗτοί
εἰσιν οἱ ἅγιοι ἄγγελοι τοῦ θεοῦ οἱ πρῶτοι κτισθέντες, οἷς παρέδωκεν ὁ κύ-
ριος πᾶσαν τὴν κτίσιν αὐτοῦ, αὔξειν καὶ οἰκοδομεῖν καὶ δεσπόζειν τῆς κτί-
σεως πάσης. διὰ τούτων οὖν τελεσθήσεται ἡ οἰκοδομὴ τοῦ πύργου. Οἱ
δὲ ἕτεροι οἱ παραφέροντες τοὺς λίθους τίνες εἰσίν; Καὶ αὐτοὶ ἅγιοι ἄγγε-
λοι τοῦ θεοῦ· οὗτοι δὲ οἱ ἓξ ὑπερέχοντες αὐτούς εἰσιν. συντελεσθήσεται
οὖν ἡ οἰκοδομὴ τοῦ πύργου, καὶ πάντες ὁμοῦ εὐφρανθήσονται κύκλῳ τοῦ
πύργου καὶ δοξάσουσιν τὸν θεόν, ὅτι ἐτελέσθη ἡ οἰκοδομὴ τοῦ πύργου.
ἐπηρώτησα αὐτὴν λέγων· Κυρία, ἤθελον γνῶναι τῶν λίθων τὴν ἔξοδον
καὶ τὴν δύναμιν αὐτῶν, ποταπή ἐστιν. ἀποκριθεῖσά μοι λέγει· Οὐχ ὅτι
σὺ ἐκ πάντων ἀξιώτερος εἶ ἵνα σοι ἀποκαλυφθῇ· ἄλλοι γάρ σου πρότεροί
εἰσιν καὶ βελτίονές σου, οἷς ἔδει ἀποκαλυφθῆναι τὰ ὁράματα ταῦτα· ἀλλ'
ἵνα δοξασθῇ τὸ ὄνομα τοῦ θεοῦ, σοὶ ἀπεκαλύφθη καὶ ἀποκαλυφθήσεται
διὰ τοὺς διψύχους, τοὺς διαλογιζομένους ἐν ταῖς καρδίαις αὐτῶν εἰ ἄρα
ἔστιν ταῦτα ἢ οὐκ ἔστιν· λέγε αὐτοῖς ὅτι ταῦτα πάντα ἐστὶν ἀληθῆ, καὶ
οὐθὲν ἔξωθέν ἐστιν τῆς ἀληθείας, ἀλλὰ πάντα ἰσχυρὰ καὶ βέβαια καὶ τεθε-
μελιωμένα ἐστίν.

Ἄκουε νῦν περὶ τῶν λίθων τῶν ὑπαγόντων εἰς τὴν οἰκοδομήν. οἱ μὲν οὖν
λίθοι οἱ τετράγωνοι καὶ λευκοὶ καὶ συμφωνοῦντες ταῖς ἁρμογαῖς αὐτῶν,

οὗτοί εἰσιν οἱ ἀπόστολοι καὶ ἐπίσκοποι καὶ διδάσκαλοι καὶ διάκονοι οἱ πο-
ρευθέντες κατὰ τὴν σεμνότητα τοῦ θεοῦ καὶ ἐπισκοπήσαντες καὶ διδάξαντες
καὶ διακονήσαντες ἁγνῶς καὶ σεμνῶς τοῖς ἐκλεκτοῖς τοῦ θεοῦ, οἱ μὲν κεκοι-
μημένοι, οἱ δὲ ἔτι ὄντες· καὶ πάντοτε ἑαυτοῖς συνεφώνησαν καὶ ἐν ἑαυτοῖς
εἰρήνην ἔσχαν καὶ ἀλλήλων ἤκουον· διὰ τοῦτο ἐν τῇ οἰκοδομῇ τοῦ πύργου
συμφωνοῦσιν αἱ ἁρμογαὶ αὐτῶν. Οἱ δὲ ἐκ τοῦ βυθοῦ ἑλκόμενοι καὶ ἐπι-
τιθέμενοι εἰς τὴν οἰκοδομὴν καὶ συμφωνοῦντες ταῖς ἁρμογαῖς αὐτῶν μετὰ τῶν
ἑτέρων λίθων τῶν ἤδη ᾠκοδομημένων, τίνες εἰσίν; Οὗτοί εἰσιν οἱ παθόντες
ἕνεκεν τοῦ ὀνόματος τοῦ κυρίου. Τοὺς δὲ ἑτέρους λίθους τοὺς φερο-
μένους ἀπὸ τῆς ξηρᾶς θέλω γνῶναι τίνες εἰσίν, κυρία. ἔφη· Τοὺς μὲν εἰς τὴν
οἰκοδομὴν ὑπάγοντας καὶ μὴ λατομουμένους, τούτους ὁ κύριος ἐδοκίμασεν,
ὅτι ἐπορεύθησαν ἐν τῇ εὐθύτητι τοῦ κυρίου καὶ κατωρθώσαντο τὰς ἐντολὰς
αὐτοῦ. Οἱ δὲ ἀγόμενοι καὶ τιθέμενοι εἰς τὴν οἰκοδομὴν τίνες εἰσίν; Νέοι
εἰσὶν ἐν τῇ πίστει καὶ πιστοί. νουθετοῦνται δὲ ὑπὸ τῶν ἀγγέλων εἰς τὸ
ἀγαθοποιεῖν, διότι οὐχ εὑρέθη ἐν αὐτοῖς πονηρία. Οὓς δὲ ἀπέβαλλον καὶ
ἐρίπτουν, τίνες εἰσίν; Οὗτοί εἰσιν ἡμαρτηκότες καὶ θέλοντες μετανοῆσαι·
διὰ τοῦτο μακρὰν οὐκ ἀπερίφησαν ἔξω τοῦ πύργου, ὅτι εὔχρηστοι ἔσονται εἰς
τὴν οἰκοδομήν, ἐὰν μετανοήσωσιν. οἱ οὖν μέλλοντες μετανοεῖν, ἐὰν μετα-
νοήσωσιν, ἰσχυροὶ ἔσονται ἐν τῇ πίστει, ἐὰν νῦν μετανοήσωσιν ἐν ᾧ οἰκοδο-
μεῖται ὁ πύργος. ἐὰν δὲ τελεσθῇ ἡ οἰκοδομή, οὐκέτι ἔχουσιν τόπον, ἀλλ'
ἔσονται ἔκβολοι. μόνον δὲ τοῦτο ἔχουσιν, παρὰ τῷ πύργῳ κεῖσθαι.

Τοὺς δὲ κατακοπτομένους καὶ μακρὰν ·ιπτομένους ἀπὸ τοῦ πύργου θέλεις γνῶναι; οὗτοί εἰσιν οἱ υἱοὶ τῆς ἀνομίας· ἐπίστευσαν δὲ ἐν ὑποκρίσει, καὶ πᾶσα πονηρία οὐκ ἀπέστη ἀπ' αὐτῶν· διὰ τοῦτο οὐκ ἔχουσιν σωτηρίαν, ὅτι οὔκ εἰσιν εὔχρηστοι εἰς οἰκοδομὴν διὰ τὰς πονηρίας αὐτῶν. διὰ τοῦτο συνεκόπησαν καὶ πόρρω ἀπερίφησαν διὰ τὴν ὀργὴν τοῦ κυρίου, ὅτι παρώργισαν αὐτόν. τοὺς δὲ ἑτέρους οὓς ἑώρακας πολλοὺς κειμένους, μὴ ὑπάγοντας εἰς τὴν οἰκοδομήν, οὗτοι οἱ μὲν ἐψωριακότες εἰσὶν οἱ ἐγνωκότες τὴν ἀλήθειαν, μὴ ἐπιμένοντες δὲ ἐν αὐτῇ μηδὲ κολλώμενοι τοῖς ἁγίοις· διὰ τοῦτο ἄχρηστοί εἰσιν. Οἱ δὲ τὰς σχισμὰς ἔχοντες τίνες εἰσίν; Οὗτοί εἰσιν οἱ κατ' ἀλλήλων ἐν ταῖς καρδίαις ἔχοντες καὶ μὴ εἰρηνεύοντες ἐν ἑαυτοῖς, ἀλλὰ πρόσωπον εἰρήνης ἔχοντες, ὅταν δὲ ἀπ' ἀλλήλων ἀποχωρήσωσιν, αἱ πονηρίαι αὐτῶν ἐν ταῖς καρδίαις ἐμμένουσιν. αὗται οὖν αἱ σχισμαί εἰσιν ἃς ἔχουσιν οἱ λίθοι. οἱ δὲ κεκολοβωμένοι οὗτοί εἰσιν πεπιστευκότες μὲν καὶ τὸ πλεῖον μέρος ἔχουσιν ἐν τῇ δικαιοσύνῃ, τινὰ δὲ μέρη ἔχουσιν τῆς ἀνομίας. διὰ τοῦτο κολοβοὶ καὶ οὐχ ὁλοτελεῖς εἰσιν. Οἱ δὲ λευκοὶ καὶ στρογγύλοι καὶ μὴ ἁρμόζοντες εἰς τὴν οἰκοδομὴν τίνες εἰσίν, κυρία; ἀποκριθεῖσά μοι λέγει· Ἕως πότε μωρὸς εἶ καὶ ἀσύνετος, καὶ πάντα ἐπερωτᾷς καὶ οὐδὲν νοεῖς; οὗτοί εἰσιν ἔχοντες μὲν πίστιν, ἔχοντες δὲ καὶ πλοῦτον [τοῦ αἰῶνος τούτου]· ὅταν [δὲ] γένηται θλῖψις, διὰ τὸν πλοῦτον αὐτῶν καὶ διὰ τὰς πραγματείας ἀπαρνοῦνται τὸν κύριον αὐτῶν. καὶ ἀποκριθεὶς αὐτῇ λέγω· Κυρία, πότε οὖν εὔχρηστοι ἔσονται εἰς τὴν οἰκοδομήν; Ὅταν, φησίν, περικοπῇ αὐτῶν ὁ πλοῦτος ὁ ψυχαγωγῶν αὐτούς, τότε εὔχρηστοι ἔσονται τῷ θεῷ. ὥσπερ γὰρ ὁ λίθος ὁ στρογγύλος ἐὰν μὴ περικοπῇ καὶ ἀποβάλῃ ἐξ αὐτοῦ τι, οὐ δύναται

τετράγωνος γενέσθαι, οὕτω καὶ οἱ πλουτοῦντες ἐν τούτῳ τῷ αἰῶνι, ἐὰν μὴ
περικοπῇ αὐτῶν ὁ πλοῦτος, οὐ δύνανται τῷ κυρίῳ εὔχρηστοι γενέσθαι.
ἀπὸ σεαυτοῦ πρῶτον γνῶθι· ὅτε ἐπλούτεις ἄχρηστος ἦς, νῦν δὲ εὔχρηστος
εἶ καὶ ὠφέλιμος τῇ ζωῇ. εὔχρηστοι γίνεσθε τῷ θεῷ· καὶ γὰρ σὺ αὐτὸς χρᾶ-
σαι ἐκ τῶν αὐτῶν λίθων.

Τοὺς δὲ ἑτέρους λίθους οὓς εἶδες μακρὰν ἀπὸ τοῦ πύργου ·ιπτομένους καὶ
πίπτοντας εἰς τὴν ὁδὸν καὶ κυλιομένους ἐκ τῆς ὁδοῦ εἰς τὰς ἀνοδίας, οὗτοί
εἰσιν οἱ πεπιστευκότες μέν, ἀπὸ δὲ τῆς διψυχίας αὐτῶν ἀφίουσιν τὴν ὁδὸν
αὐτῶν τὴν ἀληθινήν· δοκοῦντες οὖν βελτίονα ὁδὸν δύνασθαι εὑρεῖν, πλα-
νῶνται καὶ ταλαιπωροῦσιν περιπατοῦντες ἐν ταῖς ἀνοδίαις. οἱ δὲ πίπτοντες
εἰς τὸ πῦρ καὶ καιόμενοι, οὗτοί εἰσιν οἱ εἰς τέλος ἀποστάντες τοῦ θεοῦ τοῦ
ζῶντος, καὶ οὐκέτι αὐτοῖς ἀνέβη ἐπὶ τὴν καρδίαν τοῦ μετανοῆσαι διὰ τὰς
ἐπιθυμίας τῆς ἀσελγείας αὐτῶν καὶ τῶν πονηριῶν ὧν ἠργάσαντο. τοὺς
δὲ ἑτέρους τοὺς πίπτοντας ἐγγὺς τῶν ὑδάτων καὶ μὴ δυναμένους κυλισθῆναι
εἰς τὸ ὕδωρ θέλεις γνῶναι τίνες εἰσίν; οὗτοί εἰσιν οἱ τὸν λόγον ἀκούσαντες
καὶ θέλοντες βαπτισθῆναι εἰς τὸ ὄνομα τοῦ κυρίου· εἶτα ὅταν αὐτοῖς ἔλθῃ
εἰς μνείαν ἡ ἀγνότης τῆς ἀληθείας, μετανοοῦσιν καὶ πορεύονται πάλιν
ὀπίσω τῶν ἐπιθυμιῶν αὐτῶν τῶν πονηρῶν. ἐτέλεσεν οὖν τὴν ἐξήγησιν τοῦ
πύργου. ἀναιδευσάμενος ἔτι αὐτὴν ἐπηρώτησα, εἰ ἄρα πάντες οἱ λίθοι
οὗτοι οἱ ἀποβεβλημένοι καὶ μὴ ἁρμόζοντες εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, εἰ
ἔστιν αὐτοῖς μετάνοια καὶ ἔχουσιν τόπον εἰς τὸν πύργον τοῦτον. Ἔχουσιν,

φησίν, μετάνοιαν, ἀλλὰ εἰς τοῦτον τὸν πύργον οὐ δύνανται ἁρμόσαι· ἑτέρῳ
δὲ τόπῳ ἁρμόσουσιν πολὺ ἐλάττονι, καὶ τοῦτο ὅταν βασανισθῶσιν καὶ
ἐκπληρώσωσιν τὰς ἡμέρας τῶν ἁμαρτιῶν αὐτῶν. καὶ διὰ τοῦτο μετατε-
θήσονται, ὅτι μετέλαβον τοῦ ·»ματος τοῦ δικαίου. καὶ τότε αὐτοῖς συμβή-
σεται μετατεθῆναι ἐκ τῶν βασάνων αὐτῶν, διὰ τὰ ἔργα ἃ ἠργάσαντο πονηρά.
ἐὰν δὲ μὴ ἀναβῇ ἐπὶ τὴν καρδίαν αὐτῶν μετανοῆσαι οὐ σώζονται διὰ τὴν
σκληροκαρδίαν αὐτῶν.

Ὅτε οὖν ἐπαυσάμην ἐρωτῶν αὐτὴν περὶ πάντων τούτων, λέγει μοι· Θέλεις ἄλλο ἰδεῖν; κατεπίθυμος ὢν τοῦ θεάσασθαι περιχαρὴς ἐγενόμην
τοῦ ἰδεῖν. ἐμβλέψασά μοι ὑπεμειδίασεν καὶ λέγει μοι· Βλέπεις ἑπτὰ γυναῖκας κύκλῳ τοῦ πύργου; Βλέπω, φημί, κυρία. Ὁ πύργος οὗτος ὑπὸ τούτων βαστάζεται κατ' ἐπιταγὴν τοῦ κυρίου. ἄκουε νῦν τὰς ἐνεργείας
αὐτῶν. ἡ μὲν πρώτη αὐτῶν, ἡ κρατοῦσα τὰς χεῖρας, Πίστις καλεῖται· διὰ
ταύτης σώζονται οἱ ἐκλεκτοὶ τοῦ θεοῦ. ἡ δὲ ἑτέρα, ἡ περιεζωσμένη καὶ
ἀνδριζομένη, Ἐγκράτεια καλεῖται· αὕτη θυγάτηρ ἐστὶν τῆς Πίστεως. ὃς
ἂν οὖν ἀκολουθήσῃ αὐτῇ, μακάριος γίνεται ἐν τῇ ζωῇ αὐτοῦ, ὅτι πάντων
τῶν πονηρῶν ἔργων ἀφέξεται, πιστεύων ὅτι ἐὰν ἀφέξεται πάσης ἐπιθυμίας
πονηρᾶς, κληρονομήσει ζωὴν αἰώνιον. Αἱ δὲ ἕτεραι, κυρία, τίνες εἰσίν;
Θυγατέρες ἀλλήλων εἰσίν· καλοῦνται δὲ ἡ μὲν Ἁπλότης, ἡ δὲ Ἐπιστήμη,
ἡ δὲ Ἀκακία, ἡ δὲ Σεμνότης, ἡ δὲ Ἀγάπη. ὅταν οὖν τὰ ἔργα τῆς μητρὸς αὐτῶν πάντα ποιήσῃς, δύνασαι ζῆσαι. Ἤθελον, φημί, γνῶναι, κυρία, τίς
τίνα δύναμιν ἔχει αὐτῶν. Ἄκουε, φησίν, τὰς δυνάμεις ἃς ἔχουσιν. κρατοῦνται
δὲ ἀπ' ἀλλήλων αἱ δυνάμεις αὐτῶν καὶ ἀκολουθοῦσιν ἀλλήλαις, καθὼς καὶ

γεγεννημέναι εἰσίν. ἐκ τῆς Πίστεως γεννᾶται Ἐγκράτεια, ἐκ τῆς Ἐγκρατείας
Ἁπλότης, ἐκ τῆς Ἁπλότητος Ἀκακία, ἐκ τῆς Ἀκακίας Σεμνότης, ἐκ
τῆς Σεμνότητος Ἐπιστήμη, ἐκ τῆς Ἐπιστήμης Ἀγάπη. τούτων οὖν τὰ
ἔργα ἁγνὰ καὶ σεμνὰ καὶ θεῖά ἐστιν. ὃς ἂν οὖν δουλεύσῃ ταύταις καὶ
ἰσχύσῃ κρατῆσαι τῶν ἔργων αὐτῶν, ἐν τῷ πύργῳ ἕξει τὴν κατοίκησιν μετὰ
τῶν ἁγίων τοῦ θεοῦ. ἐπηρώτων δὲ αὐτὴν περὶ τῶν καιρῶν, εἰ ἤδη συντέλειά
ἐστιν. ἡ δὲ ἀνέκραγε φωνῇ μεγάλῃ λέγουσα· Ἀσύνετε ἄνθρωπε, οὐχ ὁρᾷς
τὸν πύργον ἔτι οἰκοδομούμενον; ὡς ἐὰν οὖν συντελεσθῇ ὁ πύργος οἰκοδο-
μούμενος, ἔχει τέλος. ἀλλὰ ταχὺ ἐποικοδομηθήσεται. μηκέτι με ἐπερώτα
μηδέν· ἀρκετή σοι ἡ ὑπόμνησις αὕτη καὶ τοῖς ἁγίοις, καὶ ἡ ἀνακαίνωσις τῶν
πνευμάτων ὑμῶν. ἀλλ' οὐ σοὶ μόνῳ ἀπεκαλύφθη, ἀλλ' ἵνα πᾶσιν δηλώσεις
αὐτά. μετὰ τρεῖς ἡμέρας–νοῆσαί σε γὰρ δεῖ πρῶτον–ἐντέλλομαι δέ
σοι πρῶτον, Ἑρμᾶ, τὰ ·»ματα ταῦτα ἅ σοι μέλλω λέγειν, λαλῆσαι αὐτὰ
πάντα εἰς τὰ ὦτα τῶν ἁγίων, ἵνα ἀκούσαντες αὐτὰ καὶ ποιήσαντες
καθαρισθῶσιν ἀπὸ τῶν πονηριῶν αὐτῶν, καὶ σὺ δὲ μετ' αὐτῶν.

Ἀκούσατέ μου, τέκνα· ἐγὼ ὑμᾶς ἐξέθρεψα ἐν πολλῇ ἁπλότητι καὶ
ἀκακίᾳ καὶ σεμνότητι διὰ τὸ ἔλεος τοῦ κυρίου τοῦ ἐφ' ὑμᾶς στάξαντος τὴν
δικαιοσύνην, ἵνα δικαιωθῆτε καὶ ἁγιασθῆτε ἀπὸ πάσης πονηρίας καὶ ἀπὸ
πάσης σκολιότητος. ὑμεῖς δὲ οὐ θέλετε παῆναι ἀπὸ τῆς πονηρίας ὑμῶν.
νῦν οὖν ἀκούσατέ μου καὶ εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ ἐπισκέπτεσθε ἀλλήλους
καὶ ἀντιλαμβάνεσθε ἀλλήλων, καὶ μὴ μόνοι τὰ κτίσματα τοῦ θεοῦ μετα-
λαμβάνετε ἐκ καταχύματος, ἀλλὰ μεταδίδοτε καὶ τοῖς ὑστερουμένοις. οἱ
μὲν γὰρ ἀπὸ τῶν πολλῶν ἐδεσμάτων ἀσθένειαν τῇ σαρκὶ αὐτῶν ἐπισπῶνται
καὶ λυμαίνονται τὴν σάρκα αὐτῶν· τῶν δὲ μὴ ἐχόντων ἐδέσματα λυμαίνεται

ἡ σὰρξ αὐτῶν διὰ τὸ μὴ ἔχειν τὸ ἀρκετὸν τῆς τροφῆς, καὶ διαφθείρεται τὸ
σῶμα αὐτῶν. αὕτη οὖν ἡ ἀσυνκρασία βλαβερὰ ὑμῖν τοῖς ἔχουσι καὶ μὴ
μεταδιδοῦσιν τοῖς ὑστερουμένοις. βλέπετε τὴν κρίσιν τὴν ἐπερχομένην. οἱ
ὑπερέχοντες οὖν ἐκζητεῖτε τοὺς πεινῶντας ἕως οὔπω ὁ πύργος ἐτελέσθη·
μετὰ γὰρ τὸ τελεσθῆναι τὸν πύργον θελήσετε ἀγαθοποιεῖν, καὶ οὐχ ἕξετε
τόπον. βλέπετε οὖν ὑμεῖς οἱ γαυρούμενοι ἐν τῷ πλούτῳ ὑμῶν, μήποτε
στενάξουσιν οἱ ὑστερούμενοι, καὶ ὁ στεναγμὸς αὐτῶν ἀναβήσεται πρὸς τὸν
κύριον, καὶ ἐκκλεισθήσεσθε μετὰ τῶν ἀγαθῶν ὑμῶν ἔξω τῆς θύρας τοῦ
πύργου. νῦν οὖν ὑμῖν λέγω τοῖς προηγουμένοις τῆς ἐκκλησίας καὶ τοῖς
πρωτοκαθεδρίταις· μὴ γίνεσθε ὅμοιοι τοῖς φαρμακοῖς. οἱ φαρμακοὶ μὲν
οὖν τὰ φάρμακα ἑαυτῶν εἰς τὰς πυξίδας βαστάζουσιν, ὑμεῖς δὲ τὸ φάρ-
μακον ὑμῶν καὶ τὸν ἰὸν εἰς τὴν καρδίαν. ἐνεσκιρωμένοι ἐστὲ καὶ οὐ
θέλετε καθαρίσαι τὰς καρδίας ὑμῶν καὶ συνκεράσαι ὑμῶν τὴν φρόνησιν
ἐπὶ τὸ αὐτὸ ἐν καθαρᾷ καρδίᾳ, ἵνα σχῆτε ἔλεος παρὰ τοῦ βασιλέως τοῦ μεγά-
λου. βλέπετε οὖν, τέκνα, μήποτε αὗται αἱ διχοστασίαι ὑμῶν ἀποστερή-
σουσιν τὴν ζωὴν ὑμῶν. πῶς ὑμεῖς παιδεύειν θέλετε τοὺς ἐκλεκτοὺς
κυρίου, αὐτοὶ μὴ ἔχοντες παιδείαν; παιδεύετε οὖν ἀλλήλους καὶ εἰρηνεύετε
ἐν αὐτοῖς, ἵνα κἀγὼ κατέναντι τοῦ πατρὸς ἱλαρὰ σταθεῖσα λόγον ἀποδῶ
ὑπὲρ ὑμῶν πάντων τῷ κυρίῳ ὑμῶν.

Ὅτε οὖν ἐπαύσατο μετ' ἐμοῦ λαλοῦσα, ἦλθον οἱ ἓξ νεανίσκοι οἱ οἰκοδο-
μοῦντες καὶ ἀπήνεγκαν αὐτὴν πρὸς τὸν πύργον, καὶ ἄλλοι τέσσαρες ἦραν
τὸ συμψέλιον καὶ ἀπήνεγκαν καὶ αὐτὸ πρὸς τὸν πύργον. τούτων τὸ πρόσ-
ωπον οὐκ εἶδον, ὅτι ἀπεστραμμένοι ἦσαν. ὑπάγουσαν δὲ αὐτὴν ἠρώτων

ἵνα μοι ἀποκαλύψῃ περὶ τῶν τριῶν μορφῶν ἐν αἷς μοι ἐνεφανίσθη. ἀπο-
κριθεῖσά μοι λέγει· Περὶ τούτων ἕτερον δεῖ σε ἐπερωτῆσαι ἵνα σοι ἀπο-
καλυφθῇ. ὤφθη δέ μοι, ἀδελφοί, τῇ μὲν πρώτῃ ὁράσει τῇ περυσινῇ
λίαν πρεσβυτέρα καὶ ἐν καθέδρᾳ καθημένη. τῇ δὲ ἑτέρᾳ ὁράσει τὴν
μὲν ὄψιν νεωτέραν εἶχεν, τὴν δὲ σάρκα καὶ τὰς τρίχας πρεσβυτέρας, καὶ
ἑστηκυῖά μοι ἐλάλει. ἱλαρωτέρα δὲ ἦν ἢ τὸ πρότερον. τῇ δὲ τρίτῃ
ὁράσει ὅλη νεωτέρα καὶ κάλλει ἐκπρεπεστάτη, μόνας δὲ τὰς τρίχας
πρεσβυτέρας εἶχεν· ἱλαρὰ δὲ εἰς τέλος ἦν καὶ ἐπὶ συμψελίου καθημένη.
περὶ τούτων περίλυπος ἤμην λίαν τοῦ γνῶναί με τὴν ἀποκάλυψιν ταύτην.
καὶ βλέπω τὴν πρεσβυτέραν ἐν ὁράματι τῆς νυκτὸς λέγουσάν μοι· Πᾶσα
ἐρώτησις ταπεινοφροσύνης χρῄζει· νήστευσον οὖν, καὶ λήμψῃ ὃ αἰτεῖς
παρὰ τοῦ κυρίου. ἐνήστευσα οὖν μίαν ἡμέραν, καὶ αὐτῇ τῇ νυκτί μοι ὤφθη
νεανίσκος καὶ λέγει μοι· Τί σὺ ὑπὸ χεῖρα αἰτεῖς ἀποκαλύψεις ἐν δεήσει;
βλέπε μήποτε πολλὰ αἰτούμενος βλάψῃς σου τὴν σάρκα. ἀρκοῦσίν σοι αἱ
ἀποκαλύψεις αὗται. μήτι δύνῃ ἰσχυροτέρας ἀποκαλύψεις ὧν ἑώρακας
ἰδεῖν; ἀποκριθεὶς αὐτῷ λέγω· Κύριε, τοῦτο μόνον αἰτοῦμαι, περὶ τῶν
τριῶν μορφῶν τῆς πρεσβυτέρας, ἵνα ἀποκάλυψις ὁλοτελὴς γένηται. ἀποκρι-
θείς μοι λέγει· Μέχρι τίνος ἀσύνετοί ἐστε; ἀλλ' αἱ διψυχίαι ὑμῶν ἀσυνέτους
ὑμᾶς ποιοῦσιν καὶ τὸ μὴ ἔχειν τὴν καρδίαν ὑμῶν πρὸς τὸν κύριον. ἀπο-
κριθεὶς αὐτῷ πάλιν εἶπον· Ἀλλ' ἀπὸ σοῦ, κύριε, ἀκριβέστερον αὐτὰ γνωσόμεθα.

Ἄκουε, φησίν, περὶ τῶν μορφῶν ὧν ἐπιζητεῖς. τῇ μὲν πρώτῃ ὁράσει
διατί πρεσβυτέρα ὤφθη σοι καὶ ἐπὶ καθέδραν καθημένη; ὅτι τὸ πνεῦμα ὑμῶν
πρεσβύτερον καὶ ἤδη μεμαραμμένον καὶ μὴ ἔχον δύναμιν ἀπὸ τῶν μαλακιῶν
ὑμῶν καὶ διψυχιῶν. ὥσπερ γὰρ οἱ πρεσβύτεροι, μηκέτι ἔχοντες ἐλπίδα

τοῦ ἀνανεῶσαι, οὐδὲν ἄλλο προσδοκῶσιν εἰ μὴ τὴν κοίμησιν αὐτῶν, οὕτως
καὶ ὑμεῖς μαλακισθέντες ἀπὸ τῶν βιωτικῶν πραγμάτων παρεδώκατε ἑαυ-
τοὺς εἰς τὰς ἀκηδίας καὶ οὐκ ἐπερίψατε ἑαυτῶν τὰς μερίμνας ἐπὶ τὸν κύριον·
ἀλλὰ ἐθραύσθη ὑμῶν ἡ διάνοια, καὶ ἐπαλαιώθητε ταῖς λύπαις ὑμῶν. Διατί
οὖν ἐν καθέδρᾳ ἐκάθητο, ἤθελον γνῶναι, κύριε. Ὅτι πᾶς ἀσθενὴς εἰς καθέ-
δραν καθέζεται διὰ τὴν ἀσθένειαν αὐτοῦ, ἵνα συνκρατηθῇ ἡ ἀσθένεια τοῦ
σώματος αὐτοῦ. ἔχεις τὸν τύπον τῆς πρώτης ὁράσεως.
Τῇ δὲ δευτέρᾳ ὁράσει εἶδες αὐτὴν ἑστηκυῖαν καὶ τὴν ὄψιν νεωτέραν ἔχου-
σαν καὶ ἱλαρωτέραν παρὰ τὸ πρότερον, τὴν δὲ σάρκα καὶ τὰς τρίχας πρεσ-
βυτέρας. ἄκουε, φησίν, καὶ ταύτην τὴν παραβολήν. ὅταν πρεσβύτερός τις,
ἤδη ἀφηλικὼς ἑαυτὸν διὰ τὴν ἀσθένειαν αὐτοῦ καὶ τὴν πτωχότητα, οὐδὲν
ἕτερον προσδέχεται εἰ μὴ τὴν ἐσχάτην ἡμέραν τῆς ζωῆς αὐτοῦ· εἶτα ἐξαίφ-
νης κατελείφθη αὐτῷ κληρονομία, ἀκούσας δὲ ἐξηγέρθη καὶ περιχαρὴς
γενόμενος ἐνεδύσατο τὴν ἰσχύν, καὶ οὐκέτι ἀνάκειται, ἀλλὰ ἕστηκεν, καὶ
ἀνανεοῦται αὐτοῦ τὸ πνεῦμα τὸ ἤδη ἐφθαρμένον ἀπὸ τῶν προτέρων αὐτοῦ
πράξεων, καὶ οὐκέτι κάθηται, ἀλλὰ ἀνδρίζεται· οὕτως καὶ ὑμεῖς, ἀκού-
σαντες τὴν ἀποκάλυψιν, ἣν ὑμῖν ὁ κύριος ἀπεκάλυψεν, ὅτι ἐσπλαγχνίσθη
ἐφ' ὑμᾶς καὶ ἀνενεώσατο τὰ πνεύματα ὑμῶν, καὶ ἀπέθεσθε τὰς μαλακίας
ὑμῶν, καὶ προσῆλθεν ὑμῖν ἰσχυρότης καὶ ἐνεδυναμώθητε ἐν τῇ πίστει,
καὶ ἰδὼν ὁ κύριος τὴν ἰσχυροποίησιν ὑμῶν ἐχάρη· καὶ διὰ τοῦτο ἐδήλωσεν
ὑμῖν τὴν οἰκοδομὴν τοῦ πύργου, καὶ ἕτερα δηλώσει, ἐὰν ἐξ ὅλης καρδίας εἰ-
ρηνεύετε ἐν ἑαυτοῖς.

Τῇ δὲ τρίτῃ ὁράσει εἶδες αὐτὴν νεωτέραν καὶ καλὴν καὶ ἱλαρὰν καὶ κα-
λὴν τὴν μορφὴν αὐτῆς· ὡς ἐὰν γάρ τινι λυπουμένῳ ἔλθῃ ἀγγελία ἀγαθή
τις, εὐθὺς ἐπελάθετο τῶν προτέρων λυπῶν καὶ οὐδὲν ἄλλο προσδέχεται εἰ
μὴ τὴν ἀγγελίαν ἣν ἤκουσεν, καὶ ἰσχυροποιεῖται λοιπὸν εἰς τὸ ἀγαθόν, καὶ
ἀνανεοῦται αὐτοῦ τὸ πνεῦμα διὰ τὴν χαρὰν ἣν ἔλαβεν· οὕτως καὶ ὑμεῖς ἀνανέω-
σιν εἰλήφατε τῶν πνευμάτων ὑμῶν ἰδόντες ταῦτα τὰ ἀγαθά. καὶ ὅτι ἐπὶ
συμψελίου εἶδες καθημένην, ἰσχυρὰ ἡ θέσις· ὅτι τέσσαρας πόδας ἔχει τὸ
συμψέλιον καὶ ἰσχυρῶς ἕστηκεν· καὶ γὰρ ὁ κόσμος διὰ τεσσάρων στοι-
χείων κρατεῖται. οἱ οὖν μετανοήσαντες ὁλοτελῶς νέοι ἔσονται καὶ τε-
θεμελιωμένοι, οἱ ἐξ ὅλης καρδίας μετανοήσαντες. ἀπέχεις ὁλοτελῆ τὴν
ἀποκάλυψιν· μηκέτι μηδὲν αἰτήσεις περὶ ἀποκαλύψεως· ἐάν τι δὲ δέῃ, ἀπο-
καλυφθήσεταί σοι.

Ὅρασις δ

ἣν εἶδον, ἀδελφοί, μετὰ ἡμέρας εἴκοσι τῆς προτέρας ὁράσεως τῆς γενο-
μένης, εἰς τύπον τῆς θλίψεως τῆς ἐπερχομένης. ὑπῆγον εἰς ἀγρὸν τῇ
ὁδῷ τῇ Καμπανῇ. ἀπὸ τῆς ὁδοῦ τῆς δημοσίας ἐστὶν ὡσεὶ στάδια δέκα· ·α-
δίως δὲ ὁδεύεται ὁ τόπος. μόνος οὖν περιπατῶν ἀξιῶ τὸν κύριον ἵνα
τὰς ἀποκαλύψεις καὶ τὰ ὁράματα ἅ μοι ἔδειξεν διὰ τῆς ἁγίας Ἐκκλησίας
αὐτοῦ τελειώσῃ, ἵνα με ἰσχυροποιήσῃ καὶ δῷ τὴν μετάνοιαν τοῖς δούλοις αὐ-
τοῦ τοῖς ἐσκανδαλισμένοις, ἵνα δοξασθῇ τὸ ὄνομα αὐτοῦ τὸ μέγα καὶ ἔν-
δοξον, ὅτι με ἄξιον ἡγήσατο τοῦ δεῖξαί μοι τὰ θαυμάσια αὐτοῦ. καὶ δοξά-
ζοντός μου καὶ εὐχαριστοῦντος αὐτῷ, ὡς ἦχος φωνῆς μοι ἀπεκρίθη· Μὴ
διψυχήσεις, Ἑρμᾶ. ἐν ἐμαυτῷ ἠρξάμην διαλογίζεσθαι καὶ λέγειν· Ἐγὼ

τί ἔχω διψυχῆσαι οὕτω τεθεμελιωμένος ὑπὸ τοῦ κυρίου καὶ ἰδὼν ἔνδοξα
πράγματα; καὶ προσέβην μικρόν, ἀδελφοί, καὶ ἰδοὺ βλέπω κονιορτὸν
ὡς εἰς τὸν οὐρανόν, καὶ ἠρξάμην λέγειν ἐν ἐμαυτῷ· Μήποτε κτήνη ἔρχον-
ται καὶ κονιορτὸν ἐγείρουσιν; οὕτω δὲ ἦν ἀπ' ἐμοῦ ὡς ἀπὸ σταδίου. γινο-
μένου μείζονος καὶ μείζονος κονιορτοῦ ὑπενόησα εἶναί τι θεῖον· μικρὸν
ἐξέλαμψεν ὁ ἥλιος, καὶ ἰδοὺ βλέπω θηρίον μέγιστον ὡσεὶ κῆτός τι, καὶ ἐκ
τοῦ στόματος αὐτοῦ ἀκρίδες πύριναι ἐξεπορεύοντο. ἦν δὲ τὸ θηρίον τῷ μήκει
ὡσεὶ ποδῶν ρ, τὴν δὲ κεφαλὴν εἶχεν ὡσεὶ κεράμου. καὶ ἠρξάμην κλαίειν
καὶ ἐρωτᾶν τὸν κύριον ἵνα με λυτρώσηται ἐξ αὐτοῦ. καὶ ἐπανεμνήσθην
τοῦ ·»ματος οὗ ἀκηκόειν· Μὴ διψυχήσεις, Ἑρμᾶ. ἐνδυσάμενος οὖν,
ἀδελφοί, τὴν πίστιν τοῦ κυρίου καὶ μνησθεὶς ὧν ἐδίδαξέν με μεγαλείων, θαρ-
σήσας εἰς τὸ θηρίον ἐμαυτὸν ἔδωκα. οὕτω δὲ ἤρχετο τὸ θηρίον ·οίζῳ, ὥστε
δύνασθαι αὐτὸ πόλιν λυμᾶναι. ἔρχομαι ἐγγὺς αὐτοῦ, καὶ τὸ τηλικοῦτο
κῆτος ἐκτείνει ἑαυτὸ χαμαὶ καὶ οὐδὲν εἰ μὴ τὴν γλῶσσαν προέβαλλεν, καὶ
ὅλως οὐκ ἐκινήθη μέχρις ὅτε παρῆλθον αὐτό· εἶχεν δὲ τὸ θηρίον ἐπὶ τῆς
κεφαλῆς χρώματα τέσσερα· μέλαν, εἶτα πυροειδὲς καὶ αἱματῶδες, εἶτα χρυ-
σοῦν, εἶτα λευκόν.

Μετὰ δὲ τὸ παρελθεῖν με τὸ θηρίον καὶ προελθεῖν ὡσεὶ πόδας λ, ἰδοὺ
ὑπαντᾷ μοι παρθένος κεκοσμημένη ὡς ἐκ νυμφῶνος ἐκπορευομένη, ὅλη ἐν
λευκοῖς καὶ ὑποδήμασιν λευκοῖς, κατακεκαλυμμένη ἕως τοῦ μετώπου,
ἐν μίτρᾳ δὲ ἦν ἡ κατακάλυψις αὐτῆς· εἶχεν δὲ τὰς τρίχας αὐτῆς λευκάς.
ἔγνων ἐγὼ ἐκ τῶν προτέρων ὁραμάτων ὅτι ἡ Ἐκκλησία ἐστίν, καὶ ἱλαρώ-
τερος ἐγενόμην. ἀσπάζεταί με λέγουσα· Χαῖρε σύ, ἄνθρωπε· καὶ ἐγὼ
αὐτὴν ἀντησπασάμην· Κυρία, χαῖρε· ἀποκριθεῖσά μοι λέγει· Οὐδέν

σοι ἀπήντησεν; λέγω αὐτῇ· Κυρία, τηλικοῦτο θηρίον, δυνάμενον λαοὺς
διαφθεῖραι· ἀλλὰ τῇ δυνάμει τοῦ κυρίου καὶ τῇ πολυσπλαγχνίᾳ αὐτοῦ ἐξέφυ-
γον αὐτό. Καλῶς ἐξέφυγες, φησίν, ὅτι τὴν μέριμνάν σου ἐπὶ τὸν θεὸν
ἐπέριψας καὶ τὴν καρδίαν σου ἤνοιξας πρὸς τὸν κύριον, πιστεύσας ὅτι δι'
οὐδενὸς δύνῃ σωθῆναι εἰ μὴ διὰ τοῦ μεγάλου καὶ ἐνδόξου ὀνόματος. διὰ
τοῦτο ὁ κύριος ἀπέστειλεν τὸν ἄγγελον αὐτοῦ τὸν ἐπὶ τῶν θηρίων ὄντα, οὗ
τὸ ὄνομά ἐστιν Θεγρί, καὶ ἐνέφραξεν τὸ στόμα αὐτοῦ, ἵνα μή σε λυμάνῃ. με-
γάλην θλῖψιν ἐκπέφευγας διὰ τὴν πίστιν σου, καὶ ὅτι τηλικοῦτο θηρίον
ἰδὼν οὐκ ἐδιψύχησας· ὕπαγε οὖν καὶ ἐξήγησαι τοῖς ἐκλεκτοῖς τοῦ κυρίου
τὰ μεγαλεῖα αὐτοῦ, καὶ εἰπὲ αὐτοῖς ὅτι τὸ θηρίον τοῦτο τύπος ἐστὶν θλί-
ψεως τῆς μελλούσης τῆς μεγάλης· ἐὰν οὖν προετοιμάσησθε καὶ μετα-
νοήσητε ἐξ ὅλης καρδίας ὑμῶν πρὸς τὸν κύριον, δυνήσεσθε ἐκφυγεῖν αὐτήν,
ἐὰν ἡ καρδία ὑμῶν γένηται καθαρὰ καὶ ἄμωμος, καὶ τὰς λοιπὰς τῆς ζωῆς
ἡμέρας ὑμῶν δουλεύσητε τῷ κυρίῳ ἀμέμπτως. ἐπιρίψατε τὰς μερίμνας
ὑμῶν ἐπὶ τὸν κύριον, καὶ αὐτὸς κατορθώσει αὐτάς. πιστεύσατε τῷ
κυρίῳ, οἱ δίψυχοι, ὅτι πάντα δύναται καὶ ἀποστρέφει τὴν ὀργὴν αὐτοῦ
ἀφ' ὑμῶν καὶ ἐξαποστέλλει μάστιγας ὑμῖν τοῖς διψύχοις. οὐαὶ τοῖς ἀκού-
σασιν τὰ ·»ματα ταῦτα καὶ παρακούσασιν· αἱρετώτερον ἦν αὐτοῖς τὸ μὴ
γεννηθῆναι.

Ἠρώτησα αὐτὴν περὶ τῶν τεσσάρων χρωμάτων ὧν εἶχεν τὸ θηρίον εἰς
τὴν κεφαλήν. ἡ δὲ ἀποκριθεῖσά μοι λέγει· Πάλιν περίεργος εἶ περὶ τοιού-
των πραγμάτων. Ναί, φημί, κυρία· γνώρισόν μοι τί ἐστιν ταῦτα. Ἄκουε,

φησίν· τὸ μὲν μέλαν οὗτος ὁ κόσμος ἐστίν, ἐν ᾧ κατοικεῖτε· τὸ δὲ πυρο-
ειδὲς καὶ αἱματῶδες, ὅτι δεῖ τὸν κόσμον τοῦτον δι' αἵματος καὶ πυρὸς ἀπόλ-
λυσθαι· τὸ δὲ χρυσοῦν μέρος ὑμεῖς ἐστε οἱ ἐκφυγόντες τὸν κόσμον τοῦ-
τον. ὥσπερ γὰρ τὸ χρυσίον δοκιμάζεται διὰ τοῦ πυρὸς καὶ εὔχρηστον
γίνεται, οὕτως καὶ ὑμεῖς δοκιμάζεσθε οἱ κατοικοῦντες ἐν αὐτοῖς. οἱ οὖν μεί-
ναντες καὶ πυρωθέντες ὑπ' αὐτῶν καθαρισθήσεσθε. ὥσπερ τὸ χρυσίον ἀπο-
βάλλει τὴν σκωρίαν αὐτοῦ, οὕτω καὶ ὑμεῖς ἀποβαλεῖτε πᾶσαν λύπην καὶ
στενοχωρίαν, καὶ καθαρισθήσεσθε καὶ χρήσιμοι ἔσεσθε εἰς τὴν οἰκοδο-
μὴν τοῦ πύργου. τὸ δὲ λευκὸν μέρος ὁ αἰὼν ὁ ἐπερχόμενός ἐστιν, ἐν
ᾧ κατοικήσουσιν οἱ ἐκλεκτοὶ τοῦ θεοῦ· ὅτι ἄσπιλοι καὶ καθαροὶ ἔσονται οἱ
ἐκλελεγμένοι ὑπὸ τοῦ θεοῦ εἰς ζωὴν αἰώνιον. σὺ οὖν μὴ διαλίπῃς λαλῶν
εἰς τὰ ὦτα τῶν ἁγίων. ἔχετε καὶ τὸν τύπον τῆς θλίψεως τῆς ἐρχομένης με-
γάλης. ἐὰν δὲ ὑμεῖς θελήσητε, οὐδὲν ἔσται. μνημονεύετε τὰ προγεγραμμένα.
ταῦτα εἴπασα ἀπῆλθεν καὶ οὐκ εἶδον ποίῳ τόπῳ ἀπῆλθεν· νέφος γὰρ ἐγέ-
νετο· κἀγὼ ἐπεστράφην εἰς τὰ ὀπίσω φοβηθείς, δοκῶν ὅτι τὸ θηρίον ἔρχεται.

Ἀποκάλυψις ε

Προσευξαμένου μου ἐν τῷ οἴκῳ καὶ καθίσαντος εἰς τὴν κλίνην εἰσῆλθεν
ἀνήρ τις ἔνδοξος τῇ ὄψει, σχήματι ποιμενικῷ, περικείμενος δέρμα αἴγειον
λευκόν, καὶ πήραν ἔχων ἐπὶ τὸν ὦμον καὶ ·άβδον εἰς τὴν χεῖρα. καὶ ἠσπά-
σατό με, κἀγὼ ἀντησπασάμην αὐτόν. καὶ εὐθὺς παρεκάθισέν μοι καὶ
λέγει μοι· Ἀπεστάλην ἀπὸ τοῦ σεμνοτάτου ἀγγέλου, ἵνα μετὰ σοῦ οἰκήσω

τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς σου. ἔδοξα ἐγὼ ὅτι πάρεστιν ἐκπειράζων
με, καὶ λέγω αὐτῷ· Σὺ γὰρ τίς εἶ; ἐγὼ γάρ, φημί, γινώσκω ᾧ
παρεδόθην.
λέγει μοι· Οὐκ ἐπιγινώσκεις με; Οὔ, φημί. Ἐγώ, φησίν, εἰμὶ ὁ ποιμὴν ᾧ
παρεδόθης. ἔτι λαλοῦντος αὐτοῦ ἠλλοιώθη ἡ ἰδέα αὐτοῦ, καὶ ἐπέγνων
αὐτόν, ὅτι ἐκεῖνος ἦν, ᾧ παρεδόθην, καὶ εὐθὺς συνεχύθην, καὶ φόβος
με ἔλα-
βεν, καὶ ὅλος συνεκόπην ἀπὸ τῆς λύπης, ὅτι οὕτως αὐτῷ ἀπεκρίθην
πονηρῶς
καὶ ἀφρόνως. ὁ δὲ ἀποκριθείς μοι λέγει· Μὴ συνχύννου, ἀλλὰ ἰσχυρο-
ποιοῦ ἐν ταῖς ἐντολαῖς μου, αἷς σοι μέλλω ἐντέλλεσθαι. ἀπεστάλην
γάρ, φη-
σίν, ἵνα ἃ εἶδες πρότερον πάντα σοι πάλιν δείξω, αὐτὰ τὰ κεφάλαια
τὰ
ὄντα ὑμῖν σύμφορα. πρῶτον πάντων τὰς ἐντολάς μου γράψον καὶ τὰς
παρα-
βολάς· τὰ δὲ ἕτερα καθώς σοι δείξω οὕτως γράψεις· διὰ τοῦτο, φησίν,
ἐντέλλομαί σοι πρῶτον γράψαι τὰς ἐντολὰς καὶ παραβολάς, ἵνα ὑπὸ
χεῖρα
ἀναγινώσκῃς αὐτὰς καὶ δυνηθῇς φυλάξαι αὐτάς. ἔγραψα οὖν τὰς
ἐντο-
λὰς καὶ παραβολάς, καθὼς ἐνετείλατό μοι. ἐὰν οὖν ἀκούσαντες
αὐτὰς φυ-
λάξητε καὶ ἐν αὐταῖς πορευθῆτε καὶ ἐργάσησθε αὐτὰς ἐν καθαρᾷ
καρδίᾳ,
ἀπολήμψεσθε ἀπὸ τοῦ κυρίου ὅσα ἐπηγγείλατο ὑμῖν· ἐὰν δὲ
ἀκούσαντες
μὴ μετανοήσητε, ἀλλ' ἔτι προσθῆτε ταῖς ἁμαρτίαις ὑμῶν,
ἀπολήμψεσθε
παρὰ τοῦ κυρίου τὰ ἐναντία. ταῦτά μοι πάντα οὕτως γράψαι ὁ ποιμὴν
ἐνετείλατο, ὁ ἄγγελος τῆς μετανοίας.

Ἐντολὴ α

Πρῶτον πάντων πίστευσον ὅτι εἷς ἐστιν ὁ θεός, ὁ τὰ πάντα κτίσας
καὶ
καταρτίσας καὶ ποιήσας ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὰ πάντα, καὶ
πάντα
χωρῶν, μόνος δὲ ἀχώρητος ὤν. πίστευσον οὖν αὐτῷ καὶ φοβήθητι
αὐτόν,

φοβηθεὶς δὲ ἐνκράτευσαι. ταῦτα φύλασσε καὶ ἀποβαλεῖς πᾶσαν πονηρίαν
ἀπὸ σεαυτοῦ καὶ ἐνδύσῃ πᾶσαν ἀρετὴν δικαιοσύνης, καὶ ζήσῃ τῷ θεῷ, ἐὰν
φυλάξῃς τὴν ἐντολὴν ταύτην.

Ἐντολὴ β

Λέγει μοι· Ἁπλότητα ἔχε καὶ ἄκακος γίνου καὶ ἔσῃ ὡς τὰ νήπια τὰ μὴ
γινώσκοντα τὴν πονηρίαν τὴν ἀπολλύουσαν τὴν ζωὴν τῶν ἀνθρώπων.
πρῶτον μὲν μηδενὸς καταλάλει, μηδὲ ἡδέως ἄκουε καταλαλοῦντος· εἰ δὲ
μή, καὶ σὺ ὁ ἀκούων ἔνοχος ἔσῃ τῆς ἁμαρτίας τοῦ καταλαλοῦντος, ἐὰν
πιστεύσῃς τῇ καταλαλιᾷ ᾗ ἂν ἀκούσῃς· πιστεύσας γὰρ καὶ σὺ αὐτὸς ἕξεις
κατὰ τοῦ ἀδελφοῦ σου. οὕτως οὖν ἔνοχος ἔσῃ τῆς ἁμαρτίας τοῦ καταλα-
λοῦντος. πονηρὰ ἡ καταλαλιά· ἀκατάστατον δαιμόνιόν ἐστιν, μηδέ-
ποτε εἰρηνεῦον, ἀλλὰ πάντοτε ἐν διχοστασίαις κατοικοῦν. ἀπέχου οὖν ἀπ'
αὐτοῦ, καὶ εὐθηνίαν πάντοτε ἕξεις μετὰ πάντων. ἔνδυσαι δὲ τὴν σεμ-
νότητα, ἐν ᾗ οὐδὲν πρόσκομμά ἐστιν πονηρόν, ἀλλὰ πάντα ὁμαλὰ καὶ
ἱλαρά. ἐργάζου τὸ ἀγαθόν, καὶ ἐκ τῶν κόπων σου, ὧν ὁ θεὸς δίδωσίν σοι,
πᾶσιν ὑστερουμένοις δίδου ἁπλῶς, μὴ διστάζων τίνι δῷς ἢ τίνι μὴ δῷς.
πᾶσιν δίδου· πᾶσιν γὰρ ὁ θεὸς δίδοσθαι θέλει ἐκ τῶν ἰδίων δωρημάτων.
οἱ οὖν λαμβάνοντες ἀποδώσουσιν λόγον τῷ θεῷ, διατί ἔλαβον καὶ εἰς τί·
οἱ μὲν γὰρ λαμβάνοντες θλιβόμενοι οὐ δικασθήσονται, οἱ δὲ ἐν ὑποκρίσει
λαμβάνοντες τίσουσιν δίκην. ὁ οὖν διδοὺς ἀθῷός ἐστιν· ὡς γὰρ ἔλαβεν
παρὰ τοῦ κυρίου τὴν διακονίαν τελέσαι, ἁπλῶς αὐτὴν ἐτέλεσεν μηθὲν
διακρίνων τίνι δῷ ἢ μὴ δῷ. ἐγένετο οὖν ἡ διακονία αὕτη ἁπλῶς
τελεσθεῖσα ἔνδοξος παρὰ τῷ θεῷ. ὁ οὖν οὕτως ἁπλῶς διακονῶν τῷ θεῷ ζήσεται. φύ-
λασσε οὖν τὴν ἐντολὴν ταύτην, ὥς σοι λελάληκα, ἵνα ἡ μετάνοιά σου καὶ ἡ

τοῦ οἴκου σου ἐν ἁπλότητι εὑρεθῇ καὶ καθαρὰ καὶ ἄκακος καὶ ἀμίαντος.

Ἐντολὴ γ

Πάλιν μοι λέγει· Ἀλήθειαν ἀγάπα, καὶ πᾶσα ἀλήθεια ἐκ τοῦ στόματός σου ἐκπορευέσθω, ἵνα τὸ πνεῦμα, ὃ ὁ θεὸς κατόκισεν ἐν τῇ σαρκὶ ταύτῃ,
ἀληθὲς εὑρεθῇ παρὰ πᾶσιν ἀνθρώποις, καὶ οὕτως δοξασθήσεται ὁ κύριος
ὁ ἐν σοὶ κατοικῶν· ὅτι ὁ κύριος ἀληθινὸς ἐν παντὶ ·»ματι, καὶ οὐδὲν παρ'
αὐτῷ ψεῦδος. οἱ οὖν ψευδόμενοι ἀθετοῦσι τὸν κύριον καὶ γίνονται ἀποστε-
ρηταὶ τοῦ κυρίου, μὴ παραδιδόντες αὐτῷ τὴν παρακαταθήκην ἣν ἔλαβον.
ἔλαβον γὰρ παρ' αὐτοῦ πνεῦμα ἄψευστον. τοῦτο ἐὰν ψευδὲς ἀποδώσω-
σιν, ἐμίαναν τὴν ἐντολὴν τοῦ κυρίου καὶ ἐγένοντο ἀποστερηταί. ταῦτα
οὖν ἀκούσας ἐγὼ ἔκλαυσα λίαν. ἰδὼν δέ με κλαίοντα λέγει· Τί κλαίεις;
Ὅτι, φημί, κύριε, οὐκ οἶδα εἰ δύναμαι σωθῆναι. Διατί; φησίν. Οὐδέπω
γάρ, φημί, κύριε, ἐν τῇ ἐμῇ ζωῇ ἀληθὲς ἐλάλησα ῥῆμα, ἀλλὰ πάντοτε πανούρ-
γως ἔζησα μετὰ πάντων, καὶ τὸ ψεῦδός μου ἀληθὲς ἐπέδειξα παρὰ πᾶσιν
ἀνθρώποις· καὶ οὐδέποτέ μοι οὐδεὶς ἀντεῖπεν, ἀλλ' ἐπιστεύθη τῷ λόγῳ μου.
πῶς οὖν, φημί, κύριε, δύναμαι ζῆσαι ταῦτα πράξας; Σὺ μέν, φησί, κα-
λῶς καὶ ἀληθῶς φρονεῖς· ἔδει γάρ σε ὡς θεοῦ δοῦλον ἐν ἀληθείᾳ πορεύ-
εσθαι καὶ πονηρὰν συνείδησιν μετὰ τοῦ πνεύματος τῆς ἀληθείας μὴ κατ-
οικεῖν, μηδὲ λύπην ἐπάγειν τῷ πνεύματι τῷ σεμνῷ καὶ ἀληθεῖ. Οὐδέ-
ποτε, φημί, κύριε, τοιαῦτα ·»ματα ἀκριβῶς ἤκουσα. Νῦν οὖν, φησίν,
ἀκούεις· φύλασσε αὐτά, ἵνα καὶ τὰ πρότερα ἃ ἐλάλησας ψευδῆ ἐν ταῖς πραγ-
ματείαις σου, τούτων εὑρεθέντων ἀληθινῶν, κἀκεῖνα πιστὰ γένηται· δύνα-
ται γὰρ κἀκεῖνα πιστὰ γενέσθαι. ἐὰν ταῦτα φυλάξῃς καὶ ἀπὸ τοῦ νῦν πᾶσαν

ἀλήθειαν λαλήσῃς, δυνήσῃ σεαυτῷ ζωὴν περιποιήσασθαι. καὶ ὃς ἂν ἀκούσῃ
τὴν ἐντολὴν ταύτην καὶ ἀφέξεται τοῦ πονηροτάτου ψεύσματος, ζήσεται
τῷ θεῷ.

Ἐντολὴ δ

Ἐντέλλομαί σοι, φησίν, φυλάσσειν τὴν ἁγνείαν, καὶ μὴ ἀναβαινέτω
σου ἐπὶ τὴν καρδίαν περὶ γυναικὸς ἀλλοτρίας ἢ περὶ πορνείας τινος ἢ περὶ
τοιούτων τινῶν ὁμοιωμάτων πονηρῶν. τοῦτο γὰρ ποιῶν μεγάλην ἁμαρ-
τίαν ἐργάζῃ. τῆς δὲ σῆς μνημονεύων πάντοτε γυναικὸς οὐδέποτε δι-
αμαρτήσεις. ἐὰν γὰρ αὕτη ἡ ἐνθύμησις ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, δι-
αμαρτήσεις, καὶ ἐὰν ἕτερα οὕτως πονηρά, ἁμαρτίαν ἐργάζῃ. ἡ γὰρ ἐνθύμησις
αὕτη θεοῦ δούλῳ ἁμαρτία μεγάλη ἐστίν· ἐὰν δέ τις ἐργάσηται τὸ ἔργον
τὸ πονηρὸν τοῦτο, θάνατον ἑαυτῷ κατεργάζεται. βλέπε οὖν σύ· ἀπέχου
ἀπὸ τῆς ἐνθυμήσεως ταύτης· ὅπου γὰρ σεμνότης κατοικεῖ, ἐκεῖ ἀνομία
οὐκ ὀφείλει ἀναβαίνειν ἐπὶ καρδίαν ἀνδρὸς δικαίου. λέγω αὐτῷ· Κύριε,
ἐπίτρεψόν μοι ὀλίγα ἐπερωτῆσαί σε. Λέγε, φησίν. Κύριε, φημί, εἰ γυναῖκα
ἔχῃ τις πιστὴν ἐν κυρίῳ καὶ ταύτην εὕρῃ ἐν μοιχείᾳ τινί, ἆρα ἁμαρτάνει
ὁ ἀνὴρ συνζῶν μετ' αὐτῆς; Ἄχρι τῆς ἀγνοίας, φησίν, οὐχ ἁμαρτάνει·
ἐὰν δὲ γνοῖ ὁ ἀνὴρ τὴν ἁμαρτίαν αὐτῆς, καὶ μὴ μετανοήσῃ ἡ γυνή, ἀλλ' ἐπι-
μένῃ τῇ πορνείᾳ αὐτῆς, καὶ συνζῇ ὁ ἀνὴρ μετ' αὐτῆς, ἔνοχος γίνεται
τῆς ἁμαρτίας αὐτῆς καὶ κοινωνὸς τῆς μοιχείας αὐτῆς. Τί οὖν, φημί, κύριε,
ποιήσῃ ὁ ἀνήρ, ἐὰν ἐπιμείνῃ τῷ πάθει τούτῳ ἡ γυνή; Ἀπολυσάτω, φησίν,
αὐτήν, καὶ ὁ ἀνὴρ ἐφ' ἑαυτῷ μενέτω· ἐὰν δὲ ἀπολύσας τὴν γυναῖκα ἑτέραν
γαμήσῃ, καὶ αὐτὸς μοιχᾶται. Ἐὰν οὖν, φημί, κύριε, μετὰ τὸ ἀπολυθῆναι

τὴν γυναῖκα μετανοήσῃ ἡ γυνὴ καὶ θελήσῃ ἐπὶ τὸν ἑαυτῆς ἄνδρα ὑποστρέψαι, οὐ παραδεχθήσεται; Καὶ μήν, φησίν, ἐὰν μὴ παραδέξηται αὐτὴν ὁ ἀνήρ, ἁμαρτάνει καὶ μεγάλην ἁμαρτίαν ἑαυτῷ ἐπισπᾶται, ἀλλὰ
δεῖ παραδεχθῆναι τὸν ἡμαρτηκότα καὶ μετανοοῦντα· μὴ ἐπὶ πολὺ δέ· τοῖς
γὰρ δούλοις τοῦ θεοῦ μετάνοιά ἐστιν μία. διὰ τὴν μετάνοιαν οὖν οὐκ ὀφείλει
γαμεῖν ὁ ἀνήρ. αὕτη ἡ πρᾶξις ἐπὶ γυναικὶ καὶ ἀνδρὶ κεῖται. οὐ μόνον, φησίν, μοιχεία ἐστίν, ἐάν τις τὴν σάρκα αὐτοῦ μιάνῃ, ἀλλὰ καὶ ὃς ἂν τὰ
ὁμοιώματα ποιῇ τοῖς ἔθνεσιν, μοιχᾶται. ὥστε καὶ ἐν τοῖς τοιούτοις ἔργοις
ἐὰν ἐμμένῃ τις καὶ μὴ μετανοῇ, ἀπέχου ἀπ' αὐτοῦ καὶ μὴ συνζῆθι αὐτῷ·
εἰ δὲ μή, καὶ σὺ μέτοχος εἶ τῆς ἁμαρτίας αὐτοῦ. διὰ τοῦτο προσετάγη
ὑμῖν ἐφ' ἑαυτοῖς μένειν, εἴτε ἀνὴρ εἴτε γυνή· δύναται γὰρ ἐν τοῖς τοιούτοις
μετάνοια εἶναι. ἐγὼ οὖν, φησίν, οὐ δίδωμι ἀφορμὴν ἵνα αὕτη ἡ πρᾶξις
οὕτως συντελῆται, ἀλλὰ εἰς τὸ μηκέτι ἁμαρτάνειν τὸν ἡμαρτηκότα. περὶ δὲ
τῆς προτέρας ἁμαρτίας αὐτοῦ ἔστιν ὁ δυνάμενος ἴασιν δοῦναι· αὐτὸς γάρ
ἐστιν ὁ ἔχων πάντων τὴν ἐξουσίαν.

Ἠρώτησα αὐτὸν πάλιν λέγων· Ἐπεὶ ὁ κύριος ἄξιόν με ἡγήσατο ἵνα μετ'
ἐμοῦ πάντοτε κατοικῇς, ὀλίγα μου ·»ματα ἔτι ἀνάσχου, ἐπεὶ οὐ συνίω οὐδέν,
καὶ ἡ καρδία μου πεπώρωται ἀπὸ τῶν προτέρων μου πράξεων· συνέτισόν με,
ὅτι λίαν ἄφρων εἰμὶ καὶ ὅλως οὐθὲν νοῶ. ἀποκριθείς μοι λέγει· Ἐγώ, φησίν, ἐπὶ τῆς μετανοίας εἰμὶ καὶ πᾶσιν τοῖς μετανοοῦσιν σύνεσιν δίδωμι. ἢ
οὐ δοκεῖ σοι, φησίν, αὐτὸ τοῦτο τὸ μετανοῆσαι σύνεσιν εἶναι; τὸ μετανοῆσαι,
φησίν, σύνεσίς ἐστιν μεγάλη. συνίει γὰρ ὁ ἁμαρτήσας ὅτι πεποίηκεν τὸ
πονηρὸν ἔμπροσθεν τοῦ κυρίου καὶ ἀναβαίνει ἐπὶ τὴν καρδίαν αὐτοῦ ἡ πρᾶξις
ἣν ἔπραξεν, καὶ μετανοεῖ καὶ οὐκέτι ἐργάζεται τὸ πονηρόν, ἀλλὰ τὸ ἀγαθὸν

πολυτελῶς ἐργάζεται, καὶ ταπεινοῖ τὴν ἑαυτοῦ ψυχὴν καὶ βασανίζει, ὅτι
ἥμαρτεν. βλέπεις οὖν ὅτι ἡ μετάνοια σύνεσίς ἐστιν μεγάλη, Διὰ τοῦτο οὖν,
φημί, κύριε, ἐξακριβάζομαι παρὰ σοῦ πάντα· πρῶτον μὲν ὅτι ἁμαρτωλός
εἰμι, ἵνα γνῶ ποῖα ἔργα ἐργαζόμενος ζήσομαι, ὅτι πολλαί μού εἰσιν αἱ ἁμαρτίαι
καὶ ποικίλαι. Ζήσῃ, φησίν, ἐὰν τὰς ἐντολάς μου φυλάξῃς καὶ πορευθῇς ἐν
αὐταῖς· καὶ ὃς ἂν ἀκούσας τὰς ἐντολὰς ταύτας φυλάξῃ, ζήσεται τῷ θεῷ.

Ἔτι, φημί, κύριε, προσθήσω τοῦ ἐπερωτῆσαι. Λέγε, φησίν. Ἤκουσα,
φημί, κύριε, παρά τινων διδασκάλων, ὅτι ἑτέρα μετάνοια οὐκ ἔστιν εἰ μὴ
ἐκείνη, ὅτε εἰς ὕδωρ κατέβημεν καὶ ἐλάβομεν ἄφεσιν ἁμαρτιῶν ἡμῶν τῶν
προτέρων. λέγει μοι· Καλῶς ἤκουσας· οὕτω γὰρ ἔχει. ἔδει γὰρ τὸν εἰλη-
φότα ἄφεσιν ἁμαρτιῶν μηκέτι ἁμαρτάνειν, ἀλλ' ἐν ἁγνείᾳ κατοικεῖν. ἐπεὶ
δὲ πάντα ἐξακριβάζῃ, καὶ τοῦτό σοι δηλώσω, μὴ διδοὺς ἀφορμὴν τοῖς
μέλλουσι πιστεύειν ἢ τοῖς νῦν πιστεύσασιν εἰς τὸν κύριον. οἱ γὰρ νῦν πιστεύ-
σαντες ἢ μέλλοντες πιστεύειν μετάνοιαν ἁμαρτιῶν οὐκ ἔχουσιν, ἄφεσιν δὲ
ἔχουσι τῶν προτέρων ἁμαρτιῶν αὐτῶν. τοῖς οὖν κληθεῖσι πρὸ τούτων τῶν
ἡμερῶν ἔθηκεν ὁ κύριος μετάνοιαν. καρδιογνώστης γὰρ ὢν ὁ κύριος καὶ πάντα
προγινώσκων ἔγνω τὴν ἀσθένειαν τῶν ἀνθρώπων καὶ τὴν πολυπλοκίαν τοῦ
διαβόλου, ὅτι ποιήσει τι κακὸν τοῖς δούλοις τοῦ θεοῦ καὶ πονηρεύσεται εἰς
αὐτούς. πολύσπλαγχνος οὖν [ὢν] ὁ κύριος ἐσπλαγχνίσθη ἐπὶ τὴν ποίησιν
αὐτοῦ καὶ ἔθηκεν τὴν μετάνοιαν ταύτην, καὶ ἐμοὶ ἡ ἐξουσία τῆς μετανοίας
ταύτης ἐδόθη. ἀλλὰ ἐγώ σοι λέγω, φησί· μετὰ τὴν κλῆσιν ἐκείνην τὴν

μεγάλην καὶ σεμνὴν ἐάν τις ἐκπειρασθεὶς ὑπὸ τοῦ διαβόλου ἁμαρτήσῃ, μίαν
μετάνοιαν ἔχει· ἐὰν δὲ ὑπὸ χεῖρα ἁμαρτάνῃ καὶ μετανοήσῃ, ἀσύμφορόν ἐστι
τῷ ἀνθρώπῳ τῷ τοιούτῳ· δυσκόλως γὰρ ζήσεται. λέγω αὐτῷ· Ἐζωο-
ποιήθην ταῦτα παρὰ σοῦ ἀκούσας οὕτως ἀκριβῶς· οἶδα γὰρ ὅτι, ἐὰν μηκέτι
προσθήσω ταῖς ἁμαρτίαις μου, σωθήσομαι. Σωθήσῃ, φησίν, καὶ πάντες ὅσοι
ἐὰν ταῦτα ποιήσωσιν.

Ἠρώτησα αὐτὸν πάλιν λέγων· Κύριε, ἐπεὶ ἅπαξ ἀνέχῃ μου, ἔτι μοι καὶ
τοῦτο δήλωσον. Λέγε, φησίν. Ἐὰν γυνή, φημί, κύριε, ἢ πάλιν ἀνήρ τις
κοιμηθῇ καὶ γαμήσῃ τις ἐξ αὐτῶν, μήτι ἁμαρτάνει ὁ γαμῶν; Οὐχ ἁμαρ-
τάνει, φησίν· ἐὰν δὲ ἐφ' ἑαυτῷ μείνῃ τις, περισσοτέραν ἑαυτῷ τιμὴν καὶ
μεγάλην δόξαν περιποιεῖται πρὸς τὸν κύριον· ἐὰν δὲ καὶ γαμήσῃ, οὐχ
ἁμαρτάνει. τήρει οὖν τὴν ἁγνείαν καὶ τὴν σεμνότητα, καὶ ζήσῃ τῷ θεῷ
ταῦτά σοι ὅσα λαλῶ ἢ καὶ μέλλω λαλεῖν, φύλασσε ἀπὸ τοῦ νῦν, ἀφ' ἧς μοι
παρεδόθης ἡμέρας, καὶ εἰς τὸν οἶκόν σου κατοικήσω. τοῖς δὲ προτέροις
σου παραπτώμασιν ἄφεσις ἔσται, ἐὰν τὰς ἐντολάς μου φυλάξῃς. καὶ πᾶσι δὲ
ἄφεσις ἔσται, ἐὰν τὰς ἐντολάς μου ταύτας φυλάξωσι καὶ πορευθῶσιν ἐν τῇ
ἁγνότητι ταύτῃ.

Ἐντολὴ ε

Μακρόθυμος, φησί, γίνου καὶ συνετός, καὶ πάντων τῶν πονηρῶν ἔργων
κατακυριεύσεις καὶ ἐργάσῃ πᾶσαν δικαιοσύνην. ἐὰν γὰρ μακρόθυμος ἔσῃ,
τὸ πνεῦμα τὸ ἅγιον τὸ κατοικοῦν ἐν σοὶ καθαρὸν ἔσται, μὴ ἐπισκοτούμενον
ὑπὸ ἑτέρου πονηροῦ πνεύματος, ἀλλ' ἐν εὐρυχώρῳ κατοικοῦν ἀγαλλιάσεται
καὶ εὐφρανθήσεται μετὰ τοῦ σκεύους ἐν ᾧ κατοικεῖ, καὶ λειτουργήσει τῷ

θεῷ ἐν ἱλαρότητι πολλῇ, ἔχον τὴν εὐθηνίαν ἐν ἑαυτῷ. ἐὰν δὲ ὀξυχολία τις
προσέλθῃ, εὐθὺς τὸ πνεῦμα τὸ ἅγιον, τρυφερὸν ὄν, στενοχωρεῖται, μὴ ἔχον
τὸν τόπον καθαρόν, καὶ ζητεῖ ἀποστῆναι ἐκ τοῦ τόπου· πνίγεται γὰρ ὑπὸ τοῦ
πονηροῦ πνεύματος, μὴ ἔχον τόπον λειτουργῆσαι τῷ κυρίῳ καθὼς βούλεται,
μιαινόμενον ὑπὸ τῆς ὀξυχολίας. ἐν γὰρ τῇ μακροθυμίᾳ ὁ κύριος κατοικεῖ, ἐν
δὲ τῇ ὀξυχολίᾳ ὁ διάβολος. ἀμφότερα οὖν τὰ πνεύματα ἐπὶ τὸ αὐτὸ κατοι-
κοῦντα, ἀσύμφορόν ἐστιν καὶ πονηρὸν τῷ ἀνθρώπῳ ἐκείνῳ ἐν ᾧ κατοικοῦσιν.
ἐὰν γὰρ λάβῃς ἀψινθίου μικρὸν λίαν καὶ εἰς κεράμιον μέλιτος ἐπιχέῃς, οὐχὶ
ὅλον τὸ μέλι ἀφανίζεται, καὶ τοσοῦτον μέλι ὑπὸ τοῦ ἐλαχίστου ἀψινθίου
ἀπόλλυται καὶ ἀπολλύει τὴν γλυκύτητα τοῦ μέλιτος, καὶ οὐκέτι τὴν αὐτὴν
χάριν ἔχει παρὰ τῷ δεσπότῃ, ὅτι ἐπικράνθη καὶ τὴν χρῆσιν αὐτοῦ ἀπώλεσεν;
ἐὰν δὲ εἰς τὸ μέλι μὴ βληθῇ τὸ ἀψίνθιον, γλυκὺ εὑρίσκεται τὸ μέλι καὶ εὔ-
χρηστον γίνεται τῷ δεσπότῃ αὐτοῦ. βλέπεις ὅτι ἡ μακροθυμία γλυκυτάτη
ἐστὶν ὑπὲρ τὸ μέλι καὶ εὔχρηστός ἐστι τῷ κυρίῳ, καὶ ἐν αὐτῇ κατοικεῖ. ἡ δὲ
ὀξυχολία πικρὰ καὶ ἄχρηστός ἐστιν. ἐὰν οὖν μιγῇ ἡ ὀξυχολία τῇ μακροθυμίᾳ,
μιαίνεται ἡ μακροθυμία, καὶ οὐκ εὔχρηστός ἐστι τῷ θεῷ ἡ ἔντευξις αὐτῆς.
Ἤθελον, φημί, κύριε, γνῶναι τὴν ἐνέργειαν τῆς ὀξυχολίας, ἵνα φυλάξωμαι
ἀπ' αὐτῆς. Καὶ μήν, φησίν, ἐὰν μὴ φυλάξῃ ἀπ' αὐτῆς σὺ καὶ ὁ οἶκός σου,
ἀπώλεσάς σου τὴν πᾶσαν ἐλπίδα. ἀλλὰ φύλαξαι ἀπ' αὐτῆς· ἐγὼ γὰρ μετὰ
σοῦ εἰμί. καὶ πάντες δὲ ἀφέξονται ἀπ' αὐτῆς, ὅσοι ἂν μετανοήσωσιν ἐξ

ὅλης τῆς καρδίας αὐτῶν· μετ' αὐτῶν γὰρ ἔσομαι καὶ συντηρήσω αὐτούς·
ἐδικαιώθησαν γὰρ πάντες ὑπὸ τοῦ σεμνοτάτου ἀγγέλου.

Ἄκουε <νῦν>, φησί, τὴν ἐνέργειαν τῆς ὀξυχολίας, πῶς πονηρά ἐστι, καὶ
πῶς τοὺς δούλους τοῦ θεοῦ καταστρέφει τῇ ἑαυτῆς ἐνεργείᾳ, καὶ πῶς ἀπο-
πλανᾷ αὐτοὺς ἀπὸ τῆς δικαιοσύνης. οὐκ ἀποπλανᾷ δὲ τοὺς πλήρεις ὄντας
ἐν τῇ πίστει, οὐδὲ ἐνεργῆσαι δύναται εἰς αὐτούς, ὅτι ἡ δύναμις τοῦ
κυρίου μετ' αὐτῶν ἐστιν· ἀποπλανᾷ δὲ τοὺς ἀποκένους καὶ διψύχους
ὄντας. ὅταν γὰρ ἴδῃ τοὺς τοιούτους ἀνθρώπους εὐσταθοῦντας,
παρεμβάλλει ἑαυτὴν εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου ἐκείνου, καὶ ἐκ τοῦ μηδενὸς ἡ γυνὴ ἢ ὁ ἀνὴρ ἐν
πικρίᾳ γίνεται ἕνεκεν βιωτικῶν πραγμάτων, ἢ περὶ ἐδεσμάτων ἢ μικρολογίας
τινος, ἢ <περὶ> φίλου τινος, ἢ περὶ δόσεως ἢ λήψεως, ἢ περὶ τοιούτων μωρῶν
πραγμάτων. ταῦτα γὰρ πάντα μωρά ἐστι καὶ κενὰ καὶ ἄφρονα καὶ ἀσύμφορα
τοῖς δούλοις τοῦ θεοῦ. ἡ δὲ μακροθυμία μεγάλη ἐστὶ καὶ ὀχυρά, ἰσχυρὰν
δύναμιν ἔχουσα καὶ στιβαρὰν καὶ εὐθηνουμένην ἐν πλατυσμῷ
μεγάλῳ, ἱλαρά, ἀγαλλιωμένη, ἀμέριμνος οὖσα, δοξάζουσα τὸν κύριον
ἐν παντὶ καιρῷ, μηδὲν ἐν ἑαυτῇ ἔχουσα πικρόν, παραμένουσα
διαπαντὸς πραεῖα καὶ ἡσύχιος. αὕτη οὖν ἡ μακροθυμία κατοικεῖ μετὰ
τῶν τὴν πίστιν ἐχόντων ὁλόκληρον. ἡ δὲ ὀξυχολία πρῶτον μὲν μωρά
ἐστιν, ἐλαφρά τε καὶ ἄφρων. εἶτα ἐκ τῆς ἀφροσύνης γίνεται πικρία,
ἐκ δὲ τῆς πικρίας θυμός, ἐκ δὲ τοῦ θυμοῦ ὀργή, ἐκ δὲ τῆς ὀργῆς μῆνις·
εἶτα ἡ μῆνις αὕτη ἐκ τοσούτων κακῶν συνισταμένη γίνεται ἁμαρτία
μεγάλη καὶ ἀνίατος. ὅταν γὰρ ταῦτα τὰ πνεύματα ἐν ἑνὶ ἀγγείῳ
κατοικῇ, οὗ καὶ τὸ πνεῦμα τὸ ἅγιον κατοικεῖ, οὐ χωρεῖ τὸ ἄγγος
ἐκεῖνο, ἀλλ' ὑπερπλεονάζει. τὸ τρυφερὸν οὖν πνεῦμα, μὴ ἔχον
συνήθειαν μετὰ πονηροῦ πνεύματος κατοικεῖν μηδὲ μετὰ
σκληρότητος, ἀποχωρεῖ ἀπὸ τοῦ ἀνθρώπου τοῦ τοιούτου καὶ ζητεῖ
κατοικεῖν μετὰ πραότητος καὶ ἡσυχίας.
εἶτα ὅταν ἀποστῇ ἀπὸ τοῦ ἀνθρώπου ἐκείνου οὗ κατοικεῖ, γίνεται ὁ ἄν-
θρωπος ἐκεῖνος κενὸς ἀπὸ τοῦ πνεύματος τοῦ δικαίου, καὶ τὸ λοιπὸν
πεπληρωμένος τοῖς πνεύμασι τοῖς πονηροῖς ἀκαταστατεῖ ἐν πάσῃ

πράξει αὐτοῦ, περισπώμενος ὧδε κἀκεῖ ἀπὸ τῶν πνευμάτων τῶν πονηρῶν, καὶ ὅλως
ἀποτυφλοῦται ἀπὸ τῆς διανοίας τῆς ἀγαθῆς. οὕτως οὖν συμβαίνει πᾶσι τοῖς
ὀξυχόλοις. ἀπέχου οὖν ἀπὸ τῆς ὀξυχολίας, τοῦ πονηροτάτου πνεύματος·
ἔνδυσαι δὲ τὴν μακροθυμίαν καὶ ἀντίστα τῇ ὀξυχολίᾳ καὶ τῇ πικρίᾳ, καὶ
ἔσῃ εὑρισκόμενος μετὰ τῆς σεμνότητος τῆς ἠγαπημένης ὑπὸ τοῦ κυρίου.
βλέπε οὖν μήποτε παρενθυμηθῇς τὴν ἐντολὴν ταύτην· ἐὰν γὰρ ταύτης
τῆς ἐντολῆς κυριεύσῃς, καὶ τὰς λοιπὰς ἐντολὰς δυνήσῃ φυλάξαι, ἅς σοι
μέλλω ἐντέλλεσθαι. ἰσχυροῦ ἐν αὐταῖς καὶ ἐνδυναμοῦ, καὶ πάντες ἐνδυνα-
μούσθωσαν ὅσοι ἐὰν θέλωσιν ἐν αὐταῖς πορεύεσθαι.

Ἐντολὴ ζ

Ἐνετειλάμην σοι, φησίν, ἐν τῇ πρώτῃ ἐντολῇ ἵνα φυλάξῃς τὴν πίστιν καὶ
τὸν φόβον καὶ τὴν ἐγκράτειαν. Ναί, φημί, κύριε. Ἀλλὰ νῦν θέλω σοι, φησίν,
δηλῶσαι καὶ τὰς δυνάμεις αὐτῶν, ἵνα νοήσῃς τίς αὐτῶν τίνα δύναμιν ἔχει καὶ
ἐνέργειαν. διπλαῖ γάρ εἰσιν αἱ ἐνέργειαι αὐτῶν· κεῖνται οὖν ἐπὶ δικαίῳ καὶ
ἀδίκῳ· σὺ οὖν πίστευε τῷ δικαίῳ, τῷ δὲ ἀδίκῳ μὴ πιστεύσῃς· τὸ γὰρ
δίκαιον ὀρθὴν ὁδὸν ἔχει, τὸ δὲ ἄδικον στρεβλήν. ἀλλὰ σὺ τῇ ὀρθῇ ὁδῷ πορεύου
καὶ ὁμαλῇ, τὴν δὲ στρεβλὴν ἔασον. ἡ γὰρ στρεβλὴ ὁδὸς τρίβους οὐκ ἔχει,
ἀλλ' ἀνοδίας καὶ προσκόμματα πολλά, καὶ τραχεῖά ἐστι καὶ ἀκανθώδης.
βλαβερὰ οὖν ἐστι τοῖς ἐν αὐτῇ πορευομένοις. οἱ δὲ τῇ ὀρθῇ ὁδῷ πορευό-
μενοι ὁμαλῶς περιπατοῦσι καὶ ἀπροσκόπως· οὔτε γὰρ τραχεῖά ἐστιν οὔτε
ἀκανθώδης. βλέπεις οὖν ὅτι συμφορώτερόν ἐστι ταύτῃ τῇ ὁδῷ πορεύε-
σθαι. Ἀρέσκει μοι, φημί, κύριε, ταύτῃ τῇ ὁδῷ πορεύεσθαι. Πορεύσῃ,
φησί, καὶ ὃς ἂν ἐξ ὅλης καρδίας ἐπιστρέψῃ πρὸς κύριον, πορεύσεται
ἐν αὐτῇ.

Ἄκουε νῦν, φησί, περὶ τῆς πίστεως. δύο εἰσὶν ἄγγελοι μετὰ τοῦ ἀνθρώπου, εἷς τῆς δικαιοσύνης καὶ εἷς τῆς πονηρίας. Πῶς οὖν, φημί, κύριε,
γνώσομαι τὰς αὐτῶν ἐνεργείας, ὅτι ἀμφότεροι ἄγγελοι μετ' ἐμοῦ κατοικοῦσιν;
Ἄκουε, φησί, καὶ συνιεῖς αὐτάς. ὁ μὲν τῆς δικαιοσύνης ἄγγελος τρυφερός
ἐστι καὶ αἰσχυντηρὸς καὶ πραύς καὶ ἡσύχιος. ὅταν οὖν οὗτος ἐπὶ τὴν καρδίαν
σου ἀναβῇ, εὐθέως λαλεῖ μετὰ σοῦ περὶ δικαιοσύνης, περὶ ἁγνείας, περὶ
σεμνότητος καὶ περὶ αὐταρκείας καὶ περὶ παντὸς ἔργου δικαίου καὶ περὶ
πάσης ἀρετῆς ἐνδόξου. ταῦτα πάντα ὅταν εἰς τὴν καρδίαν σου ἀναβῇ,
γίνωσκε ὅτι ὁ ἄγγελος τῆς δικαιοσύνης μετὰ σοῦ ἐστι. ταῦτα οὖν ἐστι τὰ
ἔργα τοῦ ἀγγέλου τῆς δικαιοσύνης. τούτῳ οὖν πίστευε καὶ τοῖς ἔργοις
αὐτοῦ. ὅρα νῦν καὶ τοῦ ἀγγέλου τῆς πονηρίας τὰ ἔργα. πρῶτον πάντων
ὀξύχολός ἐστι, καὶ πικρὸς καὶ ἄφρων, καὶ τὰ ἔργα αὐτοῦ πονηρά, κατα-
στρέφοντα τοὺς δούλους τοῦ θεοῦ· ὅταν οὖν οὗτος ἐπὶ τὴν καρδίαν σου ἀναβῇ,
γνῶθι αὐτὸν ἀπὸ τῶν ἔργων αὐτοῦ. Πῶς, φημί, κύριε, νοήσω αὐτόν,
οὐκ ἐπίσταμαι. Ἄκουε, φησίν. ὅταν ὀξυχολία σοί τις προσπέσῃ ἢ πικρία,
γίνωσκε ὅτι αὐτός ἐστιν ἐν σοί· εἶτα ἐπιθυμία πράξεων πολλῶν καὶ πολυ-
τέλειαι ἐδεσμάτων πολλῶν καὶ μεθυσμάτων καὶ κραιπαλῶν πολλῶν καὶ
ποικίλων τρυφῶν καὶ οὐ δεόντων, καὶ ἐπιθυμίαι γυναικῶν καὶ πλεονεξία καὶ
ὑπερηφανία πολλή τις καὶ ἀλαζονεία, καὶ ὅσα τούτοις παραπλήσιά ἐστι καὶ
ὅμοια. ταῦτα οὖν ὅταν ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, γίνωσκε ὅτι ὁ ἄγγελος
τῆς πονηρίας ἐστὶν ἐν σοί. σὺ οὖν ἐπιγνοὺς τὰ ἔργα αὐτοῦ ἀπόστα ἀπ'
αὐτοῦ καὶ μηδὲν αὐτῷ πίστευε, ὅτι τὰ ἔργα αὐτοῦ πονηρά εἰσι καὶ ἀσύμφορα
τοῖς δούλοις τοῦ θεοῦ. ἔχεις οὖν ἀμφοτέρων τῶν ἀγγέλων τὰς ἐνεργείας·

σύνιε αὐτὰς καὶ πίστευε τῷ ἀγγέλῳ τῆς δικαιοσύνης· ἀπὸ δὲ τοῦ ἀγγέλου
τῆς πονηρίας ἀπόστηθι, ὅτι ἡ διδαχὴ αὐτοῦ πονηρά ἐστι παντὶ ἔργῳ· ἐὰν
γὰρ ᾖ τις πιστότατος ἀνήρ, καὶ ἡ ἐνθύμησις τοῦ ἀγγέλου τούτου ἀναβῇ ἐπὶ
τὴν καρδίαν αὐτοῦ, δεῖ τὸν ἄνδρα ἐκεῖνον ἢ τὴν γυναῖκα ἐξαμαρτῆσαί τι.
ἐὰν δὲ πάλιν πονηρότατός τις ᾖ ἀνὴρ ἢ γυνή, καὶ ἀναβῇ ἐπὶ τὴν καρδίαν
αὐτοῦ τὰ ἔργα τοῦ ἀγγέλου τῆς δικαιοσύνης, ἐξ ἀνάγκης δεῖ αὐτὸν ἀγαθόν
τι ποιῆσαι. βλέπεις οὖν, φησίν, ὅτι καλόν ἐστι τῷ ἀγγέλῳ τῆς δικαιοσύνης
ἀκολουθεῖν, τῷ δὲ ἀγγέλῳ τῆς πονηρίας ἀποτάξασθαι. τὰ μὲν περὶ τῆς
πίστεως αὕτη ἡ ἐντολὴ δηλοῖ, ἵνα τοῖς ἔργοις τοῦ ἀγγέλου τῆς δικαιοσύνης
πιστεύσῃς, καὶ ἐργασάμενος αὐτὰ ζήσῃ τῷ θεῷ. πίστευε δὲ ὅτι τὰ ἔργα τοῦ
ἀγγέλου τῆς πονηρίας χαλεπά ἐστι· μὴ ἐργαζόμενος οὖν αὐτὰ ζήσῃ τῷ θεῷ.

Ἐντολὴ ζ

Φοβήθητι, φησί, τὸν κύριον καὶ φύλασσε τὰς ἐντολὰς αὐτοῦ· φυλάσσων
οὖν τὰς ἐντολὰς τοῦ θεοῦ ἔσῃ δυνατὸς ἐν πάσῃ πράξει, καὶ ἡ πρᾶξίς σου
ἀσύγκριτος ἔσται. φοβούμενος γὰρ τὸν κύριον πάντα καλῶς ἐργάσῃ· οὗτος
δέ ἐστιν ὁ φόβος ὃν δεῖ σε φοβηθῆναι, καὶ σωθήσῃ. τὸν δὲ διάβολον μὴ
φοβηθῇς· φοβούμενος γὰρ τὸν κύριον κατακυριεύσεις τοῦ διαβόλου, ὅτι
δύναμις ἐν αὐτῷ οὐκ ἔστιν. ἐν ᾧ δὲ δύναμις οὐκ ἔστιν, οὐδὲ φόβος· ἐν ᾧ δὲ
δύναμις ἡ ἔνδοξος, καὶ φόβος ἐν αὐτῷ. πᾶς γὰρ ὁ δύναμιν ἔχων φόβον ἔχει·
ὁ δὲ μὴ ἔχων δύναμιν ὑπὸ πάντων καταφρονεῖται. φοβήθητι δὲ τὰ ἔργα

τοῦ διαβόλου, ὅτι πονηρά ἐστι. φοβούμενος οὖν τὸν κύριον φοβηθήσῃ τὰ
ἔργα τοῦ διαβόλου καὶ οὐκ ἐργάσῃ αὐτά, ἀλλ' ἀφέξῃ ἀπ' αὐτῶν. δισσοὶ
οὖν εἰσιν οἱ φόβοι· ἐὰν γὰρ θέλῃς τὸ πονηρὸν ἐργάσασθαι, φοβοῦ τὸν
κύριον καὶ οὐκ ἐργάσῃ αὐτό· ἐὰν δὲ θέλῃς πάλιν τὸ ἀγαθὸν ἐργάσασθαι,
φοβοῦ τὸν κύριον καὶ ἐργάσῃ αὐτό. ὥστε ὁ φόβος τοῦ κυρίου ἰσχυρός ἐστι
καὶ μέγας καὶ ἔνδοξος. φοβήθητι οὖν τὸν κύριον, καὶ ζήσῃ αὐτῷ· καὶ
ὅσοι ἂν φοβηθῶσιν αὐτὸν τῶν φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ, ζήσονται
τῷ θεῷ. Διατί, φημί, κύριε, εἶπας περὶ τῶν τηρούντων τὰς ἐντολὰς
αὐτοῦ· Ζήσονται τῷ θεῷ; Ὅτι, φησίν, πᾶσα ἡ κτίσις φοβεῖται τὸν κύριον,
τὰς δὲ ἐντολὰς αὐτοῦ οὐ φυλάσσει. τῶν οὖν φοβουμένων αὐτὸν καὶ φυλασσόν-
των τὰς ἐντολὰς αὐτοῦ, ἐκείνων ἡ ζωή ἐστι παρὰ τῷ θεῷ· τῶν δὲ μὴ
φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ, οὐδὲ ζωὴ ἐν αὐτοῖς.

Ἐντολὴ η

Εἶπόν σοι, φησίν, ὅτι τὰ κτίσματα τοῦ θεοῦ διπλᾶ ἐστι· καὶ γὰρ ἡ ἐγκρά-
τεια διπλῆ ἐστιν. ἐπί τινων γὰρ δεῖ ἐγκρατεύεσθαι, ἐπί τινων δὲ οὐ δεῖ.
Γνώρισόν μοι, φημί, κύριε, ἐπὶ τίνων δεῖ ἐγκρατεύεσθαι, ἐπὶ τίνων δὲ οὐ δεῖ.
Ἄκουε, φησί. τὸ πονηρὸν ἐγκρατεύου, καὶ μὴ ποίει αὐτό· τὸ δὲ ἀγαθὸν
μὴ ἐγκρατεύου, ἀλλὰ ποίει αὐτό. <ἐὰν γὰρ ἐγκρατεύσῃ τὸ ἀγαθὸν μὴ ποιεῖν,
ἁμαρτίαν μεγάλην ἐργάζῃ·> ἐὰν δὲ ἐγκρατεύσῃ τὸ πονηρὸν μὴ ποιεῖν,
δικαιοσύνην μεγάλην ἐργάζῃ. ἐγκράτευσαι οὖν ἀπὸ πονηρίας πάσης
ἐργαζόμενος τὸ ἀγαθόν. Ποταπαί, φημί, κύριε, εἰσὶν αἱ πονηρίαι ἀφ'
ὧν δεῖ ἡμᾶς ἐγκρατεύεσθαι; Ἄκουε, φησίν· ἀπὸ μοιχείας καὶ πορνείας,
ἀπὸ μεθύσματος ἀνομίας, ἀπὸ τρυφῆς πονηρᾶς, ἀπὸ ἐδεσμάτων πολλῶν
καὶ πολυτελείας πλούτου καὶ καυχήσεως καὶ ὑψηλοφροσύνης καὶ ὑπερη-
φανίας, καὶ ἀπὸ ψεύσματος καὶ καταλαλιᾶς καὶ ὑποκρίσεως,
μνησικακίας καὶ πάσης βλασφημίας. ταῦτα τὰ ἔργα πάντων
πονηρότατά εἰσιν ἐν τῇ ζωῇ

τῶν ἀνθρώπων. ἀπὸ τούτων οὖν τῶν ἔργων δεῖ ἐγκρατεύεσθαι τὸν δοῦλον
τοῦ θεοῦ. ὁ γὰρ μὴ ἐγκρατευόμενος ἀπὸ τούτων οὐ δύναται ζῆσαι τῷ θεῷ.
ἄκουε οὖν καὶ τὰ ἀκόλουθα τούτων. Ἔτι γάρ, φημί, κύριε, πονηρὰ ἔργα
ἐστί; Καί γε πολλά, φησίν, ἔστιν ἀφ' ὧν δεῖ τὸν δοῦλον τοῦ θεοῦ ἐγκρατεύ-
εσθαι· κλέμμα, ψεῦδος, ἀποστέρησις, ψευδομαρτυρία, πλεονεξία, ἐπιθυμία
πονηρά, ἀπάτη, κενοδοξία, ἀλαζονεία, καὶ ὅσα τούτοις ὅμοιά εἰσιν. οὐ
δοκεῖ σοι ταῦτα πονηρὰ εἶναι; Καὶ λίαν πονηρά, φημί, τοῖς δούλοις τοῦ θεοῦ.
Τούτων πάντων δεῖ ἐγκρατεύεσθαι τὸν δουλεύοντα τῷ θεῷ. ἐγκράτευσαι
οὖν ἀπὸ πάντων τούτων, ἵνα ζήσῃ τῷ θεῷ καὶ ἐγγραφήσῃ μετὰ τῶν ἐγκρα-
τευομένων αὐτά. ὧν μὲν οὖν δεῖ σε ἐγκρατεύεσθαι, ταῦτά ἐστιν. ἃ δὲ
δεῖ σε μὴ ἐγκρατεύεσθαι, φησίν, ἀλλὰ ποιεῖν, ἄκουε. τὸ ἀγαθὸν μὴ ἐγκρα-
τεύου, ἀλλὰ ποίει αὐτό. Καὶ τῶν ἀγαθῶν μοι, φημί, κύριε, δήλωσον τὴν
δύναμιν, ἵνα πορευθῶ ἐν αὐτοῖς καὶ δουλεύσω αὐτοῖς, ἵνα ἐργασάμενος αὐτὰ
δυνηθῶ σωθῆναι. Ἄκουε, φησί, καὶ τῶν ἀγαθῶν τὰ ἔργα, ἅ σε δεῖ ἐργά-
ζεσθαι καὶ μὴ ἐγκρατεύεσθαι. πρῶτον πάντων πίστις, φόβος κυρίου, ἀγάπη,
ὁμόνοια, ·»ματα δικαιοσύνης, ἀλήθεια, ὑπομονή· τούτων ἀγαθώτερον οὐδέν
ἐστιν ἐν τῇ ζωῇ τῶν ἀνθρώπων. ταῦτα ἐάν τις φυλάσσῃ καὶ μὴ ἐγκρα-
τεύηται ἀπ' αὐτῶν, μακάριος γίνεται ἐν τῇ ζωῇ αὐτοῦ. εἶτα τούτων τὰ ἀκό-
λουθα ἄκουσον· χήραις ὑπηρετεῖν, ὀρφανοὺς καὶ ὑστερουμένους
ἐπισκέπτεσθαι, ἐξ ἀναγκῶν λυτροῦσθαι τοὺς δούλους τοῦ θεοῦ,
φιλόξενον εἶναι (ἐν γὰρ τῇ φιλοξενίᾳ εὑρίσκεται ἀγαθοποίησίς ποτε),
μηδενὶ ἀντιτάσσεσθαι, ἡσύχιον εἶναι, ἐνδεέστερον γίνεσθαι πάντων
ἀνθρώπων, πρεσβύτας σέβεσθαι, δικαιοσύνην ἀσκεῖν, ἀδελφότητα
συντηρεῖν, ὕβριν ὑποφέρειν, μακρόθυμον εἶναι, μνησικακίαν μὴ

ἔχειν, κάμνοντας τῇ ψυχῇ παρακαλεῖν, ἐσκανδαλισμένους ἀπὸ τῆς πίστεως μὴ ἀποβάλλεσθαι, ἀλλ' ἐπιστρέφειν καὶ εὐθύμους ποιεῖν, ἁμαρτάνοντας νουθετεῖν, χρεώστας μὴ θλίβειν καὶ ἐνδεεῖς, καὶ εἴ τινα τούτοις ὅμοιά ἐστι. δοκεῖ σοι, φησί, ταῦτα ἀγαθὰ εἶναι; Τί γάρ, φημί, κύριε, τούτων ἀγαθώτερον; Πορεύου οὖν, φησίν, ἐν αὐτοῖς καὶ μὴ ἐγκρατεύου ἀπ' αὐτῶν, καὶ ζήσῃ τῷ θεῷ. φύλασσε οὖν τὴν ἐντολὴν ταύτην· ἐὰν τὸ ἀγαθὸν ποιῇς καὶ μὴ ἐγκρατεύσῃ ἀπ' αὐτοῦ, ζήσῃ τῷ θεῷ, καὶ πάντες ζήσονται τῷ θεῷ οἱ οὕτω ποιοῦντες. καὶ πάλιν ἐὰν τὸ πονηρὸν μὴ ποιῇς καὶ ἐγκρατεύσῃ ἀπ' αὐτοῦ, ζήσῃ τῷ θεῷ, καὶ πάντες ζήσονται τῷ θεῷ, ὅσοι ἐὰν ταύτας τὰς ἐντολὰς φυλάξωσι καὶ πορευθῶσιν ἐν αὐταῖς.

Ἐντολὴ θ

Λέγει μοι· Ἆρον ἀπὸ σεαυτοῦ τὴν διψυχίαν καὶ μηδὲν ὅλως διψυχήσῃς αἰτήσασθαί τι παρὰ τοῦ θεοῦ, λέγων ἐν σεαυτῷ ὅτι πῶς δύναμαι αἰτήσασθαι παρὰ τοῦ κυρίου καὶ λαβεῖν, ἡμαρτηκὼς τοσαῦτα εἰς αὐτόν; μὴ διαλογίζου ταῦτα, ἀλλ' ἐξ ὅλης τῆς καρδίας σου ἐπίστρεψον ἐπὶ τὸν κύριον, καὶ αἰτοῦ παρ' αὐτοῦ ἀδιστάκτως, καὶ γνώσῃ τὴν πολυσπλαγχνίαν αὐτοῦ, ὅτι οὐ μή σε ἐγκαταλίπῃ, ἀλλὰ τὸ αἴτημα τῆς ψυχῆς σου πληροφορήσει. οὐκ ἔστι γὰρ ὁ θεὸς ὡς οἱ ἄνθρωποι μνησικακοῦντες, ἀλλ' αὐτὸς ἀμνησίκακός ἐστιν καὶ σπλαγχνίζεται ἐπὶ τὴν ποίησιν αὐτοῦ. σὺ οὖν καθάρισόν σου τὴν καρδίαν ἀπὸ πάντων τῶν ματαιωμάτων τοῦ αἰῶνος τούτου καὶ τῶν προειρημένων σοι ῥημάτων, καὶ αἰτοῦ παρὰ τοῦ κυρίου, καὶ ἀπολήψῃ πάντα, καὶ ἀπὸ πάντων τῶν αἰτημάτων σου ἀνυστέρητος ἔσῃ, ἐὰν ἀδιστάκτως αἰτήσῃ παρὰ τοῦ κυρίου. ἐὰν δὲ διστάσῃς ἐν τῇ καρδίᾳ σου, οὐδὲν οὐ μὴ

λήψῃ τῶν αἰτημάτων σου. οἱ γὰρ διστάζοντες εἰς τὸν θεόν, οὗτοί εἰσιν οἱ
δίψυχοι, καὶ οὐδὲν ὅλως ἐπιτυγχάνουσι τῶν αἰτημάτων αὐτῶν. οἱ δὲ ὁλο-
τελεῖς ὄντες ἐν τῇ πίστει πάντα αἰτοῦνται πεποιθότες ἐπὶ τὸν κύριον, καὶ
λαμβάνουσιν, ὅτι ἀδιστάκτως αἰτοῦνται, μηδὲν διψυχοῦντες. πᾶς γὰρ
δίψυχος ἀνήρ, ἐὰν μὴ μετανοήσῃ, δυσκόλως σωθήσεται. καθάρισον
οὖν τὴν καρδίαν σου ἀπὸ τῆς διψυχίας, ἔνδυσαι δὲ τὴν πίστιν, ὅτι
ἰσχυρά ἐστι, καὶ πίστευε τῷ θεῷ ὅτι πάντα τὰ αἰτήματά σου ἃ αἰτεῖς
λήψῃ. καὶ ἐὰν αἰτησάμενός ποτε παρὰ τοῦ κυρίου αἴτημά τι
βραδύτερον λαμβάνῃς, μὴ διψυχήσῃς ὅτι ταχὺ οὐκ ἔλαβες τὸ αἴτημα
τῆς ψυχῆς σου· πάντως γὰρ διὰ πειρασμόν τινα ἢ παράπτωμά τι, ὃ σὺ
ἀγνοεῖς, βραδύτερον λαμβάνεις τὸ αἴτημά σου. σὺ οὖν μὴ διαλίπῃς
αἰτούμενος τὸ αἴτημα τῆς ψυχῆς σου, καὶ λήψῃ αὐτό. ἐὰν δὲ
ἐκκακήσῃς καὶ διψυχήσῃς αἰτούμενος, σεαυτὸν αἰτιῶ καὶ μὴ τὸν διδόντα σοι.
βλέπε τὴν διψυχίαν ταύτην· πονηρὰ γάρ ἐστι καὶ ἀσύνετος, καὶ πολλοὺς
ἐκριζοῖ ἀπὸ τῆς πίστεως, καί γε λίαν πιστοὺς καὶ ἰσχυρούς. καὶ γὰρ αὕτη
ἡ διψυχία θυγάτηρ ἐστὶ τοῦ διαβόλου, καὶ λίαν πονηρεύεται εἰς τοὺς δούλους
τοῦ θεοῦ. καταφρόνησον οὖν τῆς διψυχίας καὶ κατακυρίευσον αὐτῆς ἐν
παντὶ πράγματι, ἐνδυσάμενος τὴν πίστιν τὴν ἰσχυρὰν καὶ δυνατήν. ἡ γὰρ
πίστις πάντα ἐπαγγέλλεται, πάντα τελειοῖ, ἡ δὲ διψυχία μὴ καταπιστεύουσα
ἑαυτῇ πάντων ἀποτυγχάνει τῶν ἔργων αὐτῆς ὧν πράσσει. βλέπεις οὖν,
φησίν, ὅτι ἡ πίστις ἄνωθέν ἐστι παρὰ τοῦ κυρίου, καὶ ἔχει δύναμιν μεγάλην·
ἡ δὲ διψυχία ἐπίγειον πνεῦμά ἐστι παρὰ τοῦ διαβόλου, δύναμιν μὴ ἔχουσα.
σὺ οὖν δούλευε τῇ ἐχούσῃ δύναμιν τῇ πίστει, καὶ ἀπὸ τῆς διψυχίας ἀπόσχου
τῆς μὴ ἐχούσης δύναμιν, καὶ ζήσῃ τῷ θεῷ, καὶ πάντες ζήσονται τῷ θεῷ οἱ
ταῦτα φρονοῦντες.

Ἐντολὴ ι

Ἆρον ἀπὸ σεαυτοῦ, φησί, τὴν λύπην· καὶ γὰρ αὕτη ἀδελφή ἐστι τῆς διψυχίας καὶ τῆς ὀξυχολίας. Πῶς, φημί, κύριε, ἀδελφή ἐστι τούτων; ἄλλο γάρ μοι δοκεῖ εἶναι ὀξυχολία, καὶ ἄλλο διψυχία, καὶ ἄλλο λύπη. Ἀσύνετος εἶ, ἄνθρωπε, <φησίν·> οὐ νοεῖς ὅτι ἡ λύπη πάντων τῶν πνευμάτων πονηρο-τέρα ἐστὶ καὶ δεινοτάτη τοῖς δούλοις τοῦ θεοῦ, καὶ παρὰ πάντα τὰ πνεύματα καταφθείρει τὸν ἄνθρωπον, καὶ ἐκτρίβει τὸ πνεῦμα τὸ ἅγιον, καὶ πάλιν σώζει; Ἐγώ, φημί, κύριε, ἀσύνετός εἰμι, καὶ οὐ συνίω τὰς παραβολὰς ταύτας· πῶς γὰρ δύναται ἐκτρίβειν καὶ πάλιν σώζειν, οὐ νοῶ. Ἄκουε, φησίν· οἱ μηδέποτε ἐρευνήσαντες περὶ τῆς ἀληθείας μηδὲ ἐπιζητήσαντες περὶ τῆς θεότητος, πιστεύσαντες δὲ μόνον, ἐμπεφυρμένοι δὲ πραγματείαις καὶ πλούτῳ καὶ φιλίαις ἐθνικαῖς καὶ ἄλλαις πολλαῖς πραγματείαις τοῦ αἰῶνος τούτου· ὅσοι οὖν τούτοις πρόσκεινται, οὐ νοοῦσι τὰς παραβολὰς τῆς θεότητος· ἐπισκοτοῦνται γὰρ ὑπὸ τούτων τῶν πράξεων καὶ καταφθείρονται καὶ γίνονται κεχερσωμένοι. καθὼς οἱ ἀμπελῶνες οἱ καλοί, ὅταν ἀμελείας τύχωσι, χερσοῦνται ἀπὸ τῶν ἀκανθῶν καὶ βοτανῶν ποικίλων, οὕτως οἱ ἄν-θρωποι οἱ πιστεύσαντες καὶ εἰς ταύτας τὰς πράξεις τὰς πολλὰς ἐμπίπτοντες τὰς προειρημένας, ἀποπλανῶνται ἀπὸ τῆς διανοίας αὐτῶν καὶ οὐδὲν ὅλως νοοῦσι περὶ δικαιοσύνης, ἀλλὰ καὶ ὅταν ἀκούσωσι περὶ θεότητος καὶ ἀλη-θείας, ὁ νοῦς αὐτῶν περὶ τὴν πρᾶξιν αὐτῶν καταγίνεται, καὶ οὐδὲν ὅλως νοοῦσιν. οἱ δὲ φόβον ἔχοντες θεοῦ καὶ ἐρευνῶντες περὶ θεότητος καὶ ἀληθείας, καὶ τὴν καρδίαν ἔχοντες πρὸς τὸν κύριον, πάντα τὰ λεγόμενα αὐτοῖς τάχιον νοοῦσι καὶ συνίουσιν, ὅτι ἔχουσι τὸν φόβον τοῦ κυρίου ἐν ἑαυτοῖς. ὅπου γὰρ ὁ κύριος κατοικεῖ, ἐκεῖ καὶ σύνεσις πολλή. κολλήθητι οὖν τῷ κυρίῳ, καὶ πάντα συνήσεις καὶ νοήσεις.

Ἄκουε οὖν, φησίν, ἀνόητε, πῶς ἡ λύπη ἐκτρίβει τὸ πνεῦμα τὸ ἅγιον καὶ πάλιν σώζει. ὅταν ὁ δίψυχος ἐπιβάληται πρᾶξίν τινα, καὶ ταύτης ἀπο-

τύχῃ διὰ τὴν διψυχίαν αὐτοῦ, ἡ λύπη αὕτη εἰσπορεύεται εἰς τὸν ἄνθρωπον, καὶ λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον καὶ ἐκτρίβει αὐτό. εἶτα πάλιν ἡ ὀξυχολία ὅταν
κολληθῇ τῷ ἀνθρώπῳ περὶ πράγματός τινος, καὶ λίαν πικρανθῇ, πάλιν ἡ
λύπη εἰσπορεύεται εἰς τὴν καρδίαν τοῦ ἀνθρώπου τοῦ ὀξυχολήσαντος, καὶ
λυπεῖται ἐπὶ τῇ πράξει αὐτοῦ ᾗ ἔπραξε, καὶ μετανοεῖ ὅτι πονηρὸν εἰργάσατο.
αὕτη οὖν ἡ λύπη δοκεῖ σωτηρίαν ἔχειν, ὅτι τὸ πονηρὸν πράξας μετενόησεν.
ἀμφότεραι οὖν αἱ πράξεις λυποῦσι τὸ πνεῦμα· ἡ μὲν διψυχία, ὅτι οὐκ ἐπέτυχε
τῆς πράξεως αὐτῆς, ἡ δὲ ὀξυχολία λυπεῖ τὸ πνεῦμα, ὅτι ἔπραξε τὸ πονηρόν.
ἀμφότερα οὖν λυπηρά ἐστι τῷ πνεύματι τῷ ἁγίῳ, ἡ διψυχία καὶ ἡ ὀχυξολία.
ἆρον οὖν ἀπὸ σεαυτοῦ τὴν λύπην καὶ μὴ θλῖβε τὸ πνεῦμα τὸ ἅγιον τὸ ἐν σοὶ
κατοικοῦν, μήποτε ἐντεύξηται κατὰ σοῦ τῷ θεῷ καὶ ἀποστῇ ἀπὸ σοῦ. τὸ
γὰρ πνεῦμα τοῦ θεοῦ τὸ δοθὲν εἰς τὴν σάρκα ταύτην λύπην οὐχ ὑποφέρει
οὐδὲ στενοχωρίαν.

Ἔνδυσαι οὖν τὴν ἱλαρότητα τὴν πάντοτε ἔχουσαν χάριν παρὰ τῷ θεῷ καὶ
εὐπρόσδεκτον οὖσαν αὐτῷ, καὶ ἐντρύφα ἐν αὐτῇ. πᾶς γὰρ ἱλαρὸς ἀνὴρ
ἀγαθὰ ἐργάζεται καὶ ἀγαθὰ φρονεῖ, καὶ καταφρονεῖ τῆς λύπης. ὁ δὲ λυ-
πηρὸς ἀνὴρ πάντοτε πονηρεύεται· πρῶτον μὲν πονηρεύεται, ὅτι λυπεῖ τὸ
πνεῦμα τὸ ἅγιον τὸ δοθὲν τῷ ἀνθρώπῳ ἱλαρόν· δεύτερον δὲ λυπῶν τὸ πνεῦμα τὸ ἅγιον ἀνομίαν ἐργάζεται, μὴ ἐντυγχάνων μηδὲ ἐξομολογούμενος
τῷ κυρίῳ. πάντοτε γὰρ λυπηροῦ ἀνδρὸς ἡ ἔντευξις οὐκ ἔχει δύναμιν τοῦ
ἀναβῆναι ἐπὶ τὸ θυσιαστήριον τοῦ θεοῦ. Διατί, φημί, οὐκ ἀναβαίνει ἐπὶ
τὸ θυσιαστήριον ἡ ἔντευξις τοῦ λυπουμένου; Ὅτι, φησίν, ἡ λύπη ἐγκάθηται

εἰς τὴν καρδίαν αὐτοῦ· μεμιγμένη οὖν ἡ λύπη μετὰ τῆς ἐντεύξεως οὐκ ἀφίησι
τὴν ἔντευξιν ἀναβῆναι καθαρὰν ἐπὶ τὸ θυσιαστήριον. ὥσπερ γὰρ ὄξος καὶ
οἶνος μεμιγμένα ἐπὶ τὸ αὐτὸ τὴν αὐτὴν ἡδονὴν οὐκ ἔχουσιν, οὕτω καὶ ἡ λύπη
μεμιγμένη μετὰ τοῦ ἁγίου πνεύματος τὴν αὐτὴν ἔντευξιν οὐκ ἔχει. καθάρι-
σον οὖν σεαυτὸν ἀπὸ τῆς λύπης τῆς πονηρᾶς ταύτης, καὶ ζήσῃ τῷ θεῷ· καὶ
πάντες ζήσονται τῷ θεῷ ὅσοι ἂν ἀποβάλωσιν ἀφ' ἑαυτῶν τὴν λύπην καὶ
ἐνδύσωνται πᾶσαν ἱλαρότητα.

Ἐντολὴ ια

Ἔδειξέ μοι ἐπὶ συμψελλίου καθημένους ἀνθρώπους, καὶ ἕτερον ἄνθρωπον
καθήμενον ἐπὶ καθέδραν. καὶ λέγει μοι· Βλέπεις τοὺς ἐπὶ τοῦ συμψελλίου
καθημένους; Βλέπω, φημί, κύριε. Οὗτοι, φησί, πιστοί εἰσι, καὶ ὁ καθήμενος
ἐπὶ τὴν καθέδραν ψευδοπροφήτης ἐστὶν ἀπολλύων τὴν διάνοιαν τῶν δούλων
τοῦ θεοῦ· τῶν διψύχων δὲ ἀπόλλυσιν, οὐ τῶν πιστῶν. οὗτοι οὖν οἱ δίψυχοι
ὡς ἐπὶ μάντιν ἔρχονται καὶ ἐπερωτῶσιν αὐτόν, τί ἄρα ἔσται αὐτοῖς· κἀκεῖνος
ὁ ψευδοπροφήτης, μηδεμίαν ἔχων ἐν ἑαυτῷ δύναμιν πνεύματος θείου, λαλεῖ
μετ' αὐτῶν κατὰ τὰ ἐπερωτήματα αὐτῶν καὶ κατὰ τὰς ἐπιθυμίας τῆς
πονηρίας αὐτῶν, καὶ πληροῖ τὰς ψυχὰς αὐτῶν καθὼς αὐτοὶ
βούλονται. αὐτὸς γὰρ κενὸς ὢν κενὰ καὶ ἀποκρίνεται κενοῖς· ὃ γὰρ ἐὰν ἐπερωτηθῇ, πρὸς τὸ
κένωμα τοῦ ἀνθρώπου ἀποκρίνεται. τινὰ δὲ καὶ ·»ματα ἀληθῆ λαλεῖ· ὁ γὰρ
διάβολος πληροῖ αὐτὸν τῷ αὐτοῦ πνεύματι, εἴ τινα δυνήσεται ·ῆξαι τῶν
δικαίων. ὅσοι οὖν ἰσχυροί εἰσιν ἐν τῇ πίστει τοῦ κυρίου, ἐνδεδυμένοι τὴν
ἀλήθειαν, τοῖς τοιούτοις πνεύμασιν οὐ κολλῶνται, ἀλλ' ἀπέχονται ἀπ'

αὐτῶν. ὅσοι δὲ δίψυχοί εἰσι καὶ πυκνῶς μετανοοῦσι, μαντεύονται ὡς καὶ τὰ
ἔθνη, καὶ ἑαυτοῖς μείζονα ἁμαρτίαν ἐπιφέρουσιν εἰδωλολατροῦντες· ὁ γὰρ
ἐπερωτῶν ψευδοπροφήτην περὶ πράξεώς τινος εἰδωλολάτρης ἐστὶ καὶ κενὸς
ἀπὸ τῆς ἀληθείας καὶ ἄφρων. πᾶν γὰρ πνεῦμα ἀπὸ θεοῦ δοθὲν οὐκ ἐπερω-
τᾶται, ἀλλὰ ἔχον τὴν δύναμιν τῆς θεότητος ἀφ' ἑαυτοῦ λαλεῖ πάντα, ὅτι
ἄνωθέν ἐστιν ἀπὸ τῆς δυνάμεως τοῦ θείου πνεύματος. τὸ δὲ πνεῦμα τὸ
ἐπερωτώμενον καὶ λαλοῦν κατὰ τὰς ἐπιθυμίας τῶν ἀνθρώπων ἐπίγειόν ἐστι
καὶ ἐλαφρόν, δύναμιν μὴ ἔχον· καὶ ὅλως οὐ λαλεῖ ἐὰν μὴ ἐπερωτηθῇ. Πῶς
οὖν, φημί, κύριε, ἄνθρωπος γνώσεται τίς αὐτῶν προφήτης καὶ τίς ψευδο-
προφήτης ἐστίν; Ἄκουε, φησί, περὶ ἀμφοτέρων τῶν προφητῶν· καὶ ὥς σοι
μέλλω λέγειν, οὕτω δοκιμάσεις τὸν προφήτην καὶ τὸν ψευδοπροφήτην. ἀπὸ
τῆς ζωῆς δοκίμαζε τὸν ἄνθρωπον τὸν ἔχοντα τὸ πνεῦμα τὸ θεῖον. πρῶτον
μὲν ὁ ἔχων τὸ πνεῦμα τὸ ἄνωθεν πραΰς ἐστι καὶ ἡσύχιος καὶ
ταπεινόφρων καὶ ἀπεχόμενος ἀπὸ πάσης πονηρίας καὶ ἐπιθυμίας
ματαίας τοῦ αἰῶνος τούτου καὶ ἑαυτὸν ἐνδεέστερον ποιεῖ πάντων
τῶν ἀνθρώπων, καὶ οὐδενὶ οὐδὲν ἀποκρίνεται ἐπερωτώμενος, οὐδὲ
καταμόνας λαλεῖ, οὐδὲ ὅταν θέλῃ ἄνθρωπος λαλεῖν, λαλεῖ τὸ πνεῦμα
<τὸ> ἅγιον, ἀλλὰ τότε λαλεῖ, ὅταν θελήσῃ αὐτὸν ὁ θεὸς λαλῆσαι.
ὅταν οὖν ἔλθῃ ὁ ἄνθρωπος ὁ ἔχων τὸ πνεῦμα τὸ θεῖον εἰς συναγωγὴν
ἀνδρῶν δικαίων τῶν ἐχόντων πίστιν θείου πνεύματος, καὶ ἔντευξις
γένηται πρὸς τὸν θεὸν τῆς συναγωγῆς τῶν ἀνδρῶν ἐκείνων, τότε ὁ
ἄγγελος τοῦ πνεύματος τοῦ προφητικοῦ ὁ κείμενος ἐπ' αὐτῷ πληροῖ
τὸν ἄνθρωπον καὶ πλησθεὶς ὁ ἄνθρωπος ἐκεῖνος τῷ πνεύματι τῷ ἁγίῳ
λαλεῖ εἰς τὸ πλῆθος καθὼς ὁ κύριος βούλεται. οὕτως οὖν φανερὸν
ἔσται τὸ πνεῦμα τῆς θεότητος. ὅση οὖν περὶ τοῦ πνεύματος τῆς
θεότητος τοῦ κυρίου ἡ δύναμις, αὕτη. ἄκουε νῦν, φησί, περὶ τοῦ
πνεύματος τοῦ ἐπιγείου καὶ κενοῦ καὶ δύναμιν μὴ ἔχοντος, ἀλλὰ
ὄντος μωροῦ. πρῶτον μὲν ὁ ἄνθρωπος ἐκεῖνος ὁ δοκῶν πνεῦμα ἔχειν
ὑψοῖ ἑαυτὸν καὶ θέλει πρωτοκαθεδρίαν ἔχειν, καὶ εὐθὺς ἰταμός ἐστι

καὶ ἀναιδὴς καὶ πολύλαλος καὶ ἐν τρυφαῖς πολλαῖς ἀναστρεφόμενος καὶ ἐν ἑτέραις πολλαῖς ἀπάταις, καὶ μισθοὺς λαμβάνων τῆς προφητείας αὐτοῦ· ἐὰν δὲ μὴ λάβῃ, οὐ προφητεύει. δύναται οὖν πνεῦμα θεῖον μισθοὺς λαμβάνειν καὶ προφητεύειν; οὐκ ἐνδέχεται τοῦτο ποιεῖν θεοῦ προφήτην, ἀλλὰ τῶν τοιούτων προφητῶν ἐπίγειόν ἐστι τὸ πνεῦμα. εἶτα ὅλως εἰς συναγωγὴν ἀνδρῶν
δικαίων οὐκ ἐγγίζει, ἀλλ' ἀποφεύγει αὐτούς. κολλᾶται δὲ τοῖς διψύχοις καὶ
κενοῖς, καὶ κατὰ γωνίαν αὐτοῖς προφητεύει, καὶ ἀπατᾷ αὐτοὺς λαλῶν κατὰ
τὰς ἐπιθυμίας αὐτῶν πάντα κενῶς· κενοῖς γὰρ καὶ ἀποκρίνεται. τὸ γὰρ κενὸν
σκεῦος μετὰ τῶν κενῶν συντιθέμενον οὐ θραύεται, ἀλλὰ συμφωνοῦσιν ἀλλήλοις. ὅταν δὲ ἔλθῃ εἰς συναγωγὴν πλήρη ἀνδρῶν δικαίων ἐχόντων πνεῦμα θεότητος, καὶ ἔντευξις ἀπ' αὐτῶν γένηται, κενοῦται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ τὸ πνεῦμα τὸ ἐπίγειον ἀπὸ τοῦ φόβου φεύγει ἀπ' αὐτοῦ, καὶ κωφοῦται ὁ ἄνθρωπος ἐκεῖνος καὶ ὅλως συνθραύεται, μηδὲν δυνάμενος λαλῆσαι. ἐὰν γὰρ εἰς ἀποθήκην στιβάσῃς οἶνον ἢ ἔλαιον καὶ ἐν αὐτοῖς θῇς κεράμιον κενόν, καὶ πάλιν ἀποστιβάσαι θελήσῃς τὴν ἀποθήκην, τὸ κεράμιον ἐκεῖνο ὃ ἔθηκας κενόν, κενὸν καὶ εὑρήσεις· οὕτω καὶ οἱ προφῆται οἱ κενοὶ ὅταν ἔλθωσιν εἰς πνεύματα δικαίων, ὁποῖοι ἦλθον, τοιοῦτοι καὶ εὑρίσκονται. ἔχεις ἀμφοτέρων τῶν προφητῶν τὴν ζωήν. δοκίμαζε οὖν ἀπὸ τῶν ἔργων καὶ τῆς ζωῆς τὸν ἄνθρωπον τὸν λέγοντα ἑαυτὸν πνευματοφόρον εἶναι. σὺ δὲ πίστευε τῷ πνεύματι τῷ ἐρχομένῳ ἀπὸ τοῦ θεοῦ καὶ ἔχοντι δύναμιν· τῷ δὲ πνεύματι τῷ ἐπιγείῳ καὶ κενῷ μηδὲν πίστευε, ὅτι ἐν αὐτῷ δύναμις οὐκ ἔστιν· ἀπὸ τοῦ διαβόλου γὰρ ἔρχεται.
ἄκουσον <οὖν> τὴν παραβολὴν ἣν μέλλω σοι λέγειν. λάβε λίθον καὶ βάλε
εἰς τὸν οὐρανόν, ἴδε εἰ δύνασαι ἅψασθαι αὐτοῦ· ἢ πάλιν λάβε σίφωνα ὕδα-
τος καὶ σιφώνισον εἰς τὸν οὐρανόν, ἴδε εἰ δύνασαι τρυπῆσαι τὸν οὐρανόν.
Πῶς, φημί, κύριε, δύναται ταῦτα γενέσθαι; ἀδύνατα γὰρ ἀμφότερα ταῦτα
εἴρηκας. Ὡς ταῦτα οὖν, φησίν, ἀδύνατά ἐστιν, οὕτω καὶ τὰ πνεύματα τὰ
ἐπίγεια ἀδύνατά ἐστι καὶ ἀδρανῆ. λάβε νῦν τὴν δύναμιν τὴν ἄνωθεν ἐρχο-

μένην. ἡ χάλαζα ἐλάχιστόν ἐστι κοκκάριον, καὶ ὅταν ἐπιπέσῃ ἐπὶ κεφαλὴν
ἀνθρώπου, πῶς πόνον παρέχει· ἢ πάλιν [λάβε τὴν] σταγόνα ἢ ἀπὸ τοῦ
κεράμου πίπτει χαμαὶ καὶ τρυπᾷ τὸν λίθον. βλέπεις οὖν ὅτι τὰ ἄνωθεν
ἐλάχιστα πίπτοντα ἐπὶ τὴν γῆν μεγάλην δύναμιν [ἔχουσιν·] οὕτω καὶ τὸ
πνεῦμα τὸ θεῖον ἄνωθεν ἐρχόμενον δυνατόν ἐστι· τούτῳ οὖν τῷ πνεύματι
πίστευε, ἀπὸ δὲ τοῦ ἑτέρου ἀπέχου.

Ἐντολὴ ιβ

Λέγει μοι· Ἆρον ἀπὸ σεαυτοῦ πᾶσαν ἐπιθυμίαν πονηράν, ἔνδυσαι δὲ
τὴν ἐπιθυμίαν τὴν ἀγαθὴν καὶ σεμνήν· ἐνδεδυμένος γὰρ τὴν ἐπιθυμίαν ταύ-
την μισήσεις τὴν πονηρὰν ἐπιθυμίαν καὶ χαλιναγωγήσεις αὐτὴν καθὼς βούλει·
ἀγρία γάρ ἐστιν ἡ ἐπιθυμία ἡ πονηρά, καὶ δυσκόλως ἡμεροῦται· φοβερὰ γάρ
ἐστι, καὶ λίαν τῇ ἀγριότητι αὐτῆς δαπανᾷ τοὺς ἀνθρώπους· μάλιστα δὲ
ἐὰν ἐμπέσῃ εἰς αὐτὴν δοῦλος θεοῦ καὶ μὴ ᾖ συνετός, δαπανᾶται ὑπ' αὐτῆς
δεινῶς. δαπανᾷ δὲ τοὺς τοιούτους τοὺς μὴ ἔχοντας ἔνδυμα τῆς ἐπιθυμίας
τῆς ἀγαθῆς, ἀλλὰ ἐμπεφυρμένους τῷ αἰῶνι τούτῳ. τούτους οὖν παρα-
δίδωσιν εἰς θάνατον. Ποῖα, φημί, κύριε, ἔργα ἐστὶ τῆς ἐπιθυμίας τῆς
πονηρᾶς τὰ παραδιδόντα τοὺς ἀνθρώπους εἰς θάνατον; γνώρισόν μοι, ἵνα
ἀφέξωμαι ἀπ' αὐτῶν. Ἄκουε, φησίν, ἐν ποίοις ἔργοις θανατοῖ ἡ ἐπιθυμία
ἡ πονηρὰ τοὺς δούλους τοῦ θεοῦ.

Πάντων προέχουσα ἐπιθυμία γυναικὸς ἀλλοτρίας ἢ ἀνδρὸς καὶ
πολυτελείας πλούτου καὶ ἐδεσμάτων πολλῶν ματαίων καὶ
μεθυσμάτων καὶ ἑτέρων τρυφῶν πολλῶν καὶ μωρῶν· πᾶσα γὰρ τρυφὴ μωρά ἐστι καὶ κενὴ τοῖς
δούλοις τοῦ θεοῦ. αὗται οὖν αἱ ἐπιθυμίαι πονηραί εἰσι, θανατοῦσαι τοὺς
δούλους τοῦ θεοῦ. αὕτη γὰρ ἡ ἐπιθυμία ἡ πονηρὰ τοῦ διαβόλου θυγάτηρ

ἐστίν. ἀπέχεσθαι οὖν δεῖ ἀπὸ τῶν ἐπιθυμιῶν τῶν πονηρῶν, ἵνα ἀποσχό-
μενοι ζήσητε τῷ θεῷ. ὅσοι δὲ ἂν κατακυριευθῶσιν ὑπ' αὐτῶν καὶ μὴ
ἀντισταθῶσιν αὐταῖς, ἀποθανοῦνται εἰς τέλος. θανατώδεις γάρ εἰσιν αἱ ἐπι-
θυμίαι αὗται. σὺ οὖν ἔνδυσαι τὴν ἐπιθυμίαν τῆς δικαιοσύνης, καὶ καθο-
πλισάμενος τὸν φόβον τοῦ κυρίου ἀντίστηθι αὐταῖς. ὁ γὰρ φόβος τοῦ θεοῦ
κατοικεῖ ἐν τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ. ἡ ἐπιθυμία ἡ πονηρὰ ἐὰν ἴδῃ σε καθω-
πλισμένον τῷ φόβῳ τοῦ θεοῦ καὶ ἀνθεστηκότα αὐτῇ, φεύξεται ἀπὸ
σοῦ μακράν, καὶ οὐκέτι σοι ὀφθήσεται φοβουμένη τὰ ὅπλα σου. σὺ οὖν
<νῖκος λαβὼν καὶ> στεφανωθεὶς κατ' αὐτῆς ἐλθὲ πρὸς τὴν ἐπιθυμίαν τῆς
δικαιοσύνης, καὶ παραδοὺς αὐτῇ τὸ νῖκος ὃ ἔλαβες, δούλευσον αὐτῇ καθὼς
αὐτὴ βούλεται. ἐὰν δουλεύσῃς τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ καὶ ὑποταγῇς αὐτῇ,
δυνήσῃ τῆς ἐπιθυμίας τῆς πονηρᾶς κατακυριεῦσαι καὶ ὑποτάξαι αὐτὴν
καθὼς βούλει.

Ἤθελον, φημί, κύριε, γνῶναι ποίοις τρόποις με δεῖ δουλεῦσαι τῇ ἐπι-
θυμίᾳ τῇ ἀγαθῇ. Ἄκουε, φησίν· ἔργασαι δικαιοσύνην καὶ ἀρετήν, ἀλήθειαν
καὶ φόβον κυρίου, πίστιν καὶ πραότητα, καὶ ὅσα τούτοις ὅμοιά ἐστιν ἀγαθά.
ταῦτα ἐργαζόμενος εὐάρεστος ἔσῃ δοῦλος τοῦ θεοῦ καὶ ζήσῃ αὐτῷ· καὶ πᾶς
ὃς ἂν δουλεύσῃ τῇ ἐπιθυμίᾳ τῇ ἀγαθῇ, ζήσεται τῷ θεῷ.

Συνετέλεσεν οὖν τὰς ἐντολὰς τὰς δώδεκα καὶ λέγει μοι· Ἔχεις τὰς ἐντολὰς
ταύτας· πορεύου ἐν αὐταῖς, καὶ τοὺς ἀκούοντας παρακάλει ἵνα ἡ μετά-
νοια αὐτῶν καθαρὰ γένηται τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς αὐτῶν. τὴν
διακονίαν ταύτην ἥν σοι δίδωμι τέλει ἐπιμελῶς, καὶ πολὺ ἐργάσῃ· εὑρή-
σεις γὰρ χάριν ἐν τοῖς μέλλουσι μετανοεῖν καὶ πεισθήσονταί σου τοῖς ·»μα-

σιν· ἐγὼ γὰρ μετὰ σοῦ ἔσομαι καὶ ἀναγκάσω αὐτοὺς πεισθῆναί σοι. λέγω
αὐτῷ· Κύριε, αἱ ἐντολαὶ αὗται μεγάλαι καὶ καλαὶ καὶ ἔνδοξοί εἰσι καὶ δυνά-
μεναι εὐφρᾶναι καρδίαν ἀνθρώπου τοῦ δυναμένου τηρῆσαι αὐτάς. οὐκ οἶδα
δὲ εἰ δύνανται αἱ ἐντολαὶ αὗται ὑπὸ ἀνθρώπου φυλαχθῆναι, διότι σκληραί
εἰσι λίαν. ἀποκριθεὶς λέγει μοι· Ἐὰν σὺ σεαυτῷ προθῇς ὅτι δύνανται
φυλαχθῆναι, εὐκόπως αὐτὰς φυλάξεις, καὶ οὐκ ἔσονται σκληραί· ἐὰν δὲ
ἐπὶ τὴν καρδίαν σου ἤδη ἀναβῇ μὴ δύνασθαι αὐτὰς ὑπὸ ἀνθρώπου φυλαχ-
θῆναι, οὐ φυλάξεις αὐτάς. νῦν δέ σοι λέγω· ἐὰν ταύτας μὴ φυλάξῃς, ἀλλὰ
παρενθυμηθῇς, οὐχ ἕξεις σωτηρίαν, οὔτε τὰ τέκνα σου οὔτε ὁ οἶκός σου, ἐπεὶ
ἤδη σεαυτῷ κέκρικας τοῦ μὴ δύνασθαι τὰς ἐντολὰς ταύτας ὑπὸ ἀνθρώπου
φυλαχθῆναι.

Καὶ ταῦτά μοι λίαν ὀργίλως ἐλάλησεν, ὥστε με συγχυθῆναι καὶ λίαν
αὐτὸν φοβηθῆναι· ἡ μορφὴ γὰρ αὐτοῦ ἠλλοιώθη, ὥστε μὴ δύνασθαι ἄνθρω-
πον ὑπενεγκεῖν τὴν ὀργὴν αὐτοῦ. ἰδὼν δέ με τεταραγμένον ὅλον καὶ συγ-
κεχυμένον ἤρξατό μοι ἐπιεικέστερον <καὶ ἱλαρώτερον> λαλεῖν, καὶ λέγει·
Ἄφρον, ἀσύνετε καὶ δίψυχε, οὐ νοεῖς τὴν δόξαν τοῦ θεοῦ, πῶς μεγάλη
ἐστὶ καὶ ἰσχυρὰ καὶ θαυμαστή, ὅτι ἔκτισε τὸν κόσμον ἕνεκα τοῦ ἀνθρώπου
καὶ πᾶσαν τὴν κτίσιν αὐτοῦ ὑπέταξε τῷ ἀνθρώπῳ, καὶ τὴν ἐξουσίαν πᾶσαν
ἔδωκεν αὐτῷ τοῦ κατακυριεύειν τῶν ὑπὸ τὸν οὐρανὸν πάντων; εἰ οὖν, φησί,
πάντων ὁ ἄνθρωπος κύριός ἐστι τῶν κτισμάτων τοῦ θεοῦ καὶ πάντων
κατακυριεύει, οὐ δύναται καὶ τούτων τῶν ἐντολῶν κατακυριεῦσαι; δύναται,
φησί, πάντων καὶ πασῶν τῶν ἐντολῶν τούτων κατακυριεῦσαι ὁ ἄνθρωπος

ὁ ἔχων τὸν κύριον ἐν τῇ καρδίᾳ αὐτοῦ. οἱ δὲ ἐπὶ τοῖς χείλεσιν ἔχοντες τὸν
κύριον, τὴν δὲ καρδίαν αὐτῶν πεπωρωμένην, καὶ μακρὰν ὄντες ἀπὸ τοῦ κυ-
ρίου, ἐκείνοις αἱ ἐντολαὶ αὗται σκληραί εἰσι καὶ δύσβατοι. θέσθε οὖν ὑμεῖς,
οἱ κενοὶ καὶ ἐλαφροὶ ὄντες ἐν τῇ πίστει, τὸν κύριον ὑμῶν εἰς τὴν καρδίαν,
καὶ γνώσεσθε ὅτι οὐδέν ἐστιν εὐκοπώτερον τῶν ἐντολῶν τούτων, οὔτε
γλυκύτερον, οὔτε ἡμερώτερον. ἐπιστράφητε ὑμεῖς οἱ ταῖς ἐντολαῖς πορευό-
μενοι τοῦ διαβόλου, ταῖς δυσκόλοις καὶ πικραῖς καὶ ἀγρίαις καὶ ἀσελγέσι, καὶ
μὴ φοβήθητε τὸν διάβολον, ὅτι ἐν αὐτῷ δύναμις οὐκ ἔστι καθ' ὑμῶν· ἐγὼ
γὰρ ἔσομαι μεθ' ὑμῶν, ὁ ἄγγελος τῆς μετανοίας ὁ κατακυριεύων αὐτοῦ.
ὁ διάβολος μόνον φόβον ἔχει, ὁ δὲ φόβος αὐτοῦ τόνον οὐκ ἔχει· μὴ φοβήθητε
οὖν αὐτόν, καὶ φεύξεται ἀφ' ὑμῶν.
Λέγω αὐτῷ· Κύριε, ἄκουσόν μου ὀλίγων ῥημάτων. Λέγε, φησί, ὃ βούλει.
Ὁ μὲν ἄνθρωπος, φημί, κύριε, πρόθυμός ἐστι τὰς ἐντολὰς τοῦ θεοῦ φυ-
λάσσειν, καὶ οὐδείς ἐστιν ὁ μὴ αἰτούμενος παρὰ τοῦ κ[υρίου ἵν]α ἐνδυνα-
μωθῇ ἐν ταῖς ἐντολαῖς αὐτοῦ καὶ ὑποταγῇ αὐταῖς· ἀλλ' ὁ διάβολος σκλη-
ρός ἐστι καὶ καταδυναστεύει αὐτῶν. Οὐ δύναται, φησί, καταδυναστεύ-
ειν τῶν δούλων τοῦ θεοῦ τῶν ἐξ ὅλης καρδίας ἐλπιζόντων ἐπ' αὐτόν. δύναται
ὁ διάβολος ἀντιπαλαῖσαι, καταπαλαῖσαι δὲ οὐ δύναται. ἐὰν οὖν ἀντισταθῆτε
αὐτῷ, νικηθεὶς φεύξεται ἀφ' ὑμῶν κατῃσχυμμένος. ὅσοι δέ, φησίν, ἀπόκενοί
εἰσι, φοβοῦνται τὸν διάβολον ὡς δύναμιν ἔχοντα. ὅταν ὁ ἄνθρωπος
κεράμια ἱκανώτατα γεμίσῃ οἴνου καλοῦ καὶ ἐν τοῖς κεραμίοις ἐκείνοις ὀλίγα

ἀπόκενα ᾖ, ἔρχεται ἐπὶ τὰ κεράμια καὶ οὐ κατανοεῖ τὰ πλήρη· οἶδε γὰρ ὅτι
πλήρη εἰσί· κατανοεῖ δὲ τὰ ἀπόκενα, φοβούμενος, μήποτε ὤξισαν· ταχὺ
γὰρ τὰ ἀπόκενα κεράμια ὀξίζουσι καὶ ἀπόλλυται ἡ ἡδονὴ τοῦ οἴνου. οὕτω
καὶ ὁ διάβολος ἔρχεται ἐπὶ πάντας τοὺς δούλους τοῦ θεοῦ ἐκπειράζων αὐ-
τούς. ὅσοι οὖν πλήρεις εἰσὶν ἐν τῇ πίστει, ἀνθεστήκασιν αὐτῷ ἰσχυρῶς, κά-
κεῖνος ἀποχωρεῖ ἀπ' αὐτῶν μὴ ἔχων τόπον, ποῦ εἰσέλθῃ. ἔρχεται οὖν
τότε πρὸς τοὺς ἀποκένους καὶ ἔχων τόπον εἰσπορεύεται εἰς αὐτούς, καὶ ὃ
δὲ βούλεται ἐν αὐτοῖς ἐργάζεται, καὶ γίνονται αὐτῷ ὑπόδουλοι.

Ἐγὼ δὲ ὑμῖν λέγω, ὁ ἄγγελος τῆς μετανοίας· μὴ φοβήθητε τὸν διάβολον.
ἀπεστάλην γάρ, φησί, μεθ' ὑμῶν εἶναι τῶν μετανοούντων ἐξ ὅλης καρδίας
αὐτῶν καὶ ἰσχυροποιῆσαι αὐτοὺς ἐν τῇ πίστει. πιστεύσατε οὖν τῷ θεῷ
ὑμεῖς οἱ διὰ τὰς ἁμαρτίας ὑμῶν ἀπεγνωκότες τὴν ζωὴν ὑμῶν καὶ προστι-
θέντες ἁμαρτίαις καὶ καταβαρύνοντες τὴν ζωὴν ὑμῶν, ὅτι, ἐὰν ἐπιστραφῆτε
πρὸς τὸν κύριον ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐργάσησθε τὴν δικαιοσύνην
τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς ὑμῶν καὶ δουλεύσητε αὐτῷ ὀρθῶς κατὰ τὸ
θέλημα αὐτοῦ, ποιήσει ἴασιν τοῖς προτέροις ὑμῶν ἁμαρτήμασι καὶ ἕξετε
δύναμιν τοῦ κατακυριεῦσαι τῶν ἔργων τοῦ διαβόλου. τὴν δὲ ἀπειλὴν τοῦ
διαβόλου ὅλως μὴ φοβήθητε· ἄτονος γάρ ἐστιν ὥσπερ νεκροῦ νεῦρα. ἀκού-
σατε οὖν μου καὶ φοβήθητε τὸν πάντα δυνάμενον, σῶσαι καὶ ἀπολέσαι, καὶ
τηρεῖτε τὰς ἐντολὰς ταύτας, καὶ ζήσεσθε τῷ θεῷ. λέγω αὐτῷ· Κύριε, νῦν
ἐνεδυναμώθην ἐν πᾶσι τοῖς δικαιώμασι τοῦ κυρίου, ὅτι σὺ μετ' ἐμοῦ εἶ. καὶ
οἶδα, ὅτι συγκόψεις τὴν δύναμιν τοῦ διαβόλου πᾶσαν καὶ ἡμεῖς αὐτοῦ κατα-

κυριεύσομεν καὶ κατισχύσομεν πάντων τῶν ἔργων αὐτοῦ. καὶ ἐλπίζω, κύριε,
δύνασθαί με τὰς ἐντολὰς ταύτας, ἃς ἐντέταλσαι, τοῦ κυρίου ἐνδυναμοῦντος
φυλάξαι. Φυλάξεις, φησίν, ἐὰν ἡ καρδία σου καθαρὰ γένηται πρὸς κύριον·
καὶ πάντες δὲ φυλάξουσιν, ὅσοι ἂν καθαρίσωσιν ἑαυτῶν τὰς καρδίας ἀπὸ
τῶν ματαίων ἐπιθυμιῶν τοῦ αἰῶνος τούτου, καὶ ζήσονται τῷ θεῷ.

ΠΑΡΑΒΟΛΑΙ ΑΣ ΕΛΑΛΗΣΕ ΜΕΤ' ΕΜΟΥ

Λέγει μοι· Οἴδατε, φησίν, ὅτι ἐπὶ ξένης κατοικεῖτε ὑμεῖς οἱ δοῦλοι τοῦ θεοῦ· ἡ γὰρ πόλις ὑμῶν μακράν ἐστιν ἀπὸ τῆς πόλεως ταύτης· εἰ οὖν οἴδατε,
φησί, τὴν πόλιν ὑμῶν, ἐν ᾗ μέλλετε κατοικεῖν, τί ὧδε ὑμεῖς ἑτοιμάζετε ἀγροὺς
καὶ παρατάξεις πολυτελεῖς καὶ οἰκοδομὰς καὶ οἰκήματα μάταια; ταῦτα
οὖν ὁ ἑτοιμάζων εἰς ταύτην τὴν πόλιν οὐ δύναται ἐπανακάμψαι εἰς τὴν ἰδίαν
πόλιν. ἄφρον καὶ δίψυχε καὶ ταλαίπωρε ἄνθρωπε, οὐ νοεῖς, ὅτι ταῦτα
πάντα ἀλλότριά εἰσι καὶ ὑπ' ἐξουσίαν ἑτέρου εἰσίν; ἐρεῖ γὰρ ὁ κύριος τῆς πό-
λεως ταύτης· Οὐ θέλω σε κατοικεῖν εἰς τὴν πόλιν μου, ἀλλ' ἔξελθε ἐκ τῆς
πόλεως ταύτης, ὅτι τοῖς νόμοις μου οὐ χρᾶσαι. σὺ οὖν ἔχων ἀγροὺς καὶ
οἰκήσεις καὶ ἑτέρας ὑπάρξεις πολλάς, ἐκβαλλόμενος ὑπ' αὐτοῦ τί ποιήσεις
σου τὸν ἀγρὸν καὶ τὴν οἰκίαν καὶ τὰ λοιπά, ὅσα ἡτοίμασας σεαυτῷ; λέγει
γάρ σοι δικαίως ὁ κύριος τῆς χώρας ταύτης· Ἢ τοῖς νόμοις μου χρῶ ἢ
ἐκχώρει ἐκ τῆς χώρας μου. σὺ οὖν τί μέλλεις ποιεῖν, ἔχων νόμον ἐν τῇ σῇ
πόλει; ἕνεκεν τῶν ἀγρῶν σου καὶ τῆς λοιπῆς ὑπάρξεως τὸν νόμον σου
πάντως ἀπαρνήσῃ καὶ πορεύσῃ τῷ νόμῳ τῆς πόλεως ταύτης; βλέπε μὴ
ἀσύμφορόν ἐστιν ἀπαρνῆσαι τὸν νόμον σου· ἐὰν γὰρ ἐπανακάμψαι
θελήσῃς εἰς τὴν πόλιν σου, οὐ μὴ παραδεχθήσῃ, ὅτι ἀπηρνήσω τὸν

νόμον τῆς πόλεως σου, καὶ ἐκκλεισθήσῃ ἀπ' αὐτῆς. βλέπε οὖν σύ· ὡς ἐπὶ ξένης κατοικῶν μηδὲν πλέον ἑτοίμαζε σεαυτῷ εἰ μὴ τὴν αὐτάρκειαν τὴν ἀρκετήν σοι, καὶ ἕτοιμος γίνου, ἵνα, ὅταν θέλῃ ὁ δεσπότης τῆς πόλεως ταύτης ἐκβαλεῖν σε ἀντιταξάμενον τῷ νόμῳ αὐτοῦ, ἐξέλθῃς ἐκ τῆς πόλεως αὐτοῦ καὶ ἀπέλθῃς ἐν τῇ πόλει σου καὶ τῷ σῷ νόμῳ χρήσῃ ἀνυβρίστως ἀγαλλιώμενος. βλέπετε οὖν ὑμεῖς οἱ δουλεύοντες τῷ κυρίῳ καὶ ἔχοντες αὐτὸν εἰς τὴν καρδίαν· ἐργάζεσθε τὰ ἔργα τοῦ θεοῦ μνημονεύοντες τῶν ἐντολῶν αὐτοῦ καὶ τῶν ἐπαγγελιῶν
ὧν ἐπηγγείλατο, καὶ πιστεύσατε αὐτῷ, ὅτι ποιήσει αὐτάς, ἐὰν αἱ ἐντολαὶ
αὐτοῦ φυλαχθῶσιν. ἀντὶ ἀγρῶν οὖν ἀγοράζετε ψυχὰς θλιβομένας, καθά
τις δυνατός ἐστι, καὶ χήρας καὶ ὀρφανοὺς ἐπισκέπτεσθε καὶ μὴ παραβλέ-
πετε αὐτούς, καὶ τὸν πλοῦτον ὑμῶν καὶ τὰς παρατάξεις πάσας εἰς τοιού-
τους ἀγροὺς καὶ οἰκίας δαπανᾶτε, ἃς ἐλάβετε παρὰ τοῦ θεοῦ. εἰς τοῦτο
γὰρ ἐπλούτισεν ὑμᾶς ὁ δεσπότης, ἵνα ταύτας τὰς διακονίας τελέσητε αὐτῷ·
πολὺ βέλτιόν ἐστι τοιούτους ἀγροὺς ἀγοράζειν καὶ κτήματα καὶ οἴκους,
οὓς εὑρήσεις ἐν τῇ πόλει σου, ὅταν ἐπιδημήσῃς εἰς αὐτήν. αὕτη ἡ πολυ-
τέλεια καλὴ καὶ ἱλαρά, λύπην μὴ ἔχουσα μηδὲ φόβον, ἔχουσα δὲ χαράν. τὴν
οὖν πολυτέλειαν τῶν ἐθνῶν μὴ πράσσετε· ἀσύμφορον γάρ ἐστιν ὑμῖν τοῖς
δούλοις τοῦ θεοῦ· τὴν δὲ ἰδίαν πολυτέλειαν πράσσετε, ἐν ᾗ δύνασθε χαρῆ-
ναι· καὶ μὴ παραχαράσσετε μηδὲ τοῦ ἀλλοτρίου ἅψησθε μηδὲ ἐπιθυμεῖτε
αὐτοῦ· πονηρὸν γάρ ἐστιν ἀλλοτρίων ἐπιθυμεῖν. τὸ δὲ σὸν ἔργον ἐργάζου,
καὶ σωθήσῃ.

Ἄλλη παραβολή

Περιπατοῦντός μου εἰς τὸν ἀγρὸν καὶ κατανοοῦντος πτελέαν καὶ ἄμπε-

λον, καὶ διακρίνοντος περὶ αὐτῶν καὶ τῶν καρπῶν αὐτῶν, φανεροῦταί μοι
ὁ ποιμὴν καὶ λέγει· Τί σὺ ἐν ἑαυτῷ ζητεῖς περὶ τῆς πτελέας καὶ τῆς ἀμπέ-
λου; Συζητῶ, φημί, <κύριε>, ὅτι εὐπρεπέσταταί εἰσιν ἀλλήλαις. Ταῦτα
τὰ δύο δένδρα, φησίν, εἰς τύπον κεῖνται τοῖς δούλοις τοῦ θεοῦ. Ἤθελον,
φημί, γνῶναι τὸν τύπον τῶν δένδρων τούτων ὧν λέγεις. Βλέπεις, φησί, τὴν
πτελέαν καὶ τὴν ἄμπελον; Βλέπω, φημί, κύριε. Ἡ ἄμπελος, φησίν, αὕτη
καρπὸν φέρει, ἡ δὲ πτελέα ξύλον ἄκαρπόν ἐστιν· ἀλλ' ἡ ἄμπελος αὕτη ἐὰν
μὴ ἀναβῇ ἐπὶ τὴν πτελέαν, οὐ δύναται καρποφορῆσαι πολὺ ἐρριμμένη χαμαί,
καὶ ὃν φέρει καρπόν, σεσηπότα φέρει μὴ κρεμαμένη ἐπὶ τῆς πτελέας. ὅταν
οὖν ἐπιρριφῇ ἡ ἄμπελος ἐπὶ τὴν πτελέαν, καὶ παρ' ἑαυτῆς φέρει καρπὸν καὶ
παρὰ τῆς πτελέας. βλέπεις οὖν, ὅτι καὶ ἡ πτελέα πολὺν καρπὸν δίδωσιν,
οὐκ ἐλάσσονα τῆς ἀμπέλου, μᾶλλον δὲ καὶ πλείονα. <Πῶς, φημί,
κύριε, πλείονα;> Ὅτι, φησίν, ἡ ἄμπελος κρεμαμένη ἐπὶ τὴν πτελέαν
τὸν καρπὸν πολὺν καὶ καλὸν δίδωσιν, ἐρριμμένη δὲ χαμαὶ ὀλίγον καὶ
σαπρὸν φέρει. αὕτη οὖν ἡ παραβολὴ εἰς τοὺς δούλους τοῦ θεοῦ κεῖται,
εἰς πτωχὸν καὶ πλούσιον.
Πῶς, φημί, κύριε, γνώρισόν μοι. Ἄκουε, φησίν· ὁ μὲν πλούσιος ἔχει χρή-
ματα, τὰ δὲ πρὸς τὸν κύριον πτωχεύει, περισπώμενος περὶ τὸν πλοῦτον
ἑαυτοῦ, καὶ λίαν μικρὰν ἔχει τὴν ἔντευξιν καὶ τὴν ἐξομολόγησιν πρὸς τὸν
κύριον, καὶ ἣν ἔχει, βληχρὰν καὶ μικρὰν καὶ ἄλλην μὴ ἔχουσαν δύναμιν. ὅταν
οὖν ἐπαναπαῇ ἐπὶ τὸν πένητα ὁ πλούσιος καὶ χορηγῇ αὐτῷ τὰ δέοντα, πι-
στεύει ὅτι ἐὰν ἐργάσηται εἰς τὸν πένητα δυνήσεται τὸν μισθὸν εὑρεῖν παρὰ
τῷ θεῷ· ὅτι ὁ πένης πλούσιός ἐστιν ἐν τῇ ἐντεύξει αὐτοῦ καὶ ἐν τῇ ἐξο-

μολογήσει, καὶ δύναμιν μεγάλην ἔχει παρὰ τῷ θεῷ ἡ ἔντευξις αὐτοῦ. ἐπι-
χορηγεῖ οὖν ὁ πλούσιος τῷ πένητι πάντα ἀδιστάκτως· ὁ πένης οὖν ἐπιχορη-
γούμενος ὑπὸ τοῦ πλουσίου ἐντυγχάνει τῷ θεῷ εὐχαριστῶν αὐτῷ, ὑπὲρ τοῦ
διδόντος αὐτῷ· κἀκεῖνος ἔτι καὶ ἔτι σπουδάζει περὶ τοῦ πένητος, ἵνα ἀδιά-
λειπτος γένηται ἐν τῇ ζωῇ αὐτοῦ· οἶδε γάρ, ὅτι ἡ τοῦ πένητος ἔντευξις προσ-
δεκτή ἐστιν καὶ πλουσία πρὸς κύριον. ἀμφότεροι οὖν τὸ ἔργον τελοῦσιν· ὁ
μὲν πένης ἐργάζεται τῇ ἐντεύξει, ἐν ᾗ πλουτεῖ, ἣν ἔλαβεν παρὰ τοῦ κυρίου·
ταύτην ἀποδίδωσι τῷ κυρίῳ τῷ ἐπιχορηγοῦντι αὐτῷ. καὶ ὁ πλούσιος
ὡσαύτως τὸ πλοῦτος, ὃ ἔλαβεν παρὰ τοῦ κυρίου, ἀδιστάκτως παρέχεται
τῷ πένητι. καὶ τοῦτο ἔργον μέγα ἐστὶν καὶ δεκτὸν παρὰ τῷ θεῷ, ὅτι συνῆ-
κεν ἐπὶ τῷ πλούτῳ αὐτοῦ καὶ ἠργάσατο εἰς τὸν πένητα ἐκ τῶν δωρημάτων
τοῦ κυρίου καὶ ἐτέλεσεν τὴν διακονίαν ὀρθῶς. παρὰ τοῖς οὖν ἀνθρώποις
ἡ πτελέα δοκεῖ καρπὸν μὴ φέρειν, καὶ οὐκ οἴδασιν οὐδὲ νοοῦσιν ὅτι, ὅταν
ἀβροχία γένηται, ἡ πτελέα ἔχουσα ὕδωρ τρέφει τὴν ἄμπελον, καὶ ἡ ἄμπε-
λος ἀδιάλειπτον ἔχουσα τὸ ὕδωρ διπλοῦν τὸν καρπὸν ἀποδίδωσιν, καὶ ὑπὲρ
ἑαυτῆς καὶ ὑπὲρ τῆς πτελέας. οὕτως καὶ οἱ πένητες ὑπὲρ τῶν πλου-
σίων ἐντυγχάνοντες πρὸς τὸν κύριον πληροφοροῦσι τὸ πλοῦτος αὐτῶν, καὶ
πάλιν οἱ πλούσιοι χορηγοῦντες τοῖς πένησι τὰ δέοντα πληροφοροῦσι
τὰς ψυχὰς αὐτῶν. γίνονται οὖν ἀμφότεροι κοινωνοὶ τοῦ ἔργου τοῦ δικαίου. ταῦτα
οὖν ὁ ποιῶν οὐκ ἐνκαταλειφθήσεται ὑπὸ τοῦ θεοῦ, ἀλλὰ ἔσται γεγραμμένος
εἰς τὰς βίβλους τῶν ζώντων. μακάριοι οἱ ἔχοντες καὶ συνιέντες, ὅτι παρὰ
τοῦ κυρίου πλουτίζονται· ὁ γὰρ συνίων τοῦτο δυνήσεται καὶ διακονῆσαί τι

ἀγαθόν.

Παραβολὴ γ

Ἔδειξέ μοι δένδρα πολλὰ μὴ ἔχοντα φύλλα, ἀλλὰ ὡσεὶ ξηρὰ ἐδόκει μοι
εἶναι· ὅμοια γὰρ ἦν πάντα. λέγει μοι· Βλέπεις, φησί, τὰ δένδρα ταῦτα; Βλέ-
πω, φημι, κύριε, ὅμοια ὄντα καὶ ξηρά. ἀποκριθείς μοι λέγει· Ταῦτα τὰ δέν-
δρα, ἃ βλέπεις, οἱ κατοικοῦντές εἰσιν ἐν τῷ αἰῶνι τούτῳ. Διατί, φημί,
οὖν, κύριε, ὡσεὶ ξηρὰ καὶ ὅμοιά ἐστιν; Ὅτι, φησίν, οὔτε οἱ δίκαιοι φαίνον-
ται οὔτε οἱ ἁμαρτωλοὶ ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ ὅμοιοί εἰσιν· ὁ γὰρ αἰὼν οὗ-
τος δικαίοις χειμών ἐστιν, καὶ οὐ φαίνονται μετὰ τῶν ἁμαρτωλῶν κατοι-
κοῦντες. ὥσπερ γὰρ τῷ χειμῶνι τὰ δένδρα ἀποβεβληκότα τὰ φύλλα ὅμοιά
ἐστιν καὶ οὐ φαίνεται τὰ ξηρὰ ποῖά ἐστιν ἢ τὰ ζῶντα, οὕτως ἐν τῷ αἰῶνι
τούτῳ οὐ φαίνονται οὔτε οἱ δίκαιοι οὔτε οἱ ἁμαρτωλοί, ἀλλὰ πάντες ὅμοιοί
εἰσιν.

Ἄλλη παραβολὴ <δ>

Ἔδειξέ μοι πάλιν δένδρα πολλά, ἃ μὲν βλαστῶντα, ἃ δὲ ξηρά, καὶ λέγει
μοι· Βλέπεις, φησί, τὰ δένδρα ταῦτα; Βλέπω, φημί, κύριε, ἃ μὲν βλα-
στῶντα, ἃ δὲ ξηρά. Ταῦτα, φησί, τὰ δένδρα τὰ βλαστῶντα οἱ δίκαιοί
εἰσιν οἱ μέλλοντες κατοικεῖν εἰς τὸν αἰῶνα τὸν ἐρχόμενον· ὁ γὰρ αἰὼν ὁ
ἐρχόμενος θερεία ἐστὶν τοῖς δικαίοις, τοῖς δὲ ἁμαρτωλοῖς χειμών. ὅταν
οὖν ἐπιλάμψῃ τὸ ἔλεος τοῦ κυρίου, τότε φανεροὶ ἔσονται οἱ δουλεύοντες
τῷ θεῷ, καὶ πᾶσι φανεροποιηθήσονται. ὥσπερ γὰρ τῇ θερείᾳ ἑνὸς ἑκάστου
δένδρου οἱ καρποὶ φανεροῦνται καὶ ἐπιγινώσκονται ποῖοί τινές εἰσιν, οὕτω

καὶ τῶν δικαίων οἱ καρποὶ φανεροὶ ἔσονται καὶ γνωσθήσονται πάντες εὐθα-
λεῖς ὄντες ἐν τῷ αἰῶνι ἐκείνῳ. τὰ δὲ ἔθνη καὶ οἱ ἁμαρτωλοί, ἃ εἶδες τὰ
δένδρα τὰ ξηρά, τοιοῦτοι εὑρεθήσονται ξηροὶ καὶ ἄκαρποι ἐν ἐκείνῳ τῷ αἰῶνι
καὶ ὡς ξηρὰ ξύλα κατακαυθήσονται καὶ φανεροὶ ἔσονται, ὅτι ἡ πρᾶξις
αὐτῶν πονηρὰ ἐγένετο ἐν τῇ ζωῇ αὐτῶν. οἱ μὲν γὰρ ἁμαρτωλοὶ καήσονται
ὅτι ἥμαρτον καὶ οὐ μετενόησαν· τὰ δὲ ἔθνη καήσονται ὅτι οὐκ ἔγνωσαν τὸν
κτίσαντα αὐτούς. σὺ οὖν ἐν σεαυτῷ καρποφόρει, ἵνα ἐν ἐκείνῃ τῇ θερείᾳ
γνωσθῇ σου ὁ καρπός· ἀπέχου δὲ ἀπὸ πολλῶν πράξεων καὶ οὐδὲν διαμάρτῃς.
οἱ γὰρ τὰ πολλὰ πράσσοντες πολλὰ καὶ ἁμαρτάνουσιν, περισπώμενοι περὶ
τὰς πραγματείας αὐτῶν μηδὲ δουλεύοντες τῷ κυρίῳ αὐτῶν. Πῶς οὖν,
φησίν, δύναται ὁ τοιοῦτος αἰτήσασθαί τι παρὰ τοῦ κυρίου καὶ λαβεῖν, μὴ
δουλεύων τῷ κυρίῳ; οἱ δουλεύοντες αὐτῷ, ἐκεῖνοι λήμψονται τὰ αἰτήματα
αὐτῶν, οἱ δὲ μὴ δουλεύοντες τῷ κυρίῳ οὐδὲν λήμψονται. ἐὰν δὲ μίαν
τις πρᾶξιν ἐργάσηται, δύναται καὶ τῷ κυρίῳ δουλεῦσαι· οὐ γὰρ μὴ δια-
φθαρήσεται ἡ διάνοια αὐτοῦ ἀπὸ τοῦ κυρίου, ἀλλὰ δουλεύσει αὐτῷ ἔχων κα-
θαρὰν τὴν διάνοιαν αὐτοῦ. ταῦτα οὖν ἐὰν ποιήσῃς, δυνήσῃ καρποφορῆ-
σαι εἰς τὸν αἰῶνα τὸν ἐρχόμενον· καὶ ὃς ἐὰν ταῦτα ποιήσῃ, καρποφορήσει.

Ἄλλη παραβολὴ ε

Νηστεύοντός μου καὶ καθημένου εἰς ὄρος τι εὐχαριστῶν τῷ κυρίῳ περὶ
πάντων ὧν ἐποίησεν μετ' ἐμοῦ, βλέπω τὸν ποιμένα παρακαθήμενόν μοι καὶ
λέγοντά [μοι τοι]αῦτα· Τί ὀρθρινὸς ὧδε ἐλήλυθας; Ὅτι, φημί, κύριε, στα-
τίωνα ἔχω. Τί, φησίν, ἐστὶν στατίων; Νηστεύω, φημί, κύριε. Νηστεία

δέ, φησίν, τί ἐστιν αὕτη, ἣν νηστεύετε; Ὡς εἰώθειν, φημί, κύριε, οὕτω νη-
στεύω. Οὐκ οἴδατε, φησίν, νηστεύειν τῷ θεῷ, οὐδέ ἐστιν νηστεία αὕτη ἡ
ἀνωφελής, ἣν νηστεύετε αὐτῷ. Διατί, φημί, κύριε, τοῦτο λέγεις; Λέγω,
φησίν, ὅτι οὐκ ἔστιν αὕτη νηστεία ἣν δοκεῖτε νηστεύειν· ἀλλ' ἐγώ σε διδάξω
τί ἐστιν νηστεία δεκτὴ καὶ πλήρης τῷ κυρίῳ. Ναί, φημί, κύριε, μακάριόν
με ποιήσεις ἐὰν γνῶ τὴν νηστείαν τὴν δεκτὴν τῷ θεῷ. Ἄκουε, φησίν. ὁ
θεὸς οὐ βούλεται τοιαύτην νηστείαν ματαίαν· οὕτω γὰρ νηστεύων τῷ θεῷ
οὐδὲν ἐργάζῃ τῇ δικαιοσύνῃ. νήστευσον δὲ τῷ θεῷ νηστείαν τοιαύτην· μηδὲν
πονηρεύσῃ ἐν τῇ ζωῇ σου, ἀλλὰ δούλευσον τῷ κυρίῳ ἐν καθαρᾷ καρδίᾳ,
τηρῶν τὰς ἐντολὰς αὐτοῦ <καὶ> πορευόμενος ἐν τοῖς προστάγμασιν αὐτοῦ
καὶ μηδεμία ἐπιθυμία πονηρὰ ἀναβήτω ἐν τῇ καρδίᾳ σου· πίστευσον δὲ τῷ
θεῷ ὅτι, ἐὰν ταῦτα ἐργάσῃ καὶ φοβηθῇς αὐτὸν καὶ ἐγκρατεύσῃ ἀπὸ παντὸς
πονηροῦ πράγματος, ζήσῃ τῷ θεῷ· ταῦτα δὲ ἐὰν ἐργάσῃ, μεγάλην νηστείαν
τελεῖς καὶ δεκτὴν τῷ κυρίῳ.

Ἄκουε τὴν παραβολήν, ἣν μέλλω σοι λέγειν, ἀνήκουσαν τῇ νηστείᾳ. εἶχέν
τις ἀγρὸν καὶ δούλους πολλούς, καὶ εἰς μέρος τι τοῦ ἀγροῦ ἐφύτευσεν ἀμπε-
λῶνα· ἐκλεξάμενος οὖν δοῦλόν τινα πιστότατον καὶ εὐάρεστον αὐτῷ, ἀπο-
δημῶν προσεκαλέσατο αὐτὸν καὶ λέγει αὐτῷ· Λάβε τὸν ἀμπελῶνα τοῦτον,
ὃν ἐφύτευσα, καὶ χαράκωσον αὐτὸν ἕως ἔρχομαι, καὶ ἕτερον δὲ μὴ ποιήσῃς
τῷ ἀμπελῶνι· καὶ ταύτην μου τὴν ἐντολὴν φύλαξον, καὶ ἐλεύθερος ἔσῃ παρ'
ἐμοί. ἐξῆλθε δὲ ὁ δεσπότης τοῦ δούλου εἰς τὴν ἀποδημίαν. ἐξελθόντος δὲ
αὐτοῦ ἔλαβεν ὁ δοῦλος καὶ ἐχαράκωσε τὸν ἀμπελῶνα. καὶ τελέσας τὴν χαρά-

κωσιν τοῦ ἀμπελῶνος εἶδε τὸν ἀμπελῶνα βοτανῶν πλήρη ὄντα. ἐν ἑαυτῷ
οὖν ἐλογίσατο λέγων· Ταύτην τὴν ἐντολὴν τοῦ κυρίου τετέλεκα· σκάψω
λοιπὸν τὸν ἀμπελῶνα τοῦτον, καὶ ἔσται εὐπρεπέστερος ἐσκαμμένος, καὶ
βοτάνας μὴ ἔχων δώσει καρπὸν πλείονα, μὴ πνιγόμενος ὑπὸ τῶν βοτανῶν.
λαβὼν ἔσκαψε τὸν ἀμπελῶνα καὶ πάσας τὰς βοτάνας τὰς οὔσας ἐν τῷ ἀμπε-
λῶνι ἐξέτιλλε. καὶ ἐγένετο ὁ ἀμπελὼν ἐκεῖνος εὐπρεπέστατος καὶ εὐθαλής,
μὴ ἔχων βοτάνας τὰς πνιγούσας αὐτόν. μετὰ χρόνον τινὰ ἦλθεν ὁ δεσπότης
τοῦ ἀγροῦ καὶ τοῦ δούλου καὶ εἰσῆλθεν εἰς τὸν ἀμπελῶνα. καὶ ἰδὼν τὸν
ἀμπελῶνα κεχαρακωμένον εὐπρεπῶς, ἔτι δὲ καὶ ἐσκαμμένον καὶ πάσας τὰς
βοτάνας ἐκτετιλμένας καὶ εὐθαλεῖς οὔσας τὰς ἀμπέλους, ἐχάρη λίαν ἐπὶ
τοῖς ἔργοις τοῦ δούλου. προσκαλεσάμενος οὖν τὸν υἱὸν αὐτοῦ τὸν ἀγαπητόν,
ὃν εἶχε κληρονόμον, καὶ τοὺς φίλους, οὓς εἶχε συμβούλους, λέγει αὐτοῖς, ὅσα
ἐνετείλατο τῷ δούλῳ αὐτοῦ, καὶ ὅσα εὗρε γεγονότα. κἀκεῖνοι συνεχάρησαν
τῷ δούλῳ ἐπὶ τῇ μαρτυρίᾳ ᾗ ἐμαρτύρησεν αὐτῷ ὁ δεσπότης. καὶ λέγει
αὐτοῖς· Ἐγὼ τῷ δούλῳ τούτῳ ἐλευθερίαν ἐπηγγειλάμην, ἐάν μου τὴν
ἐντολὴν φυλάξῃ, ἣν ἐνετειλάμην αὐτῷ· ἐφύλαξε δέ μου τὴν ἐντολὴν καὶ
προσέθηκε τῷ ἀμπελῶνι ἔργον καλόν, καὶ ἐμοὶ λίαν ἤρεσεν. ἀντὶ τούτου
οὖν τοῦ ἔργου οὗ εἰργάσατο θέλω αὐτὸν συγκληρονόμον τῷ υἱῷ μου ποιῆσαι,
ὅτι τὸ καλὸν φρονήσας οὐ παρενεθυμήθη, ἀλλ' ἐτέλεσεν αὐτό. ταύτῃ τῇ
γνώμῃ ὁ υἱὸς τοῦ δεσπότου συνηυδόκησεν αὐτῷ, ἵνα συγκληρονόμος γένηται
ὁ δοῦλος τῷ υἱῷ. μετὰ ὀλίγας ἡμέρας δεῖπνον ἐποίησεν <ὁ οἰκοδεσπότης>

αὐτοῦ καὶ ἔπεμψεν αὐτῷ ἐδέσματα ἐκ τοῦ δείπνου πολλά. λαβὼν δὲ ὁ δοῦλος
τὰ ἐδέσματα τὰ πεμφθέντα αὐτῷ ἀπὸ τοῦ δεσπότου αὐτοῦ τὰ
ἀρκοῦντα αὐτῷ ἦρε, τὰ δὲ λοιπὰ τοῖς συνδούλοις αὐτοῦ διέδωκεν. οἱ δὲ σύνδουλοι αὐτοῦ
λαβόντες τὰ ἐδέσματα ἐχάρησαν καὶ ἤρξαντο καὶ εὔχεσθαι ὑπὲρ αὐτοῦ, ἵνα
μείζονα χάριν εὕρῃ παρὰ τῷ δεσπότῃ, ὅτι οὕτως ἐχρήσατο αὐτοῖς. ταῦτα
πάντα τὰ γεγονότα ὁ δεσπότης αὐτοῦ ἤκουσεν καὶ πάλιν λίαν ἐχάρη ἐπὶ τῇ
πράξει αὐτοῦ. συνκαλέσας πάλιν πάντας τοὺς φίλους ὁ δεσπότης καὶ τὸν
υἱὸν αὐτοῦ ἀπήγγειλεν αὐτοῖς τὴν πρᾶξιν τοῦ δούλου, ἣν ἔπραξεν ἐπὶ τοῖς
ἐδέσμασιν οἷς ἔλαβεν· οἱ δὲ ἔτι μᾶλλον συνευδόκησαν γενέσθαι τὸν δοῦλον
συνκληρονόμον τῷ υἱῷ αὐτοῦ.

Λέγω αὐτῷ· Κύριε, ἐγὼ ταύτας τὰς παραβολὰς οὐ γινώσκω οὐδὲ δύναμαι
νοῆσαι αὐτάς, ἐὰν μή μοι ἐπιλύσῃς αὐτάς. Πάντα σοι ἐπιλύσω, φησίν, καὶ
ὅσα ἂν λαλήσω μετὰ σοῦ, δείξω σοι. τὰς ἐντολὰς τοῦ κυρίου φύλασσε καὶ ἔσῃ
εὐάρεστος αὐτῷ καὶ ἐνγραφήσῃ εἰς ἀριθμὸν τῶν τηρούντων τὰς ἐντολὰς αὐτοῦ.
ἐὰν δέ τι ἀγαθοῦ ποιήσῃς ἐκτὸς τῆς ἐντολῆς τοῦ θεοῦ, σεαυτῷ περιποιήσῃ
δόξαν περισσοτέραν καὶ ἔσῃ ἐνδοξότερος παρὰ τῷ θεῷ οὗ ἔμελλες εἶναι.
ἐὰν οὖν φυλάσσων τὰς ἐντολὰς τοῦ θεοῦ προσθῇς καὶ τὰς
λειτουργίας ταύτας, χαρήσῃ, ἐὰν τηρήσῃς αὐτὰς κατὰ τὴν ἐμὴν
ἐντολήν. λέγω αὐτῷ· Κύριε, ὃ ἐάν μοι ἐντείλῃ, φυλάξω αὐτό· οἶδα γὰρ ὅτι σὺ μετ' ἐμοῦ εἶ. Ἔσομαι,
φησί, μετὰ σοῦ, ὅτι τοιαύτην προθυμίαν ἔχεις τῆς ἀγαθοποιήσεως καὶ μετὰ
πάντων δὲ ἔσομαι ὅσοι ἐάν, φησί, τὴν αὐτὴν προθυμίαν ἔχωσιν. ἡ νηστεία,
φησίν, αὕτη, τηρουμένων τῶν ἐντολῶν τοῦ κυρίου, λίαν καλή ἐστιν. οὕτως

οὖν φυλάξεις τὴν νηστείαν· πρῶτον πάντων φύλαξαι ἀπὸ παντὸς ·»ματος
πονηροῦ καὶ πάσης ἐπιθυμίας πονηρᾶς καὶ καθάρισόν σου τὴν καρδίαν ἀπὸ
πάντων τῶν ματαιωμάτων τοῦ αἰῶνος τούτου. ἐὰν ταῦτα φυλάξῃς, ἔσται
αὕτη ἡ νηστεία τελεία. οὕτω δὲ ποιήσεις· συντελέσας τὰ προγεγραμμένα,
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ νηστεύεις μηδὲν γεύσῃ εἰ μὴ ἄρτον καὶ ὕδωρ, καὶ ἐκ τῶν
ἐδεσμάτων σου ὧν ἔμελλες τρώγειν συνοψίσας τὴν ποσότητα τῆς δαπάνης
ἐκείνης τῆς ἡμέρας ἧς ἔμελλες ποιεῖν, ἀποθέμενος δώσεις αὐτὸ χήρᾳ ἢ
ὀρφανῷ ἢ ὑστερουμένῳ, καὶ οὕτω ταπεινοφρονήσεις, ἵνα ἐκ τῆς ταπεινοφρο-
σύνης σου ὁ εἰληφὼς ἐμπλήσῃ τὴν ἑαυτοῦ ψυχὴν καὶ εὔξηται περὶ σοῦ πρὸς
τὸν κύριον. ἐὰν οὖν οὕτω τελέσῃς τὴν νηστείαν, ὥς σοι ἐντέλλομαι, ἔσται
ἡ θυσία σου δεκτὴ παρὰ τῷ θεῷ καὶ ἔνγραφος ἔσται ἡ νηστεία αὕτη, καὶ ἡ
λειτουργία οὕτως ἐργαζομένη καλὴ καὶ ἱλαρά ἐστι καὶ εὐπρόσδεκτος τῷ
κυρίῳ. ταῦτα οὕτως τηρήσεις σὺ μετὰ τῶν τέκνων σου καὶ ὅλου τοῦ
οἴκου σου· τηρήσας δὲ αὐτὰ μακάριος ἔσῃ· καὶ ὅσοι ἐὰν ἀκούσαντες αὐτὰ
τηρήσωσι, μακάριοι ἔσονται, καὶ ὅσα ἐὰν αἰτήσωνται παρὰ τοῦ κυρίου
λήμψονται.

Ἐδεήθην αὐτοῦ πολλά, ἵνα μοι δηλώσῃ τὴν παραβολὴν τοῦ ἀγροῦ καὶ τοῦ
δεσπότου καὶ τοῦ ἀμπελῶνος καὶ τοῦ δούλου τοῦ χαρακώσαντος τὸν ἀμπελῶνα
καὶ τῶν χαράκων καὶ τῶν βοτανῶν τῶν ἐκτετιλμένων ἐκ τοῦ ἀμπελῶνος
καὶ τοῦ υἱοῦ καὶ τῶν φίλων τῶν συμβούλων· συνῆκα γὰρ ὅτι παραβολή
ἐστιν ταῦτα πάντα. ὁ δὲ ἀποκριθείς μοι λέγει· Αὐθάδης εἶ λίαν εἰς τὸ
ἐπερωτᾶν. οὐκ ὀφείλεις, φησίν, ἐπερωτᾶν οὐδὲν ὅλως· ἐὰν γάρ σοι δέῃ

δηλωθῆναι, δηλωθήσεται. λέγω αὐτῷ· Κύριε, ὅσα ἐάν μοι δείξῃς καὶ μὴ
δηλώσῃς, μάτην ἔσομαι ἑωρακὼς αὐτὰ καὶ μὴ νοῶν ὅτι ἐστίν· ὡσαύτως
καὶ ἐάν μοι παραβολὰς λαλήσῃς καὶ μὴ ἐπιλύσῃς μοι, εἰς μάτην ἔσομαι
ἠκουκὼς παρὰ σοῦ. ὁ δὲ πάλιν λέγει μοι· Ὃς ἂν δοῦλος ἦν, φησίν, τοῦ
θεοῦ καὶ ἔχῃ τὸν κύριον αὐτοῦ ἐν τῇ καρδίᾳ, αἰτεῖται παρ' αὐτοῦ σύνεσιν
καὶ λαμβάνει καὶ πᾶσαν παραβολὴν ἐπιλύει, καὶ γνωστὰ αὐτῷ γίνονται τὰ
·»ματα τοῦ κυρίου τὰ λεγόμενα διὰ παραβολῶν· ὅσοι δὲ βληχροί εἰσιν καὶ
ἀργοὶ πρὸς τὴν ἔντευξιν, ἐκεῖνοι διστάζουσιν αἰτεῖσθαι παρὰ τοῦ κυρίου·
ὁ δὲ κύριος πολύσπλαγχνός ἐστιν καὶ πᾶσιν τοῖς αἰτουμένοις παρ' αὐτοῦ
ἀδιστάκτως δίδωσι. σὺ δὲ ἐνδεδυναμωμένος ὑπὸ τοῦ ἐνδόξου ἀγγέλου καὶ
εἰληφὼς παρ' αὐτοῦ τοιαύτην ἔντευξιν καὶ μὴ ὢν ἀργός, διατί οὐκ αἰτῇ
παρὰ τοῦ κυρίου σύνεσιν καὶ λαμβάνεις παρ' αὐτοῦ; λέγω αὐτῷ· Κύριε,
ἐγὼ ἔχων σὲ μετ' ἐμαυτοῦ ἀνάγκην ἔχω παρὰ σοῦ αἰτεῖσθαι καὶ σὲ ἐπερωτᾶν·
σὺ γάρ μοι δεικνύεις πάντα καὶ λαλεῖς μετ' ἐμοῦ· εἰ δὲ ἄτερ σοῦ ἔβλεπον
ταῦτα ἢ ἤκουον, ἠρώτων ἂν τὸν κύριον, ἵνα μοι δηλωθῇ.

Εἶπόν σοι, φησί, καὶ ἄρτι, ὅτι πανοῦργος εἶ καὶ αὐθάδης, ἐπερωτῶν τὰς
ἐπιλύσεις τῶν παραβολῶν. ἐπεὶ δὲ οὕτως παράμονος εἶ σύ, ἐπιλύσω σοι τὴν
παραβολὴν τοῦ ἀγροῦ καὶ τῶν λοιπῶν τῶν ἀκολουθούντων πάντων, ἵνα
γνωστὰ πᾶσι ποιήσῃς αὐτά. ἄκουε νῦν, φησί, καὶ σύνιε αὐτά. ὁ ἀγρὸς ὁ
κόσμος οὗτός ἐστιν· ὁ δὲ κύριος τοῦ ἀγροῦ ὁ κτίσας τὰ πάντα καὶ ἀπαρτίσας
αὐτὰ καὶ δυναμώσας. <ὁ δὲ υἱὸς τὸ πνεῦμα τὸ ἅγιόν ἐστιν·> ὁ δὲ δοῦλος ὁ

υἱὸς τοῦ θεοῦ ἐστιν· αἱ δὲ ἄμπελοι ὁ λαὸς οὗτός ἐστιν, ὃν αὐτὸς ἐφύτευσεν·
οἱ δὲ χάρακες οἱ ἅγιοι ἄγγελοί εἰσι τοῦ κυρίου οἱ συγκρατοῦντες τὸν λαὸν
αὐτοῦ· αἱ δὲ βοτάναι αἱ ἐκτετιλμέναι ἐκ τοῦ ἀμπελῶνος ἀνομίαι εἰσὶ τῶν
δούλων τοῦ θεοῦ· τὰ δὲ ἐδέσματα, ἃ ἔπεμψεν αὐτῷ ἐκ τοῦ δείπνου, αἱ ἐντολαί
εἰσιν, ἃς ἔδωκε τῷ λαῷ αὐτοῦ διὰ τοῦ υἱοῦ αὐτοῦ· οἱ δὲ φίλοι καὶ σύμβουλοι
οἱ ἅγιοι ἄγγελοι οἱ πρῶτοι κτισθέντες· ἡ δὲ ἀποδημία τοῦ δεσπότου ὁ
χρόνος ὁ περισσεύων εἰς τὴν παρουσίαν αὐτοῦ. λέγω αὐτῷ· Κύριε, με-
γάλως καὶ θαυμαστῶς πάντα ἐστὶν καὶ ἐνδόξως ἔχει. μὴ οὖν, φημί, κύριε,
ἐγὼ ταῦτα ἠδυνάμην νοῆσαι; οὐδὲ ἕτερος ἄνθρωπος κἂν λίαν συνετὸς ἦν
τις, οὐ δύναται νοῆσαι αὐτά. ἔτι, φημί, κύριε, δήλωσόν μοι, ὃ μέλλω σε
ἐπερωτᾶν. Λέγε, φησίν, εἴ τι βούλει. Διατί, φημί, κύριε, ὁ υἱὸς τοῦ θεοῦ
εἰς δούλου τρόπον κεῖται ἐν τῇ παραβολῇ;

Ἄκουε, φησίν· εἰς δούλου τρόπον <οὐ> κεῖται ὁ υἱὸς τοῦ θεοῦ, ἀλλ' εἰς
ἐξουσίαν μεγάλην κεῖται καὶ κυριότητα. Πῶς, φημί, κύριε, οὐ νοῶ. Ὅτι,
φησίν, ὁ θεὸς τὸν ἀμπελῶνα ἐφύτευσε, τοῦτ' ἔστι τὸν λαὸν ἔκτισε καὶ παρέ-
δωκε τῷ υἱῷ αὐτοῦ· καὶ ὁ υἱὸς κατέστησε τοὺς ἀγγέλους ἐπ' αὐτοὺς τοῦ
συντηρεῖν ἑκάστους· καὶ αὐτὸς τὰς ἁμαρτίας αὐτῶν ἐκαθάρισε πολλὰ
κοπιάσας καὶ πολλοὺς κόπους ἀνηντληκώς· οὐδεὶς γὰρ ἀμπελὼν δύναται
σκαφῆναι ἄτερ κόπου ἢ μόχθου. αὐτὸς οὖν καθαρίσας τὰς ἁμαρτίας τοῦ
λαοῦ ἔδειξεν αὐτοῖς τὰς τρίβους τῆς ζωῆς, δοὺς αὐτοῖς τὸν νόμον, ὃν ἔλαβεν
παρὰ τοῦ πατρὸς αὐτοῦ. βλέπεις οὖν, φησίν, ὅτι αὐτὸς κύριός <ἐστι τοῦ
λαοῦ, ἐξουσίαν πᾶσαν λαβὼν παρὰ τοῦ πατρὸς αὐτοῦ.> ὅτι δὲ ὁ κύριος σύμ-

βουλον ἔλαβε τὸν υἱὸν αὐτοῦ καὶ τοὺς ἐνδόξους ἀγγέλους περὶ τῆς κληρονομίας
τοῦ δούλου, ἄκουε· τὸ πνεῦμα τὸ ἅγιον τὸ προόν, τὸ κτίσαν πᾶσαν τὴν
κτίσιν, κατόκισεν ὁ θεὸς εἰς σάρκα ἣν ἠβούλετο. αὕτη οὖν ἡ σάρξ, ἐν ᾗ
κατόκησε τὸ πνεῦμα τὸ ἅγιον, ἐδούλευσε τῷ πνεύματι καλῶς ἐν σεμνότητι
καὶ ἁγνείᾳ πορευθεῖσα, μηδὲν ὅλως μιάνασα τὸ πνεῦμα. πολιτευσαμένην
οὖν αὐτὴν καλῶς καὶ ἁγνῶς καὶ συνκοπιάσασαν τῷ πνεύματι καὶ
συνεργήσασαν ἐν παντὶ πράγματι, ἰσχυρῶς καὶ ἀνδρείως
ἀναστραφεῖσαν, μετὰ τοῦ πνεύματος τοῦ ἁγίου εἵλατο κοινωνόν·
ἤρεσε γὰρ ἡ πορεία τῆς σαρκὸς ταύτης, ὅτι οὐκ ἐμιάνθη ἐπὶ τῆς γῆς
ἔχουσα τὸ πνεῦμα τὸ ἅγιον. σύμβουλον οὖν ἔλαβε τὸν υἱὸν καὶ τοὺς
ἀγγέλους τοὺς ἐνδόξους, ἵνα καὶ ἡ σὰρξ αὕτη, δουλεύσασα τῷ
[πνεύμα]τι ἀμέμπτως, σχῇ τόπον τινὰ κατασκηνώσεως, καὶ μὴ δόξῃ
τὸν μισθὸν <τῆς δουλείας αὐτῆς ἀπολωλεκέναι· πᾶσα γὰρ σὰρξ
ἀπολήμψεται μισθὸν> ἡ εὑρεθεῖσα ἀμίαντος καὶ ἄσπιλος, ἐν ᾗ τὸ
πνεῦμα τὸ ἅγιον κατόκησεν. ἔχεις καὶ ταύτης τῆς παραβολῆς τὴν ἐπίλυσιν.
Ἡὐφράνθην, φημί, κύριε, ταύτην τὴν ἐπίλυσιν ἀκούσας. Ἄκουε νῦν,
φησί· τὴν σάρκα σου ταύτην φύλασσε καθαρὰν καὶ ἀμίαντον, ἵνα τὸ
πνεῦμα τὸ κατοικῆσαν ἐν αὐτῇ μαρτυρήσῃ αὐτῇ καὶ δικαιωθῇ σου ἡ
σάρξ. βλέπε, μήποτέ σου ἐπὶ τὴν καρδίαν ἀναβῇ τὴν σάρκα σου
ταύτην φθαρτὴν εἶναι καὶ παραχρήσῃ αὐτῇ ἐν μιασμῷ τινι. ἐὰν
μιάνῃς τὴν σάρκα σου, μιανεῖς καὶ τὸ πνεῦμα τὸ ἅγιον· κἂν μιάνῃς
τὴν σάρκα σου, οὐ ζήσῃ. Εἰ δέ τις, φημί, κύριε, γέγονεν ἄγνοια
προτέρα, πρὶν ἀκουσθῆναι τὰ ·»ματα ταῦτα, πῶς σωθήσεται ὁ
ἄνθρωπος ὁ μιάνας τὴν σάρκα ἑαυτοῦ; Περὶ τῶν προτέρων, φησίν,
ἀγνοημάτων τῷ θεῷ μόνῳ δυνατὸν ἴασιν δοῦναι· αὐτοῦ γὰρ πᾶσά
ἐστιν ἡ ἐξουσία. ἀλλὰ τὰ νῦν φύλασσε, καὶ <ὁ κύριος> πάντως πολύσπλαγχνος ὢν αὐτὰ ἰάσεται
ἐάν σου τὴν σάρκα λοιπὸν μὴ μιάνῃς μηδὲ τὸ πνεῦμα· ἀμφότερα γὰρ κοινά
ἐστιν καὶ ἄτερ ἀλλήλων μιανθῆναι οὐ δύναται. ἀμφότερα οὖν καθαρὰ φύ-
λασσε, καὶ ζήσῃ τῷ θεῷ.

Παραβολὴ Σ

Καθήμενος ἐν τῷ οἴκῳ μου καὶ δοξάζων τὸν κύριον περὶ πάντων ὧν
ἑωράκειν καὶ συνζητῶν περὶ τῶν ἐντολῶν, ὅτι καλαὶ καὶ δυναταὶ καὶ ἱλαραὶ
καὶ ἔνδοξοι καὶ δυνάμεναι σῶσαι ψυχὴν ἀνθρώπου, ἔλεγον ἐν ἐμαυτῷ ταῦτα·
Μακάριος ἔσομαι, ἐὰν ἐν ταῖς ἐντολαῖς ταύταις πορευθῶ, καὶ ὃς ἐὰν πορεύ-
σηται ἐν αὐταῖς μακάριος ἔσται. ἕως ταῦτα ἐν ἐμαυτῷ λαλῶ, βλέπω αὐτὸν
ἐξαίφνης παρακαθήμενόν μοι καὶ λέγοντα ταῦτα· Τί διψυχεῖς περὶ τῶν ἐντολῶν
ὧν σοι ἐντέταλμαι; καλαί εἰσιν· ὅλως μηδὲν διψυχήσῃς, ἀλλ' ἔνδυσαι τὴν
πίστιν τοῦ κυρίου καὶ ἐν αὐταῖς πορεύσῃ· ἐγὼ γάρ σε δυναμώσω ἐν αὐταῖς.
αὗται αἱ ἐντολαὶ σύμφοροί εἰσιν τοῖς μέλλουσι μετανοεῖν· ἐὰν γὰρ μὴ πορευ-
θῶσιν ἐν αὐταῖς, εἰς μάτην ἐστὶν ἡ μετάνοια αὐτῶν. οἱ οὖν μετανοοῦντες
ἀποβάλετε τὰς πονηρίας τοῦ αἰῶνος τούτου τὰς ἐκτριβούσας ὑμᾶς· ἐνδυσά-
μενοι δὲ πᾶσαν ἀρετὴν δικαιοσύνης δυνήσεσθε τηρῆσαι τὰς ἐντολὰς ταύτας
καὶ μηκέτι προστίθετε ταῖς ἁμαρτίαις ὑμῶν. μηδὲν οὖν προστιθέντες πολὺ
κόψετε τῶν προτέρων ὑμῶν ἁμαρτιῶν. πορεύεσθε οὖν ταῖς ἐντολαῖς μου, καὶ
ζήσεσθε τῷ θεῷ. ταῦτα παρ' ἐμοῦ λελάληται ὑμῖν. μετὰ τὸ ταῦτα λαλῆσαι
αὐτὸν μετ' ἐμοῦ, λέγει μοι· Ἄγωμεν εἰς ἀγρόν, καὶ δείξω σοι τοὺς ποιμένας
τῶν προβάτων. Ἄγωμεν, φημί, κύριε. ἤλθομεν εἴς τι πεδίον, καὶ δεικνύει
μοι ποιμένα νεανίσκον ἐνδεδυμένον σύνθεσιν ἱματίων τῷ χρώματι κροκώδη.
ἔβοσκε δὲ πρόβατα πολλὰ λίαν, καὶ τὰ πρόβατα ταῦτα ὡσεὶ τρυφῶντα ἦν καὶ

λίαν σπαταλῶντα καὶ ἱλαρὰ ἦν σκιρτῶντα ὧδε καὶ ἐκεῖ, καὶ αὐτὸς ὁ ποιμὴν
ἱλαρὸς ἦν ἐπὶ τῷ ποιμνίῳ αὐτοῦ· καὶ αὐτὴ ἡ ἰδέα τοῦ ποιμένος λίαν ἱλαρὰ ἦν
καὶ ἐν τοῖς πρόβασι περιέτρεχεν.

Λέγει μοι· Βλέπεις, φησίν, τὸν ποιμένα τοῦτον; Βλέπω, φημί, κύριε. Οὗτος, φησίν, ἐστὶν ἄγγελος τρυφῆς καὶ ἀπάτης. οὗτος οὖν ἐκτρίβει τὰς ψυχὰς τῶν δούλων τοῦ θεοῦ τῶν κενῶν καὶ καταστρέφει αὐτοὺς ἀπὸ τῆς ἀληθείας, ἀπατῶν αὐτοὺς ταῖς ἐπιθυμίαις ταῖς πονηραῖς, ἐν αἷς ἀπόλλυνται. ἐπιλανθάνονται γὰρ τὰς ἐντολὰς τοῦ θεοῦ τοῦ ζῶντος καὶ πορεύονται ταῖς
ἀπάταις καὶ τρυφαῖς ταῖς ματαίαις καὶ ἀπόλλυνται ἀπὸ τοῦ ἀγγέλου τούτου,
τινὰ μὲν εἰς θάνατον, τινὰ δὲ εἰς καταφθοράν. λέγω αὐτῷ· Κύριε, οὐ γινώσκω ἐγώ, τί εἰς θάνατον καὶ τί εἰς καταφθοράν ἐστιν. Ἄκουε, φησίν·
ὅσα εἶδες πρόβατα λίαν ἱλαρὰ καὶ σκιρτῶντα, οὗτοί εἰσιν οἱ ἀφεσταμένοι ἀπὸ
τοῦ θεοῦ εἰς τέλος καὶ παραδεδωκότες ἑαυτοὺς ταῖς ἐπιθυμίαις τοῦ αἰῶνος
τούτου· ἐν τούτοις οὖν μετάνοια ζωῆς οὐκ ἔστιν, ὅτι προσέθηκαν κατὰ ὄνομα
τοῦ κυρίου βλασφημίαν· τῶν τοιούτων οὖν ὁ θάνατος. ἃ δὲ εἶδες μὴ σκιρ-
τῶντα ἀλλὰ ἐν ἑνὶ τόπῳ βοσκόμενα, οὗτοί εἰσιν οἱ παραδεδωκότες μὲν
ἑαυτοὺς ταῖς τρυφαῖς καὶ ἀπάταις, εἰς δὲ τὸν κύριον οὐκ ἐβλασφήμησαν.
οὗτοι οὖν κατεφθαρμένοι εἰσὶν ἀπὸ τῆς ἀληθείας· ἐν τούτοις οὖν ἐλπίς
ἐστιν μετανοίας, ἐν ᾗ δύνανται ζῆσαι. ἡ καταφθορὰ οὖν ἐλπίδα ἔχει ἀνα-
νεώσεώς τινα, ὁ δὲ θάνατος ἀπώλειαν ἔχει αἰώνιον. πάλιν προέβημεν μι-
κρόν, καὶ δεικνύει μοι ποιμένα μέγαν ὡσεὶ ἄγριον τῇ ἰδέᾳ,
περικείμενον δέρμα αἴγειον λευκόν, καὶ πήραν τινὰ εἶχεν ἐπὶ τὸν
ὦμον καὶ ·άβδον σκληρὰν λίαν καὶ ὄζους ἔχουσαν καὶ μάστιγα
μεγάλην· καὶ τὸ βλέμμα εἶχεν περίπικρον, ὥστε φοβηθῆναι αὐτόν·
τοιοῦτον εἶχε τὸ βλέμμα. οὗτος ὁ ποιμὴν παρελάμβανε τὰ πρόβατα
ἀπὸ τοῦ ποιμένος τοῦ νεανίσκου, ἐκεῖνα τὰ σπαταλῶντα καὶ
τρυφῶντα, μὴ σκιρτῶντα δέ, καὶ ἐνέβαλλεν αὐτὰ εἴς τινα τόπον

κρημνώδη καὶ ἀκανθώδη καὶ τριβολώδη, ὥστε ἀπὸ τῶν ἀκανθῶν καὶ τριβόλων μὴ δύνασθαι ἐκπλέξαι τὰ πρόβατα, ἀλλὰ ἐμπλέκεσθαι αὐτὰ εἰς τὰς ἀκάνθας καὶ τριβόλους. αὐτοῦ οὖν ἐμπεπλεγμένα ἐβόσκοντο τὰς ἀκάνθας καὶ τριβόλους καὶ λίαν ἐταλαιπώρουν δερόμενα ὑπ' αὐτοῦ· καὶ ὧδε καὶ ἐκεῖ περιήλαυνεν αὐτὰ καὶ ὅλως ἀνάπαυσιν αὐτοῖς οὐκ ἐδίδει, καὶ ὅλως οὐκ εὐσταθοῦσαν τὰ πρόβατα ἐκεῖνα.

Βλέπων οὖν αὐτὰ οὕτω μαστιγούμενα καὶ ταλαιπωροῦντα ἐλυπούμην ἐπ'
αὐτοῖς, ὅτι οὕτως ἐβασανίζοντο καὶ ἀνοχὴν ὅλως οὐκ εἶχον. λέγω τῷ ποι-
μένι τῷ μετ' ἐμοῦ λαλοῦντι· Κύριε, φημί, τίς ἐστιν οὗτος ὁ ποιμὴν ὁ οὕτως
ἄσπλαγχνος καὶ πικρὸς καὶ ὅλως μηδὲν σπλαγχνιζόμενος ἐπὶ τὰ πρόβατα
ταῦτα; Οὗτος, φησίν, ἐστὶν ὁ ἄγγελος τῆς τιμωρίας· ἐκ δὲ τῶν ἀγγέλων
τῶν δικαίων ἐστίν, κείμενος δὲ ἐπὶ τῆς τιμωρίας. παραλαμβάνει οὖν τοὺς
ἀποπλανωμένους ἀπὸ τοῦ θεοῦ καὶ πορευθέντας ταῖς ἐπιθυμίαις τοῦ αἰῶ-
νος τούτου καὶ τιμωρεῖ αὐτούς, καθώς τις ἄξιός ἐστιν, δειναῖς τιμωρίαις
καὶ ποικίλαις. Ἤθελον, φημί, κύριε, γνῶναι τὰς ποικίλας τιμωρίας
ταύτας, ποταπαί εἰσιν. Ἄκουε, φησίν, τὰς ποικίλας βασάνους καὶ
τιμωρίας. βιωτικαί εἰσι βάσανοι· τιμωροῦνται γὰρ οἱ μὲν ζημίαις, οἱ δὲ
ὑστερήσεσιν, οἱ δὲ ἀσθενείαις ποικίλαις, οἱ δὲ πάσῃ ἀκαταστασίᾳ, οἱ δὲ
ὑβριζόμενοι ὑπὸ ἀναξίων καὶ ἑτέραις πολλαῖς πράξεσιν πάσχοντες. πολλοὶ
γὰρ ἀκαταστατοῦντες ταῖς βουλαῖς αὐτῶν ἐπιβάλλονται πολλά, καὶ οὐδὲν
αὐτοῖς ὅλως προχωρεῖ. καὶ λέγουσιν ἑαυτοὺς μὴ εὐοδοῦσθαι ἐν ταῖς πράξεσιν
αὐτῶν, καὶ οὐκ ἀναβαίνει ἐπὶ τὴν καρδίαν αὐτῶν ὅτι ἔπραξαν πονηρὰ ἔργα,
ἀλλὰ αἰτιῶνται τὸν κύριον. ὅταν οὖν θλιβῶσι πάσῃ θλίψει, τότε ἐμοὶ παρα-
δίδονται εἰς ἀγαθὴν παιδείαν καὶ ἰσχυροποιοῦνται ἐν τῇ πίστει τοῦ κυρίου

καὶ τὰς λοιπὰς ἡμέρας τῆς ζωῆς αὐτῶν δουλεύουσιν τῷ κυρίῳ ἐν καθαρᾷ
καρδίᾳ· ὅταν οὖν μετανοήσωσιν, τότε ἀναβαίνει ἐπὶ τὴν καρδίαν αὐτῶν
τὰ ἔργα τὰ πονηρὰ ἃ ἔπραξαν, καὶ τότε δοξάζουσι τὸν θεόν, ὅτι δίκαιος κρι-
τής ἐστι καὶ δικαίως ἔπαθεν πάντα ἕκαστος κατὰ τὰς πράξεις αὐτοῦ· τὰ δὲ
λοιπὰ δουλεύσουσιν τῷ κυρίῳ ἐν καθαρᾷ καρδίᾳ αὐτῶν καὶ
εὐοδοῦνται ἐν πάσῃ πράξει αὐτῶν, λαμβάνοντες πάντα παρὰ τοῦ
κυρίου ὅσα αἰτοῦνται· καὶ τότε δοξάζουσιν τὸν κύριον, ὅτι ἐμοὶ
παρεδόθησαν, καὶ οὐκέτι οὐδὲν πάσχουσι τῶν πονηρῶν.

Λέγω αὐτῷ· Κύριε, ἔτι μοι τοῦτο δήλωσον. Τί, φησίν, ἐπιζητεῖς; Εἰ ἄρα,
φημί, κύριε, τὸν αὐτὸν χρόνον βασανίζονται οἱ τρυφῶντες καὶ ἀπατώμενοι
ὅσον τρυφῶσι καὶ ἀπατῶνται; λέγει μοι· Τὸν αὐτὸν χρόνον βασανίζονται.
<Ἐλάχιστον, φημί, κύριε, βασανίζονται·> ἔδει γὰρ τοὺς οὕτως τρυφῶντας
καὶ ἐπιλανθανομένους τοῦ θεοῦ ἐπταπλασίως βασανίζεσθαι. λέγει μοι·
Ἄφρων εἶ καὶ οὐ νοεῖς τῆς βασάνου τὴν δύναμιν. Εἰ γὰρ ἐνόουν, φημί, κύριε,
οὐκ ἄν σε ἐπηρώτων ἵνα μοι δηλώσῃς. Ἄκουε, φησίν, ἀμφοτέρων τὴν δύνα-
μιν. τῆς τρυφῆς καὶ ἀπάτης ὁ χρόνος ὥρα ἐστὶν μία· τῆς δὲ βασάνου ἡ
ὥρα τριάκοντα ἡμερῶν δύναμιν ἔχει. ἐὰν οὖν μίαν ἡμέραν τις τρυφήσῃ καὶ
ἀπατηθῇ, μίαν δὲ ἡμέραν βασανισθῇ, ὅλον ἐνιαυτὸν ἰσχύει ἡ ἡμέρα
τῆς βασάνου. ὅσας οὖν ἡμέρας τρυφήσῃ τις, τοσούτους ἐνιαυτοὺς
βασανίζεται. βλέπεις οὖν, φησίν, ὅτι τῆς τρυφῆς καὶ ἀπάτης ὁ χρόνος ἐλάχιστός ἐστιν, τῆς
δὲ τιμωρίας καὶ βασάνου πολύς.

Ἐπεί, φημί, κύριε, οὐ νενόηκα ὅλως τοὺς χρόνους τῆς ἀπάτης καὶ τρυφῆς
καὶ βασάνου, τηλαυγέστερόν μοι δήλωσον. ἀποκριθείς μοι λέγει· Ἡ ἀφρο-
σύνη σου παράμονός ἐστιν, καὶ οὐ θέλεις σου τὴν καρδίαν καθαρίσαι καὶ

δουλεύειν τῷ θεῷ. βλέπε, φησίν, μήποτε ὁ χρόνος πληρωθῇ καὶ σὺ ἄφρων
εὑρεθῇς· ἄκουε οὖν, φησίν, καθὼς βούλει, ἵνα νοήσῃς αὐτά. ὁ τρυφῶν
καὶ ἀπατώμενος μίαν ἡμέραν καὶ πράσσων ἃ βούλεται πολλὴν ἀφροσύνην
ἐνδέδυται καὶ οὐ νοεῖ τὴν πρᾶξιν ἣν ποιεῖ. εἰς τὴν αὔριον ἐπιλανθάνεται τί
πρὸ μιᾶς ἔπραξεν· ἡ γὰρ τρυφὴ καὶ ἀπάτη μνήμας οὐκ ἔχει διὰ τὴν ἀφρο-
σύνην, ἣν ἐνδέδυται, ἡ δὲ τιμωρία καὶ βάσανος ὅταν κολληθῇ τῷ ἀνθρώπῳ
μίαν ἡμέραν, μέχρι ἐνιαυτοῦ τιμωρεῖται καὶ βασανίζεται· μνήμας γὰρ μεγά-
λας ἔχει ἡ τιμωρία καὶ βάσανος. βασανιζόμενος οὖν καὶ τιμωρούμενος
ὅλον τὸν ἐνιαυτόν, μνημονεύει τότε τῆς τρυφῆς καὶ ἀπάτης καὶ γινώσκει
ὅτι διὰ ταῦτα πάσχει τὰ πονηρά. πᾶς οὖν ἄνθρωπος ὁ τρυφῶν καὶ ἀπατώ-
μενος οὕτως βασανίζεται, ὅτι ἔχοντες ζωὴν ἑαυτοὺς εἰς θάνατον παραδεδώ-
κασι. Ποῖαι, φημί, κύριε, τρυφαί εἰσι βλαβεραί; Πᾶσα, φησί, πρᾶξις
τρυφή ἐστι τῷ ἀνθρώπῳ ὃ ἐὰν ἡδέως ποιῇ· καὶ γὰρ ὁ ὀξύχολος τῇ ἑαυτοῦ
πράξει τὸ ἱκανὸν ποιῶν τρυφᾷ· καὶ ὁ μοιχὸς καὶ ὁ μέθυσος καὶ ὁ κατά-
λαλος καὶ ὁ ψεύστης καὶ ὁ πλεονέκτης καὶ ὁ ἀποστερητὴς καὶ ὁ τούτοις τὰ
ὅμοια πάντα ποιῶν τῇ ἰδίᾳ νόσῳ τὸ ἱκανὸν ποιεῖ· τρυφᾷ οὖν ἐν τῇ πράξει
αὐτοῦ. αὗται πᾶσαι τρυφαὶ βλαβεραί εἰσιν τοῖς δούλοις τοῦ θεοῦ· διὰ
ταύτας οὖν τὰς ἀπάτας πάσχουσιν οἱ τιμωρούμενοι καὶ βασανιζόμενοι.
εἰσὶν δὲ καὶ τρυφαὶ σώζουσαι τοὺς ἀνθρώπους· πολλοὶ γὰρ ἀγαθὸν ἐργαζό-
μενοι τρυφῶσιν, τῇ ἑαυτῶν ἡδονῇ φερόμενοι. αὕτη οὖν ἡ τρυφὴ σύμφορός
ἐστιν τοῖς δούλοις τοῦ θεοῦ καὶ ζωὴν περιποιεῖται τῷ ἀνθρώπῳ τῷ τοιού-
τῳ· αἱ δὲ βλαβεραὶ τρυφαὶ αἱ προειρημέναι βασάνους καὶ τιμωρίας περι-

ποιοῦνται· ἐὰν δὲ ἐπιμείνωσι καὶ μὴ μετανοήσωσιν, θάνατον ἑαυτοῖς περι-
ποιοῦνται.

Παραβολὴ ζ

Μετὰ ἡμέρας ὀλίγας εἶδον αὐτὸν εἰς τὸ πεδίον τὸ αὐτό, ὅπου καὶ τοὺς ποι-
μένας ἑωράκειν, καὶ λέγει μοι· Τί ἐπιζητεῖς; Πάρειμι, φημί, κύριε, ἐρω-
τῆσαί σε ἵνα τὸν ἄγγελον τὸν τιμωρητὴν κελεύσῃς ἐκ τοῦ οἴκου μου ἐξελθεῖν,
ὅτι λίαν με θλίβει. Δεῖ σε, φησίν, θλιβῆναι· οὕτω γὰρ προσέταξεν ὁ ἔν-
δοξος ἄγγελος τὰ περὶ σοῦ· θέλει γάρ σε καὶ πειρασθῆναι. Τί γάρ, φημί,
κύριε, ἐποίησα οὕτω πονηρόν, ἵνα τούτῳ τῷ ἀγγέλῳ παραδοθῶ; Ἄκουε,
φησίν· αἱ μὲν ἁμαρτίαι σου πολλαί, ἀλλ' οὐ τοσαῦται ὥστε σε τῷ ἀγγέλῳ
τούτῳ παραδοθῆναι· ἀλλ' ὁ οἶκός σου μεγάλας ἁμαρτίας καὶ ἀνομίας ἠργά-
σατο, καὶ παρεπικράνθη ὁ ἔνδοξος ἄγγελος ἐπὶ τοῖς ἔργοις αὐτῶν καὶ
διὰ τοῦτο ἐκέλευσέ σε χρόνον τινὰ θλιβῆναι, ἵνα κἀκεῖνοι
μετανοήσωσι καὶ καθαρίσωσι ἑαυτοὺς ἀπὸ πάσης ἐπιθυμίας τοῦ
αἰῶνος τούτου. ὅταν οὖν μετανοήσωσιν καὶ καθαρισθῶσιν, τότε
ἀποστήσεται ὁ ἄγγελος τῆς τιμωρίας. λέγω αὐτῷ· Κύριε, εἰ ἐκεῖνοι
τοιαῦτα ἠργάσαντο, ἵνα παραπικρανθῇ ὁ ἄγγελος ὁ ἔνδοξος, τί ἐγὼ
ἐποίησα; Ἄλλως, φησίν, ἐκεῖνοι οὐ δύνανται θλιβῆναι, ἐὰν μὴ σὺ ἡ
κεφαλὴ τοῦ οἴκου θλιβῇς· σοῦ γὰρ θλιβομένου ἐξ ἀνάγκης κἀκεῖνοι
θλιβήσονται, εὐσταθοῦντος δὲ σοῦ οὐδεμίαν θλῖψιν δύνανται ἔχειν.
Ἀλλ' ἰδού, φημί, κύριε, μετανενοήκασιν ἐξ ὅλης καρδίας αὐτῶν. Οἶδα,
φησί, κἀγὼ ὅτι μετανενοήκασιν ἐξ ὅλης καρδίας αὐτῶν. τῶν οὖν
μετανοούντων, φησίν, δοκεῖς τὰς ἁμαρτίας εὐθὺς ἀφίεσθαι; οὐ
πάντως· ἀλλὰ δεῖ τὸν μετανοοῦντα βασανίσαι τὴν ἑαυτοῦ ψυχὴν καὶ
ταπεινοφρονῆσαι ἐν ἁπάσῃ τῇ πράξει αὐτοῦ ἰσχυρῶς καὶ θλιβῆναι ἐν
πολλαῖς θλίψεσι καὶ ποικίλαις· καὶ ἐὰν ὑπενέγκῃ τὰς θλίψεις τὰς
ἐπερχομένας αὐτῷ, πάντως σπλαγχνισθήσεται ὁ τὰ πάντα κτίσας
καὶ δυναμώσας καὶ ἴασίν τινα δώσει αὐτῷ· καὶ τοῦτο πάντως ἐὰν ἴδῃ τὴν
καρδίαν τοῦ μετανοοῦντος καθαρὰν ἀπὸ παντὸς πονηροῦ πράγματος.
σοὶ δὲ

σύμφορόν ἐστιν καὶ τῷ οἴκῳ σου νῦν θλιβῆναι. τί δὲ πολλὰ λέγω; θλιβῆναί
σε δεῖ, καθὼς προσέταξεν ὁ ἄγγελος τοῦ κυρίου ἐκεῖνος, ὁ παραδούς σε
ἐμοί· καὶ τοῦτο εὐχαρίστει τῷ κυρίῳ, ὅτι ἄξιόν σε ἡγήσατο τοῦ προδηλῶσαί
σοι τὴν θλῖψιν, ἵνα προγνοὺς αὐτὴν ὑπενέγκῃς ἰσχυρῶς. λέγω αὐτῷ· Κύριε,
σὺ μετ' ἐμοῦ γίνου, καὶ πᾶσαν θλῖψιν δυνήσομαι ὑπενέγκαι. Ἐγώ, φησίν,
ἔσομαι μετὰ σοῦ· ἐρωτήσω δὲ καὶ τὸν ἄγγελον τὸν τιμωρητὴν ἵνα σε ἐλα-
φροτέρως θλίψῃ· ἀλλὰ ὀλίγῳ χρόνῳ θλιβήσῃ, καὶ πάλιν ἀποκατασταθήσῃ
εἰς τὸν τόπον σου· μόνον παράμεινον ταπεινοφρονῶν καὶ λειτουργῶν τῷ
κυρίῳ ἐν καθαρᾷ καρδίᾳ, σὺ καὶ τὰ τέκνα σου καὶ ὁ οἶκός σου, καὶ πορεύου
ταῖς ἐντολαῖς μου ἃς σοι ἐντέταλμαι καὶ δυνήσεταί σου ἡ μετάνοια εἶναι ἰσχυρὰ
καὶ καθαρά· καὶ ἐὰν ταῦτα φυλάξῃς μετὰ τοῦ οἴκου σου, ἀποστήσεται
πᾶσα θλῖψις ἀπὸ σοῦ· καὶ ἀπὸ πάντων δὲ ἀποστήσεται ἡ θλῖψις, ὃς ἂν ταῖς
ἐντολαῖς μου πορεύσεται ταύταις.

Παραβολὴ η

Ἔδειξέ μοι ἰτέαν σκεπάζουσαν πεδία καὶ ὄρη, καὶ ὑπὸ τὴν σκέπην τῆς
ἰτέας πάντες ἐληλύθασιν οἱ κεκλημένοι ἐν ὀνόματι κυρίου. εἱστήκει δὲ
ἄγγελος τοῦ κυρίου ἔνδοξος λίαν ὑψηλὸς παρὰ τὴν ἰτέαν, δρέπανον
ἔχων μέγα, καὶ ἔκοπτε κλάδους ἀπὸ τῆς ἰτέας, καὶ ἐπεδίδου τῷ λαῷ
τῷ σκεπαζομένῳ ὑπὸ τῆς ἰτέας· μικρὰ δὲ ·αβδία ἐπεδίδου αὐτοῖς, ὡσεὶ
πηχυαῖα. μετὰ τὸ πάντας λαβεῖν τὰ ·αβδία ἔθηκε τὸ δρέπανον ὁ
ἄγγελος, καὶ τὸ δένδρον ἐκεῖνο ὑγιὲς ἦν, οἷον καὶ ἑωράκειν αὐτό.
ἐθαύμαζον δὲ ἐγὼ ἐν ἐμαυτῷ λέγων· Πῶς τοσούτων κλάδων
κεκομμένων τὸ δένδρον ὑγιές ἐστιν; λέγει μοι ὁ ποιμήν· Μὴ θαύμαζε,
εἰ τὸ δένδρον τοῦτο ὑγιὲς διέμεινεν τοσούτων κλάδων
κοπέντων. ἄφες δέ, φησί, πάντα ἴδῃς, καὶ δηλωθήσεταί σοι τὸ τί ἐστιν.
ὁ ἄγγελος ὁ ἐπιδεδωκὼς τῷ λαῷ τὰς ·άβδους πάλιν ἀπῄτει ἀπ' αὐτῶν·

καὶ καθὼς ἔλαβον, οὕτως καὶ ἐκαλοῦντο πρὸς αὐτόν, καὶ εἷς ἕκαστος αὐτῶν
ἀπεδίδουν τὰς ·άβδους. ἐλάμβανεν δὲ ὁ ἄγγελος τοῦ κυρίου καὶ κατενόει
αὐτάς. παρά τινων ἐλάμβανε τὰς ·άβδους ξηρὰς καὶ βεβρωμένας ὡς ὑπὸ
σητός· ἐκέλευσεν ὁ ἄγγελος τοὺς τὰς τοιαύτας ·άβδους ἐπιδεδωκότας χωρὶς
ἱστάνεσθαι. ἕτεροι δὲ ἐπεδίδουν ξηράς, ἀλλ' οὐκ ἦσαν βεβρωμέναι ὑπὸ
σητός· καὶ τούτους ἐκέλευσεν χωρὶς ἱστάνεσθαι. ἕτεροι δὲ ἐπεδίδουν
ἡμιξήρους· καὶ οὗτοι χωρὶς ἱστάνοντο. ἕτεροι δὲ ἐπεδίδουν τὰς ·άβδους
αὐτῶν ἡμιξήρους καὶ σχισμὰς ἐχούσας· καὶ οὗτοι χωρὶς ἱστάνοντο. ἕτεροι
δὲ ἐπεδίδουν τὰς ·άβδους χλωρὰς μὲν σχισμὰς δὲ ἐχούσας· καὶ οὗτοι χωρὶς
ἱστάνοντο. ἕτεροι δὲ ἐπεδίδουν τὰς ·άβδους τὸ ἥμισυ ξηρὸν καὶ τὸ ἥμισυ
χλωρόν· καὶ οὗτοι χωρὶς ἱστάνοντο. ἕτεροι δὲ προσέφερον τὰς ·άβδους
αὐτῶν τὰ δύο μέρη τῆς ·άβδου χλωρά, τὸ δὲ τρίτον ξηρόν· καὶ οὗτοι χωρὶς
ἱστάνοντο. ἕτεροι δὲ ἐπεδίδουν τὰ δύο μέρη ξηρά, τὸ δὲ τρίτον χλωρόν·
καὶ οὗτοι χωρὶς ἱστάνοντο. ἕτεροι δὲ ἐπεδίδουν τὰς ·άβδους αὐτῶν παρὰ
μικρὸν ὅλας χλωράς, ἐλάχιστον δὲ τῶν ·άβδων αὐτῶν ξηρὸν ἦν, αὐτὸ τὸ
ἄκρον· σχισμὰς δὲ εἶχον ἐν αὐταῖς· καὶ οὗτοι χωρὶς ἱστάνοντο. ἑτέρων
δὲ ἦν ἐλάχιστον χλωρόν, τὰ δὲ λοιπὰ μέρη τῶν ·άβδων ξηρά· καὶ οὗτοι
χωρὶς ἱστάνοντο. ἕτεροι δὲ ἤρχοντο τὰς ·άβδους χλωρὰς φέροντες ὡς
ἔλαβον παρὰ τοῦ ἀγγέλου· τὸ δὲ πλεῖον μέρος τοῦ ὄχλου τοιαύτας ·άβδους
ἐπεδίδουν. ὁ δὲ ἄγγελος ἐπὶ τούτοις ἐχάρη λίαν· καὶ οὗτοι χωρὶς ἱστάνοντο.
ἕτεροι δὲ ἐπεδίδουν χλωρὰς καὶ παραφυάδας ἐχούσας· καὶ οὗτοι χωρὶς

ἱστάνοντο· καὶ ἐπὶ τούτοις ὁ ἄγγελος λίαν ἱλαρὸς ἐγένετο. ἕτεροι δὲ ἐπε-
δίδουν τὰς ·άβδους αὐτῶν χλωρὰς καὶ παραφυάδας ἐχούσας· αἱ δὲ παρα-
φυάδες αὐτῶν ὡσεὶ καρπόν τινα εἶχον· καὶ λίαν ἱλαροὶ ἦσαν οἱ
ἄνδρες ἐκεῖνοι ὧν αἱ ·άβδοι τοιαῦται εὑρέθησαν. καὶ ὁ ἄγγελος ἐπὶ
τούτοις ἠγαλλιᾶτο, καὶ ὁ ποιμὴν σὺν αὐτῷ λίαν ἱλαρὸς ἦν ἐπὶ τούτοις.

Ἐκέλευσε δὲ ὁ ἄγγελος τοῦ κυρίου στεφάνους ἐνεχθῆναι. καὶ ἐνέχθησαν
στέφανοι ὡσεὶ ἐκ φοινίκων γεγονότες, καὶ ἐστεφάνωσε τοὺς ἄνδρας τοὺς
ἐπιδεδωκότας τὰς ·άβδους τὰς παραφυάδας ἐχούσας καὶ καρπόν τινα καὶ
ἀπέλυσεν αὐτοὺς εἰς τὸν πύργον. καὶ ἄλλους δὲ ἀπέλυσεν εἰς τὸν πύργον,
τοὺς τὰς ·άβδους ἐπιδεδωκότας τὰς παραφυάδας ἐχούσας, καρπὸν δὲ μὴ
ἐχούσας, δοὺς αὐτοῖς σφραγῖδα. ἱματισμὸν δὲ τὸν αὐτὸν εἶχον πάντες
λευκὸν ὡσεὶ χιόνα, οἱ πορευόμενοι εἰς τὸν πύργον. καὶ τοὺς τὰς ·άβδους
ἐπιδεδωκότας χλωρὰς ὡς ἔλαβον ἀπέλυσεν, δοὺς αὐτοῖς ἱματισμὸν λευκὸν
καὶ σφραγῖδα. μετὰ τὸ ταῦτα τελέσαι τὸν ἄγγελον λέγει τῷ ποιμένι·
Ἐγὼ ὑπάγω· σὺ δὲ τούτους ἀπόλυσον εἰς τὰ τείχη, καθώς τις ἄξιός
ἐστιν κατοικεῖν. κατανόησον δὲ τὰς ·άβδους αὐτῶν ἐπιμελῶς καὶ οὕτως
ἀπόλυσον. βλέπε, μή τίς σε παρέλθῃ· ἐὰν δέ τίς σε παρέλθῃ, φησίν, ἐγὼ
αὐτοὺς ἐπὶ τὸ θυσιαστήριον δοκιμάσω. ταῦτα εἰπὼν τῷ ποιμένι ἀπῆλθεν.
μετὰ τὸ ἀπελθεῖν τὸν ἄγγελον λέγει μοι ὁ ποιμήν· Λάβωμεν παρὰ πάντων
τὰς ·άβδους καὶ φυτεύσωμεν αὐτάς, εἴ τινες ἐξ αὐτῶν δυνήσονται ζῆσαι.
λέγω αὐτῷ· Κύριε, τὰ ξηρὰ ταῦτα πῶς δύναται ζῆσαι; ἀποκριθείς μοι
λέγει· Τὸ δένδρον τοῦτο ἰτέα ἐστὶν καὶ φιλόζωον τὸ γένος· ἐὰν φυτευθῶσι καὶ
μικρὰν ἰκμάδα λάβωσι αἱ ·άβδοι αὗται, ζήσονται πολλαὶ ἐξ αὐτῶν· εἶτα δὲ

πειράσω καὶ ὕδωρ αὐταῖς παραχέω. ἐάν τις αὐτῶν δυνηθῇ ζῆσαι, συνχαρή-
σομαι αὐταῖς· ἐὰν δὲ μὴ ζήσεται, οὐχ εὑρεθήσομαι ἐγὼ ἀμελής. ἐκέλευσέν
με ὁ ποιμὴν καλέσαι, καθώς τις αὐτῶν ἐστάθη. ἦλθον τάγματα τάγματα
καὶ ἐπεδίδουν τὰς ·άβδους τῷ ποιμένι· ἐλάμβανεν δὲ ὁ ποιμὴν τὰς ·άβδους
καὶ κατὰ τάγματα ἐφύτευεν αὐτάς· μετὰ τὸ φυτεῦσαι αὐτὰς ὕδωρ αὐταῖς
πολὺ παρέχεεν, ὥστε ἀπὸ τοῦ ὕδατος μὴ φαίνεσθαι τὰς ·άβδους. μετὰ
τὸ ποτίσαι αὐτὸν τὰς ·άβδους λέγει μοι· Ἄγωμεν καὶ μετὰ ὀλίγας ἡμέρας
ἐπανέλθωμεν καὶ ἐπισκεψώμεθα τὰς ·άβδους ταύτας πάσας· ὁ γὰρ κτίσας
τὸ δένδρον τοῦτο θέλει πάντας ζῆν τοὺς λαβόντας ἀπ' αὐτοῦ
κλάδους. ἐλπίζω δὲ κἀγὼ ὅτι λαβόντα τὰ ·αβδία ταῦτα ἱκμάδα καὶ
ποτισθέντα ὕδατι ζήσεται τὸ πλεῖστον μέρος.

Λέγω αὐτῷ· Κύριε, τὸ δένδρον τοῦτο τί ἐστιν γνώρισόν μοι· ἀποροῦμαι
γὰρ περὶ αὐτοῦ, ὅτι τοσούτων κλάδων κοπέντων ὑγιές ἐστιν τὸ δένδρον
καὶ ὅλως οὐδὲν φαίνεται κεκομμένον ἀπ' αὐτοῦ· ἐν τούτῳ οὖν ἀποροῦμαι.
Ἄκουε, φησίν· τὸ δένδρον τοῦτο τὸ μέγα τὸ σκεπάζον πεδία καὶ ὄρη καὶ
πᾶσαν τὴν γῆν νόμος θεοῦ ἐστιν δοθεὶς εἰς ὅλον τὸν κόσμον· ὁ δὲ νόμος
οὗτος ὁ υἱὸς τοῦ θεοῦ ἐστιν ὁ κηρυχθεὶς εἰς τὰ πέρατα τῆς γῆς· οἱ
δὲ ὑπὸ τὴν σκέπην λαοὶ ὄντες οἱ ἀκούσαντες τοῦ κηρύγματος καὶ πι-
στεύσαντες αὐτῷ· ὁ δὲ ἄγγελος ὁ μέγας καὶ ἔνδοξος Μιχαὴλ ὁ ἔχων
τὴν ἐξουσίαν τούτου τοῦ λαοῦ καὶ διακυβερνῶν <αὐτούς>· αὐτὸς γάρ ἐστιν
ὁ διδῶν αὐτοῖς τὸν νόμον εἰς τὰς καρδίας τῶν πιστευόντων. ἐπισκέπτεται
οὖν αὐτούς, οἷς ἔδωκε τὸν νόμον, εἰ ἄρα τετηρήκασιν αὐτόν. βλέπεις δὲ
ἑνὸς ἑκάστου τὰς ·άβδους· αἱ γὰρ ·άβδοι ὁ νόμος ἐστίν. βλέπεις οὖν πολλὰς
ἐκ τῶν ·άβδων ἠχρειωμένας, γνώσῃ δὲ αὐτοὺς πάντας τοὺς μὴ τηρήσαντας

τὸν νόμον, καὶ ὄψῃ ἑνὸς ἑκάστου τὴν κατοικίαν. λέγω αὐτῷ· Κύριε, διατί
οὓς μὲν ἀπέλυσεν εἰς τὸν πύργον, οὓς δὲ σοὶ κατέλιπεν; Ὅσοι, φησί, παρέ-
βησαν τὸν νόμον ὃν ἔλαβον παρ' αὐτοῦ, εἰς τὴν ἐμὴν ἐξουσίαν αὐτοὺς κατέ-
λιπεν εἰς μετάνοιαν· ὅσοι δὲ ἤδη εὑηρέστηκαν τῷ νόμῳ καὶ τετήρηκαν αὐ-
τόν, ὑπὸ τὴν ἰδίαν ἐξουσίαν αὐτοὺς ἔχει. Τίνες οὖν, φημί, κύριε, εἰσὶν οἱ
ἐστεφανωμένοι καὶ εἰς τὸν πύργον ὑπάγοντες; ἀποκριθείς μοι λέγει· Οἱ
ἐστεφανωμένοι οὗτοί εἰσιν οἱ μετὰ τοῦ διαβόλου παλαίσαντες καὶ νικήσαν-
τες αὐτόν· οὗτοί εἰσιν οἱ ὑπὲρ τοῦ νόμου παθόντες· οἱ δὲ ἕτεροι καὶ αὐτοὶ
τὰς ·άβδους χλωρὰς ἐπιδεδωκότες καὶ παραφυάδας ἐχούσας, καρπὸν δὲ
μὴ ἐχούσας, ὑπὲρ τοῦ νόμου θλιβέντες, μὴ παθόντες δὲ μηδὲ ἀρνησάμενοι
τὸν νόμον αὐτῶν. οἱ δὲ χλωρὰς ἐπιδεδωκότες, οἵας ἔλαβον, σεμνοὶ
καὶ δίκαιοι καὶ λίαν πορευθέντες ἐν καθαρᾷ καρδίᾳ καὶ τὰς ἐντολὰς τοῦ
κυρίου πεφυλακότες. τὰ δὲ λοιπὰ γνώσῃ, ὅταν κατανοήσω τὰς ·άβδους ταύ-
τας τὰς πεφυτευμένας καὶ πεποτισμένας.

Μετὰ ἡμέρας ὀλίγας ἤλθομεν εἰς τὸν τόπον, καὶ ἐκάθισεν ὁ ποιμὴν εἰς
τὸν τόπον τοῦ ἀγγέλου τοῦ μεγάλου, κἀγὼ παρεστάθην αὐτῷ. λέγει μοι·
Περίζωσαι ὠμόλινον καὶ διακόνει μοι. περιεζωσάμην ἐγὼ ὠμόλινον ἐκ σάκ-
κου γεγονὸς καθαρόν. ἰδών με περιεζωσμένον καὶ ἕτοιμον ὄντα τοῦ δια-
κονεῖν αὐτῷ, Κάλει, φησίν, τοὺς ἄνδρας, ὧν εἰσιν αἱ ·άβδοι πεφυτευμέναι,
κατὰ τὰ τάγματα, ὥς τις ἐπέδωκεν τὰς ·άβδους. ἀπῆλθον εἰς τὸ πεδίον καὶ
ἐκάλεσα πάντας· καὶ ἔστησαν πάντες τάγματα τάγματα. λέγει δὲ
αὐτοῖς· Ἕκαστος ἐκτιλάτω τὰς ·άβδους τὰς ἰδίας καὶ φερέτω πρός με.

πρῶτοι ἐπέδωκαν οἱ τὰς ξηρὰς καὶ κεκομμένας ἐσχηκότες· ὡσαύτως εὑρέ-
θησαν ξηραὶ καὶ κεκομμέναι· ἐκέλευσεν αὐτοὺς χωρὶς στῆναι. εἶτα
ἐπέδωκαν τὰς ·άβδους οἱ τὰς ξηρὰς καὶ μὴ κεκομμένας ἔχοντες· τινὲς ἐξ
αὐτῶν ἐπέδωκαν τὰς ·άβδους χλωράς, τινὲς δὲ ξηρὰς καὶ κεκομμένας ὡς
ὑπὸ σητός. τοὺς ἐπιδεδωκότας χλωρὰς ἐκέλευσεν χωρὶς στῆναι, τοὺς δὲ
ξηρὰς καὶ κεκομμένας μετὰ τῶν πρώτων ἐκέλευσεν στῆναι. εἶτα ἐπέ-
δωκαν οἱ τὰς ἡμίσους ξηροὺς καὶ σχισμὰς ἐχούσας· πολλοὶ ἐξ αὐτῶν
χλωρὰς ἐπέδωκαν καὶ μὴ ἐχούσας σχισμάς· τινὲς δὲ χλωρὰς καὶ παρα-
φυάδας ἐχούσας καὶ εἰς τὰς παραφυάδας καρπούς, οἵας ἔσχον οἱ εἰς τὸν
πύργον πορευθέντες ἐστεφανωμένοι· τινὲς δὲ ἐπέδωκαν ξηρὰς καὶ βεβρωμέ-
νας, τινὲς δὲ ξηρὰς καὶ ἀβρώτους, τινὲς δὲ οἷαι ἦσαν ἡμίξηροι καὶ σχισμὰς
ἔχουσαι. ἐκέλευσεν αὐτοὺς ἕκαστον αὐτῶν χωρὶς στῆναι, τοὺς μὲν πρὸς
τὰ ἴδια τάγματα, τοὺς δὲ χωρίς.

Εἶτα ἐπεδίδουν οἱ τὰς ·άβδους χλωρὰς μὲν ἔχοντες, σχισμὰς δὲ ἐχούσας·
οὗτοι πάντες χλωρὰς ἐπέδωκαν καὶ ἔστησαν εἰς τὸ ἴδιον τάγμα. ἐχάρη ὁ
ποιμὴν ἐπὶ τούτοις, ὅτι πάντες ἠλλοιώθησαν καὶ ἀπέθοντο τὰ σχίσματα
αὐτῶν. ἐπέδωκαν δὲ καὶ οἱ τὸ ἥμισυ χλωρόν, τὸ δὲ ἥμισυ ξηρόν· τινῶν
εὑρέθησαν αἱ ·άβδοι ὁλοτελεῖς χλωραί, τινῶν ἡμίξηροι, τινῶν ξηραὶ καὶ
βεβρωμέναι, τινῶν δὲ χλωραὶ καὶ παραφυάδας ἔχουσαι. οὗτοι πάντες ἀπελύ-
θησαν ἕκαστος πρὸς τὸ τάγμα αὐτοῦ. εἶτα ἐπέδωκαν οἱ τὰ δύο μέρη
χλωρὰ ἐσχηκότες, τὸ δὲ τρίτον ξηρόν· πολλοὶ ἐξ αὐτῶν χλωρὰς ἐπέδωκαν,
πολλοὶ δὲ ἡμιξήρους, ἕτεροι δὲ ξηρὰς καὶ βεβρωμένας· οὗτοι πάντες ἀπε-
στάλησαν ἕκαστος εἰς τὸ ἴδιον τάγμα. ἕτεροι δὲ ἐπεδίδοσαν τὰς ·άβδους

αὐτῶν, τὰ δύο μέρη ξηρά, τὸ δὲ τρίτον χλωρόν· πολλοὶ ἐξ αὐτῶν ἐπέδωκαν
ἡμιξήρους, τινὲς δὲ ξηρὰς <καὶ βεβρωμένας, τινὲς δὲ ἡμιξήρους> καὶ σχισμὰς ἐχούσας· ἐλάχιστοι δὲ χλωρὰς ἐπέδωκαν· οὗτοι πάντες ἔστησαν
εἰς τὸ ἴδιον τάγμα. ἐπέδωκαν δὲ οἱ τὰς ·άβδους χλωρὰς ἐσχηκότες, ἐλά-
χιστον δὲ ξηρὸν καὶ σχισμὰς ἐχούσας. ἐκ τούτων τινὲς χλωρὰς ἐπέδωκαν,
τινὲς δὲ χλωρὰς καὶ παραφυάδας ἐχούσας. ἀπῆλθον καὶ οὗτοι εἰς τὸ τάγμα
αὐτῶν. εἶτα ἐπέδωκαν οἱ ἐλάχιστον ἔχοντες χλωρόν, τὰ δὲ λοιπὰ μέρη
ξηρά· τούτων αἱ ·άβδοι εὑρέθησαν τὸ πλεῖστον μέρος χλωραὶ καὶ παρα-
φυάδας ἔχουσαι καὶ καρπὸν ἐν ταῖς παραφυάσιν, καὶ ἕτεραι χλωραὶ ὅλαι. ἐπὶ
ταύταις ταῖς ·άβδοις ἐχάρη ὁ ποιμὴν μεγάλως, ὅτι οὕτως εὑρέθησαν. ἀπῆλθον καὶ οὗτοι ἕκαστος εἰς τὸ ἴδιον τάγμα.

Μετὰ τὸ πάντων κατανοῆσαι τὰς ·άβδους τὸν ποιμένα λέγει μοι· Εἶπόν
σοι, ὅτι τὸ δένδρον τοῦτο φιλόζωόν ἐστιν. βλέπεις, φησί, πόσοι μετενόησαν
καὶ ἐσώθησαν; Βλέπω, φημί, κύριε. Ἵνα εἰδῇς, φησίν, τὴν πολυσπλαγχνίαν
τοῦ κυρίου, ὅτι μεγάλη καὶ ἔνδοξός ἐστιν καὶ ἔδωκεν πνεῦμα τοῖς ἀξίοις
οὖσι μετανοίας. Ὅτι οὖν, φημί, κύριε, πάντες οὐ μετενόησαν; Ὧν εἶδεν,
φησίν, ὁ κύριος τὴν καρδίαν μέλλουσαν καθαρὰν γενέσθαι καὶ δουλεύειν αὐτῷ ἐξ ὅλης καρδίας, τούτοις δέδωκε τὴν μετάνοιαν· ὧν δὲ εἶδε τὴν δολιότητα καὶ πονηρίαν, καὶ μέλλοντας ἐν ὑποκρίσει μετανοεῖν, ἐκείνοις οὐκ ἔδωκεν, μήποτε πάλιν βλασφημήσωσιν τὸν νόμον αὐτοῦ. λέγω αὐτῷ· Κύριε, νῦν μοι ἐπίλυσον τοὺς τὰς ·άβδους ἀποδεδωκότας, ποταπός τις αὐτῶν ἐστι,
καὶ τὴν τούτων κατοικίαν, ἵνα ἀκούσαντες οἱ πιστεύσαντες καὶ εἰληφότες
τὴν σφραγῖδα καὶ τεθλακότες αὐτὴν καὶ μὴ τηρήσαντες ὑγιῆ, ἐπιγνόντες
τὰ ἑαυτῶν ἔργα μετανοήσωσιν, λαβόντες ὑπὸ σοῦ σφραγῖδα, καὶ δοξάσωσι

τὸν κύριον, ὅτι ἐσπλαγχνίσθη ἐπ' αὐτοῖς καὶ ἐξαπέστειλέν σε τοῦ ἀνακαινί-
σαι τὰ πνεύματα αὐτῶν. Ἄκουε, φησίν· ὧν αἱ ·άβδοι ξηραὶ καὶ βεβρω-
μέναι ὑπὸ σητὸς εὑρέθησαν, οὗτοί εἰσιν ἀποστάται καὶ προδόται τῆς ἐκκλη-
σίας καὶ βλασφημήσαντες ἐν ταῖς ἁμαρτίαις αὐτῶν τὸν κύριον, ἔτι δὲ καὶ
ἐπαισχυνθέντες τὸ ὄνομα τοῦ κυρίου τὸ ἐπικληθὲν ἐπ' αὐτούς. οὗτοι οὖν εἰς
τέλος ἀπέθανον τῷ θεῷ. βλέπεις ὅτι οὐδὲ εἷς αὐτῶν μετενόησε, καίπερ
ἀκούσαντες τὰ ·»ματα ἃ ἐλάλησας αὐτοῖς, ἅ σοι ἐνετειλάμην· ἀπὸ τῶν
τοιούτων ἡ ζωὴ ἀπέστη. οἱ δὲ τὰς ξηρὰς καὶ ἀσήπτους ἐπιδεδωκότες, καὶ
οὗτοι ἐγγὺς αὐτῶν· ἦσαν γὰρ ὑποκριταὶ καὶ διδαχὰς ἑτέρας εἰσφέροντες καὶ
ἐκστρέφοντες τοὺς δούλους τοῦ θεοῦ, μάλιστα δὲ τοὺς ἡμαρτηκότας,
μὴ ἀφίοντες αὐτοὺς μετανοεῖν, ἀλλὰ ταῖς διδαχαῖς ταῖς μωραῖς
πείθοντες αὐτούς. οὗτοι οὖν ἔχουσιν ἐλπίδα τοῦ μετανοῆσαι. βλέπεις
δὲ ἐξ αὐτῶν πολλοὺς μετανενοηκότας ἀφότε ἐλάλησας αὐτοῖς τὰς
ἐντολάς μου· καὶ ἔτι μετανοήσωσιν. ὅσοι δὲ οὐ μετανοήσουσιν,
ἀπώλεσαν τὴν ζωὴν αὐτῶν· ὅσοι δὲ μετενόησαν ἐξ αὐτῶν, ἀγαθοὶ
ἐγένοντο, καὶ ἐγένετο ἡ κατοικία αὐτῶν εἰς τὰ τείχη τὰ πρῶτα· τινὲς
δὲ καὶ εἰς τὸν πύργον ἀνέβησαν. βλέπεις οὖν, φησίν,
ὅτι ἡ μετάνοια τῶν ἁμαρτωλῶν ζωὴν ἔχει, τὸ δὲ μὴ μετανοῆσαι θάνατον.

Ὅσοι δὲ ἡμιξήρους ἐπέδωκαν καὶ ἐν αὐταῖς σχισμὰς εἶχον, ἄκουε περὶ
αὐτῶν. ὅσων ἦσαν αἱ ·άβδοι ἡμίξηροι, δίψυχοί εἰσιν· οὔτε γὰρ ζῶσιν οὔτε
τεθνήκασιν. οἱ δὲ ἡμιξήρους ἔχοντες καὶ ἐν αὐταῖς σχισμάς, οὗτοι καὶ
δίψυχοί εἰσιν καὶ κατάλαλοι, μηδέποτε εἰρηνεύοντες ἐν ἑαυτοῖς, ἀλλὰ δι-
χοστατοῦντες πάντοτε. καὶ τούτοις, φησίν, ἔτι κεῖται μετάνοια. βλέπεις,
φησίν, ἤδη τινὰς ἐξ αὐτῶν μετανενοηκότας. καὶ ἔτι ἐλπίς ἐστιν ἐν αὐτοῖς
μετανοίας. ὅσοι οὖν, φησίν, ἐξ αὐτῶν μετανενοήκασιν, τὴν κατοικίαν εἰς

τὸν πύργον ἔχουσιν· ὅσοι δὲ ἐξ αὐτῶν βραδύτερον μετανοήσουσιν, εἰς τὰ
τείχη κατοικήσουσιν· ὅσοι δὲ οὐ μετανοήσουσιν, ἀλλ' ἐμμενοῦσιν ἐν ταῖς
πράξεσιν αὐτῶν, θανάτῳ ἀποθανοῦνται. οἱ δὲ χλωρὰς ἐπιδεδωκότες τὰς
·άβδους αὐτῶν καὶ σχισμὰς ἐχούσας, οὗτοι πάντοτε πιστοὶ καὶ ἀγαθοὶ
ἐγένοντο, ἔχοντες δὲ ζῆλόν τινα ἐν ἀλλήλοις περὶ πρωτείων καὶ περὶ δόξης
τινός· ἀλλὰ πάντες οὗτοι μωροί εἰσιν, ἐν ἀλλήλοις ἔχοντες <ζῆλον> περὶ
πρωτείων. ἀλλὰ καὶ οὗτοι ἀκούσαντες τῶν ἐντολῶν μου, ἀγαθοὶ ὄντες,
ἐκαθάρισαν ἑαυτοὺς καὶ μετενόησαν ταχύ. ἐγένετο οὖν ἡ κατοίκησις αὐτῶν
εἰς τὸν πύργον· ἐὰν δέ τις αὐτῶν πάλιν ἐπιστραφῇ εἰς τὴν διχοστασίαν,
ἐκβληθήσεται ἐκ τοῦ πύργου καὶ ἀπολέσει τὴν ζωὴν αὐτοῦ. ἡ ζωὴ
πάντων ἐστὶ τῶν τὰς ἐντολὰς τοῦ κυρίου τηρούντων· ἐν ταῖς ἐντολαῖς δὲ
περὶ πρωτείων ἢ περὶ δόξης οὐκ ἔστιν, ἀλλὰ περὶ μακροθυμίας καὶ περὶ
ταπεινοφροσύνης ἀνδρός. ἐν τοῖς τοιούτοις οὖν ἡ ζωὴ τοῦ κυρίου, ἐν δὲ τοῖς
διχοστάταις καὶ παρανόμοις θάνατος.

Οἱ δὲ ἐπιδεδωκότες τὰς ·άβδους ἥμισυ χλωράς, ἥμισυ ξηράς, οὗτοί εἰσιν
οἱ ταῖς πραγματείαις αὐτῶν ἐμπεφυρμένοι καὶ τοῖς ἁγίοις μὴ κολλώμενοι.
διὰ τοῦτο τὸ ἥμισυ αὐτῶν ζῇ καὶ τὸ ἥμισυ ἀπέθανεν. πολλοὶ οὖν ἀκού-
σαντες τῶν ἐντολῶν μου μετενόησαν. ὅσοι οὖν μετενόησαν, ἡ κατοικία αὐτῶν
εἰς τὸν πύργον. τινὲς δὲ αὐτῶν εἰς τέλος ἀπέστησαν. οὗτοι οὖν μετάνοιαν οὐκ
ἔχουσιν· διὰ τὰς πραγματείας γὰρ αὐτῶν ἐβλασφήμησαν τὸν κύριον καὶ ἀπηρ-
νήσαντο αὐτόν. ἀπώλεσαν οὖν τὴν ζωὴν αὐτῶν διὰ τὴν πονηρίαν ἣν ἔπραξαν.

πολλοὶ δὲ ἐξ αὐτῶν ἐδιψύχησαν. οὗτοι ἔτι ἔχουσι μετάνοιαν, ἐὰν ταχὺ με-
τανοήσωσιν, καὶ ἔσται ἡ κατοικία αὐτῶν εἰς τὸν πύργον· ἐὰν δὲ βραδύτερον
μετανοήσωσιν, κατοικήσουσιν εἰς τὰ τείχη· ἐὰν δὲ μὴ μετανοήσωσι, καὶ
αὐτοὶ ἀπώλεσαν τὴν ζωὴν αὐτῶν. οἱ δὲ τὰ δύο μέρη χλωρά, τὸ δὲ τρίτον
ξηρὸν ἐπιδεδωκότες, οὗτοί εἰσιν οἱ ἀρνησάμενοι ποικίλαις ἀρνήσεσι. πολλοὶ
οὖν μετενόησαν ἐξ αὐτῶν, καὶ ἀπῆλθον εἰς τὸν πύργον κατοικεῖν· πολλοὶ δὲ
ἀπέστησαν εἰς τέλος τοῦ θεοῦ· οὗτοι τὴν ζωὴν εἰς τέλος ἀπώλεσαν. τινὲς
δὲ ἐξ αὐτῶν ἐδιψύχησαν καὶ ἐδιχοστάτησαν· τούτοις οὖν ἔτι ἐστὶν μετάνοια,
ἐὰν ταχὺ μετανοήσωσιν καὶ μὴ ἐπιμείνωσιν ταῖς ἡδοναῖς αὐτῶν· ἐὰν δὲ ἐπι-
μείνωσιν ταῖς πράξεσιν αὐτῶν, καὶ αὐτοὶ θάνατον ἑαυτοῖς ἐργάζονται.

Οἱ δὲ ἐπιδεδωκότες τὰς ·άβδους τὰ μὲν δύο μέρη ξηρά, τὸ δὲ τρίτον χλωρόν, οὗτοί εἰσιν πιστοὶ μὲν γεγονότες, πλουτήσαντες δὲ καὶ γενόμενοι ἐνδοξότεροι παρὰ τοῖς ἔθνεσιν· ὑπερηφανίαν μεγάλην ἐνεδύσαντο καὶ ὑψηλόφρονες ἐγένοντο καὶ κατέλιπον τὴν ἀλήθειαν, καὶ οὐκ ἐκολλήθησαν τοῖς δικαίοις, ἀλλὰ μετὰ τῶν ἐθνῶν συνέζησαν, καὶ αὕτη ἡ ὁδὸς αὐτοῖς ἡδυτέρα ἐγένετο· ἀπὸ δὲ τοῦ θεοῦ οὐκ ἀπέστησαν, ἀλλ' ἐνέμειναν τῇ πίστει, μὴ ἐργαζόμενοι δὲ τὰ ἔργα τῆς πίστεως. πολλοὶ οὖν ἐξ αὐτῶν μετενόησαν, καὶ ἐγένετο ἡ κατοίκησις αὐτῶν εἰς τὸν πύργον. ἕτεροι δὲ εἰς τέλος μετὰ τῶν ἐθνῶν συνζῶντες καὶ φερόμενοι ταῖς κενοδοξίαις τῶν ἐθνῶν ἀπέστησαν ἀπὸ τοῦ θεοῦ, καὶ ἔπραξαν τὰς πράξεις τῶν ἐθνῶν. οὗτοι οὖν μετὰ τῶν ἐθνῶν ἐλογίσθησαν.
ἕτεροι δὲ ἐξ αὐτῶν ἐδιψύχησαν μὴ ἐλπίζοντες σωθῆναι διὰ τὰς πράξεις ἃς
ἔπραξαν· ἕτεροι δὲ ἐδιψύχησαν καὶ σχίσματα ἐν ἑαυτοῖς ἐποιήσαντο. τούτοις
οὖν τοῖς διψυχήσασιν διὰ τὰς πράξεις αὐτῶν μετάνοια ἔτι ἐστίν· ἀλλ' ἡ μετά-
νοια αὐτῶν ταχινὴ χρῄζει εἶναι, ἵνα ἡ κατοικία αὐτῶν γένηται εἰς τὸν πύργον· τῶν δὲ μὴ μετανοούντων ἀλλὰ ἐπιμενόντων ταῖς ἡδοναῖς, ὁ θάνατος ἐγγύς.

Οἱ δὲ τὰς ·άβδους ἐπιδεδωκότες χλωράς, αὐτὰ δὲ τὰ ἄκρα ξηρὰ καὶ σχισμὰς ἔχοντα, οὗτοι πάντοτε ἀγαθοὶ καὶ πιστοὶ καὶ ἔνδοξοι παρὰ τῷ θεῷ ἐγένοντο, ἐλάχιστον δὲ ἥμαρτον διὰ μικρὰς ἐπιθυμίας καὶ μικρὰ κατ' ἀλλήλων ἔχοντες· ἀλλὰ ἀκούσαντές μου τῶν ῥημάτων τὸ πλεῖστον μέρος ταχὺ μετενόησαν, καὶ ἐγένετο ἡ κατοικία αὐτῶν εἰς τὸν πύργον. τινὲς δὲ ἐξ αὐτῶν ἐδιψύχησαν, τινὲς δὲ διψυχήσαντες διχοστασίας μείζονας ἐποίησαν. ἐν τούτοις οὖν ἔτι ἐστὶν ἐλπὶς μετανοίας, ὅτι ἀγαθοὶ πάντοτε ἐγένοντο· δυσκόλως δέ τις αὐτῶν ἀποθανεῖται. οἱ δὲ τὰς ·άβδους αὐτῶν ἐπιδεδωκότες ξηράς, ἐλάχιστον δὲ χλωρόν, οὗτοί εἰσιν πιστεύσαντες μόνον, τὰ δὲ ἔργα τῆς ἀνομίας ἐργασάμενοι· οὐδέποτε δὲ ἀπέστησαν ἀπὸ τοῦ θεοῦ, καὶ τὸ ὄνομα ἡδέως ἐβάστασαν καὶ ἡδέως εἰς τοὺς οἴκους αὐτῶν ὑπεδέξαντο τοὺς δούλους τοῦ θεοῦ. ἀκούσαντες οὖν ταύτην τὴν μετάνοιαν ἀδιστάκτως μετενόησαν καὶ ἐργάζονται πᾶσαν ἀρετὴν δικαιοσύνης. τινὲς δὲ ἐξ αὐτῶν καὶ παθοῦνται κ[αὶ ἡδέως θλίβον]ται γινώσκοντες τὰς πράξεις αὐτῶν ἃς ἔπραξαν. τούτων οὖν πάντων ἡ κατοικία εἰς τὸν πύργον ἔσται.
Καὶ μετὰ τὸ συντελέσαι αὐτὸν τὰς ἐπιλύσεις πασῶν τῶν ·άβδων λέγει μοι·
Ὕπαγε καὶ πᾶσι λέγε ἵνα μετανοήσωσι καὶ ζήσωσι τῷ θεῷ· ὅτι ὁ κύριος
ἐσπλαγχνίσθη καὶ ἔπεμψέ με δοῦναι πᾶσι τὴν μετάνοιαν, καίπερ τινῶν μὴ
ὄντων ἀξίων σωθῆναι διὰ τὰ ἔργα αὐτῶν· ἀλλὰ μακρόθυμος ὢν ὁ κύριος
θέλει τὴν κλῆσιν τὴν γενομένην διὰ τοῦ υἱοῦ αὐτοῦ σωθῆναι. λέγω αὐτῷ·
Κύριε, ἐλπίζω ὅτι πάντες ἀκούσαντες αὐτὰ μετανοήσουσιν. πείθομαι γὰρ ὅτι
εἷς ἕκαστος τὰ ἴδια ἔργα ἐπιγνοὺς καὶ φοβηθεὶς τὸν θεὸν μετανοήσει. ἀπο-
κριθείς μοι λέγει· Ὅσοι, φησίν, μετανοήσωσιν ἐξ ὅλης καρδίας αὐτῶν καὶ
καθαρίσωσιν ἑαυτοὺς ἀπὸ τῶν πονηριῶν αὐτῶν τῶν προειρημένων
καὶ μηκέτι προσθῶσι μηδὲν ταῖς ἁμαρτίαις αὐτῶν, λήμψονται ἴασιν
παρὰ τοῦ κυρίου τῶν προτέρων ἁμαρτιῶν, ἐὰν μὴ διψυχήσωσιν ἐπὶ
ταῖς ἐντολαῖς ταύταις, καὶ ζήσονται τῷ θεῷ. ὅσοι δὲ προσθῶσι ταῖς
ἁμαρτίαις αὐτῶν καὶ πορεύσονται ταῖς ἐπιθυμίαις τοῦ αἰῶνος τούτου
κατακρινοῦσιν ἑαυτοὺς εἰς θάνατον.
σὺ δὲ πορεύου ἐν ταῖς ἐντολαῖς μου, καὶ ζήσῃ <τῷ θεῷ·> καὶ ὃς ἂν πορεύσεται

ἐν αὐταῖς <καὶ ἐργάσεται ὀρθῶς, ζήσεται τῷ θεῷ.> ταῦτά μοι δείξας καὶ
λαλήσας πάντα λέγει μοι· Τὰ δὲ λοιπά σοι δείξω μετ' ὀλίγας ἡμέρας.

<Παραβολὴ θ>

Μετὰ τὸ γράψαι με τὰς ἐντολὰς καὶ παραβολὰς τοῦ ποιμένος, τοῦ ἀγγέλου τῆς μετανοίας, ἦλθε πρός με καὶ λέγει μοι· Θέλω σοι δεῖξαι, ὅσα σοὶ ἔδειξε τὸ πνεῦμα τὸ ἅγιον τὸ λαλῆσαν μετὰ σοῦ ἐν μορφῇ τῆς Ἐκκλησίας· ἐκεῖνο γὰρ τὸ πνεῦμα ὁ υἱὸς τοῦ θεοῦ ἐστιν. ἐπειδὴ γὰρ ἀσθενέστερος τῇ σαρκὶ ἦς, οὐκ ἐδηλώθη σοι δι' ἀγγέλου. ὅτε οὖν ἐνεδυναμώθης διὰ τοῦ πνεύματος καὶ ἴσχυσας τῇ ἰσχύι σου, ὥστε δύνασθαί σε ἄγγελον ἰδεῖν, τότε μὲν οὖν ἐδηλώθη σοι διὰ τῆς Ἐκκλησίας ἡ οἰκοδομὴ τοῦ πύργου· καλῶς καὶ σεμνῶς πάντα ὡς ὑπὸ παρθένου ἑώρακας. νῦν δὲ ὑπὸ ἀγγέλου βλέπεις, διὰ τοῦ αὐτοῦ μὲν πνεύματος· δεῖ δέ σε ἀκριβέστερον ὑπ' ἐμοῦ πάντα ἰδεῖν. εἰς τοῦτο γὰρ ἐδόθην ὑπὸ τοῦ ἐνδόξου ἀγγέλου εἰς τὸν οἶκόν σου κατοικῆσαι, ἵνα δυνατῶς πάντα ἴδης, μηδὲν δειλαινόμενος ὡς καὶ τὸ πρότερον. καὶ ἀπή-
γαγέ με εἰς τὴν Ἀρκαδίαν, εἰς ὄρος τι μαστῶδες, καὶ ἐκάθισέ με ἐπὶ τὸ ἄκρον τοῦ ὄρους, καὶ ἔδειξέ μοι πεδίον μέγα, κύκλῳ δὲ τοῦ πεδίου ὄρη δώδεκα, ἄλλην καὶ ἄλλην ἰδέαν ἔχοντα τὰ ὄρη. τὸ πρῶτον ἦν μέλαν ὡς
ἀσβόλη· τὸ δὲ δεύτερον ψιλόν, βοτάνας μὴ ἔχον· τὸ δὲ τρίτον ἀκανθῶν καὶ
τριβόλων πλῆρες· τὸ δὲ τέταρτον βοτάνας ἔχον ἡμιξήρους, τὰ μὲν ἐπάνω τῶν
βοτανῶν χλωρά, τὰ δὲ πρὸς ταῖς ·ίζαις ξηρά· τινὲς δὲ βοτάναι, ὅταν ὁ ἥλιος
ἐπικεκαύκει, ξηραὶ ἐγίνοντο· τὸ δὲ πέμπτον ὄρος ἦν τραχὺ λίαν, βοτάνας δὲ εἶχε χλωράς. τὸ δὲ ἕκτον ὄρος ὅλον σχισμῶν ἔγεμεν, ἃς μὲν μεγάλας, ἃς δὲ μικράς· εἶχον δὲ βοτάνας αἱ σχισμαί, οὐ λίαν δὲ ἦσαν εὐθαλεῖς αἱ βοτάναι, μᾶλλον δὲ ὡς μεμαραμμέναι ἦσαν. τὸ δὲ ἕβδομον ὄρος εἶχεν βοτάνας ἱλαράς,
καὶ ὅλον τὸ ὄρος εὐθηνοῦν ἦν, καὶ πᾶν γένος κτηνῶν καὶ ὀρνέων ἐνέμετο
εἰς τὸ ὄρος ἐκεῖνο· καὶ ὅσον ἐβόσκετο τὰ κτήνη καὶ τὰ πετεινά, μᾶλλον
καὶ μᾶλλον αἱ βοτάναι τοῦ ὄρους ἐκείνου ἔθαλλον. τὸ δὲ ὄγδοον ὄρος πηγῶν πλῆρες ἦν, καὶ πᾶν γένος τῆς κτίσεως τοῦ κυρίου ἐποτίζετο ἐκ τῶν πηγῶν τοῦ ὄρους ἐκείνου. τὸ δὲ ἔνατον ὄρος ὅλως ὕδωρ οὐκ εἶχεν καὶ

ὅλον ἐρημῶδες ἦν, εἶχεν δὲ ἐν αὐτῷ θηρία ἑρπετὰ θανάσιμα, διαφθείροντα
ἀνθρώπους. τὸ δὲ δέκατον ὄρος εἶχε δένδρα μέγιστα, καὶ ὅλον κατάσκιον ἦν,
καὶ ὑπὸ τὴν σκέπην τῶν δένδρων πρόβατα κατέκειντο ἀναπαυόμενα καὶ μαρυ-
κώμενα. τὸ δὲ ἑνδέκατον ὄρος λίαν σύνδενδρον ἦν, καὶ τὰ δένδρα ἐκεῖνα
κατάκαρπα ἦν, ἄλλοις καὶ ἄλλοις καρποῖς κεκοσμημένα, ἵνα ἰδών τις αὐτὰ
ἐπιθυμήσῃ φαγεῖν ἐκ τῶν καρπῶν αὐτῶν. τὸ δὲ δωδέκατον ὄρος ὅλον ἦν
λευκόν, καὶ ἡ πρόσοψις αὐτοῦ ἱλαρὰ λίαν· καὶ εὐπρεπέστατον ἦν ἐν αὐτῷ
τὸ ὄρος.

Εἰς μέσον δὲ τοῦ πεδίου ἔδειξέ μοι πέτραν μεγάλην λευκὴν ἐκ τοῦ πεδίου
ἀναβεβηκυῖαν. ἡ δὲ πέτρα ὑψηλοτέρα ἦν τῶν ὀρέων, τετράγωνος δέ, ὥστε
δύνασθαι ὅλον τὸν κόσμον χωρῆσαι. παλαιὰ δὲ ἦν ἡ πέτρα ἐκείνη πύλην
ἐκκεκομμένην ἔχουσα· ὡς πρόσφατος δὲ ἐδόκει μοι εἶναι ἡ ἐκκόλαψις τῆς
πύλης. ἡ δὲ πύλη οὕτως ἔστιλβεν ὑπὲρ τὸν ἥλιον, ὥστε με θαυμάζειν ἐπὶ τῇ
λαμπηδόνι τῆς πύλης. κύκλῳ δὲ τῆς πύλης εἱστήκεισαν παρθένοι δώδεκα.
αἱ οὖν τέσσαρες αἱ εἰς τὰς γωνίας ἑστηκυῖαι ἐνδοξότεραί μοι ἐδόκουν
εἶναι· καὶ αἱ ἄλλαι δὲ ἔνδοξοι ἦσαν. εἱστήκεισαν δὲ εἰς τὰ τέσσαρα μέρη τῆς πύλης,
ἀνὰ μέσον αὐτῶν ἀνὰ δύο παρθένοι. ἐνδεδυμέναι δὲ ἦσαν λινοῦς χιτῶνας
καὶ περιεζωσμέναι ἦσαν εὐπρεπῶς, ἔξω τοὺς ὤμους ἔχουσαι τοὺς δεξιοὺς
ὡς μέλλουσαι φορτίον τι βαστάζειν. οὕτως ἕτοιμαι ἦσαν· λίαν γὰρ ἱλαραὶ
ἦσαν καὶ πρόθυμοι. μετὰ τὸ ἰδεῖν με ταῦτα ἐθαύμαζον ἐν ἐμαυτῷ, ὅτι
μεγάλα καὶ ἔνδοξα πράγματα ἔβλεπον. καὶ πάλιν ἠπορούμην ἐπὶ ταῖς
παρθένοις, ὅτι τρυφεραὶ οὖσαι οὕτως ἀνδρείως εἱστήκεισαν ὡς μέλλουσαι
ὅλον τὸν οὐρανὸν βαστάζειν. καὶ λέγει μοι ὁ ποιμήν· Τί ἐν σεαυτῷ

διαλογίζῃ καὶ ἀπορῇ καὶ σεαυτῷ λύπην ἐπισπᾶσαι; ὅσα γὰρ οὐ δύνῃ νοῆσαι,
μὴ ἐπιχείρει ὡς συνετὸς ὤν, ἀλλ' ἐρώτα τὸν κύριον, ἵνα λαβὼν σύνεσιν
νοήσῃς αὐτά. τὰ ὀπίσω σου ἰδεῖν οὐ δύνῃ, τὰ δὲ ἔμπροσθέν σου βλέπεις.
ἃ οὖν ἰδεῖν οὐ δύνῃ, ἔασον, καὶ σεαυτὸν μὴ στρέβλου· ἃ βλέπεις δέ, ἐκείνων
κατακυρίευε, καὶ περὶ τῶν λοιπῶν μὴ περιεργάζου· πάντα δέ σοι ἐγὼ δηλώσω, ὅσα ἐάν σοι δείξω. ἔμβλεπε οὖν τοῖς λοιποῖς.

Εἶδον ἓξ ἄνδρας ἐληλυθότας ὑψηλοὺς καὶ ἐνδόξους καὶ ὁμοίους τῇ ἰδέᾳ·
ἐκάλεσαν δὲ πλῆθός τι ἀνδρῶν. κἀκεῖνοι δὲ οἱ ἐληλυθότες ὑψηλοὶ ἄνδρες καὶ
λίαν καλοὶ καὶ δυνατοὶ ἦσαν· καὶ ἐκέλευσαν αὐτοὺς οἱ ἓξ ἄνδρες οἰκοδομεῖν
ἐπάνω τῆς πέτρας πύργον τινά. ἦν δὲ μέγας θόρυβος τῶν ἀνδρῶν ἐκείνων
τῶν ἐληλυθότων οἰκοδομεῖν τὸν πύργον, ὧδε κἀκεῖ περιτρεχόντων κύκλῳ
τῆς πύλης· αἱ δὲ παρθένοι ἑστηκυῖαι περὶ τὴν πύλην ἔλεγον τοῖς ἀνδράσι
σπεύδειν δεῖν οἰκοδομηθῆναι τὸν πύργον. ἐκπεπετάκεισαν δὲ τὰς χεῖρας αἱ
παρθένοι ὡς μέλλουσαί τι λαμβάνειν παρὰ τῶν ἀνδρῶν. οἱ δὲ ἓξ ἄνδρες
ἐκέλευον ἐκ βυθοῦ τινος λίθους ἀναβαίνειν καὶ ὑπάγειν εἰς τὴν
οἰκοδομὴν τοῦ πύργου. ἀνέβησαν δὲ λίθοι ι τετράγωνοι λαμπροί,
<μὴ> λελατομημένοι.
οἱ δὲ ἓξ ἄνδρες ἐκάλουν τὰς παρθένους καὶ ἐκέλευσαν αὐτὰς τοὺς λίθους
πάντας τοὺς μέλλοντας εἰς τὴν οἰκοδομὴν ὑπάγειν τοῦ πύργου βαστάζειν
καὶ διαπορεύεσθαι διὰ τῆς πύλης, καὶ ἐπιδιδόναι τοῖς ἀνδράσι τοῖς μέλλουσιν
οἰκοδομεῖν τὸν πύργον. αἱ δὲ παρθένοι τοὺς δέκα λίθους τοὺς πρώτους
τοὺς ἐκ τοῦ βυθοῦ ἀναβάντας ἐπετίθουν ἀλλήλαις καὶ κατὰ ἕνα λίθον ἐβά-
σταζον ὁμοῦ.

Καθὼς δὲ ἐστάθησαν ὁμοῦ κύκλῳ τῆς πύλης, οὕτως ἐβάσταζον αἱ

δοκοῦσαι δυναταὶ εἶναι, καὶ ὑπὸ τὰς γωνίας τοῦ λίθου ὑποδεδυκυῖαι ἦσαν·
αἱ δὲ ἄλλαι ἐκ τῶν πλευρῶν τοῦ λίθου ὑποδεδύκεισαν, καὶ οὕτως ἐβάσταζον
πάντας τοὺς λίθους· διὰ δὲ τῆς πύλης διέφερον αὐτούς, καθὼς
ἐκελεύσθησαν, καὶ ἐπεδίδουν τοῖς ἀνδράσιν εἰς τὸν πύργον· ἐκεῖνοι
δὲ ἔχοντες τοὺς λίθους ᾠκοδόμουν. ἡ οἰκοδομὴ δὲ τοῦ πύργου ἐγένετο
ἐπὶ τὴν πέτραν τὴν μεγάλην καὶ ἐπάνω τῆς πύλης. ἡρμόσθησαν
<οὖν> οἱ ι λίθοι ἐκεῖνοι, <καὶ ἐνέπλησαν ὅλην τὴν πέτραν. καὶ
ἐγένοντο ἐκεῖνοι> θεμέλιος τῆς οἰκοδομῆς τοῦ πύργου. ἡ δὲ πέτρα καὶ ἡ πύλη ἦν βαστάζουσα ὅλον τὸν
πύργον. μετὰ δὲ τοὺς ι λίθους ἄλλοι ἀνέβησαν ἐκ τοῦ βυθοῦ κ<ε> λίθοι·
καὶ οὗτοι ἡρμόσθησαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, βασταζόμενοι ὑπὸ
τῶν παρθένων καθὼς καὶ οἱ πρότεροι. μετὰ δὲ τούτους ἀνέβησαν λε· καὶ
οὗτοι ὁμοίως ἡρμόσθησαν εἰς τὸν πύργον. μετὰ δὲ τούτους ἕτεροι ἀνέβησαν
λίθοι μ· καὶ οὗτοι πάντες ἐβλήθησαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου· <ἐγέ-
νοντο οὖν στοῖχοι τέσσαρες ἐν τοῖς θεμελίοις τοῦ πύργου.> καὶ ἐπαύσαντο
ἐκ τοῦ βυθοῦ ἀναβαίνοντες· ἐπαύσαντο δὲ καὶ οἱ οἰκοδομοῦντες μικρόν. καὶ
πάλιν ἐπέταξαν οἱ ἓξ ἄνδρες τῷ πλήθει τοῦ ὄχλου ἐκ τῶν ὀρέων παραφέρειν
λίθους εἰς τὴν οἰκοδομὴν τοῦ πύργου. παρεφέροντο οὖν ἐκ πάντων τῶν
ὀρέων χρόαις ποικίλαις λελατομημένοι ὑπὸ τῶν ἀνδρῶν καὶ ἐπεδίδοντο ταῖς
παρθένοις· αἱ δὲ παρθένοι διέφερον αὐτοὺς διὰ τῆς πύλης καὶ ἐπεδίδουν εἰς
τὴν οἰκοδομὴν τοῦ πύργου. καὶ ὅταν εἰς τὴν οἰκοδομὴν ἐτέθησαν οἱ λίθοι οἱ
ποικίλοι, ὅμοιοι ἐγένοντο λευκοὶ καὶ τὰς χρόας τὰς προτέρας
ἤλλασσον. τινὲς δὲ λίθοι ἐπεδίδοντο ὑπὸ τῶν ἀνδρῶν εἰς τὴν
οἰκοδομήν, καὶ οὐκ ἐγίνοντο λαμπροί, ἀλλ' οἷοι ἐτέθησαν, τοιοῦτοι
καὶ ἦσαν· οὐ γὰρ ἦσαν ἀπὸ τῶν παρθένων ἐπιδεδομένοι οὐδὲ διὰ τῆς
πύλης παρενηνεγμένοι. οὗτοι οὖν οἱ λίθοι ἀπρεπεῖς ἦσαν ἐν τῇ
οἰκοδομῇ τοῦ πύργου. εἶδον δὲ οἱ ἓξ ἄνδρες τοὺς

λίθους τούτους ἀπρεπεῖς ἐν τῇ οἰκοδομῇ καὶ ἐκέλευσαν αὐτοὺς ἀρθῆναι καὶ
ἀπενεχθῆναι κάτω εἰς τὸν ἴδιον τόπον ὅθεν ἠνέχθησαν. καὶ λέγουσι τοῖς
ἀνδράσι τοῖς παρεμφέρουσι τοὺς λίθους· Ὅλως ὑμεῖς μὴ ἐπιδίδοτε εἰς τὴν
οἰκοδομὴν λίθους· τίθετε δὲ αὐτοὺς παρὰ τὸν πύργον, ἵνα αἱ παρθένοι διὰ
τῆς πύλης παρενέγκωσιν αὐτοὺς καὶ ἐπιδιδῶσιν εἰς τὴν οἰκοδομήν. ἐὰν γάρ,
φασίν, διὰ τῶν χειρῶν τῶν παρθένων τούτων μὴ διενεχθῶσι διὰ τῆς πύλης,
τὰς χρόας αὐτῶν ἀλλάξαι οὐ δύνανται· μὴ κοπιᾶτε οὖν, φασίν, εἰς μάτην.

Καὶ ἐτελέσθη ἐκείνῃ τῇ ἡμέρᾳ ἡ οἰκοδομή, οὐκ ἀπετελέσθη δὲ ὁ πύργος·
ἔμελλε γὰρ πάλιν ἐποικοδομεῖσθαι· ἐγένετο δὲ ἀνοχή τις τῆς οἰκοδομῆς.
ἐκέλευσαν δὲ αὐτοὺς οἱ ἓξ ἄνδρες τοὺς οἰκοδομοῦντας ἀναχωρῆσαι καὶ ὡσεὶ
ἀναπαῆναι· ταῖς δὲ παρθένοις ἐπέταξαν ἀπὸ τοῦ πύργου μὴ ἀναχωρεῖν.
ἐδόκει δέ μοι τὰς παρθένους καταλελεῖφθαι τοῦ φυλάσσειν τὸν πύργον.
μετὰ δὲ τὸ ἀναχωρῆσαι πάντας καὶ ἀναπαῆναι λέγω τῷ ποιμένι· Τί ὅτι,
φημί, κύριε, οὐ συνετελέσθη ἡ οἰκοδομὴ τοῦ πύργου; Οὔπω, φησί, δύναται
ἀποτελεσθῆναι ὁ πύργος, ἐὰν μὴ ἔλθῃ ὁ κύριος αὐτοῦ καὶ δοκιμάσῃ τὴν
οἰκοδομὴν ταύτην, ἵνα ἐάν τινες λίθοι σαπροὶ εὑρεθῶσιν, ἀλλάξῃ
αὐτούς· πρὸς γὰρ τὸ ἐκείνου θέλημα οἰκοδομεῖται ὁ πύργος. Ἤθελον, φημί, κύριε,
τούτου τοῦ πύργου γνῶναι τί ἐστιν ἡ οἰκοδομὴ αὕτη, καὶ περὶ τῆς πέτρας
καὶ πύλης καὶ τῶν ὀρέων καὶ τῶν παρθένων, καὶ τῶν λίθων τῶν ἐκ τοῦ
βυθοῦ ἀναβεβηκότων καὶ μὴ λελατομημένων, ἀλλ' οὕτως ἀπελθόντων εἰς
τὴν οἰκοδομήν. καὶ διατί πρῶτον εἰς τὰ θεμέλια ι λίθοι ἐτέθησαν,

εἶτα κ<ε>, εἶτα λε, εἶτα μ, καὶ περὶ τῶν λίθων τῶν ἀπεληλυθότων εἰς τὴν
οἰκοδομὴν καὶ πάλιν ἠρμένων καὶ εἰς τόπον ἴδιον ἀποτεθειμένων· περὶ πάν-
των τούτων ἀνάπαυσον τὴν ψυχήν μου, κύριε, καὶ γνώρισόν μοι αὐτά. Ἐάν,
φησί, κενόσπουδος μὴ εὑρεθῇς, πάντα γνώσῃ. μετ' ὀλίγας γὰρ ἡμέρας <ἐλευ-
σόμεθα ἐνθάδε, καὶ τὰ λοιπὰ ὄψει τὰ ἐπερχόμενα τῷ πύργῳ τούτῳ καὶ
πάσας τὰς παραβολὰς ἀκριβῶς γνώσῃ. καὶ μετ' ὀλίγας ἡμέρας>
ἤλθομεν εἰς τὸν τόπον οὗ κεκαθίκαμεν, καὶ λέγει μοι· Ἄγωμεν παρὰ τὸν πύργον· ὁ γὰρ
αὐθέντης τοῦ πύργου ἔρχεται κατανοῆσαι αὐτόν. καὶ ἤλθομεν πρὸς τὸν
πύργον· καὶ ὅλως οὐθεὶς ἦν πρὸς αὐτὸν εἰ μὴ αἱ παρθένοι μόναι. καὶ ἐπ-
ερωτᾷ ὁ ποιμὴν τὰς παρθένους εἰ ἄρα παραγεγόνει ὁ δεσπότης τοῦ πύργου.
αἱ δὲ ἔφησαν μέλλειν αὐτὸν ἔρχεσθαι κατανοῆσαι τὴν οἰκοδομήν.

Καὶ ἰδοὺ μετὰ μικρὸν βλέπω παράταξιν πολλῶν ἀνδρῶν ἐρχομένων· καὶ
εἰς τὸ μέσον ἀνήρ τις ὑψηλὸς τῷ μεγέθει, ὥστε τὸν πύργον ὑπερέχειν. καὶ
οἱ ἓξ ἄνδρες οἱ εἰς τὴν οἰκοδομὴν <ἐφεστῶτες ἐκ δεξιῶν καὶ ἀριστερῶν
περιεπάτησαν μετ' αὐτοῦ, καὶ πάντες οἱ εἰς τὴν οἰκοδομὴν> ἐργασάμενοι
μετ' αὐτοῦ ἦσαν, καὶ ἕτεροι πολλοὶ κύκλῳ αὐτοῦ ἔνδοξοι. αἱ δὲ παρθένοι αἱ
τηροῦσαι τὸν πύργον προσδραμοῦσαι κατεφίλησαν αὐτόν, καὶ
ἤρξαντο ἐγγὺς αὐτοῦ περιπατεῖν κύκλῳ τοῦ πύργου. κατενόει δὲ ὁ
ἀνὴρ ἐκεῖνος τὴν οἰκοδομὴν ἀκριβῶς, ὥστε αὐτὸν καθ' ἕνα λίθον
ψηλαφᾶν. κρατῶν δέ τινα ·άβδον τῇ χειρὶ κατὰ ἕνα λίθον τῶν
ᾠκοδομημένων ἔτυπτε. καὶ ὅταν ἐπάτασσεν, ἐγένοντο αὐτῶν τινες
μέλανες ὡσεὶ ἀσβόλη, τινὲς δὲ ἐψωριακότες, τινὲς δὲ σχισμὰς
ἔχοντες, τινὲς δὲ κολοβοί, τινὲς δὲ οὔτε λευκοὶ οὔτε μέλανες, τινὲς δὲ
τραχεῖς καὶ μὴ συμφωνοῦντες τοῖς ἑτέροις λίθοις, τινὲς δὲ σπίλους
πολλοὺς ἔχοντες· αὗται ἦσαν αἱ ποικιλίαι τῶν λίθων τῶν σαπρῶν
εὑρεθέντων εἰς τὴν οἰκοδομήν. ἐκέλευσεν οὖν πάντας τούτους ἐκ τοῦ
πύργου μετενεχθῆναι καὶ τεθῆναι παρὰ τὸν πύργον, καὶ ἑτέρους
ἐνεχθῆναι λίθους καὶ ἐμβληθῆναι εἰς τὸν τόπον αὐτῶν. <καὶ

ἐπηρώτησαν αὐτὸν οἱ οἰκοδομοῦντες, ἐκ τίνος ὄρους θέλει ἐνεχθῆναι λίθους καὶ ἐμβληθῆναι εἰς τὸν τόπον αὐτῶν.> καὶ ἐκ μὲν τῶν ὀρέων οὐκ ἐκέλευσεν ἐνεχθῆναι, <ἐκ δέ τινος πεδίου ἐγγὺς ὄντος ἐκέλευσεν ἐνεχθῆναι.> καὶ ὠρύγη τὸ πεδίον, καὶ εὑρέθησαν λίθοι λαμπροὶ τετράγωνοι, τινὲς δὲ καὶ στρογγύλοι. ὅσοι δέ ποτε ἦσαν λίθοι ἐν τῷ πεδίῳ ἐκείνῳ, πάντες ἠνέχθησαν, καὶ διὰ τῆς πύλης ἐβαστάζοντο ὑπὸ τῶν παρθένων. καὶ ἐλατομήθησαν οἱ τετράγωνοι λίθοι καὶ ἐτέθησαν εἰς τὸν τόπον τῶν ἠρμένων· οἱ δὲ στρογγύλοι οὐκ ἐτέθησαν εἰς τὴν οἰκοδομήν, ὅτι σκληροὶ ἦσαν εἰς τὸ λατομηθῆναι αὐτούς, καὶ βραδέως ἐγένετο. ἐτέθησαν δὲ παρὰ τὸν πύργον, ὡς μελλόντων αὐτῶν λατομεῖσθαι καὶ τίθεσθαι εἰς τὴν οἰκοδομήν· λίαν γὰρ λαμπροὶ ἦσαν.

Ταῦτα οὖν συντελέσας ὁ ἀνὴρ ὁ ἔνδοξος καὶ κύριος ὅλου τοῦ πύργου προσεκαλέσατο τὸν ποιμένα, καὶ παρέδωκεν αὐτῷ τοὺς λίθους πάντας τοὺς παρὰ τὸν πύργον κειμένους, τοὺς ἀποβεβλημένους ἐκ τῆς οἰκοδομῆς, καὶ λέγει αὐτῷ· Ἐπιμελῶς καθάρισον τοὺς λίθους τούτους καὶ θὲς αὐτοὺς εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, τοὺς δυναμένους ἁρμόσαι τοῖς λοιποῖς· τοὺς δὲ μὴ ἁρμόζοντας ·ἶψον μακρὰν ἀπὸ τοῦ πύργου. <ταῦτα κελεύσας τῷ ποιμένι ἀπῆλθεν ἀπὸ τοῦ πύργου> μετὰ πάντων ὧν ἐληλύθει. αἱ δὲ παρθένοι κύκλῳ τοῦ πύργου εἱστήκεισαν τηροῦσαι αὐτόν. λέγω τῷ ποιμένι· Πῶς οὗτοι οἱ λίθοι δύνανται εἰς τὴν οἰκοδομὴν τοῦ πύργου ἀπελθεῖν ἀποδεδοκιμασμένοι; ἀποκριθείς μοι λέγει· Βλέπεις, φησί, τοὺς λίθους τούτους; Βλέπω, φημί, κύριε. Ἐγώ, φησί, τὸ πλεῖστον μέρος τῶν λίθων τούτων λατομήσω καὶ βαλῶ εἰς τὴν οἰκοδομήν, καὶ ἁρμόσουσι μετὰ τῶν λοιπῶν λίθων. Πῶς, φημί, κύριε, δύναν-
ται περικοπέντες τὸν αὐτὸν τόπον πληρῶσαι; ἀποκριθεὶς λέγει μοι· Ὅσοι
μικροὶ εὑρεθήσονται, εἰς μέσην τὴν οἰκοδομὴν βληθήσονται, ὅσοι δὲ μείζονες,
ἐξώτεροι τεθήσονται καὶ συγκρατήσουσιν αὐτούς. ταῦτά μοι λαλήσας λέγει μοι· Ἄγωμεν καὶ μετὰ ἡμέρας δύο ἔλθωμεν καὶ καθαρίσωμεν τοὺς
λίθους τούτους, καὶ βάλωμεν αὐτοὺς εἰς τὴν οἰκοδομήν· τὰ γὰρ κύκλῳ τοῦ
πύργου πάντα καθαρισθῆναι δεῖ, μήποτε ὁ δεσπότης ἐξάπινα ἔλθῃ καὶ τὰ
περὶ τὸν πύργον ·υπαρὰ εὕρῃ καὶ προσοχθίσῃ, καὶ οὗτοι οἱ λίθοι οὐκ ἀπε-
λεύσονται εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, κἀγὼ ἀμελὴς δόξω εἶναι παρὰ τῷ

δεσπότῃ. καὶ μετὰ ἡμέρας δύο ἤλθομεν πρὸς τὸν πύργον, καὶ λέγει μοι·
Κατανοήσωμεν τοὺς λίθους πάντας καὶ ἴδωμεν τοὺς δυναμένους εἰς τὴν
οἰκοδομὴν ἀπελθεῖν. λέγω αὐτῷ· Κύριε, κατανοήσωμεν.

Καὶ ἀρξάμενοι πρῶτον τοὺς μέλανας κατενοοῦμεν λίθους. καὶ οἷοι ἐκ
τῆς οἰκοδομῆς ἐτέθησαν, τοιοῦτοι καὶ εὑρέθησαν. καὶ ἐκέλευσεν αὐτοὺς ὁ
ποιμὴν ἐκ τοῦ πύργου μετενεχθῆναι καὶ χωρισθῆναι. εἶτα κατενόησε
τοὺς ἐψωριακότας, καὶ λαβὼν ἐλατόμησε πολλοὺς ἐξ αὐτῶν, καὶ ἐκέλευσε
τὰς παρθένους ἆραι αὐτοὺς καὶ βαλεῖν εἰς τὴν οἰκοδομήν. καὶ ἦραν αὐτοὺς
αἱ παρθένοι καὶ ἔθηκαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου μέσου. τοὺς δὲ λοι-
ποὺς ἐκέλευσε μετὰ τῶν μελάνων τεθῆναι· καὶ γὰρ καὶ οὗτοι μέλανες εὑρέ-
θησαν. εἶτα κατενόει τοὺς τὰς σχισμὰς ἔχοντας· καὶ ἐκ τούτων πολλοὺς
ἐλατόμησε καὶ ἐκέλευσε διὰ τῶν παρθένων εἰς τὴν οἰκοδομὴν ἀπενεχθῆναι·
ἐξώτεροι δὲ ἐτέθησαν, ὅτι ὑγιέστεροι εὑρέθησαν. οἱ δὲ λοιποὶ διὰ τὸ πλῆθος
τῶν σχισμάτων οὐκ ἠδυνήθησαν λατομηθῆναι· διὰ ταύτην οὖν τὴν
αἰτίαν ἀπεβλήθησαν ἀπὸ τῆς οἰκοδομῆς τοῦ πύργου. εἶτα κατενόει τοὺς κολοβούς,
καὶ εὑρέθησαν πολλοὶ ἐν αὐτοῖς μέλανες, τινὲς δὲ σχισμὰς μεγάλας πεποιη-
κότες· καὶ ἐκέλευσε καὶ τούτους τεθῆναι μετὰ τῶν ἀποβεβλημένων. τοὺς
δὲ περισσεύοντας αὐτῶν καθαρίσας καὶ λατομήσας ἐκέλευσεν εἰς τὴν οἰκο-
δομὴν τεθῆναι. αἱ δὲ παρθένοι αὐτοὺς ἄρασαι εἰς μέσην τὴν οἰκοδομὴν τοῦ
πύργου ἥρμοσαν· ἀσθενέστεροι γὰρ ἦσαν. εἶτα κατενόει τοὺς ἡμίσεις
λευκούς, ἡμίσεις δὲ μέλανας· καὶ πολλοὶ ἐξ αὐτῶν εὑρέθησαν μέλανες. ἐκέ-
λευσε δὲ καὶ τούτους ἀρθῆναι μετὰ τῶν ἀποβεβλημένων. οἱ δὲ λοιποὶ πάντες

ἤρθησαν ὑπὸ τῶν παρθένων· λευκοὶ γὰρ ὄντες ἡρμόσθησαν ὑπ' αὐτῶν τῶν
παρθένων εἰς τὴν οἰκοδομήν· ἐξώτεροι δὲ ἐτέθησαν, ὅτι ὑγιεῖς εὑρέθησαν,
ὥστε δύνασθαι αὐτοὺς κρατεῖν τοὺς εἰς τὸ μέσον τεθέντας· ὅλως γὰρ ἐξ
αὐτῶν οὐδὲν ἐκολοβώθη. εἶτα κατενόει τοὺς τραχεῖς καὶ σκληρούς, καὶ
ὀλίγοι ἐξ αὐτῶν ἀπεβλήθησαν διὰ τὸ μὴ δύνασθαι λατομηθῆναι· σκληροὶ
γὰρ λίαν εὑρέθησαν. οἱ δὲ λοιποὶ αὐτῶν ἐλατομήθησαν καὶ ἤρθησαν
ὑπὸ τῶν παρθένων καὶ εἰς μέσην τὴν οἰκοδομὴν τοῦ πύργου
ἡρμόσθησαν· ἀσθενέστεροι γὰρ ἦσαν. εἶτα κατενόει τοὺς ἔχοντας
τοὺς σπίλους, καὶ ἐκ τούτων ἐλάχιστοι ἐμελάνησαν, καὶ
ἀπεβλήθησαν πρὸς τοὺς λοιπούς. οἱ δὲ περισσεύοντες λαμπροὶ καὶ
ὑγιεῖς εὑρέθησαν· καὶ οὗτοι ἡρμόσθησαν ὑπὸ τῶν παρθένων εἰς τὴν
οἰκοδομήν· ἐξώτεροι δὲ ἐτέθησαν διὰ τὴν ἰσχυρότητα αὐτῶν.

Εἶτα ἦλθε κατανοῆσαι τοὺς λευκοὺς καὶ στρογγύλους λίθους, καὶ λέγει
μοι· Τί ποιοῦμεν περὶ τούτων τῶν λίθων; Τί, φημί, ἐγὼ γινώσκω, κύριε;
Οὐδὲν οὖν ἐπινοεῖς περὶ αὐτῶν; Ἐγώ, φημί, κύριε, ταύτην τὴν τέχνην
οὐκ ἔχω, οὐδὲ λατόμος εἰμί, οὐδὲ δύναμαι νοῆσαι. Οὐ βλέπεις αὐτούς,
φησί, λίαν στρογγύλους ὄντας; καὶ ἐὰν αὐτοὺς θελήσω τετραγώνους
ποιῆσαι, πολὺ δεῖ ἀπ' αὐτῶν ἀποκοπῆναι· δεῖ δὲ ἐξ αὐτῶν ἐξ ἀνάγκης τινὰς
εἰς τὴν οἰκοδομὴν τεθῆναι. Εἰ οὖν, φημί, κύριε, ἀνάγκη ἐστί, τί σεαυτὸν
βασανίζεις καὶ οὐκ ἐκλέγῃ εἰς τὴν οἰκοδομὴν οὓς θέλεις, καὶ ἁρμόζεις εἰς
αὐτήν; ἐξελέξατο ἐξ αὐτῶν τοὺς μείζονας καὶ λαμπρούς, καὶ ἐλατόμησεν
αὐτούς· αἱ δὲ παρθένοι ἄρασαι ἥρμοσαν εἰς τὰ ἐξώτερα μέρη τῆς οἰκοδομῆς.
οἱ δὲ λοιποὶ οἱ περισσεύσαντες ἤρθησαν καὶ ἀπετέθησαν εἰς τὸ πεδίον, ὅθεν
ἠνέχθησαν· οὐκ ἀπεβλήθησαν δέ, Ὅτι, φησί, λείπει τῷ πύργῳ ἔτι μικρὸν
οἰκοδομηθῆναι. πάντως δὲ θέλει ὁ δεσπότης τοῦ πύργου τούτους ἁρμοσθῆ-

ναι τοὺς λίθους εἰς τὴν οἰκοδομήν, ὅτι λαμπροί εἰσι λίαν. ἐκλήθησαν δὲ
γυναῖκες δώδεκα, εὐειδέσταται τῷ χαρακτῆρι, μέλανα ἐνδεδυμέναι,
<περιεζωσμέναι καὶ ἔξω τοὺς ὤμους ἔχουσαι,> καὶ τὰς τρίχας
λελυμέναι. ἐδοκοῦσαν δέ μοι αἱ γυναῖκες αὗται ἄγριαι εἶναι.
ἐκέλευσε δὲ αὐτὰς ὁ ποιμὴν ἆραι τοὺς λίθους τοὺς ἀποβεβλημένους
ἐκ τῆς οἰκοδομῆς καὶ ἀπενεγκεῖν αὐτοὺς εἰς τὰ ὄρη, ὅθεν καὶ
ἠνέχθησαν. αἱ δὲ ἱλαραὶ ἦραν καὶ ἀπήνεγκαν πάντας τοὺς λίθους καὶ
ἔθηκαν, ὅθεν ἐλήφθησαν. καὶ μετὰ τὸ ἀρθῆναι πάντας τοὺς λίθους καὶ
μηκέτι κεῖσθαι λίθον κύκλῳ τοῦ πύργου, λέγει μοι ὁ
ποιμήν· Κυκλώσωμεν τὸν πύργον καὶ ἴδωμεν, μή τι ἐλάττωμά ἐστιν ἐν
αὐτῷ. καὶ ἐκύκλευον ἐγὼ μετ' αὐτοῦ. ἰδὼν δὲ ὁ ποιμὴν τὸν πύργον
εὐπρεπῆ ὄντα τῇ οἰκοδομῇ, λίαν ἱλαρὸς ἦν· ὁ γὰρ πύργος οὕτως ἦν ᾠκο-
δομημένος, ὥστε με ἰδόντα ἐπιθυμεῖν τὴν οἰκοδομὴν αὐτοῦ· οὕτω γὰρ ἦν
ᾠκοδομημένος, ὡσὰν ἐξ ἑνὸς λίθου, μὴ ἔχων μίαν ἁρμογὴν ἐν ἑαυτῷ. ἐφαί-
νετο δὲ ὁ λίθος ὡς ἐκ τῆς πέτρας ἐκκεκολαμμένος· μονόλιθος γάρ μοι ἐδόκει
εἶναι.

Κἀγὼ περιπατῶν μετ' αὐτοῦ ἱλαρὸς ἤμην τοιαῦτα ἀγαθὰ βλέπων. λέγει
δέ μοι ὁ ποιμήν· Ὕπαγε καὶ φέρε ἄσβεστον καὶ ὄστρακον λεπτόν, ἵνα τοὺς
τύπους τῶν λίθων τῶν ἡρμένων καὶ εἰς τὴν οἰκοδομὴν βεβλημένων ἀνα-
πληρώσω· δεῖ γὰρ τοῦ πύργου τὰ κύκλῳ πάντα ὁμαλὰ γενέσθαι. καὶ
ἐποίησα καθὼς ἐκέλευσε, καὶ ἤνεγκα πρὸς αὐτόν. Ὑπηρέτει μοι, φησί, καὶ
[ἐγγὺς τὸ ἔργον τελεσθήσεται]. ἐπλήρωσεν οὖν τοὺς τύπους τῶν λίθων
τῶν εἰς τὴν οἰκοδομὴν ἀπεληλυθότων καὶ ἐκέλευσε σαρωθῆναι τὰ κύκλῳ τοῦ
πύργου καὶ καθαρὰ γενέσθαι· αἱ δὲ παρθένοι λαβοῦσαι σάρους ἐσάρωσαν
καὶ πάντα τὰ κόπρια ἦραν ἐκ τοῦ πύργου, καὶ ἔρραναν ὕδωρ, καὶ ἐγένετο ὁ
τόπος ἱλαρὸς καὶ εὐπρεπέστατος τοῦ πύργου. λέγει μοι ὁ ποιμήν· Πάντα,

φησί, κεκάθαρται· ἐὰν ἔλθῃ ὁ κύριος ἐπισκέψασθαι τὸν πύργον, οὐκ ἔχει
ἡμᾶς οὐδὲν μέμψασθαι. ταῦτα εἰπὼν ἤθελεν ὑπάγειν· ἐγὼ δὲ ἐπελαβό-
μην αὐτοῦ τῆς πήρας καὶ ἠρξάμην αὐτὸν ὁρκίζειν κατὰ τοῦ κυρίου, ἵνα
μοι ἐπιλύσῃ, ἃ ἔδειξέ μοι. λέγει μοι· Μικρὸν ἔχω ἀκαιρεθῆναι καὶ πάντα
σοι ἐπιλύσω· ἔκδεξαί με ὧδε ἕως ἔρχομαι. λέγω αὐτῷ· Κύριε, μόνος ὢν
ὧδε ἐγὼ τί ποιήσω; Οὐκ εἶ, φησί, μόνος· αἱ γὰρ παρθένοι αὗται μετὰ σοῦ
εἰσι. Παράδος οὖν, φημί, αὐταῖς με. προσκαλεῖται αὐτὰς ὁ ποιμὴν καὶ λέγει
αὐταῖς· Παρατίθεμαι ὑμῖν τοῦτον ἕως ἔρχομαι· καὶ ἀπῆλθεν. ἐγὼ δὲ
ἤμην μόνος μετὰ τῶν παρθένων· ἦσαν δὲ ἱλαρώτεραι καὶ πρὸς ἐμὲ εὖ εἶχον·
μάλιστα [δὲ] αἱ δ αἱ ἐνδοξότεραι αὐτῶν.

Λέγουσί μοι αἱ παρθένοι· Σήμερον ὁ ποιμὴν ὧδε οὐκ ἔρχεται. Τί οὖν,
φημί, ποιήσω ἐγώ; Μέχρις ὀψέ, [φασίν,] περίμεινον αὐτόν. καὶ ἐὰν ἔλθῃ,
λαλήσει μετὰ σοῦ, ἐὰν δὲ μὴ ἔλθῃ, μενεῖς μεθ' ἡμῶν ὧδε ἕως [ἔρχεται.]
λέγω αὐταῖς· Ἐκδέξομαι αὐτὸν ἕως ὀψέ· ἐὰν δὲ μὴ ἔλθῃ, ἀπελεύσομαι εἰς
τὸν οἶκον καὶ πρω ἐπανήξω. αἱ δὲ ἀποκριθεῖσαι λέγουσί μοι· Ἡμῖν παρε-
δόθης· οὐ δύνασαι ἀφ' ἡμῶν ἀναχωρῆσαι. Ποῦ οὖν, φημί, μενῶ; Μεθ'
ἡμῶν, φασί, κοιμηθήσῃ ὡς ἀδελφός, καὶ οὐχ ὡς ἀνήρ. ἡμέτερος γὰρ ἀδελ-
φὸς εἶ, καὶ τοῦ λοιποῦ μέλλομεν μετὰ σοῦ κατοικεῖν· λίαν γάρ σε ἀγαπῶμεν.
ἐγὼ δὲ ᾐσχυνόμην μετ' αὐτῶν μένειν. καὶ ἡ δοκοῦσα πρώτη αὐτῶν εἶναι
ἤρξατό με καταφιλεῖν καὶ περιπλέκεσθαι· αἱ δὲ [ἄλλαι] ὁρῶσαι ἐκείνην
περιπλεκομένην μοι καὶ αὐταὶ ἤρξαντό με καταφιλεῖν καὶ περιάγειν κύκλῳ
τοῦ πύργου καὶ παίζειν μετ' ἐμοῦ. κἀγὼ ὡσεὶ νεώτερος ἐγεγόνειν καὶ
ἠρξάμην καὶ αὐτὸς παίζειν μετ' αὐτῶν· αἱ μὲν γὰρ ἐχόρευον, αἱ δὲ ὠρ-

χοῦντο, αἱ δὲ ᾖδον· ἐγὼ δὲ σιγὴν ἔχων μετ' αὐτῶν κύκλῳ τοῦ πύργου περιεπά-
τουν καὶ ἱλαρὸς ἤμην μετ' αὐτῶν. [ὀψίας] δὲ γενομένης ἤθελον εἰς τὸν
οἶκον ὑπάγειν· αἱ δὲ οὐκ ἀφῆκαν, ἀλλὰ κατέσχον με. καὶ ἔμεινα μετ' αὐτῶν
τὴν νύκτα, καὶ ἐκοιμήθην παρὰ τὸν πύργον. ἔστρωσαν γὰρ αἱ παρθένοι
τοὺς λινοῦς χιτῶνας ἑαυτῶν χαμαί, καὶ ἐμὲ ἀνέκλιναν εἰς [τὸ μέσον αὐτ]ῶν,
καὶ οὐδὲν ὅλως ἐποίουν εἰ μὴ προσηύχοντο· κἀγὼ μετ' αὐτῶν ἀδιαλείπτως
προσηυχόμην καὶ οὐκ ἔλασσον ἐκείνων. καὶ [ἔχαιρον] αἱ παρθένοι οὕτω μου
προσευχομένου. καὶ ἔμεινα ἐκεῖ μέχρι τῆς αὔριον ἕως ὥρας δευτέρας μετὰ
τῶν παρθένων. εἶτα παρῆν ὁ ποιμήν, καὶ λέγει ταῖς παρθένοις· Μή τινα
αὐτῷ ὕβριν πεποιήκατε; Ἐρώτα, φασίν, αὐτόν. λέγω αὐτῷ· Κύριε, εὐφράν-
θην μετ' αὐτῶν μείνας. Τί, φησίν, ἐδείπνησας; Ἐδείπνησα, φημί, κύριε,
·»ματα κυρίου ὅλην τὴν νύκτα. Καλῶς, φησίν, ἔλαβόν σε; Ναί, φημί, κύριε.
Νῦν, φησί, τί θέλεις πρῶτον ἀκοῦσαι; Καθώς, φημί, κύριε, ἀπ' ἀρχῆς ἔδει-
ξας· ἐρωτῶ σε, κύριε, ἵνα καθὼς ἄν σε ἐπερωτήσω, οὕτω μοι καὶ δηλώσῃς.
Καθὼς βούλει, φησίν, οὕτω σοι καὶ ἐπιλύσω, καὶ οὐδὲν ὅλως ἀποκρύψω ἀπὸ
σοῦ.

Πρῶτον, φημί, πάντων, κύριε, τοῦτό μοι δήλωσον· ἡ πέτρα καὶ ἡ πύλη
τίς ἐστιν; Ἡ πέτρα, φησίν, αὕτη καὶ ἡ πύλη ὁ υἱὸς τοῦ θεοῦ ἐστι. Πῶς,
φημί, κύριε, ἡ πέτρα παλαιά ἐστιν, ἡ δὲ πύλη καινή; Ἄκουε, φησί, καὶ
σύνιε, ἀσύνετε. ὁ μὲν υἱὸς τοῦ θεοῦ πάσης τῆς κτίσεως αὐτοῦ προγε-
νέστερός ἐστιν, ὥστε σύμβουλον αὐτὸν γενέσθαι τῷ πατρὶ τῆς κτίσεως
αὐτοῦ· διὰ τοῦτο καὶ παλαιὰ ἡ πέτρα. Ἡ δὲ πύλη, φημί, διατί καινή,
κύριε;

Ὅτι, φησίν, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τῆς συντελείας φανερὸς ἐγένετο,
διὰ τοῦτο καινὴ ἐγένετο ἡ πύλη, ἵνα οἱ μέλλοντες σώζεσθαι δι' αὐτῆς εἰς
τὴν βασιλείαν εἰσέλθωσι τοῦ θεοῦ. εἶδες, φησίν, τοὺς λίθους τοὺς διὰ τῆς
πύλης εἰσεληλυθότας εἰς τὴν οἰκοδομὴν τοῦ πύργου <βεβλημένους,> τοὺς
δὲ μὴ εἰσεληλυθότας πάλιν ἀποβεβλημένους εἰς τὸν ἴδιον τόπον; Εἶδον,
φημί, κύριε. Οὕτω, φησίν, εἰς τὴν βασιλείαν τοῦ θεοῦ οὐδεὶς εἰσελεύσεται,
εἰ μὴ λάβοι τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ. ἐὰν γὰρ εἰς πόλιν θελήσῃς εἰσελ-
θεῖν τινα, κἀκείνη ἡ πόλις περιτετειχισμένη κύκλῳ καὶ μίαν ἔχῃ πύλην, μήτι
δύνῃ εἰς ἐκείνην τὴν πόλιν εἰσελθεῖν, εἰ μὴ διὰ τῆς πύλης ἧς ἔχει; Πῶς γάρ,
φημί, κύριε, δύναται γενέσθαι ἄλλως; Εἰ οὖν εἰς τὴν πόλιν οὐ δύνῃ εἰσελ-
θεῖν εἰ μὴ διὰ τῆς πύλης ἧς ἔχει, οὕτω, φησί, καὶ εἰς τὴν βασιλείαν τοῦ θεοῦ
ἄλλως εἰσελθεῖν οὐ δύναται ἄνθρωπος εἰ μὴ διὰ τοῦ ὀνόματος τοῦ υἱοῦ
αὐτοῦ τοῦ ἠγαπημένου ὑπ' αὐτοῦ. εἶδες, φησί, τὸν ὄχλον τὸν οἰκοδομοῦντα
τὸν πύργον; Εἶδον, φημί, κύριε. Ἐκεῖνοι, φησί, πάντες ἄγγελοι ἔνδοξοί
εἰσι· τούτοις οὖν περιτετείχισται ὁ κύριος. ἡ δὲ πύλη ὁ υἱὸς τοῦ θεοῦ ἐστιν·
αὕτη μία εἴσοδός ἐστι πρὸς τὸν κύριον. ἄλλως οὖν οὐδεὶς εἰσελεύσεται πρὸς
αὐτὸν εἰ μὴ διὰ τοῦ υἱοῦ αὐτοῦ. εἶδες, φησί, τοὺς ἓξ ἄνδρας καὶ τὸν μέσον
αὐτῶν ἔνδοξον καὶ μέγαν ἄνδρα τὸν περιπατοῦντα περὶ τὸν πύργον καὶ τοὺς
λίθους ἀποδοκιμάσαντα ἐκ τῆς οἰκοδομῆς; Εἶδον, φημί, κύριε. Ὁ ἔνδο-
ξος, φησίν, ἀνὴρ ὁ υἱὸς τοῦ θεοῦ ἐστι, κἀκεῖνοι οἱ ἓξ οἱ ἔνδοξοι ἄγγελοί εἰσι
δεξιὰ καὶ εὐώνυμα συγκρατοῦντες αὐτόν. τούτων, φησί, τῶν ἀγγέλων

τῶν ἐνδόξων οὐδεὶς εἰσελεύσεται πρὸς τὸν θεὸν ἄτερ αὐτοῦ· ὃς ἂν τὸ ὄνομα
αὐτοῦ μὴ λάβῃ, οὐκ εἰσελεύσεται εἰς τὴν βασιλείαν τοῦ θεοῦ.
Ὁ δὲ πύργος, φημί, τίς ἐστιν; Ὁ πύργος, φησίν, οὗτος <ἡ> ἐκκλησία
ἐστίν. Αἱ δὲ παρθένοι αὗται τίνες εἰσίν; Αὗται, φησίν, ἅγια πνεύματά
εἰσι· καὶ ἄλλως ἄνθρωπος οὐ δύναται εὑρεθῆναι εἰς τὴν βασιλείαν τοῦ θεοῦ,
ἐὰν μὴ αὗται αὐτὸν ἐνδύσωσι τὸ ἔνδυμα αὐτῶν· ἐὰν γὰρ τὸ ὄνομα μόνον
λάβῃς, τὸ δὲ ἔνδυμα παρὰ τούτων μὴ λάβῃς, οὐδὲν ὠφελήσῃ· αὗται γὰρ αἱ
παρθένοι δυνάμεις εἰσὶ τοῦ υἱοῦ τοῦ θεοῦ. ἐὰν τὸ ὄνομα φορῇς, τὴν δὲ δύνα-
μιν μὴ φορῇς αὐτοῦ, εἰς μάτην ἔσῃ τὸ ὄνομα αὐτοῦ φορῶν. τοὺς δὲ λί-
θους, φησίν, οὓς εἶδες ἀποβεβλημένους, οὗτοι τὸ μὲν ὄνομα ἐφόρεσαν, τὸν
δὲ ἱματισμὸν τῶν παρθένων οὐκ ἐνεδύσαντο. Ποῖος, φημί, ἱματισμὸς αὐτῶν
ἐστι, κύριε; Αὐτὰ τὰ ὀνόματα, φησίν, ἱματισμός ἐστιν αὐτῶν. ὃς ἂν τὸ ὄνο-
μα τοῦ υἱοῦ τοῦ θεοῦ φορῇ, καὶ τούτων ὀφείλει τὰ ὀνόματα φορεῖν· καὶ γὰρ
αὐτὸς ὁ υἱὸς τὰ ὀνόματα τῶν παρθένων τούτων φορεῖ. ὅσους, φησί,
λίθους εἶδες εἰς τὴν οἰκοδομὴν <τοῦ πύργου εἰσεληλυθότας, ἐπιδεδομένους
διὰ τῶν χειρῶν αὐτῶν καὶ μείναντας εἰς τὴν οἰκοδομήν,> τούτων τῶν παρ-
θένων τὴν δύναμιν ἐνδεδυμένοι εἰσί. διὰ τοῦτο βλέπεις τὸν πύργον μονό-
λιθον γεγονότα <μετὰ> τῆς πέτρας· οὕτω καὶ οἱ πιστεύσαντες τῷ κυρίῳ
διὰ τοῦ υἱοῦ αὐτοῦ καὶ ἐνδιδυσκόμενοι τὰ πνεύματα ταῦτα, ἔσονται εἰς
ἓν πνεῦμα, ἓν σῶμα, καὶ μία χρόα τῶν ἱματίων αὐτῶν. τῶν τοιούτων δὲ τῶν
φορούντων τὰ ὀνόματα τῶν παρθένων ἐστὶν ἡ κατοικία εἰς τὸν πύργον.
Οἱ οὖν, φημί, κύριε, ἀποβεβλημένοι λίθοι διατί ἀπεβλήθησαν; διῆλθον γὰρ

διὰ τῆς πύλης, καὶ διὰ τῶν χειρῶν τῶν παρθένων ἐτέθησαν εἰς τὴν οἰκοδομὴν
τοῦ πύργου. Ἐπειδὴ πάντα σοι, φησί, μέλει, καὶ ἀκριβῶς ἐξετάζεις, ἄκουε
περὶ τῶν ἀποβεβλημένων λίθων. οὗτοι, φησί, πάντες τὸ ὄνομα τοῦ υἱοῦ
τοῦ θεοῦ ἔλαβον, ἔλαβον δὲ καὶ τὴν δύναμιν τῶν παρθένων τούτων. λαβόντες
οὖν τὰ πνεύματα ταῦτα ἐνεδυναμώθησαν καὶ ἦσαν μετὰ τῶν δούλων τοῦ
θεοῦ, καὶ ἦν αὐτῶν ἓν πνεῦμα καὶ ἓν σῶμα καὶ ἓν ἔνδυμα· τὰ γὰρ αὐτὰ ἐφρό-
νουν καὶ δικαιοσύνην εἰργάζοντο. μετὰ οὖν χρόνον τινὰ ἀνεπείσθησαν
ὑπὸ τῶν γυναικῶν ὧν εἶδες μέλανα ἱμάτια ἐνδεδυμένων, τοὺς ὤμους ἔξω
ἐχουσῶν καὶ τὰς τρίχας λελυμένας καὶ εὐμόρφων. ταύτας ἰδόντες ἐπεθύμη-
σαν αὐτῶν καὶ ἐνεδύσαντο τὴν δύναμιν αὐτῶν, τῶν δὲ παρθένων
ἀπεδύσαντο <τὸ ἔνδυμα καὶ> τὴν δύναμιν. οὗτοι οὖν ἀπεβλήθησαν
ἀπὸ τοῦ οἴκου τοῦ θεοῦ καὶ ἐκείναις παρεδόθησαν· οἱ δὲ μὴ
ἀπατηθέντες τῷ κάλλει τῶν γυναικῶν τούτων ἔμειναν ἐν τῷ οἴκῳ τοῦ θεοῦ. ἔχεις, φησί, τὴν ἐπίλυσιν
τῶν ἀποβεβλημένων.

Τί οὖν, φημί, κύριε, ἐὰν οὗτοι οἱ ἄνθρωποι, τοιοῦτοι ὄντες, μετανοήσωσι
καὶ ἀποβάλωσι τὰς ἐπιθυμίας τῶν γυναικῶν τούτων, καὶ ἐπανακάμψωσιν
ἐπὶ τὰς παρθένους καὶ ἐν τῇ δυνάμει αὐτῶν καὶ ἐν τοῖς ἔργοις αὐτῶν πορευ-
θῶσιν, οὐκ εἰσελεύσονται εἰς τὸν οἶκον τοῦ θεοῦ; Εἰσελεύσονται, φησίν,
ἐὰν τούτων τῶν γυναικῶν ἀποβάλωσι τὰ ἔργα, τῶν δὲ παρθένων ἀναλάβωσι
τὴν δύναμιν καὶ ἐν τοῖς ἔργοις αὐτῶν πορευθῶσι. διὰ τοῦτο γὰρ καὶ τῆς
οἰκοδομῆς ἀνοχὴ ἐγένετο, ἵνα, ἐὰν μετανοήσωσιν οὗτοι, ἀπέλθωσιν εἰς τὴν
οἰκοδομὴν τοῦ πύργου. ἐὰν δὲ μὴ μετανοήσωσι, τότε ἄλλοι εἰσελεύσονται,

καὶ οὗτοι εἰς τέλος ἐκβληθήσονται. ἐπὶ τούτοις πᾶσιν ηὐχαρίστησα τῷ κυ-
ρίῳ, ὅτι ἐσπλαγχνίσθη ἐπὶ πᾶσι τοῖς ἐπικαλουμένοις τῷ ὀνόματι αὐτοῦ
καὶ ἐξαπέστειλε τὸν ἄγγελον τῆς μετανοίας εἰς ἡμᾶς τοὺς ἁμαρτήσαντας
εἰς αὐτὸν καὶ ἀνεκαίνισεν ἡμῶν τὸ πνεῦμα καὶ ἤδη κατεφθαρμένων
ἡμῶν καὶ μὴ ἐχόντων ἐλπίδα τοῦ ζῆν ἀνενέωσε τὴν ζωὴν ἡμῶν. Νῦν, φημί, κύριε,
δήλωσόν μοι, διατί ὁ πύργος χαμαὶ οὐκ ᾠκοδόμηται, ἀλλ' ἐπὶ τὴν πέτραν
καὶ ἐπὶ τὴν πύλην. Ἔτι, φησίν, ἄφρων εἶ καὶ ἀσύνετος; Ἀνάγκην ἔχω,
φημί, κύριε, πάντα ἐπερωτᾶν σε, ὅτι οὐδ' ὅλως οὐδὲν δύναμαι νοῆσαι· τὰ γὰρ
πάντα μεγάλα καὶ ἔνδοξά ἐστι καὶ δυσνόητα τοῖς ἀνθρώποις. Ἄκουε, φησί·
τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ μέγα ἐστὶ καὶ ἀχώρητον, καὶ τὸν κόσμον ὅλον
βαστάζει. εἰ οὖν πᾶσα ἡ κτίσις διὰ τοῦ υἱοῦ τοῦ θεοῦ βαστάζεται, τί δοκεῖς
τοὺς κεκλημένους ὑπ' αὐτοῦ καὶ τὸ ὄνομα φοροῦντας τοῦ υἱοῦ τοῦ θεοῦ
καὶ πορευομένους ταῖς ἐντολαῖς αὐτοῦ; βλέπεις οὖν ποίους βαστάζει; τοὺς
ἐξ ὅλης καρδίας φοροῦντας τὸ ὄνομα αὐτοῦ. αὐτὸς οὖν θεμέλιος αὐτοῖς ἐγέ-
νετο καὶ ἡδέως αὐτοὺς βαστάζει, ὅτι οὐκ ἐπαισχύνονται τὸ ὄνομα αὐτοῦ
φορεῖν.

Δήλ[ωσόν μοι,] φημί, κύριε, τῶν παρθέ[νων τ]ὰ ὀνόματα <καὶ τῶν γυναι-
κῶν τῶν τὰ μέλανα ἱμάτια ἐνδεδυμένων. Ἄκουε, φησί, τῶν παρθένων τὰ
ὀνόματα> τῶν ἰσχυροτέρων, τῶν εἰς τὰς γωνίας σταθεισῶν. ἡ μὲν πρώτη
Πίστις, ἡ δὲ δευτέρα Ἐγκράτεια, ἡ δὲ τρίτη Δύναμις, ἡ δὲ τετάρτη Μακρο-
θυμία· αἱ δὲ ἕτεραι ἀνὰ μέσον τούτων σταθεῖσαι ταῦτα ἔχουσι τὰ ὀνόματα·
Ἁπλότης, Ἀκακία, Ἁγνεία, Ἱλαρότης, Ἀλήθεια, Σύνεσις, Ὁμόνοια, Ἀγά-

πη. ταῦτα τὰ ὀνόματα ὁ φορῶν καὶ τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ δυνήσεται
εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελθεῖν. ἄκουε, φησί, καὶ τὰ ὀνόματα τῶν
γυναικῶν τῶν τὰ ἱμάτια μέλανα ἐχουσῶν. καὶ ἐκ τούτων τέσσαρές εἰσι
δυνατώτεραι· ἡ πρώτη Ἀπιστία, ἡ δευτέρα Ἀκρασία, ἡ δὲ τρίτη Ἀπείθεια,
ἡ δὲ τετάρτη Ἀπάτη. αἱ δὲ ἀκόλουθοι αὐτῶν καλοῦνται Λύπη, Πονηρία,
Ἀσέλγεια, Ὀξυχολία, Ψεῦδος, Ἀφροσύνη, Καταλαλιά, Μῖσος. ταῦτα
τὰ ὀνόματα ὁ φορῶν τοῦ θεοῦ δοῦλος τὴν βασιλείαν μὲν ὄψεται τοῦ θεοῦ, εἰς
αὐτὴν δὲ οὐκ εἰσελεύσεται. Οἱ λίθοι δέ, φημί, κύριε, οἱ ἐκ τοῦ βυθοῦ ἡρ-
μοσμένοι εἰς τὴν οἰκοδομὴν τίνες εἰσίν; Οἱ μὲν πρῶτοι, φησίν, οἱ ι οἱ εἰς τὰ
θεμέλια τεθειμένοι, πρώτη γενεά· οἱ δὲ κε δευτέρα γενεὰ ἀνδρῶν δικαίων·
οἱ δὲ λε προφῆται τοῦ θεοῦ καὶ διάκονοι αὐτοῦ· οἱ δὲ μ ἀπόστολοι καὶ
διδάσκαλοι τοῦ κηρύγματος τοῦ υἱοῦ τοῦ θεοῦ. Διατί οὖν, φημί, κύριε,
αἱ παρθένοι καὶ τούτους τοὺς λίθους ἐπέδωκαν εἰς τὴν οἰκοδομὴν τοῦ πύρ-
γου, διενέγκασαι διὰ τῆς πύλης; Οὗτοι γάρ, φησί, πρῶτοι ταῦτα τὰ πνεύ-
ματα ἐφόρεσαν, καὶ ὅλως ἀπ' ἀλλήλων οὐκ ἀπέστησαν, οὔτε τὰ πνεύματα
ἀπὸ τῶν ἀνθρώπων οὔτε οἱ ἄνθρωποι ἀπὸ τῶν πνευμάτων, ἀλλὰ παρέμει-
ναν τὰ πνεύματα αὐτοῖς μέχρι τῆς κοιμήσεως αὐτῶν. καὶ εἰ μὴ ταῦτα τὰ
πνεύματα μετ' αὐτῶν ἐσχήκεισαν, ο[ὐκ ἂν] εὔχρηστοι γεγόνεισαν τῇ οἰ-
κοδομῇ τοῦ πύργου τούτου.

Ἔτι μοι, φημί, κύριε, δήλωσον. Τί, φησίν, ἐπιζητεῖς; Διατί, φημί, κύριε,
οἱ λίθοι ἐκ τοῦ βυθοῦ ἀνέβησαν καὶ εἰς τὴν οἰκοδομὴν <τοῦ πύργου> ἐτέθη-
σαν, πεφορηκότες τὰ πνεύματα ταῦτα; Ἀνάγκην, φησίν, εἶχον δι' ὕδατος

ἀναβῆναι, ἵνα ζωοποιηθῶσιν· οὐκ ἠδύναντο γὰρ ἄλλως εἰσελθεῖν εἰς τὴν
βασιλείαν τοῦ θεοῦ, εἰ μὴ τὴν νέκρωσιν ἀπέθεντο τῆς ζωῆς αὐτῶν <τῆς
προτέρας>. ἔλαβον οὖν καὶ οὗτοι οἱ κεκοιμημένοι τὴν σφραγῖδα τοῦ υἱοῦ
τοῦ θεοῦ <καὶ εἰσῆλθον εἰς τὴν βασιλείαν τοῦ θεοῦ·> πρὶν γάρ, φησί, φορέσαι
τὸν ἄνθρωπον τὸ ὄνομα <τοῦ υἱοῦ> τοῦ θεοῦ, νεκρός ἐστιν· ὅταν δὲ λάβῃ
τὴν σφραγῖδα, ἀποτίθεται τὴν νέκρωσιν καὶ ἀναλαμβάνει τὴν ζωήν. ἡ
σφραγὶς οὖν τὸ ὕδωρ ἐστίν· εἰς τὸ ὕδωρ οὖν καταβαίνουσι νεκροὶ καὶ
ἀναβαίνουσι ζῶντες. κἀκείνοις οὖν ἐκηρύχθη ἡ σφραγὶς αὕτη καὶ ἐχρήσαντο
αὐτῇ, ἵνα εἰσέλθωσιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ. Διατί, φημί, κύριε, καὶ
οἱ μ λίθοι μετ' αὐτῶν ἀνέβησαν ἐκ τοῦ βυθοῦ, ἤδη ἐσχηκότες τὴν σφραγῖδα;
Ὅτι, φησίν, οὗτοι οἱ ἀπόστολοι καὶ οἱ διδάσκαλοι οἱ κηρύξαντες τὸ ὄνομα τοῦ
υἱοῦ τοῦ θεοῦ, κοιμηθέντες ἐν δυνάμει καὶ πίστει τοῦ υἱοῦ τοῦ θεοῦ ἐκήρυξαν
καὶ τοῖς προκεκοιμημένοις καὶ αὐτοὶ ἔδωκαν αὐτοῖς τὴν σφραγῖδα τοῦ
κηρύγματος. κατέβησαν οὖν μετ' αὐτῶν εἰς τὸ ὕδωρ καὶ πάλιν ἀνέβησαν·
ἀλλ' οὗτοι μὲν ζῶντες κατέβησαν καὶ ζῶντες ἀνέβησαν· ἐκεῖνοι δὲ οἱ προκε-
κοιμημένοι νεκροὶ κατέβησαν, ζῶντες δὲ ἀνέβησαν. διὰ τούτων οὖν ἐζωο-
ποιήθησαν καὶ ἐπέγνωσαν τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ· διὰ τοῦτο καὶ συναν-
έβησαν μετ' αὐτῶν, καὶ συνηρμόσθησαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου, καὶ
ἀλατόμητοι συνῳκοδομήθησαν· ἐν δικαιοσύνῃ γὰρ ἐκοιμήθησαν καὶ ἐν με-
γάλῃ ἁγνείᾳ· μόνον δὲ τὴν σφραγῖδα ταύτην οὐκ εἶχον. ἔχεις οὖν καὶ τὴν
τούτων ἐπίλυσιν. Ἔχω, φημί, κύριε.

Νῦν οὖν, κύριε, περὶ τῶν ὀρέων μοι δήλωσον· διατί ἄλλαι καὶ ἄλλαι εἰσὶν

αἱ ἰδέαι καὶ ποικίλαι; Ἄκουε, φησί. τὰ ὄρη ταῦτα δώδεκά εἰσι φυλαὶ αἱ κατοικοῦσαι ὅλον τὸν κόσμον. ἐκηρύχθη οὖν εἰς ταύτας ὁ υἱὸς τοῦ θεοῦ διὰ
τῶν ἀποστόλων. Διατί δὲ ποικίλα καὶ ἄλλη καὶ ἄλλη ἰδέα ἐστὶ τὰ ὄρη, δήλω-
σόν μοι, κύριε. Ἄκουε, φησίν. αἱ δώδεκα φυλαὶ αὗται αἱ κατοικοῦσαι ὅλον
τὸν κόσμον δώδεκα ἔθνη εἰσί· ποικίλα δέ εἰσι τῇ φρονήσει καὶ τῷ νο·· οἷα
οὖν εἶδες τὰ ὄρη ποικίλα, τοιαῦταί εἰσι καὶ τούτων αἱ ποικιλίαι τοῦ νοὸς τῶν
ἐθνῶν καὶ ἡ φρόνησις. δηλώσω δέ σοι καὶ ἑνὸς ἑκάστου τὴν πρᾶξιν. Πρῶ-
τον, φημί, κύριε, τοῦτο δήλωσον, διατί οὕτω ποικίλα ὄντα τὰ ὄρη, εἰς τὴν
οἰκοδομὴν ὅταν ἐτέθησαν οἱ λίθοι αὐτῶν, μιᾷ χρόᾳ ἐγένοντο λαμπροί,
ὡς καὶ οἱ ἐκ τοῦ βυθοῦ ἀναβεβηκότες λίθοι; Ὅτι, φησί, πάντα τὰ ἔθνη
τὰ ὑπὸ τὸν οὐρανὸν κατοικοῦντα, ἀκούσαντα καὶ πιστεύσαντα ἐπὶ τῷ ὀνό-
ματι ἐκλήθησαν <τοῦ υἱοῦ> τοῦ θεοῦ. λαβόντες οὖν τὴν σφραγῖδα μίαν φρό-
νησιν ἔσχον καὶ ἕνα νοῦν, καὶ μία πίστις αὐτῶν ἐγένετο καὶ μία ἀγάπη,
καὶ τὰ πνεύματα τῶν παρθένων μετὰ τοῦ ὀνόματος ἐφόρεσαν· διὰ τοῦτο ἡ
οἰκοδομὴ τοῦ πύργου μιᾷ χρόᾳ ἐγένετο λαμπρὰ ὡς ὁ ἥλιος. μετὰ δὲ
τὸ εἰσελθεῖν αὐτοὺς ἐπὶ τὸ αὐτὸ καὶ γενέσθαι ἓν σῶμα, τινὲς ἐξ αὐτῶν
ἐμίαναν ἑαυτοὺς καὶ ἐξεβλήθησαν ἐκ τοῦ γένους τῶν δικαίων, καὶ πάλιν
ἐγένοντο, οἷοι πρότεροι ἦσαν, μᾶλλον δὲ καὶ χείρονες.

Πῶς, φημί, κύριε, ἐγένοντο χείρονες, θεὸν ἐπεγνωκότες; Ὁ μὴ γινώσ-
κων, φησί, θεὸν καὶ πονηρευόμενος ἔχει κόλασίν τινα τῆς πονηρίας αὐτοῦ, ὁ
δὲ θεὸν ἐπιγνοὺς οὐκέτι ὀφείλει πονηρεύεσθαι, ἀλλ' ἀγαθοποιεῖν. ἐὰν οὖν
ὁ ὀφείλων ἀγαθοποιεῖν πονηρεύηται, οὐ δοκεῖ πλείονα πονηρίαν
ποιεῖν παρὰ τὸν μὴ γινώσκοντα τὸν θεόν; διὰ τοῦτο οἱ μὴ ἐγνωκότες
θεὸν καὶ πονηρευόμενοι κεκριμένοι εἰσὶν εἰς θάνατον, οἱ δὲ τὸν θεὸν
ἐγνωκότες καὶ τὰ μεγαλεῖα αὐτοῦ ἑωρακότες καὶ πονηρευόμενοι

δισσῶς κολασθήσονται καὶ ἀποθανοῦνται εἰς τὸν αἰῶνα. οὕτως οὖν καθαρισθήσεται ἡ ἐκκλησία τοῦ θεοῦ, ὡς εἶδες ἐκ τοῦ πύργου τοὺς λίθους ἠρμένους καὶ παραδεδομένους τοῖς πνεύμασι τοῖς πονηροῖς καὶ ἐκεῖθεν ἐκβληθέντας· καὶ ἔσται ἓν σῶμα τῶν κεκαθαρμένων. ὥσπερ καὶ ὁ πύργος ἐγένετο ὡς ἐξ ἑνὸς λίθου γεγονὼς μετὰ τὸ καθαρισθῆναι αὐτόν, οὕτως ἔσται καὶ ἡ ἐκκλησία τοῦ θεοῦ μετὰ τὸ καθαρισθῆναι αὐτὴν καὶ ἀποβληθῆναι τοὺς πονηροὺς καὶ ὑποκριτὰς καὶ βλασφήμους καὶ διψύχους καὶ πονηρευομένους ποικίλαις πονηρίαις. μετὰ τὸ τούτους ἀποβληθῆναι ἔσται ἡ ἐκκλησία τοῦ θεοῦ ἓν σῶμα, μία φρόνησις, εἷς νοῦς, μία πίστις, μία ἀγάπη· καὶ τότε ὁ υἱὸς τοῦ θεοῦ ἀγαλλιάσεται καὶ εὐφρανθήσεται ἐν αὐτοῖς ἀπειληφὼς τὸν λαὸν αὐτοῦ καθαρόν. Μεγάλως, φημί, κύριε, καὶ ἐνδόξως πάντα ἔχει. Ἔτι, φημί, κύριε, τῶν ὀρέων ἑνὸς ἑκάστου δήλωσόν μοι τὴν δύναμιν καὶ τὰς πράξεις, ἵνα πᾶσα ψυχὴ πεποιθυῖα ἐπὶ τὸν κύριον ἀκούσασα δοξάσῃ τὸ μέγα καὶ θαυμαστὸν καὶ ἔνδοξον ὄνομα αὐτοῦ. Ἄκουε, φησί, τῶν ὀρέων τὴν ποικιλίαν καὶ τῶν δώδεκα ἐθνῶν.

Ἐκ τοῦ πρώτου ὄρους τοῦ μέλανος οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· ἀπο-
στάται καὶ βλάσφημοι εἰς τὸν κύριον καὶ προδόται τῶν δούλων τοῦ θεοῦ.
τούτοις δὲ μετάνοια οὐκ ἔστι, θάνατος δὲ ἔστι, καὶ διὰ τοῦτο καὶ μέλανές
εἰσι· καὶ γὰρ τὸ γένος αὐτῶν ἄνομόν ἐστιν. ἐκ δὲ τοῦ δευτέρου ὄρους τοῦ
ψιλοῦ οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· ὑποκριταὶ καὶ διδάσκαλοι πονηρίας.
καὶ οὗτοι οὖν τοῖς προτέροις ὅμοιοί εἰσι, μὴ ἔχοντες καρπὸν δικαιοσύνης·
ὡς γὰρ τὸ ὄρος αὐτῶν ἄκαρπον, οὕτω καὶ οἱ ἄνθρωποι οἱ τοιοῦτοι ὄνομα μὲν
ἔχουσιν, ἀπὸ δὲ τῆς πίστεως κενοί εἰσι καὶ οὐδεὶς ἐν αὐτοῖς καρπὸς ἀληθείας.
τούτοις οὖν μετάνοια κεῖται, ἐὰν ταχὺ μετανοήσωσιν· ἐὰν δὲ βραδύνωσι,
μετὰ τῶν προτέρων ἔσται ὁ θάνατος αὐτῶν. Διατί, φημί, κύριε, τούτοις
μετάνοιά ἐστι, τοῖς δὲ πρώτοις οὐκ ἔστι; παρά τι γὰρ αἱ αὐταὶ αἱ πράξεις
αὐτῶν εἰσι. Διὰ τοῦτο, φησί, τούτοις μετάνοια κεῖται, ὅτι οὐκ ἐβλασφή-

μησαν τὸν κύριον αὐτῶν οὐδὲ ἐγένοντο προδόται τῶν δούλων τοῦ θεοῦ·
διὰ δὲ τὴν ἐπιθυμίαν τοῦ λήμματος ὑπεκρίθησαν καὶ ἐδίδαξεν ἕκαστος
<κατὰ> τὰς ἐπιθυμίας τῶν ἀνθρώπων τῶν ἁμαρτανόντων. ἀλλὰ τίσουσι
δίκην τινά· κεῖται δὲ αὐτοῖς μετάνοια διὰ τὸ μὴ γενέσθαι αὐτοὺς βλασφή-
μους μηδὲ προδότας.

Ἐκ δὲ τοῦ ὅρους τοῦ τρίτου τοῦ ἔχοντος ἀκάνθας καὶ τριβόλους οἱ πιστεύ-
σαντες τοιοῦτοί εἰσιν· ἐξ αὐτῶν οἱ μὲν πλούσιοι, οἱ δὲ πραγματείαις πολ-
λαῖς ἐμπεφυρμένοι. οἱ μὲν τρίβολοί εἰσιν οἱ πλούσιοι, αἱ δὲ ἄκανθαι οἱ ἐν ταῖς
πραγματείαις ταῖς ποικίλαις ἐμπεφυρμένοι. οὗτοι <οὖν, οἱ ἐν πολλαῖς καὶ
ποικίλαις πραγματείαις ἐμπεφυρμένοι, οὐ> κολλῶνται τοῖς δούλοις τοῦ θεοῦ,
ἀλλ' ἀποπλανῶνται πνιγόμενοι ὑπὸ τῶν πράξεων αὐτῶν· οἱ δὲ πλούσιοι
δυσκόλως. κολλῶνται τοῖς δούλοις τοῦ θεοῦ, φοβούμενοι μή τι αἰτισθῶσιν
ὑπ' αὐτῶν· οἱ τοιοῦτοι οὖν δυσκόλως εἰσελεύσονται εἰς τὴν βασιλείαν
τοῦ θεοῦ. ὥσπερ γὰρ ἐν τριβόλοις γυμνοῖς ποσὶ περιπατεῖν δύσκολόν ἐστιν,
οὕτω καὶ τοῖς τοιούτοις δύσκολόν ἐστιν εἰς τὴν βασιλείαν τοῦ θεοῦ εἰσελ-
θεῖν. ἀλλὰ τούτοις πᾶσι μετάνοιά ἐστι, ταχινὴ δέ, ἵν' ὃ τοῖς προτέροις
χρόνοις οὐκ εἰργάσαντο, νῦν ἀναδράμωσιν ταῖς ἡμέραις καὶ ἀγαθόν τι ποιή-
σωσιν. <ἐὰν οὖν μετανοήσωσι καὶ ἀγαθόν τι ποιήσωσι,> ζήσονται τῷ θεῷ·
ἐὰν δὲ ἐπιμείνωσι ταῖς πράξεσιν αὐτῶν, παραδοθήσονται ταῖς γυναιξὶν
ἐκείναις, αἵτινες αὐτοὺς θανατώσουσιν.

Ἐκ δὲ τοῦ τετάρτου ὅρους τοῦ ἔχοντος βοτάνας πολλάς, τὰ μὲν ἐπάνω
τῶν βοτανῶν χλωρά, τὰ δὲ πρὸς ταῖς ·ίζαις ξηρά, τινὲς δὲ καὶ ἀπὸ τοῦ
ἡλίου ξηραινόμεναι, οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· οἱ μὲν δίψυχοι, οἱ δὲ

τὸν κύριον ἔχοντες ἐπὶ τὰ χείλη, ἐπὶ τὴν καρδίαν δὲ μὴ ἔχοντες. διὰ τοῦτο
τὰ θεμέλια αὐτῶν ξηρά ἐστι καὶ δύναμιν μὴ ἔχοντα, καὶ τὰ ·»ματα αὐτῶν
μόνα ζῶσι, τὰ δὲ ἔργα αὐτῶν νεκρά ἐστιν. οἱ τοιοῦτοι <οὔτε ζῶσιν οὔτε>
τεθνήκασιν. ὅμοιοι οὖν εἰσι τοῖς διψύχοις· καὶ γὰρ οἱ δίψυχοι οὔτε χλωροί
εἰσιν οὔτε ξηροί· οὔτε γὰρ ζῶσιν οὔτε τεθνήκασιν. ὥσπερ γὰρ αὗται αἱ
βοτάναι ἥλιον ἰδοῦσαι ἐξηράνθησαν, οὕτω καὶ οἱ δίψυχοι, ὅταν θλῖψιν ἀκού-
σωσι, διὰ τὴν δειλίαν αὐτῶν εἰδωλολατροῦσι καὶ τὸ ὄνομα ἐπαισχύνονται τοῦ
κυρίου αὐτῶν. οἱ τοιοῦτοι οὖν <οὔτε ζῶσιν> οὔτε τεθνήκασιν. ἀλλὰ καὶ
οὗτοι ἐὰν ταχὺ μετανοήσωσιν, <δυνήσονται ζῆσαι· ἐὰν δὲ μὴ μετανοήσω-
σιν,> ἤδη παραδεδομένοι εἰσὶ ταῖς γυναιξὶ ταῖς ἀποφερομέναις τὴν ζωὴν
αὐτῶν.

Ἐκ δὲ τοῦ ὅρους τοῦ πέμπτου τοῦ ἔχοντος βοτάνας χλωρὰς καὶ τραχέος
ὄντος οἱ πιστεύσαντες τοιοῦτοί εἰσι· πιστοὶ μέν, δυσμαθεῖς δὲ καὶ αὐθάδεις
καὶ ἑαυτοῖς ἀρέσκοντες, θέλοντες πάντα γινώσκειν, καὶ οὐδὲν ὅλως γινώσ-
κουσι. διὰ τὴν αὐθάδειαν αὐτῶν ταύτην ἀπέστη ἀπ' αὐτῶν ἡ σύνεσις, καὶ
εἰσῆλθεν εἰς αὐτοὺς ἀφροσύνη μωρά. ἐπαινοῦσι δὲ ἑαυτοὺς ὡς σύνεσιν ἔχον-
τας καὶ θέλουσιν ἐθελοδιδάσκαλοι εἶναι, ἄφρονες ὄντες. διὰ ταύτην οὖν
τὴν ὑψηλοφροσύνην πολλοὶ ἐκενώθησαν ὑψοῦντες ἑαυτούς· μέγα γὰρ δαι-
μόν[ιόν ἐστ]ιν [ἡ αὐθάδει]α [καὶ ἡ κενὴ πεποίθησις·] ἐκ τούτων οὖν πολλοὶ
ἀπεβλήθησαν, τινὲς δὲ μετενόησαν καὶ ἐπίστευσαν καὶ ὑπέταξαν ἑαυτ[οὺς
τοῖς] ἔχουσι σύν[εσιν, γνόντες τὴν] ἑαυτῶν ἀφροσύνην. καὶ τοῖς λοιποῖς

δὲ τοῖς τοιούτοις κεῖται μετάνοια· οὐκ ἐγένοντο γὰρ πονηροί, μᾶλλον δὲ
[μωροὶ καὶ ἀσύνετοι. οὗτοι οὖν ἐὰν] μετανοήσωσι, ζήσονται τῷ θεῷ· ἐὰν
δὲ μὴ μετανοήσωσι, κατοικήσουσι μετὰ τῶν γυναικῶν τῶν πονηρευομένων
εἰς αὐτούς.

Οἱ δὲ ἐκ τ[οῦ ὅρους τοῦ] ἕκτου τοῦ ἔχοντος σχισμὰς μεγάλας καὶ μικρὰς
καὶ ἐν ταῖς σχισμαῖς βοτάνας μεμαραμμένας πιστεύσαντες τοιοῦτοί εἰσιν.
οἱ μὲν τὰς σχισμὰς τὰς μικρὰς ἔχοντες, οὗτοί εἰσιν οἱ κατ' ἀλλήλων ἔχοντες,
καὶ ἀπὸ τῶν καταλαλιῶν ἑαυτῶν μεμαραμμένοι εἰσὶν ἐν τῇ πίστει· ἀλλὰ
μετενό[ησαν] ἐκ τούτων πολλοί. καὶ οἱ λοιποὶ δὲ μετανοήσουσιν, ὅταν
ἀκούσωσί μου τὰς ἐντολάς· μικραὶ γὰρ αὐτῶν εἰσιν αἱ καταλαλιαί, καὶ ταχὺ
μετανοήσουσιν. οἱ δὲ μεγάλας ἔχοντες σχισμάς, οὗτοι παράμονοί εἰσι
ταῖς καταλαλιαῖς αὐτῶν καὶ μνησίκακοι γίνονται μηνιῶντες ἀλλή[λοις·]
οὗτοι οὖν ἀπὸ τοῦ πύργου ἀπερρίφησαν καὶ ἀπεδοκιμάσθησαν τῆς οἰκοδομῆς
αὐτοῦ. οἱ τοιοῦτοι οὖν δυσκόλως ζήσονται. εἰ ὁ θεὸς καὶ ὁ κύριος ἡμῶν
ὁ πάντων κυριεύων καὶ ἔχων πάσης τῆς κτίσεως αὐτοῦ τὴν ἐξουσίαν οὐ
μνησικακεῖ τοῖς ἐξομολογουμένοις τὰς ἁμαρτίας αὐ[τῶν], ἀλλ' ἵλεως
γίνεται, ἄνθρωπος φθαρτὸς ὢν καὶ πλήρης ἁμαρτιῶν ἀνθρώπῳ μνη-
σικακεῖ ὡς δυνάμενος ἀπολέσαι ἢ σῶσαι αὐτόν; λέγω δ[ὲ ὑ]μ[ῖν, ὁ] ἄγγε-
λος τῆς μετανοίας· ὅσοι ταύτην ἔχετε τὴν αἵρεσιν, ἀπόθεσθε αὐτὴν καὶ
μετανοήσατε, καὶ ὁ κύριος ἰάσεται ὑμῶν τὰ πρότερ[α ἁμαρτήματα,] ἐὰν κα-
θαρίσητε ἑαυτοὺς ἀπὸ τούτου τοῦ δαιμονίου· εἰ δὲ μή, παραδοθήσεσθε αὐτῷ
εἰς θάνατον.

Ἐκ δὲ τοῦ ἑβδόμο[υ ὅρους, ἐν ᾧ βοτάναι] χλωραὶ [καὶ] ἱλαραί, καὶ ὅλον

τὸ ὄρος εὐθηνοῦν, καὶ πᾶν γένος κτηνῶν καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ ἐνέ-
μοντο τὰς βοτ[άνας ἐν τούτῳ τῷ] ὄρει, καὶ αἱ βοτάναι, ἃς ἐνέμοντο, μᾶλλον
εὐθαλεῖς ἐγίνοντο, οἱ πιστεύσαντες τοιοῦτοί εἰσι· πάντοτε ἁπλοῖ [καὶ
ἄ]κακοι [καὶ μακάριοι ἐ]γίνοντο, μηδὲν κατ' ἀλλήλων ἔχοντες, ἀλλὰ πάντοτε
ἀγαλλιώμενοι ἐπὶ τοῖς δούλοις τοῦ θεοῦ καὶ ἐνδεδυμένοι [τὸ] πνεῦμα [τὸ
ἅγιον τούτων τῶν πα]ρθένων καὶ πάντοτε σπλάγχνον ἔχοντες ἐπὶ πάντα
ἄνθρωπον, καὶ ἐκ τῶν κόπων αὐτῶν παντὶ ἀνθρώπῳ ἐχορήγησαν ἀνονει-
δίστως καὶ ἀδιστάκτως. [ὁ οὖν] κύριος ἰδὼν τὴν ἁπλότητα αὐτῶν καὶ
πᾶσαν νηπιότητα ἐπλήθυνεν αὐτοὺς ἐν τοῖς κόποις τῶν χειρῶν αὐτῶν καὶ
ἐχαρίτωσεν αὐτοὺς ἐν πάσῃ πράξει αὐτῶν. λέγω δὲ ὑμῖν τοῖς τοιούτοις
οὖσιν ἐγὼ ὁ ἄγγελος τῆς μετανοίας· διαμείνατε τοιοῦτοι, καὶ οὐκ ἐξαλειφθή-
σεται [τὸ σ]πέρμα ὑμῶν ἕως αἰῶνος· ἐδοκίμασε γὰρ ὑμᾶς ὁ κύριος καὶ
ἐνέγραψεν ὑμᾶς εἰς τὸν ἀριθμὸν τὸν ἡμέτερον, καὶ ὅλον τὸ σπέρμα ὑμῶν
κατοικήσει μετὰ τοῦ υἱοῦ τοῦ θεοῦ· ἐκ γὰρ τοῦ πνεύματος αὐτοῦ ἐλάβετε.

Ἐκ δὲ τοῦ ὄρους τοῦ ὀγδόου, οὗ ἦσαν αἱ πολλαὶ πηγαὶ καὶ πᾶσα ἡ κτίσις
τοῦ κυρίου ἐποτίζετο ἐκ τῶν πηγῶν, οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· ἀπό-
στολοι καὶ διδάσκαλοι οἱ κηρύξαντες εἰς ὅλον τὸν κόσμον καὶ οἱ διδάξαντες
σεμνῶς καὶ ἁγνῶς τὸν λόγον τοῦ κυρίου καὶ μηδὲν ὅλως νοσφισάμενοι
εἰς ἐπιθυμίαν πονηράν, ἀλλὰ πάντοτε ἐν δικαιοσύνῃ καὶ ἀληθείᾳ πορευθέν-
τες, καθὼς καὶ παρέλαβον τὸ πνεῦμα τὸ ἅγιον. τῶν τοιούτων οὖν ἡ πάροδος
μετὰ τῶν ἀγγέλων ἐστίν.

Ἐκ δὲ τοῦ ὄρους τοῦ ἐνάτου τοῦ ἐρημώδους, τοῦ [τὰ] ἑρπετὰ καὶ θηρία

ἐν αὐτῷ ἔχοντος τὰ διαφθείροντα τοὺς ἀνθρώπους, οἱ πιστεύσαντες τοιοῦτοί
εἰσιν· οἱ μὲν τοὺς σπίλους ἔχοντες διάκονοί εἰσι κακῶς διακονήσαντες καὶ
διαρπάσαντες χηρῶν καὶ ὀρφανῶν τὴν ζωὴν καὶ ἑαυτοῖς περιποιησάμενοι
ἐκ τῆς διακονίας ἧς ἔλαβον διακονῆσαι· ἐὰν οὖν ἐπιμείνωσι τῇ αὐτῇ ἐπιθυ-
μίᾳ, ἀπέθανον καὶ οὐδεμία αὐτοῖς ἐλπὶς ζωῆς· ἐὰν δὲ ἐπιστρέψωσι καὶ ἁγνῶς
τελειώσωσι τὴν διακονίαν αὐτῶν, δυνήσονται ζῆσαι. οἱ δὲ ἐψωριακότες,
οὗτοι οἱ ἀρνησάμενοί εἰσι καὶ μὴ ἐπιστρέψαντες ἐπὶ τὸν κύριον ἑαυτῶν, ἀλλὰ
χερσωθέντες καὶ γενόμενοι ἐρημώδεις, μὴ κολλώμενοι τοῖς δούλοις τοῦ
θεοῦ, ἀλλὰ μονάζοντες ἀπολλύουσι τὰς ἑαυτῶν ψυχάς. ὡς γὰρ ἄμπελος
ἐν φραγμῷ τινι καταλειφθεῖσα ἀμελείας τυγχάνουσα καταφθείρεται καὶ
ὑπὸ τῶν βοτανῶν ἐρημοῦται καὶ τῷ χρόνῳ ἀγρία γίνεται, καὶ οὐκέτι εὔχρη-
στός ἐστι τῷ δεσπότῃ ἑαυτῆς, οὕτω καὶ οἱ τοιοῦτοι ἄνθρωποι ἑαυτοὺς
ἀπεγνώκασι καὶ γίνονται ἄχρηστοι τῷ κυρίῳ ἑαυτῶν ἀγριωθέντες. τούτοις
οὖν μετάνοια γίνεται, ἐὰν μὴ ἐκ καρδίας εὑρεθῶσιν ἠρνημένοι· ἐὰν δὲ ἐκ
καρδίας εὑρεθῇ ἠρνημένος τις, οὐκ οἶδα, εἰ δύναται ζῆσαι. καὶ τοῦτο οὐκ
εἰς ταύτας τὰς ἡμέρας λέγω, ἵνα τις ἀρνησάμενος μετάνοιαν λάβῃ· ἀδύνατον
γάρ ἐστι σωθῆναι τὸν μέλλοντα νῦν ἀρνεῖσθαι τὸν κύριον ἑαυτοῦ· ἀλλ'
ἐκείνοις τοῖς πάλαι ἠρνημένοις δοκεῖ κεῖσθαι μετάνοια. εἴ τις οὖν μέλλει με-
τανοεῖν, ταχινὸς γενέσθω πρὶν τὸν πύργον ἀποτελεσθῆναι· εἰ δὲ μή, ὑπὸ τῶν
γυναικῶν καταφθαρήσεται εἰς θάνατον. καὶ οἱ κολοβοί, οὗτοι δόλιοί εἰσι
καὶ κατάλαλοι· καὶ τὰ θηρία, ἃ εἶδες εἰς τὸ ὄρος, οὗτοί εἰσιν. ὥσπερ γὰρ

τὰ θηρία διαφθείρει τῷ ἑαυτῶν ἰῷ τὸν ἄνθρωπον καὶ ἀπολλύει, οὕτω καὶ
τῶν τοιούτων ἀνθρώπων τὰ ·»ματα διαφθείρει τὸν ἄνθρωπον καὶ ἀπολ-
λύει. οὗτοι οὖν κολοβοί εἰσιν ἀπὸ τῆς πίστεως αὐτῶν διὰ τὴν πρᾶξιν
ἣν ἔχουσιν ἐν ἑαυτοῖς· τινὲς δὲ μετενόησαν καὶ ἐσώθησαν. καὶ οἱ λοιποὶ οἱ
τοιοῦτοι ὄντες δύνανται σωθῆναι, ἐὰν μετανοήσωσιν· ἐὰν δὲ μὴ μετανοή-
σωσιν, ἀπὸ τῶν γυναικῶν ἐκείνων, ὧν τὴν δύναμιν ἔχουσιν, ἀποθανοῦνται.

Ἐκ δὲ τοῦ ὅρους τοῦ δεκάτου, οὗ ἦσαν δένδρα σκεπάζοντα πρόβατά τινα,
οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· ἐπίσκοποι καὶ φιλόξενοι, οἵτινες ἡδέως
εἰς τοὺς οἴκους ἑαυτῶν πάντοτε ὑπεδέξαντο τοὺς δούλους τοῦ θεοῦ ἄτερ ὑπο-
κρίσεως· οἱ δὲ ἐπίσκοποι πάντοτε τοὺς ὑστερημένους καὶ τὰς χήρας τῇ δια-
κονίᾳ ἑαυτῶν ἀδιαλείπτως ἐσκέπασαν καὶ ἁγνῶς ἀνεστράφησαν πάντοτε.
οὗτοι οὖν πάντες σκεπασθήσονται ὑπὸ τοῦ κυρίου διαπαντός. οἱ οὖν ταῦτα
ἐργασάμενοι ἔνδοξοί εἰσι παρὰ τῷ θεῷ καὶ ἤδη ὁ τόπος αὐτῶν μετὰ τῶν
ἀγγέλων ἐστίν, ἐὰν ἐπιμείνωσιν ἕως τέλους λειτουργοῦντες τῷ κυρίῳ.

Ἐκ δὲ τοῦ ὅρους τοῦ ἑνδεκάτου, οὗ ἦσαν δένδρα καρπῶν πλήρη, ἄλλοις
καὶ ἄλλοις καρποῖς κεκοσμημένα, οἱ πιστεύσαντες τοιοῦτοί εἰσιν· οἱ
παθόντες ὑπὲρ τοῦ ὀνόματος τοῦ υἱοῦ τοῦ θεοῦ, οἳ καὶ προθύμως ἔπαθον
ἐξ ὅλης τῆς καρδίας καὶ παρέδωκαν τὰς ψυχὰς αὐτῶν. Διατί οὖν, φημί,
κύριε, πάντα μὲν τὰ δένδρα καρποὺς ἔχει, τινὲς δὲ ἐξ αὐτῶν καρποὶ
εὐειδέστεροί εἰσιν; Ἄκουε, φησίν· ὅσοι ποτὲ ἔπαθον διὰ τὸ ὄνομα,
ἔνδοξοί εἰσι παρὰ τῷ θεῷ, καὶ πάντων τούτων αἱ ἁμαρτίαι
ἀφῃρέθησαν, ὅτι ἔπαθον διὰ τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ. διατί δὲ οἱ καρποὶ αὐτῶν ποικίλοι εἰσίν, τινὲς δὲ
ὑπερέχοντες, ἄκουε. ὅσοι, φησίν, ἐπ' ἐξουσίαν ἀχθέντες ἐξητάσθησαν καὶ

οὐκ ἠρνήσαντο, ἀλλ' ἔπαθον προθύμως, οὗτοι μᾶλλον ἐνδοξότεροί εἰσι
παρὰ τῷ κυρίῳ· τούτων ὁ καρπός ἐστιν ὁ ὑπερέχων. ὅσοι δὲ δειλοὶ καὶ ἐν
δισταγμῷ ἐγένοντο καὶ ἐλογίσαντο ἐν ταῖς καρδίαις αὐτῶν, πότερον ἀρνή-
σονται ἢ ὁμολογήσουσι, καὶ ἔπαθον, τούτων οἱ καρποὶ ἐλάττους εἰσίν, ὅτι
ἀνέβη ἐπὶ τὴν καρδίαν αὐτῶν ἡ βουλὴ αὕτη· πονηρὰ γὰρ ἡ βουλὴ αὕτη,
ἵνα δοῦλος κύριον ἴδιον ἀρνήσηται. βλέπετε οὖν ὑμεῖς οἱ ταῦτα βουλευό-
μενοι, μήποτε ἡ βουλὴ αὕτη διαμείνῃ ἐν ταῖς καρδίαις ὑμῶν καὶ ἀποθάνητε
τῷ θεῷ. ὑμεῖς δὲ οἱ πάσχοντες ἕνεκεν τοῦ ὀνόματος δοξ[άζειν] ὀφείλετε τὸν
θεόν, ὅτι ἀξίους ὑμᾶς ἡγήσατο ὁ θεός, ἵνα τοῦτο τὸ ὄνομα βαστάζητε καὶ
πᾶσαι ἡμῶν αἱ ἁμαρτίαι ἰαθῶσιν. [οὐκοῦν μακα]ρίζετε ἑαυτούς· ἀλλὰ
δοκεῖτε ἔργον μέγα πεποιηκέναι, ἐάν τις ὑμῶν διὰ τὸν θεὸν πάθῃ. ζωὴν ὑμῖν
ὁ κύριος χαρίζεται, καὶ οὐ νοεῖτε· αἱ γὰρ ἁμαρτίαι ὑμῶν κατεβάρησαν, καὶ
εἰ μὴ πεπόνθατε ἕνεκεν τοῦ ὀνόματος κυρίου, διὰ τὰς ἁμαρτίας ὑμῶν τεθνή-
κειτε [ἂν] τῷ θεῷ. ταῦτα ὑμῖν λέγω τοῖς διστάζουσι περὶ ἀρνήσεως
ἢ ὁμολογήσεως· ὁμολογεῖτε ὅτι κύριον ἔχετε, μήποτε ἀρνούμενοι [πα]ρα-
δοθ[»σησθε] εἰς δεσμωτήριον. εἰ τὰ ἔθνη τοὺς δούλους αὐτῶν κολάζουσιν,
ἐάν τις ἀρνήσηται τὸν κύριον ἑαυτοῦ, τί δοκεῖτε ποιήσει ὁ κύριος ὑμῖν, ὃς
[ἔχει] πάντων τὴν ἐξουσίαν; ἄρατε τὰς βουλὰς ταύτας ἀπὸ τῶν καρδιῶν
ὑμῶν, ἵνα διαπαντὸς ζήσητε τῷ θεῷ.

Ἐκ δὲ τοῦ ὄρους τοῦ δωδεκάτου τοῦ λευκοῦ οἱ πιστεύσαντες τοιοῦτοί
εἰσιν· ὡς νήπια βρέφη εἰσίν, οἷς οὐδεμία κακία ἀναβαίνει ἐπὶ τὴν καρδίαν
οὐδὲ [ἔγνω]σαν, τί ἐστι πονηρία, ἀλλὰ πάντοτε ἐν νηπιότητι διέμειναν.

οἱ τοιοῦτοι οὖν ἀδιστάκτως κατοικήσουσιν ἐν τῇ βασιλείᾳ τοῦ θε[οῦ, ὅτι] ἐν
οὐδενὶ πράγματι ἐμίαναν τὰς ἐντολὰς τοῦ θεοῦ, ἀλλὰ μετὰ νηπιότητος διέ-
μειναν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν ἐν τῇ αὐτῇ φρονήσει. ὅσοι
οὖν διαμενεῖτε, φησί, καὶ ἔσεσθε ὡς τὰ βρέφη, κακίαν μὴ ἔχοντες, πάντων
τῶν προειρημένων ἐνδοξότεροι ἔ[σε]σθε· πάντα γὰρ τὰ βρέφη ἔνδοξά ἐστι
παρὰ τῷ θεῷ καὶ πρῶτα παρ' αὐτῷ. μακάριοι οὖν ὑμεῖς, ὅσοι ἂν ἄρητε ἀφ'
ἑαυτῶν τὴν πονηρίαν, ἐνδύσησθε δὲ τὴν ἀκακίαν· πρῶτοι πάντων ζήσεσθε
τῷ θεῷ. μετὰ τὸ συντελέσαι αὐτὸν τὰς παραβολὰς τῶν ὀρέων λέγω αὐτῷ·
Κύριε, νῦν μοι δήλωσον περὶ τῶν λίθων τῶν ἠρμένων [ἐκ] τοῦ πεδίου καὶ εἰς
τὴν οἰκοδομὴν τεθειμένων ἀντὶ τῶν λίθων τῶν ἠρμένων [ἐκ] τοῦ πύργου, καὶ
τῶν στρογγύλων τῶν τεθέντων εἰς τὴν οἰκοδομὴν καὶ τῶν ἔτι στρογγύλων
ὄντων.

Ἄκουε, φησίν, καὶ περὶ τούτων πάντων. οἱ λίθοι οἱ ἐκ τοῦ πεδίου ἠρμέ-
νοι καὶ τεθειμένοι εἰς τὴν οἰκοδομὴν τοῦ πύργου ἀντὶ τῶν ἀποβεβλημένων
αἱ ·ίζαι εἰσὶ τοῦ ὄρους τοῦ λευκοῦ τούτου. ἐπεὶ οὖν οἱ πιστεύσαντες ἐκ τοῦ
ὄρους τοῦ λευκοῦ πάντες ἄκακοι εὑρέθησαν, ἐκέλευσεν ὁ κύριος τοῦ πύργου
τούτους ἐκ <τῶν ·ιζῶν> τοῦ ὄρους τούτου βληθῆναι εἰς τὴν οἰκοδομὴν τοῦ πύρ-
γου· ἔγνω γὰρ ὅτι, ἐὰν ἀπέλθωσιν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου οἱ λίθοι
οὗτοι, διαμενοῦσι λαμπροί, καὶ οὐδεὶς αὐτῶν μελανήσει. θυοδσι δε χετερισ
μοντιβυσ αδιεχισσετ, νεχεσσε ηαβυισσετ ρυρσυσ υισιταρε εαμ τυρρεμ
ατθυε πυργαρε. ηι αυτεμ ομνεσ χανδιδι ινυεντι συντ, [οἱ πιστεύσ]αντες
κ[αὶ μέλλοντες] πιστεύει[ν· ἐκ τοῦ] αὐτοῦ γὰρ γέν[ους εἰσίν]. μακάριον τὸ

[γένος τοῦτ]ο ὅτι ἄκακόν [ἐστι. ἄκου]ε νῦν καὶ περ[ὶ τῶν λίθω]ν τῶν στρογ[γύλων καὶ λαμ]πρῶν. καὶ αὐ[τοὶ πάντες ἐκ τ]οῦ ὄ[ρους [τοῦ λευκοῦ
εἰσιν.]

ΔΙΑΘΗΚΑΙ ΤΩΝ ΙΒ ΠΑΤΡΙΑΡΧΩΝ ΤΩΝ ΥΙΩΝ ΙΑΚΩΒ

ΔΙΑΘΗΚΗ ΡΟΥΒΗΜ ΠΕΡΙ ΕΝΝΟΙΩΝ

Ἀντίγραφον διαθήκης Ῥουβὴμ ὅσα ἐνετείλατο τοῖς υἱοῖς αὐτοῦ, πρὶν ἀποθανεῖν αὐτόν, ἐν ἑκατοστῷ εἰκοστῷ πέμπτῳ ἔτει τῆς ζωῆς αὐτοῦ.

Μετὰ ἔτη δύο τῆς τελευτῆς Ἰωσήφ, ἀρρωστοῦντι συνήχθησαν ἐπισκέψασθαι αὐτὸν οἱ υἱοὶ καὶ υἱοὶ τῶν υἱῶν αὐτοῦ.

Καὶ εἶπεν αὐτοῖς, Τεκνία μου, ἐγὼ ἀποθνήσκω καὶ πορεύομαι ὁδὸν πατέρων μου.

Καὶ ἰδὼν ἐκεῖ Ἰούδαν καὶ Γὰδ καὶ Ἀσήρ, τοὺς ἀδελφοὺς αὐτοῦ, εἶπεν αὐτοῖς· Ἀναστήσατέ με, ἀδελφοί, ὅπως εἴπω τοῖς ἀδελφοῖς μου καὶ τοῖς τέκνοις μου, ὅσα ἔχω ἐν τῇ καρδίᾳ μου κρυπτά· ἐκλιπὼν γὰρ ἐγώ εἰμι ἀπὸ τοῦ νῦν.

Καὶ ἀναστὰς κατεφίλησεν αὐτοὺς καὶ κλαύσας εἶπεν· Ἀκούσατε, ἀδελφοί μου, ἐνωτίσασθε Ῥουβὴμ τοῦ πατρὸς ὑμῶν ὅσα ἐντέλλομαι ὑμῖν.

Καὶ ἰδοὺ ἐπιμαρτύρομαι ὑμῖν τὸν Θεὸν τοῦ οὐρανοῦ σήμερον, τοῦ μὴ πορευθῆναι ἐν ἀγνοίᾳ νεότητος, καὶ πορνείᾳ, ἐν ᾗ ἐξεχύθην ἐγὼ καὶ ἐμίανα τὴν κοίτην τοῦ πατρός μου Ἰακώβ.

Λέγω γὰρ ὑμῖν, ὅτι ἐνέπληξέ με πληγὴν μεγάλην ἐν ταῖς λαγῶσί μου ἐπὶ μῆνας ἑπτά· καὶ εἰ μὴ Ἰακὼβ ὁ πατὴρ ἡμῶν προσηύξατο περὶ ἐμοῦ πρὸς Κύριον, ὅτι ἤθελε Κύριος ἀνελεῖν με.

Ἤμην γὰρ ἐτῶν τριάκοντα ὅτε ἔπραξα τὸ πονηρὸν ἐνώπιον Κυρίου·

καὶ ἑπτὰ μῆνας ἐμαλακίσθην ἕως θανάτου·
καὶ ἐν
προαιρέσει ψυχῆς μου ἑπτὰ ἔτη μετενόησα ἐνώπιον Κυρίου.
Οἶνον καὶ σίκερα οὐκ ἔπιον, καὶ κρέας οὐκ εἰσῆλθεν εἰς
τὸ στόμα μου· καὶ πᾶν ἄρτον ἐπιθυμίας οὐκ ἐγευσάμην,
πενθῶν ἐπὶ τῇ ἁμαρτίᾳ μου, μεγάλη γὰρ ἦν· καὶ οὐ μὴ
γένηται ἐν τῷ Ἰσραὴλ οὕτως.

Καὶ νῦν ἀκούσατέ μου, τέκνα, ἃ εἶδον περὶ τῶν ἑπτὰ
πνευμάτων τῆς πλάνης ἐν τῇ μετανοίᾳ μου.
Ἑπτὰ
πνεύματα ἐδόθη κατὰ τοῦ ἀνθρώπου ἀπὸ τοῦ Βελίαρ καὶ
αὐτά εἰσι κεφαλὴ τῶν ἔργων τοῦ νεωτερισμοῦ·
καὶ ἑπτὰ
πνεύματα ἐδόθη αὐτῷ ἐπὶ τῆς κτίσεως, τοῦ εἶναι ἐν αὐτοῖς πᾶν
ἔργον ἀνθρώπου.

Πρῶτον πνεῦμα ζωῆς, μεθ’ ἧς ἡ
σύστασις κτίζεται. Δεύτερον πνεῦμα ὁράσεως, μεθ’ ἧς
γίνεται ἐπιθυμία.
Τρίτον πνεῦμα ἀκοῆς, μεθ’ ἧς γίνεται
διδασκαλία. Τέταρτον πνεῦμα ὀσφρήσεως, μεθ’ ἧς ἐστι
γεῦσις δεδομένη εἰς συνολκὴν ἀέρος καὶ πνοῆς.
Πέμπτον
πνεῦμα λαλιᾶς, μεθ’ ἧς γίνεται γνῶσις.
Ἕκτον πνεῦμα
γεύσεως μεθ’ ἧς γίνεται βρῶσις βρωτῶν καὶ ποτῶν, καὶ ἰσχὺς
ἐν αὐτοῖς κτίζεται· ὅτι ἐν βρώμασίν ἐστιν ἡ ὑπόστασις τῆς
ἰσχύος.
Ἕβδομον πνεῦμα σπορᾶς καὶ συνουσίας, μεθ’
ἧς συνεισέρχεται διὰ τῆς φιληδονίας ἡ ἁμαρτία.

Διὰ
τοῦτο ἔσχατόν ἐστι τῆς κτίσεως καὶ πρῶτον τῆς νεότητος,
ὅτι ἀγνοίας πεπλήρωται, καὶ αὕτη τὸν νεώτερον ὁδηγεῖ ὡς
τυφλὸν ἐπὶ βόθρον καὶ ὡς κτῆνος ἐπὶ κρημνόν.
Ἐπὶ πᾶσι τούτοις ὄγδοον πνεῦμα τοῦ ὕπνου ἐστί,
μεθ' οὗ ἐκτίσθη ἔκστασις φύσεως, καὶ εἰκὼν τοῦ θανάτου.
Τούτοις τοῖς πνεύμασι συμμίγνυται τὸ πνεῦμα τῆς πλάνης.
Πρῶτον τὸ τῆς πορνείας ἐν τῇ φύσει καὶ ταῖς αἰσθήσεσιν
ἔγκειται. Δεύτερον πνεῦμα ἀπληστείας ἐν τῇ γαστρί.
Τρίτον πνεῦμα μάχης ἐν τῷ ἥπατι καὶ τῇ χολῇ. Τέταρτον
πνεῦμα ἀρεσκείας καὶ μαγγανίας, ἵνα διὰ περιεργείας ὡραῖος
ὠφθῇ.
Πέμπτον πνεῦμα ὑπερηφανείας, ἵνα κινῆται καὶ
μεγαλοφρονῇ. Ἕκτον πνεῦμα ψεύδους, ἐν ἀπωλείᾳ καὶ ζήλῳ
τοῦ πλάττειν λόγους αὐτοῦ ἀπὸ γένους καὶ οἰκείων.
Ἕβ-
δομον πνεῦμα ἀδικίας, μεθ' ἧς κλοπὴ καὶ γριπίσματα, ἵνα
ποιήσῃ φιληδονίαν καρδίας αὐτοῦ. Ἡ γὰρ ἀδικία συνεργεῖ
τοῖς λοιποῖς πνεύμασι διὰ τῆς δολολειψίας.
Ἐπὶ πᾶσι
τούτοις τὸ πνεῦμα τοῦ ὕπνου, τὸ ὄγδοον πνεῦμα, συνάπτεται
πλάνῃ καὶ φαντασίᾳ.
Καὶ οὕτως ἀπόλλυται πᾶς νεώτερος,
σκοτίζων τὸν νοῦν ἀπὸ τῆς ἀληθείας, καὶ μὴ συνιὼν ἐν τῷ
νόμῳ τοῦ Θεοῦ, μήτε ὑπακούων νουθεσίας πατέρων αὐτοῦ·
ὥσπερ κἀγὼ ἔπαθον ἐν τῷ νεωτερισμῷ μου.
Καὶ νῦν,
τέκνα, τὴν ἀλήθειαν ἀγαπήσατε καὶ αὕτη φυλάξει ὑμᾶς.
Διδάσκω ὑμᾶς, ἀκούσατε Ῥουβὴμ τοῦ πατρὸς ὑμῶν.

Μὴ προσέχετε ἐν ὄψει γυναικός, μηδὲ ἰδιάζετε μετὰ
θηλείας ὑπάνδρου, μηδὲ περιεργάζεσθε πρᾶξιν γυναικῶν.
Εἰ μὴ γὰρ εἶδον ἐγὼ Βάλλαν λουομένην ἐν σκεπινῷ
τόπῳ, οὐκ ἐνέπιπτον εἰς τὴν ἀνομίαν τὴν μεγάλην.
Συλ-
λαβοῦσα γὰρ ἡ διάνοιά μου τὴν γυναικείαν γύμνωσιν, οὐκ
εἴασέ με ὑπνῶσαι, ἕως οὗ ἔπραξα τὸ βδέλυγμα.
Ἀπόντος
γὰρ Ἰακὼβ τοῦ πατρὸς ἡμῶν πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ,
ὄντων ἡμῶν ἐν Γαδέρ, πλησίον Ἐφραθὰ οἴκου Βηθλεέμ,
Βάλλα ἦν μεθύουσα καὶ κοιμωμένη ἀκάλυφος κατέκειτο
ἐν τῷ κοιτῶνι·
κἀγὼ εἰσελθὼν καὶ ἰδὼν τὴν γύμνωσιν
αὐτῆς, ἔπραξα τὴν ἀσέβειαν, καὶ καταλείπων αὐτὴν κοιμω-
μένην, ἐξῆλθον.
Καὶ εὐθέως ἄγγελος τοῦ θεοῦ ἀπεκάλυψε
τῷ πατρί μου Ἰακὼβ περὶ τῆς ἀσεβείας μου· καὶ ἐλθὼν
ἐπένθει ἐπ’ ἐμοί, μηκέτι ἁψάμενος αὐτῆς.

Μὴ οὖν προσέχετε κάλλος γυναικῶν, μηδὲ
ἐννοεῖσθε τὰς πράξεις αὐτῶν· ἀλλὰ πορεύεσθε ἐν ἁπλότητι
καρδίας, ἐν φόβῳ Κυρίου, καὶ μοχθῶντες ἐν ἔργοις, καὶ
ἀποπλανώμενοι ἐν γράμμασι, καὶ ἐν τοῖς ποιμνίοις ὑμῶν,
ἕως ὁ Κύριος δόῃ ὑμῖν σύζυγον, ἣν αὐτὸς θέλει, ἵνα μὴ
πάθητε, ὡς κἀγώ.

Ἀχρὶ τελευτῆς τοῦ πατρὸς ἡμῶν οὐκ
εἶχον παρρησίαν ἀτενίσαι εἰς πρόσωπον Ἰακώβ, ἢ λαλῆσαί
τινι τῶν ἀδελφῶν, διὰ τοὺς ὀνειδισμούς.
Καὶ ἕως νῦν ἡ
συνείδησίς μου συνέχει με περὶ τῆς ἁμαρτίας μου.

Καίγε
παρεκάλεσέ με ὁ πατήρ μου, ὅτι ηὔξατο περὶ ἐμοῦ πρὸς
Κύριον, ἵνα παρέλθῃ ἀπ' ἐμοῦ ἡ ὀργὴ Κυρίου, καθὼς ἔδειξέ
μοι Κύριος. Ἀπὸ τότε οὖν παρεφυλαξάμην, καὶ οὐχ ἥμαρτον.
Διὰ τοῦτο, τέκνα μου, φυλάξασθε πάντα, ὅσα ἐντέλλομαι
ὑμῖν, καὶ οὐ μὴ ἁμαρτήσητε.
Ὄλεθρος γὰρ ψυχῆς ἐστὶν
ἡ πορνεία, χωρίζουσα Θεοῦ, καὶ προσεγγίζουσα τοῖς εἰδώλοις,
ὅτι αὕτη ἐστὶ πλανῶσα τὸν νοῦν καὶ τὴν διάνοιαν, καὶ κατάγει
νεανίσκους εἰς ᾅδην, οὐκ ἐν καιρῷ αὐτῶν.
Καὶ γὰρ
πολλοὺς ἀπώλεσεν ἡ πορνεία· ὅτι κἂν ᾖ τις γέρων, ἢ εὐγενής,
ὄνειδος αὐτὸν ποιεῖ καὶ γέλωτα παρὰ τῷ Βελίαρ καὶ τοῖς
υἱοῖς τῶν ἀνθρώπων.
Ἐπειδὴ γὰρ ἐφύλαξεν ἑαυτὸν
Ἰωσὴφ ἀπὸ πάσης γυναικός, καὶ τὰς ἐννοίας ἐκαθαίρισεν
ἀπὸ πάσης πορνείας, εὗρεν χάριν ἐνώπιον Κυρίου καὶ ἀνθρώ-
πων.
Καὶ γὰρ πολλὰ ἐποίησεν αὐτῷ ἡ Αἰγυπτία, καὶ
μάγους παρεκάλεσε, καὶ φάρμακα αὐτῷ προσήνεγκε· καὶ
οὐκ ἐδέξατο τὸ διαβούλιον τῆς ψυχῆς αὐτοῦ ἐπιθυμίαν πονη-
ράν.
Διὰ τοῦτο ὁ Θεὸς τῶν πατέρων μου ἐρρύσατο αὐτὸν ἀπὸ
παντὸς ὁρατοῦ καὶ κεκρυμμένου θανάτου.
Ἐὰν γὰρ μὴ κα-
τισχύσῃ ἡ πορνεία τὴν ἔννοιαν, οὐδὲ Βελίαρ κατισχύσει ὑμῶν.
Πονηραί εἰσιν αἱ γυναῖκες, τέκνα μου, ὅτι μὴ ἔχουσαι
ἐξουσίαν ἢ δύναμιν ἐπὶ τὸν ἄνθρωπον, δολιεύονται ἐν σχήμασι,
πῶς αὐτὸν πρὸς αὐτὰς ἐπισπάσονται·
καὶ ὃν διὰ δυνάμεως

οὐκ ἰσχύει καταγωνίσασθαι, τοῦτον δι’ ἀπάτης καταγωνίζε-
ται.

Ὅτι καίγε περὶ αὐτῶν εἶπέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ,
καὶ ἐδίδαξέ με, ὅτι αἱ γυναῖκες ἡττῶνται τῷ πνεύματι τῆς
πορνείας ὑπὲρ τὸν ἄνθρωπον, καὶ ἐν καρδίᾳ μηχανῶνται
κατὰ τῶν ἀνθρώπων, καὶ διὰ τῆς κοσμήσεως πλανῶσιν
αὐτῶν πρῶτον τὰς διανοίας, καὶ διὰ τοῦ βλέμματος τὸν ἰὸν
ἐνσπείρουσι, καὶ τότε τῷ ἔργῳ αἰχμαλωτίζουσιν·
οὐ γὰρ
δύναται γυνὴ ἄνθρωπον βιάσασθαι.
Φεύγετε οὖν τὴν
πορνείαν, τέκνα μου, καὶ προστάσσετε ταῖς γυναιξὶν ὑμῶν καὶ
ταῖς θυγατράσιν, ἵνα μὴ κοσμῶνται τὰς κεφαλὰς καὶ τὰς
ὄψεις αὐτῶν, ὅτι πᾶσα γυνὴ δολιευομένη ἐν τούτοις εἰς κόλασιν
τοῦ αἰῶνος τετήρηται.

Οὕτως γὰρ ἔθελξαν τοὺς Ἐγγρηγό-
ρους πρὸ τοῦ κατακλυσμοῦ· κἀκεῖνοι συνεχῶς ὁρῶντες
αὐτάς, ἐγένοντο ἐν ἐπιθυμίᾳ ἀλλήλων, καὶ συνέλαβον τῇ
διανοίᾳ τὴν πρᾶξιν καὶ μετεσχηματίζοντο εἰς ἀνθρώπους, καὶ
ἐν τῇ συνουσίᾳ τῶν ἀνδρῶν αὐτῶν συνεφαίνοντο αὐταῖς·
κἀκεῖνοι ἐπιθυμοῦσαι τῇ διανοίᾳ τὰς φαντασίας αὐτῶν,
ἔτεκον γίγαντας. Ἐφαίνοντο γὰρ αὐταῖς οἱ Ἐγγρήγορες
ἕως τοῦ οὐρανοῦ φθάνοντες.

Φυλάσσεσθε οὖν ἀπὸ τῆς πορνείας· καὶ εἰ θέλετε
καθαρεύειν τῇ διανοίᾳ, φυλάσσετε τὰς αἰσθήσεις ἀπὸ πάσης
θηλείας.

Κἀκείναις δὲ ἐντείλασθε μὴ συνδυάζειν ἀνθρώ-
ποις, ἵνα καὶ αὐταὶ καθαρεύωσι τῇ διανοίᾳ.

Αἱ γὰρ
συνεχεῖς συντυχίαι, κἂν μὴ πραχθῇ τὸ ἀσέβημα, αὐταῖς
μέν ἐστι νόσος ἀνίατος, ἡμῖν δὲ ὄνειδος τοῦ Βελίαρ αἰώνιον·

ὅτι ἡ πορνεία οὔτε σύνεσιν οὔτε εὐσέβειαν ἔχει ἐν ἑαυτῇ καὶ πᾶς ζῆλος κατοικεῖ ἐν τῇ ἐπιθυμίᾳ αὐτῆς.

Διὰ τοῦτο ζηλώσατε τοὺς υἱοὺς Λευί, καὶ ζητήσατε ὑψωθῆναι ὑπὲρ αὐτούς, ἀλλ' οὐ δυνήσεσθε.

Ὁ γὰρ Θεὸς ποιήσει τὴν ἐκδίκησιν αὐτῶν, καὶ ἀποθανεῖσθε θανάτῳ πονηρῷ.

Τῷ γὰρ Λευὶ ἔδωκε Κύριος τὴν ἀρχὴν καὶ τῷ Ἰούδᾳ, μετ' αὐτῶν κάμοί, καὶ Δὰν καὶ Ἰωσήφ, τοῦ εἶναι ἐπὶ ἄρχοντας.

Διὰ τοῦτο ἐντέλλομαι ὑμῖν ἀκούειν τοῦ Λευί, ὅτι αὐτὸς γνώσεται νόμον Κυρίου, καὶ διαστέλλει εἰς κρίσιν καὶ θυσίας ὑπὲρ παντὸς Ἰσραήλ, μέχρι τελειώσεως χρόνων ἀρχιερέως χριστοῦ, ὃν εἶπε Κύριος.

Ὁρκῶ ὑμᾶς τὸν Θεὸν τοῦ οὐρανοῦ ποιῆσαι ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ,

καὶ πρὸς τὸν Λευὶ ἐγγίσατε ἐν ταπεινώσει καρδίας, ἵνα δέξησθε εὐλογίαν ἐκ τοῦ στόματος αὐτοῦ.

Αὐτὸς γὰρ εὐλογήσει τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν· ὅτι ἐν αὐτῷ ἐξελέξατο Κύριος βασιλεῦσαι πάντων τῶν λαῶν.

Καὶ προσκυνήσατε τῷ σπέρματι αὐτοῦ, ὅτι ὑπὲρ ἡμῶν ἀποθανεῖται ἐν πολέμοις ὁρατοῖς καὶ ἀοράτοις καὶ ἔσται ἐν ὑμῖν βασιλεὺς αἰώνων.

Καὶ ἀπέθανε Ῥουβήμ, ἐντειλάμενος τοῖς υἱοῖς αὐτοῦ.

καὶ ἔθεντο αὐτὸν ἐν σορῷ, ἕως ὅτε ἀνενέγκαντες αὐτὸν ἐξ Αἰγύπτου ἔθαψαν ἐν Χεβρών, ἐν τῷ σπηλαίῳ τῷ διπλῷ, ὅπου οἱ πατέρες αὐτοῦ.

ΔΙΑΘΗΚΗ ΣΥΜΕΩΝ Β ΠΕΡΙ ΦΘΟΝΟΥ

Ἀντίγραφον λόγων Συμεών, ἃ ἐλάλησε τοῖς υἱοῖς
αὐτοῦ, πρὸ τοῦ θανεῖν αὐτὸν ἑκατοστῷ εἰκοστῷ ἔτει τῆς ζωῆς
αὐτοῦ, ἐν ᾧ ἔτει ἀπέθανεν Ἰωσήφ.

Ἦλθον γὰρ ἐπισκέψασθαι αὐτὸν ἀρρωστοῦντα, καὶ ἐνισχύσας ἐκάθισε, καὶ κατεφίλησεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς·

Ἀκούσατε, τέκνα, ἀκούσατε Συμεὼν τοῦ πατρὸς
ὑμῶν, ὅσα ἔχω ἐν τῇ καρδίᾳ μου.

Ἐγὼ ἐγεννήθην ἐξ Ἰακὼβ τοῦ πατρός μου υἱὸς δεύτερος, καὶ Λία ἡ μήτηρ μου
ἐκάλεσέ με Συμεῶνα, ὅτι ἤκουσε Κύριος τῆς δεήσεως αὐτῆς.

Δυνατὸς ἐγενόμην σφόδρα, οὐκ ἐδειλίασα πρᾶξιν, οὐδὲ
ἐφοβήθην ἀπὸ παντὸς πράγματος.

Ἡ γὰρ καρδία μου ἦν
σκληρά, καὶ τὰ ἥπατά μου ἀκίνητα, καὶ τὰ σπλάγχνα μου
ἀσυμπαθῆ·

ὅτι καὶ ἡ ἀνδρεία ἀπὸ ὑψίστου δέδοται τοῖς
ἀνθρώποις ἐν ψυχαῖς καὶ ἐν σώμασι.

Καὶ ἐν τῷ καιρῷ
ἐκείνῳ ἐζήλωσα τῷ Ἰωσήφ, ὅτι ἠγάπα αὐτὸν ὁ πατὴρ ἡμῶν·

καὶ ἐστήρισα ἐπ’ αὐτὸν τὰ ἥπατά μου τοῦ ἀνελεῖν αὐτόν,
ὅτι ὁ ἄρχων τῆς πλάνης, ἀποστείλας τὸ πνεῦμα τοῦ ζήλου,
ἐτύφλωσέ μου τὸν νοῦν, μὴ προσέχειν αὐτῷ ὡς ἀδελφῷ, καὶ
μὴ φείσασθαι Ἰακὼβ τοῦ πατρός μου.

Ἀλλ’ ὁ Θεὸς
αὐτοῦ καὶ ὁ Θεὸς τῶν πατέρων αὐτοῦ, ἀποστείλας τὸν
ἄγγελον αὐτοῦ, ἐρρύσατο αὐτὸν ἐκ τῶν χειρῶν μου.

Ὡς
γὰρ ἐγὼ ἐπορεύθην ἐν Σικίμοις, ἐνέγκαι ἄλειμμα τοῖς ποιμ-

νίοις, καὶ Ῥουβὴμ εἰς Δοθαείμ, ὅπου τὰ ἐγχρῄζοντα ἡμῖν,
καὶ πᾶσα ἡ ἀπόθεσις, Ἰούδας ὁ ἀδελφὸς ἡμῶν ἐπώλησεν
αὐτὸν τοῖς Ἰσμαηλίταις.
Καὶ ἐλθὼν Ῥουβὴμ ἐλυπήθη·
ἤθελε γὰρ αὐτὸν διασῶσαι πρὸς τὸν πατέρα.
Ἐγὼ δὲ
ὠργίσθην πρὸς τὸν Ἰούδαν, ὅτι ζῶντα αὐτὸν ἀπέλυσε· καὶ
ἐποίησα μῆνας πέντε ὀργιζόμενος αὐτῷ.
καίγε συνεπό-
δισέ με ὁ Θεὸς καὶ ἐκώλυσεν ἀπ' ἐμοῦ δράσιν χειρῶν· ὅτι ἡ
χείρ μου ἡ δεξιὰ ἡμίξηρος ἦν ἐπὶ ἡμέρας ἑπτά.
Καὶ
ἔγνων, τέκνα, ὅτι περὶ Ἰωσὴφ τοῦτό μοι συνέβη· καὶ μετανοή-
σας ἔκλαυσα, καὶ ηὐξάμην Κυρίῳ, ἵνα ἀποκαταστήσῃ τὴν
χεῖρά μου, καὶ ἀπόσχομαι ἀπὸ παντὸς μολυσμοῦ καὶ φθόνου
καὶ ἀπὸ πάσης ἀφροσύνης.
Ἔγνων γάρ, ὅτι πονηρὸν
πρᾶγμα ἐνεθυμήθην ἐνώπιον Κυρίου, καὶ Ἰακὼβ τοῦ πατρός,
διὰ Ἰωσὴφ τὸν ἀδελφόν μου, φθονήσας αὐτῷ.
Καὶ νῦν, τέκνα, φυλάξασθε ἀπὸ τῶν πνευμάτων
τῆς πλάνης καὶ τοῦ φθόνου.
Καὶ γὰρ ὁ φθόνος κυριεύει
πάσης τῆς διανοίας τοῦ ἀνθρώπου καὶ οὐκ ἀφίησιν αὐτὸν
οὔτε φαγεῖν, οὔτε πιεῖν, οὔτε ποιῆσαί τι ἀγαθόν·
πάντοτε
ὑποβάλλει ἀνελεῖν τὸν φθονούμενον· καὶ ὁ μὲν φθονούμενος
πάντοτε ἀνθεῖ, ὁ δὲ φθονῶν μαραίνεται.
Δύο ἔτη ἡμερῶν
ἐν φόβῳ Κυρίου ἐκάκωσα ἐν νηστείᾳ τὴν ψυχήν μου· καὶ
ἔγνων ὅτι ἡ λύσις τοῦ φθόνου διὰ φόβου Θεοῦ γίνεται.

Ἐάν τις ἐπὶ Κύριον καταφύγῃ, ἀποτρέχει τὸ πονηρὸν πνεῦμα ἀπ’ αὐτοῦ, καὶ γίνεται ἡ διάνοια κούφη· καὶ
λοιπὸν συμπαθεῖ τῷ φθονουμένῳ, καὶ οὐ καταγινώσκει τῶν ἀγαπώντων αὐτόν, καὶ οὕτως παύεται τοῦ φθόνου.

Καὶ ἦν ἐρωτῶν ὁ πατὴρ περὶ ἐμοῦ, ὅτι ἐώρα με σκυθρωπόν, καὶ ἔλεγον· Τὰ ἥπατά μου κακοῦμαι ἐγώ. Ἐπένθουν γὰρ παρὰ πάντας, ὅτι ἐγὼ ἤμην αἴτιος τῆς πράσεως Ἰωσήφ.

Καὶ ὅτε κατέβημεν εἰς Αἴγυπτον, καὶ ἔδησέ με ὡς κατάσκοπον, ἔγνων ὅτι δικαίως πάσχω, καὶ οὐκ ἐλυπούμην.

Ἰωσὴφ δὲ ἦν ἀνὴρ ἀγαθός, καὶ ἔχων πνεῦμα Θεοῦ ἐν ἑαυτῷ, εὔσπλαγχνος καὶ ἐλεήμων, οὐκ ἐμνησικάκησέ μοι, ἀλλὰ καὶ ἠγάπησέ με, ὡς τοὺς ἄλλους ἀδελφούς.

φυλάξασθε οὖν, τέκνα μου, ἀπὸ παντὸς ζήλου καὶ φθόνου, καὶ πορεύεσθε ἐν ἁπλότητι ψυχῆς, καὶ ἐν ἀγαθῇ καρδίᾳ, ἐννοῶντες τὸν πατράδελφον ὑμῶν, ἵνα δόη καὶ ὑμῖν ὁ Θεὸς χάριν, καὶ δόξαν, καὶ εὐλογίαν ἐπὶ τὰς κεφαλὰς ὑμῶν καθὼς εἴδετε ἐν αὐτῷ.

Πάσας τὰς ἡμέρας οὐκ ὠνείδισεν ἡμᾶς περὶ τοῦ λόγου τούτου, ἀλλ’ ἠγάπησεν ἡμᾶς ὡς τὴν ψυχὴν αὐτοῦ καὶ ὑπὲρ τοὺς υἱοὺς αὐτοῦ· καὶ ἐδόξασεν ἡμᾶς, καὶ πλοῦτον καὶ κτήνη καὶ καρποὺς πᾶσιν ἡμῖν ἐχαρίσατο.

Καὶ ὑμεῖς οὖν, τέκνα μου ἀγαπητά, ἀγαπήσατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ ἐν ἀγαθῇ καρδίᾳ, καὶ ἀποστήσατε ἀφ’ ὑμῶν τὸ πνεῦμα τοῦ φθόνου, ὅτι ἀγριοῖ τοῦτο τὴν ψυχήν, καὶ φθείρει τὸ σῶμα, ὀργὴν καὶ πόλεμον παρέχει τὸ διαβούλιον, καὶ εἰς αἵματα παροξύνει, καὶ εἰς ἔκστασιν ἄγει τὴν

διάνοιαν, καὶ οὐκ ἐᾷ τὴν σύνεσιν ἀνθρώποις ἐνεργεῖν· ἀλλὰ καὶ τὸν ὕπνον ἀφαιρεῖ, καὶ κλόνον παρέχει τῇ ψυχῇ, καὶ τρόμον τῷ σώματι·
ὅτι καίγε ἐν ὕπνῳ τις ζῆλος κακίας
αὐτὸν φαντάζουσα κατεσθίει καὶ ἐν πνεύμασι πονηροῖς διαταράσσει τὴν ψυχὴν αὐτοῦ, καὶ ἐκθροεῖσθαι τὸ σῶμα ποιεῖ, καὶ ἐν ταραχῇ διυπνίζεσθαι τὸν νοῦν, καὶ ὡς πνεῦμα πονηρὸν καὶ ἰοβόλον ἔχων, οὕτως φαίνεται τοῖς ἀνθρώποις.

Διὰ τοῦτο Ἰωσὴφ ἦν ὡραῖος τῷ εἴδει, καὶ καλὸς τῇ ὄψει, ὅτι οὐκ ἐνοίκησεν ἐν αὐτῷ οὐδὲν πονηρόν· ἐκ γὰρ ταραχῆς τοῦ πνεύματος τὸ πρόσωπον δηλοῖ.

Καὶ νῦν,

τέκνα μου, ἀγαθύνατε τὰς καρδίας ὑμῶν ἐνώπιον Κυρίου, καὶ εὐθύνατε τὰς ὁδοὺς ὑμῶν ἐνώπιον τῶν ἀνθρώπων, καὶ ἔσεσθε εὑρίσκοντες χάριν ἐνώπιον Θεοῦ καὶ ἀνθρώπων.

Καὶ φυλάσσεσθε τοῦ μὴ πορνεύειν· ὅτι ἡ πορνεία μήτηρ ἐστὶ πάντων τῶν κακῶν, χωρίζουσα Θεοῦ καὶ προσεγγίζουσα τῷ Βελίαρ.

Ἑώρακα γὰρ ἐν χαρακτῆρι γραφῆς Ἐνὼχ
ὅτι υἱοὶ ὑμῶν μεθ’ ὑμῶν ἐν πορνείᾳ φθαρήσονται, καὶ ἐν Λευὶ ἀδικήσουσιν ἐν ·ομφαίᾳ.

Ἀλλ’ οὐ δυνήσονται πρὸς
Λευί, ὅτι πόλεμον Κυρίου πολεμήσει, καὶ νικήσει πᾶσαν παρεμβολὴν ὑμῶν,
καὶ ἔσονται ὀλιγοστοὶ ἐπιμεριζόμενοι
ἐν τῷ Λευὶ καὶ Ἰούδᾳ, καὶ ἔσται ἐξ ὑμῶν εἰς ἡγεμονίαν, καθὼς καὶ ὁ πατήρ μου Ἰακὼβ προεφήτευσεν ἐν εὐλογίαις.

Ἰδοὺ προείρηκα ὑμῖν πάντα, ὅπως δικαιωθῶ ἀπὸ τῆς ἁμαρτίας τῶν ψυχῶν ὑμῶν.

Ἐὰν δὲ ἀφέλητε ἀφ’ ὑμῶν τὸν φθόνον καὶ πᾶσαν σκληροτραχηλίαν, ὡς ·όδον ἀνθήσει τὰ

ὀστᾶ μου ἐν Ἰσραὴλ καὶ ὡς κρίνον ἡ σάρξ μου ἐν Ἰακώβ,
καὶ ἔσται ἡ ὀσμή μου ὡς ὀσμὴ Λιβάνου, καὶ πληθυνθήσεται
ὡς κέδροι ἅγιοι ἐξ ἐμοῦ ἕως αἰῶνος, καὶ οἱ κλάδοι αὐτῶν
ἕως εἰς μακρὰν ἔσονται.
Τότε ἀπολεῖται σπέρμα Χαναὰν
καὶ ἐγκατάλειμμα οὐκ ἔσται τῷ Ἀμαλὴκ καὶ ἀπολοῦνται
πάντες οἱ Καππάδοκες καὶ πάντες οἱ Χετταῖοι ἐξολοθρευθή-
σονται.
Τότε ἐκλείψει ἡ γῆ Χὰμ καὶ πᾶς ὁ λαὸς ἀπολεῖται.
Τότε καταπαύσει ἡ γῆ πᾶσα ἀπὸ ταραχῆς καὶ πᾶσα ἡ ὑπ'
οὐρανὸν ἀπὸ πολέμου.
Τότε Σὴμ ἐνδοξασθήσεται, ὅτι
Κύριος ὁ Θεὸς μέγας τοῦ Ἰσραήλ, φαινόμενος ἐπὶ γῆς ὡς
ἄνθρωπος καὶ σώζων ἐν αὐτῷ τὸν Ἀδάμ.
Τότε δοθήσονται
πάντα τὰ πνεύματα τῆς πλάνης εἰς καταπάτησιν, καὶ ἄνθρω-
ποι βασιλεύσουσι τῶν πονηρῶν πνευμάτων.
Τότε ἀναστή-
σομαι ἐν εὐφροσύνῃ καὶ εὐλογήσω τὸν ὕψιστον ἐν τοῖς
θαυμασίοις αὐτοῦ· ὅτι Θεὸς σῶμα λαβών, καὶ συνεσθίων
ἀνθρώποις, ἔσωσεν ἀνθρώπους.

Καὶ νῦν, τεκνία μου, ὑπακούετε Λευὶ καὶ ἐν
Ἰούδᾳ λυτρωθήσεσθε· καὶ μὴ ἐπαίρεσθε ἐπὶ τὰς δύο φυλὰς
ταύτας, ὅτι ἐξ αὐτῶν ἀνατελεῖ ὑμῖν τὸ σωτήριον τοῦ Θεοῦ.
Ἀναστήσει γὰρ Κύριος ἐκ τοῦ Λευὶ ὡς ἀρχιερέα, καὶ ἐκ
τοῦ Ἰούδα ὡς βασιλέα, Θεὸν καὶ ἄνθρωπον. Οὕτως σώσει
πάντα τὰ ἔθνη καὶ τὸ γένος τοῦ Ἰσραήλ.

Διὰ τοῦτο πάντα
ἐντέλλομαι ὑμῖν, ἵνα καὶ ὑμεῖς ἐντείλησθε τοῖς τέκνοις ὑμῶν,

ὅπως φυλάξωσιν αὐτὰ εἰς τὰς γενεὰς αὐτῶν.

Καὶ συνετέλεσε Συμεὼν ἐντελλόμενος τοῖς υἱοῖς αὐτοῦ, καὶ ἐκοιμήθη μετὰ τῶν πατέρων αὐτοῦ ἑκατὸν εἴκοσι ἐτῶν.

Καὶ ἔθηκαν αὐτὸν ἐν θήκῃ ξύλων ἀσήπτων, τοῦ ἀναγαγεῖν τὰ ὀστᾶ αὐτοῦ ἐν Χεβρών. Καὶ ἀνήνεγκαν αὐτὰ ἐν πολέμῳ Αἰγυπτίων κρυφῇ.

Τὰ γὰρ ὀστᾶ Ἰωσὴφ ἐφύλαττον οἱ Αἰγύπτιοι ἐν τοῖς ταμείοις τῶν βασιλείων. Ἔλεγον γὰρ αὐτοῖς οἱ ἐπαοιδοί, ὅτι ἐν ἐξόδῳ ὀστῶν Ἰωσὴφ ἔσται ἐν πάσῃ τῇ Αἰγύπτῳ σκότος καὶ γνόφος, καὶ πληγὴ μεγάλη σφόδρα τοῖς Αἰγυπτίοις, ὥστε μετὰ λύχνου μὴ ἐπιγινώσκειν ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ.

Καὶ ἔκλαυσαν υἱοὶ Συμεὼν τὸν πατέρα αὐτῶν κατὰ τὸν νόμον τοῦ πένθους· καὶ ἦσαν εἰς Αἴγυπτον ἕως ἡμέρας ἐξόδου αὐτῶν ἀπ’ Αἰγύπτου ἐν χειρὶ Μωυσῆ.

ΔΙΑΘΗΚΗ ΛΕΥΙ ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ ΚΑΙ ΥΠΕΡΗΦΑΝΕΙΑΣ

Ἀντίγραφον λόγων Λευί, ὅσα διέθετο τοῖς υἱοῖς αὐτοῦ, κατὰ πάντα ἃ ποιήσουσι, καὶ ὅσα συναντήσει αὐτοῖς ἕως ἡμέρας κρίσεως·

Ὑγιαίνων ἦν ὅτε ἐκάλεσεν αὐτοὺς πρὸς ἑαυτόν· ὤφθη γὰρ αὐτῷ, ὅτι μέλλει ἀποθνήσκειν. Καὶ ὅτε συνήχθησαν, εἶπε πρὸς αὐτούς·

Ἐγὼ Λευὶ ἐν Χαρρὰν συνελήφθην, καὶ ἐτέχθην ἐκεῖ, καὶ μετὰ ταῦτα ἦλθον σὺν τῷ πατρὶ εἰς Σίκιμα.

Ἤμην δὲ νεώτερος, ὡσεὶ ἐτῶν εἴκοσι, ὅτε ἐποίησα μετὰ Συμεὼν τὴν ἐκδίκησιν τῆς ἀδελφῆς ἡμῶν Δίνας ἀπὸ τοῦ Ἐμμώρ.

Ὡς δὲ ἐποιμαίνομεν ἐν Ἀβελμαούλ, πνεῦμα

συνέσεως Κυρίου ἦλθεν ἐπ’ ἐμέ, καὶ πάντας ἑώρων ἀνθρώπους ἀφανίσαντας τὴν ὁδὸν αὐτῶν, καὶ ὅτι τείχη ᾠκοδόμησεν ἑαυτῇ ἡ ἀδικία, καὶ ἐπὶ πύργους ἡ ἀνομία κάθηται, καὶ ἐλυπούμην περὶ τοῦ γένους τῶν ἀνθρώπων, καὶ ηὐξάμην Κυρίῳ, ὅπως σωθῶ.

Τότε ἐπέπεσεν ἐπ’ ἐμὲ ὕπνος, καὶ ἐθεασάμην ὄρος ὑψηλόν· τοῦτο ὄρος Ἀσπίδος ἐν Ἀβελμαούλ. Καὶ ἰδοὺ ἠνεόχθησαν οἱ οὐρανοί, καὶ ἄγγελος Θεοῦ εἶπε πρός με· Λευί, εἴσελθε. Καὶ εἰσῆλθον ἐκ τοῦ πρώτου οὐρανοῦ εἰς τὸν δεύτερον, καὶ εἶδον ἐκεῖ ὕδωρ κρεμάμενον ἀνάμεσον τούτου κἀκείνου. Καὶ εἶδον τρίτον οὐρανὸν πολὺ φωτεινότερον παρὰ τοὺς δύο· καὶ γὰρ ὕψος ἦν ἐν αὐτῷ ἄπειρον.

Καὶ εἶπον τῷ ἀγγέλῳ· Διατί οὗτος; Καὶ εἶπεν ὁ ἄγγελος πρός με· Μὴ θαύμαζε ἐπὶ τούτοις, ἄλλους γὰρ τέσσαρας οὐρανοὺς ὄψει φαιδροτέρους καὶ ἀσυγκρίτους, ὅτε ἀνέλθῃς ἐκεῖ· ὅτι σύνεγγυς Κυρίου στήσῃ, καὶ λειτουργὸς αὐτοῦ ἔσῃ, καὶ μυστήρια αὐτοῦ ἐξαγγελεῖς τοῖς ἀνθρώποις, καὶ περὶ τοῦ μέλλοντος λυτροῦσθαι τὸν Ἰσραὴλ κηρύξεις· καὶ διὰ σοῦ καὶ Ἰούδα ὀφθήσεται Κύριος ἐν ἀνθρώποις, σώζων ἐν αὐτοῖς πᾶν γένος ἀνθρώπων· καὶ ἐκ μερίδος Κυρίου ἡ ζωή σου, καὶ αὐτὸς ἔσται σου ἀγρός, ἀμπελών, καρποί, χρυσίον, ἀργύριον.

Ἄκουσον οὖν περὶ τῶν ἑπτὰ οὐρανῶν. Ὁ κατώτερος διὰ τοῦτο στυγνότερός ἐστιν, ἐπειδὴ οὗτος παρὰ πάσας ἀδικίας ἀνθρώπων.

Ὁ δεύτερος ἔχει πῦρ, χίονα, κρύσταλ-

λον, ἕτοιμα εἰς ἡμέραν προστάγματος Κυρίου, ἐν τῇ δικαιο-
κρισίᾳ τοῦ Θεοῦ· ἐν αὐτῷ εἰσι πάντα τὰ πνεύματα τῶν
ἐπαγωγῶν εἰς ἐκδίκησιν τῶν ἀνόμων.
Ἐν τῷ τρίτῳ
εἰσὶν αἱ δυνάμεις τῶν παρεμβολῶν, οἱ ταχθέντες εἰς ἡμέραν
κρίσεως, ποιῆσαι ἐκδίκησιν ἐν τοῖς πνεύμασι τῆς πλάνης καὶ
τοῦ Βελίαρ. Οἱ δὲ εἰς τὸν τέταρτον ἐπάνω τούτων ἅγιοί
εἰσιν·
ὅτι ἐν τῷ ἀνωτέρῳ πάντων καταλύει ἡ μεγάλη
δόξα ἐν ἁγίῳ ἁγίων, ὑπεράνω πάσης ἁγιότητος.
Ἐν τῷ
μετ' αὐτὸν οἱ ἄγγελοί εἰσι τοῦ προσώπου Κυρίου, οἱ λειτουρ-
γοῦντες καὶ ἐξιλασκόμενοι πρὸς Κύριον ἐπὶ πάσαις ταῖς
ἀγνοίαις τῶν δικαίων.
Προσφέρουσι δὲ Κυρίῳ ὀσμὴν
εὐωδίας λογικήν, καὶ ἀναίμακτον προσφοράν.
Ἐν δὲ
τῷ ὑποκάτω εἰσὶν οἱ ἄγγελοι οἱ φέροντες τὰς ἀποκρίσεις
τοῖς ἀγγέλοις τοῦ προσώπου Κυρίου.
Ἐν δὲ τῷ μετ'
αὐτόν εἰσι θρόνοι, ἐξουσίαι, ἐν ᾧ ὕμνοι ἀεὶ τῷ Θεῷ προσφέ-
ρονται.
Ὅταν οὖν ἐπιβλέψῃ Κύριος ἐφ' ἡμᾶς πάντες
ἡμεῖς σαλευόμεθα· καὶ οἱ οὐρανοὶ καὶ ἡ γῆ καὶ οἱ ἄβυσσοι,
ἀπὸ προσώπου τῆς μεγαλωσύνης αὐτοῦ σαλεύονται·
οἱ
δὲ υἱοὶ τῶν ἀνθρώπων ἐπὶ τούτοις ἀναισθητοῦντες ἁμαρτά-
νουσι, καὶ παροργίζουσι τὸν ὕψιστον.
Νῦν οὖν γινώσκετε, ὅτι ποιήσει Κύριος κρίσιν ἐπὶ

τοὺς υἱοὺς τῶν ἀνθρώπων, ὅτι τῶν πετρῶν σχιζομένων, καὶ τοῦ ἡλίου σβεννυμένου, καὶ τῶν ὑδάτων ξηραινομένων, καὶ τοῦ πυρὸς καταπτήσσοντος, καὶ πάσης κτίσεως κλονουμένης, καὶ τῶν ἀοράτων πνευμάτων τηκομένων, τοῦ ᾅδου σκυλευομένου ἐπὶ τῷ πάθει τοῦ ὑψίστου, οἱ ἄνθρωποι ἀπιστοῦντες ἐπιμενοῦσιν ἐν ταῖς ἀδικίαις· διὰ τοῦτο ἐν κολάσει κριθήσονται.

Εἰσήκουσεν οὖν ὁ ὕψιστος τῆς προσευχῆς σου, τοῦ διελεῖν σε ἀπὸ τῆς ἀδικίας, καὶ γενέσθαι αὐτῷ υἱὸν καὶ θεράποντα καὶ λειτουργὸν τοῦ προσώπου αὐτοῦ.

Φῶς γνώσεως φωτεινὸν φωτιεῖς ἐν Ἰακώβ, καὶ ὡς ὁ ἥλιος ἔσῃ παντὶ σπέρματι Ἰσραήλ.

Καὶ δοθήσεται σοι εὐλογία, καὶ παντὶ σπέρματί σου, ἕως ἐπισκέψηται Κύριος πάντα τὰ ἔθνη ἐν σπλάγχνοις υἱοὶ αὐτοῦ ἕως αἰῶνος. Πλὴν οἱ υἱοί σου ἐπιβαλοῦσι χεῖρας ἐπ’ αὐτόν, τοῦ ἀποσκολοπίσαι αὐτόν.

Καὶ διὰ τοῦτο δέδωταί σοι βουλὴ καὶ σύνεσις, τοῦ συνετίσαι τοὺς υἱούς σου περὶ αὐτοῦ· ὅτι ὁ εὐλογῶν αὐτὸν εὐλογημένος ἔσται, οἱ δὲ καταρώμενοι αὐτὸν ἀπολοῦνται.

Καὶ ἤνοιξέ μοι ὁ ἄγγελος τὰς πύλας τοῦ οὐρανοῦ· καὶ εἶδον τὸν ναὸν τὸν ἅγιον, καὶ ἐπὶ θρόνου δόξης τὸν ὕψιστον.

Καὶ εἶπέ μοι· Λευί, σοὶ δέδωκα τὰς εὐλογίας τῆς ἱερατείας, ἕως οὗ ἐλθὼν παροικήσω ἐμμέσῳ τοῦ Ἰσραήλ.

Τότε ὁ ἄγγελος ἤγαγέ με ἐπὶ τὴν γῆν, καὶ ἔδωκέ μοι ὅπλον καὶ ·ομφαίαν, καὶ εἶπε· Ποίησον ἐκδίκησιν ἐν Συχὲμ ὑπὲρ Δίνας, κἀγὼ ἔσομαι μετά σου, ὅτι Κύριος ἀπέσταλκέ με.

Καὶ συνετέλεσα τῷ καιρῷ ἐκείνῳ τοὺς υἱοὺς Ἐμμώρ, καθῶς

γέγραπται ἐν ταῖς πλαξὶ τῶν οὐρανῶν.

Εἶπον δὲ αὐτῷ·
Δέομαι, κύριε, εἰπέ μοι τὸ ὄνομά σου, ἵνα ἐπικαλέσωμαί σε ἐν ἡμέρᾳ θλίψεως.

Καὶ εἶπεν· Ἐγώ εἰμι ὁ ἄγγελος ὁ παραιτούμενος τὸ γένος Ἰσραήλ, τοῦ μὴ πατάξαι αὐτοὺς εἰς τέλος, ὅτι πᾶν πνεῦμα πονηρὸν εἰς αὐτὸν προσβάλλει.

Καὶ μετὰ ταῦτα ὥσπερ ἔξυπνος γενόμενος εὐλόγησα τὸν ὕψιστον, καὶ τὸν ἄγγελον τὸν παραιτούμενον τοῦ γένους τοῦ Ἰσραὴλ καὶ πάντων τῶν δικαίων.

Καὶ ὡς ἠρχόμην πρὸς τὸν πατέρα μου, εὗρον ἀσπίδα χαλκῆν, διὸ καὶ τὸ ὄνομα τοῦ ὄρους Ἄσπις, ὅτι ἐγγὺς Γεβάλ, ἐκ δεξιῶν Ἀβιλᾶ·
καὶ συνετήρουν τοὺς λόγους τούτους ἐν τῇ καρδίᾳ μου.
Ἐγὼ συνεβούλευσα τῷ πατρί μου καὶ Ῥουβὴμ τῷ ἀδελφῷ μου, ἵνα εἴπῃ τοῖς υἱοῖς Ἐμμώρ, τοῦ περιτμηθῆναι αὐτούς, ὅτι ἐζήλωσα διὰ τὸ βδέλυγμα, ὃ ἐποίησαν ἐν Ἰσραήλ.

Κἀγὼ ἀνεῖλον τὸν Συχὲμ ἐν πρώτοις, καὶ Συμεὼν τὸν Ἐμμώρ.
Καὶ μετὰ ταῦτα ἐλθόντες οἱ ἀδελφοὶ ἐπάταξαν τὴν πόλιν ἐν στόματι

- ομφαίας.

Καὶ ἤκουσεν ὁ πατήρ, καὶ ὠργίσθη, καὶ ἐλυπήθη, ὅτι κατεδέξαντο τὴν περιτομὴν καὶ μετὰ τοῦτο ἀπέθανον, καὶ ἐν ταῖς εὐλογίαις ἄλλως ἐποίησεν.

Ἡμάρτομεν γάρ, ὅτι παρὰ γνώμην αὐτοῦ τοῦτο πεποιήκαμεν· καίγε ἐμαλακίσθη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Ἀλλ’ ἐγὼ εἶδον ὅτι ἀπόφασις Θεοῦ ἦν εἰς κακὰ ἐπὶ Σίκιμα· δίοτι ἤθελον εἰς

τὴν Σάρραν ποιῆσαι, ὃν τρόπον ἐποίησαν Δίναν τὴν ἀδελφὴν ἡμῶν· καὶ Κύριος ἐκώλυσεν αὐτούς.

Καὶ οὕτως ἐδίωξαν Ἀβραὰμ τὸν πατέρα ἡμῶν ξένον ὄντα, καὶ κατεπάτησαν τὰ ποίμνια ὀγκούμενα ὄντα ἐπ' αὐτόν· καὶ Ἰεβλάε τὸν οἰκογενῆ αὐτοῦ σφόδρα αἰκίσαντο.

Καίγε οὕτως ἐποίουν πάντας τοὺς ξένους, ἐν δυναστείᾳ ἁρπάζοντες τὰς γυναῖκας αὐτῶν, καὶ ξενηλατοῦντες αὐτούς.

Ἔφθασε δὲ ἡ ὀργὴ Κυρίου ἐπ' αὐτοὺς εἰς τέλος.

Καὶ εἶπον τῷ πατρί· Μὴ ὀργίζου, κύριε, ὅτι ἐν σοὶ ἐξουδενώσει Κύριος τοὺς Χαναναίους καὶ δώσει τὴν γῆν αὐτῶν σοὶ καὶ τῷ σπέρματί σου μετά σε.

Ἔσται γὰρ ἀπὸ σήμερον Σικὶμ λεγομένη πόλις ἀσυνέτων· ὅτι ὡσεί τις χλευάσαι μωρὸν οὕτως ἐχλευάσαμεν αὐτούς· ὅτι καίγε ἀφροσύνην ἔπραξαν ἐν Ἰσραήλ, μιᾶναι τὴν ἀδελφὴν ἡμῶν. Καὶ λαβόντες ἐκεῖθεν τὴν ἀδελφὴν ἡμῶν, ἀπάραντες ἤλθομεν εἰς Βεθήλ.

Κἀκεῖ πάλιν εἶδον πρᾶγμα ὥσπερ τὸ πρότερον, μετὰ τὸ ποιῆσαι ἡμέρας ἑβδομήκοντα.

Καὶ εἶδον ἑπτὰ ἀνθρώπους ἐν ἐσθῆτι λευκῇ λέγοντάς μοι· Ἀναστὰς ἔνδυσαι τὴν στολὴν τῆς ἱερατείας, καὶ τὸν στέφανον τῆς δικαιοσύνης, καὶ τὸ λόγιον τῆς συνέσεως, καὶ τὸν ποδήρη τῆς ἀληθείας καὶ τὸ πέταλον τῆς πίστεως, καὶ τὴν μίτραν τοῦ σημείου, καὶ τὸ ἐφοὺδ τῆς προφητείας.

Καὶ εἷς ἕκαστος αὐτῶν

ἕκαστον βαστάζοντες ἐπέθηκάν μοι καὶ εἶπαν· Ἀπὸ τοῦ νῦν γίνου εἰς ἱερέα Κυρίου, σὺ καὶ τὸ σπέρμα σου ἕως αἰῶνος.

Καὶ ὁ πρῶτος ἤλειψέ με ἐλαίῳ ἁγίῳ, καὶ ἔδωκέ μοι ·άβδον κρίσεως.

Ὁ δεύτερος ἔλουσέ με ὕδατι καθαρῷ, καὶ ἐψώμισεν ἄρτον καὶ οἶνον, ἅγια ἁγίων, καὶ περιέθηκέ μοι στολὴν ἁγίαν καὶ ἔνδοξον.

Ὁ τρίτος βυσσίνην με περιέβαλεν, ὁμοίαν ἐφούδ.
Ὁ τέταρτος ζώνην μοι περιέθηκεν, ὁμοίαν πορφύρᾳ.
Ὁ πέμπτος κλάδον μοι ἐλαίας ἔδωκε ποιότητος.
Ὁ ἕκτος στέφανόν μοι τῇ κεφαλῇ περιέθηκεν.

Ὁ ἕβδομος διάδημά μοι τῇ κεφαλῇ περιέθηκεν ἱερατείας, καὶ ἐπλήρωσαν τὰς χεῖράς μου θυμιάματος, ὥστε ἱερατεύειν με Κυρίῳ.

Εἶπαν δὲ πρός με· Λευί, εἰς τρεῖς ἀρχὰς διαιρεθήσεται τὸ σπέρμα σου, εἰς σημεῖον δόξης Κυρίου ἐπερχομένου· καὶ ὁ πιστεύσας πρῶτος ἔσται· κλῆρος μέγας ὑπὲρ αὐτὸν οὐ γενήσεται.

Ὁ δεύτερος ἔσται ἐν ἱερωσύνῃ.
Ὁ τρίτος ἐπικληθήσεται αὐτῷ ὄνομα καινόν, ὅτι βασιλεὺς ἐκ τοῦ Ἰούδα ἀναστήσεται, καὶ ποιήσει ἱερατείαν νέαν, κατὰ τὸν τύπον τῶν ἐθνῶν, εἰς πάντα τὰ ἔθνη.

Ἡ δὲ παρουσία αὐτοῦ ἄφραστος, ὡς προφήτου ὑψηλοῦ ἐκ σπέρματος Ἀβραὰμ πατρὸς ἡμῶν.

Πᾶν ἐπιθυμητὸν ἐν Ἰσραὴλ σοὶ ἔσται καὶ τῷ σπέρματί σου· καὶ ἔδεσθε πᾶν

ὡραῖον ὁράσει, καὶ τὴν τράπεζαν Κυρίου διανεμήσεται τὸ σπέρμα σου,
καὶ ἐξ αὐτῶν ἔσονται ἀρχιερεῖς καὶ κριταὶ
καὶ γραμματεῖς· ὅτι ἐπὶ στόματος αὐτῶν φυλαχθήσεται τὸ ἅγιον.
Καὶ ἐξυπνισθεὶς συνῆκα ὅτι τοῦτο ὅμοιον ἐκείνου ἐστί.
Καὶ ἔκρυψα καίγε τοῦτο ἐν τῇ καρδίᾳ μου,
καὶ οὐκ ἀνήγγειλα αὐτὸ παντὶ ἀνθρώπῳ ἐπὶ τῆς γῆς.
Καὶ μεθ' ἡμέρας δύο ἀνέβημεν ἐγὼ καὶ Ἰούδας πρὸς Ἰσαὰκ μετὰ τὸν πατέρα ἡμῶν.
καὶ εὐλόγησέ με ὁ πατὴρ τοῦ πατρός μου, κατὰ πάντας τοὺς λόγους τῶν ὁράσεών μου ὧν εἶδον· καὶ οὐκ ἠθέλησε πορευθῆναι μεθ' ἡμῶν εἰς Βεθήλ.
Ὡς δὲ ἤλθομεν εἰς Βεθήλ, εἶδεν ὁ πατήρ μου Ἰακὼβ ἐν ὁράματι περὶ ἐμοῦ, ὅτι ἔσομαι αὐτοῖς εἰς ἱερέα πρὸς τὸν Θεόν.
Καὶ ἀναστὰς τὸ πρωὶ ἀπεδεκάτωσε πάντα δι' ἐμοῦ τῷ Κυρίῳ.
Καὶ ἤλθομεν εἰς Χεβρὼν τοῦ καταλῦσαι·
καὶ Ἰσαὰκ ἐκάλει με συνεχῶς τοῦ ὑπομνῆσαί με νόμον Κυρίου, καθὼς ἔδειξέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ.
Καὶ ἐδίδασκέ με νόμον ἱερωσύνης, θυσιῶν, ὁλοκαυτωμάτων, ἀπαρχῶν, ἑκουσίων, σωτηρίων.
Καὶ ἦν καθ' ἑκάστην ἡμέραν συνετίζων με, καὶ εἰς ἐμὲ ἀσχολούμενος ἦν ἐνώπιον Κυρίου.
Καὶ ἔλεγε· Μὴ πρόσεχε, τέκνον, ἀπὸ τοῦ πνεύμα-

τος τῆς πορνείας· τοῦτο γὰρ ἐνδελεχιεῖ, καὶ μέλλει διὰ
τοῦ σπέρματός σου μιαίνειν τὰ ἅγια.
Λαβὲ οὖν σεαυτῷ
γυναῖκα, ἔτι νέος ὤν, μὴ ἔχουσαν μῶμον, μηδὲ βεβηλωμένην,
μηδὲ ἀπὸ γένους ἀλλοφύλων ἢ ἐθνῶν.
Καὶ πρὸ τοῦ
εἰσελθεῖν εἰς τὰ ἅγια, λούου· καὶ ἐν τῷ θύειν, νίπτου. καὶ
ἀπαρτίζων πάλιν τὴν θυσίαν, νίπτου.
Δώδεκα δένδρων
ἀεὶ ἐχόντων φύλλα ἄναγε Κυρίῳ, ὡς κἀμὲ Ἀβραὰμ ἐδίδαξε.
Καὶ παντὸς ζώου καθαροῦ καὶ πετεινοῦ καθαροῦ πρόσφερε
θυσίαν Κυρίῳ.
Καὶ παντὸς πρωτογενήματος καὶ οἴνου
πρόσφερε ἀπαρχάς· καὶ πᾶσαν θυσίαν ἅλατι ἁλιεῖς.
Νῦν οὖν φυλάξασθε ὅσα ἐντέλλομαι ὑμῖν, τέκνα·
ὅτι ὅσα ἤκουσα παρὰ τῶν πατέρων μου, ἀνήγγειλα ὑμῖν.
Ἀθῷός εἰμι ἀπὸ πάσης ἀσεβείας ὑμῶν καὶ παραβάσεως,
ἣν ποιήσετε ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς τὸν σωτῆρα τοῦ
κόσμου, ἀσεβοῦντες, πλανῶντες τὸν Ἰσραήλ, καὶ ἐπεγείροντες
αὐτῷ κακὰ μεγάλα παρὰ Κυρίου.
Καὶ ἀνομήσετε σὺν τῷ
Ἰσραήλ, ὥστε μὴ βαστάξαι τὴν Ἱερουσαλὴμ ἀπὸ προσώπου
πονηρίας ὑμῶν, ἀλλὰ σχίσαι τὸ ἔνδυμα τοῦ ναοῦ, ὥστε μὴ
κατακαλύπτειν ἀσχημοσύνην ὑμῶν.
Καὶ διασπαρήσεσθε
αἰχμάλωτοι ἐν τοῖς ἔθνεσι, καὶ ἔσεσθε εἰς ὀνειδισμόν, καὶ εἰς καταπάτημα·
ὁ γὰρ οἶκος, ὃν ἂν ἐξελέξηται Κύριος,
Ἱερουσαλὴμ κληθήσεται, καθὼς περιέχει βίβλος Ἔνωχ
τοῦ δικαίου.

Ὅτε οὖν ἔλαβον γυναῖκα, ἤμην ἐτῶν εἰκοσιοκτώ,

ᾗ ὄνομα Μελχᾶ.

Καὶ συλλαβοῦσα ἔτεκε, καὶ ἐκάλεσε τὸ
ὄνομα αὐτοῦ Γηρσάμ· ὅτι ἐν τῇ γῇ ἡμῶν πάροικοι ἦμεν·

Γηρσὰμ γὰρ παροικία γράφεται.

Εἶδον δὲ περὶ αὐτοῦ, ὅτι
οὐκ ἔσται ἐν πρώτῃ τάξει.
Καὶ ὁ Καὰθ ἐγεννήθη τρια-
κοστῷ πέμπτῳ ἔτει, πρὸς ἀνατολὰς ἡλίου.
Εἶδον δὲ ἐν
ὁράματι, ὅτι μέσος ἐν ὑψηλοῖς ἵστατο πάσης τῆς συναγωγῆς.

Διὰ τοῦτο ἐκάλεσα τὸ ὄνομα αὐτοῦ Καάθ, ὅ ἐστιν ἀρχὴ

μεγαλείου καὶ συμβιβασμός.

Καὶ τρεῖς ἔτεκέ μοι τὸν
Μεραρὶ τεσσαρακοστῷ ἔτει ζωῆς μου. Καὶ ἐπειδὴ ἐδυστόκι-

σεν ἡ μήτηρ αὐτοῦ, ἐκάλεσεν αὐτὸν Μεραρί, ὅ ἐστι πικρία μου·

ὅτι καίγε αὐτὸς ἀπέθανεν.

Ἡ δὲ Ἰωχαβὲδ ἑξηκοστῷ

τετάρτῳ ἔτει ἐτέχθη ἐν Αἰγύπτῳ· ἔνδοξος γὰρ ἤμην τότε

ἐμμέσῳ τῶν ἀδελφῶν μου.

Καὶ ἔλαβε Γηρσὰμ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ

τὸν Λομνὶ καὶ τὸν Σεμεί.

Καὶ υἱοὶ Καὰθ Ἀμβράμ,
Ἰσαάρ, Χεβρώ, Ὀζήλ.
Καὶ υἱοὶ Μεραρὶ Μοολὶ καὶ
Ὁμουσί.
Καὶ ἐνενηκοστῷ τετάρτῳ ἔτει μου, ἔλαβεν ὁ
Ἀμβρὰμ τὴν Ἰωχαβὲδ θυγατέρα μου αὐτῷ εἰς γυναῖκα· ὅτι

ἐν μιᾷ ἡμέρᾳ ἐγεννήθησαν, αὐτὸς καὶ ἡ θυγάτηρ μου.

Ὀκτὼ ἐτῶν ἤμην ὅτε εἰσῆλθον εἰς γῆν Χαναάν· καὶ

ὀκτωκαίδεκα ἐτῶν ὅτε ἀπέκτεινα τὸν Συχέμ· καὶ ἐννεακαί-

δεκα ἐτῶν ἱεράτευσα· καὶ εἰκοσιοκτὼ ἐτῶν, ἔλαβον γυναῖκα·

καὶ τεσσαράκοντα ἐτῶν, εἰσῆλθον εἰς Αἴγυπτον.

Καὶ
ἰδού, τέκνα μού ἐστε, τέκνα μου, τρίτη γενεά.

Ἰωσὴφ
ἑκατοστῷ ὀκτωκαιδεκάτῳ ἔτει ἀπέθανε.

Καὶ νῦν, τέκνα μου, ἐντέλλομαι ὑμῖν ἵνα φοβεῖσθε τὸν Κύριον ἡμῶν ἐξ ὅλης καρδίας· καὶ πορεύεσθε ἐν ἁπλότητι κατὰ πάντα τὸν νόμον αὐτῶν.

Διδάξατε δὲ καὶ ὑμεῖς τὰ τέκνα ὑμῶν γράμματα, ἵνα ἔχωσι σύνεσιν ἐν πάσῃ τῇ ζωῇ αὐτῶν, ἀναγινώσκοντες ἀδιαλείπτως τὸν νόμον τοῦ Θεοῦ· ὅτι πᾶς, ὃς γνώσεται νόμον Θεοῦ, τιμηθήσεται, καὶ οὐκ ἔσται ξένος, ὅπου ὑπάγει.

Καίγε πολλοὺς φίλους ὑπὲρ γονεῖς κτήσηται, καὶ ἐπιθυμήσουσι πολλοὶ τῶν ἀνθρώπων δουλεῦσαι αὐτῷ, καὶ ἀκοῦσαι νόμον ἐκ τοῦ στόματος αὐτοῦ.

Ποιήσατε δικαιοσύνην, τέκνα μου, ἐπὶ τῆς γῆς, ἵνα εὕρητε
ἐν τοῖς οὐρανοῖς·
καὶ σπείρετε ἐν ταῖς ψυχαῖς ὑμῶν
ἀγαθά, ἵνα εὕρητε αὐτὰ ἐν τῇ ζωῇ ὑμῶν. Ἐὰν γὰρ σπείρητε κακά, πᾶσαν ταραχὴν καὶ θλῖψιν θερίσητε.

Σοφίαν κτήσασθε ἐν φόβῳ Θεοῦ μετὰ σπουδῆς· ὅτι ἐὰν γένηται αἰχμαλωσία, καὶ πόλεις ὀλοθρευθῶσι καὶ χῶραι καὶ χρυσὸς καὶ ἄργυρος καὶ πᾶσα κτῆσις ἀπολεῖται, τοῦ σοφοῦ τὴν σοφίαν οὐδεὶς δύναται ἀφελέσθαι, εἰ μὴ τύφλωσις ἀσεβείας καὶ πήρωσις ἁμαρτίας·

ὅτι γενήσεται αὐτῷ αὐτὴ καὶ παρὰ τοῖς πολεμίοις λαμπρά, καὶ ἐπὶ γῆς ἀλλοτρίας πατρὶς καὶ ἐμμέσῳ ἐχθρῶν εὑρηθήσεται φίλος.

Ἐὰν διδάσκῃ ταῦτα καὶ
πράττῃ, σύνθρονος ἔσται βασιλέως, ὡς καὶ Ἰωσὴφ ὁ ἀδελφὸς
ἡμῶν.
Καὶ νῦν, τέκνα, ἔγνων ἀπὸ γραφῆς Ἐνώχ, ὅτι
ἐπὶ τέλει ἀσεβήσητε ἐπὶ Κύριον, χεῖρας ἐπιβάλλοντες ἐν
πάσῃ κακίᾳ, καὶ αἰσχυνθήσονται ἐφ' ὑμῖν οἱ ἀδελφοὶ ὑμῶν,
καὶ πᾶσι τοῖς ἔθνεσι γενήσεται χλευασμός.
Καὶ γὰρ ὁ
πατὴρ ἡμῶν Ἰσραὴλ καθαρὸς ἔσται ἀπὸ τῆς ἀσεβείας τῶν
ἀρχιερέων, οἵτινες ἐπιβαλοῦσι τὰς χεῖρας αὐτῶν ἐπὶ τὸν
σωτῆρα τοῦ κόσμου.
Καθαρὸς ὁ οὐρανὸς ὑπὲρ τὴν γῆν·
καὶ ὑμεῖς οἱ φωστῆρες τοῦ οὐρανοῦ, ὡς ὁ ἥλιος καὶ ἡ σελήνη.
Τί ποιήσουσι πάντα τὰ ἔθνη, ἐὰν ὑμεῖς σκοτισθῆτε ἐν
ἀσεβείᾳ, καὶ ἐπάξετε κατάραν ἐπὶ τὸ γένος ἡμῶν, ὑπὲρ ὧν
τὸ φῶς τοῦ κόσμου, τὸ δοθὲν ἐν ὑμῖν εἰς φωτισμὸν παντὸς
ἀνθρώπου; τοῦτον θέλοντες ἀνελεῖν, ἐναντίας ἐντολὰς διδάσ-
κοντες τοῖς τοῦ Θεοῦ δικαιώμασι,
τὰς προσφορὰς Κυρίου
ληστεύσητε, καὶ ἀπὸ τῶν μερίδων αὐτοῦ κλέψητε καὶ πρὸ
τοῦ θυσιάσαι Κυρίῳ λήψεσθε τὰ ἐκλεκτά, ἐν καταφρονήσει
ἐσθίοντες μετὰ πορνῶν,
ἐν πλεονεξίᾳ τὰς ἐντολὰς τοῦ
Κυρίου διδάξητε, τὰς ὑπάνδρους βεβηλώσητε, καὶ παρθένους
Ἱερουσαλὴμ μιανεῖτε, καὶ πόρναις καὶ μοιχαλίσι συναφθή-
σεσθε, θυγατέρας ἐθνῶν λήψεσθε εἰς γυναῖκας, καθαρίζοντες
αὐτὰς καθαρισμῷ παρανόμῳ, καὶ γενήσεται ἡ μίξις ὑμῶν
Σόδομα καὶ Γόμορρα ἐν ἀσεβείᾳ,
καὶ φυσιωθήσεσθε ἐπὶ
τῇ ἱερωσύνῃ, κατὰ τῶν ἀνθρώπων ἐπαιρόμενοι· οὐ μόνον δέ,
ἀλλὰ καὶ κατὰ τῶν ἐντολῶν τοῦ Θεοῦ
φυσιούμενοι,
καταπαίξετε τὰ ἅγια, ἐν καταφρονήσει γελοιάζοντες.
Διὰ ταῦτα ὁ ναός, ὃν ἂν ἐκλέξηται Κύριος, ἔρημος
ἔσται ἐν ἀκαθαρσίᾳ, καὶ ὑμεῖς αἰχμάλωτοι ἔσεσθε εἰς πάντα

τὰ ἔθνη,
καὶ ἔσεσθε βδέλυγμα ἐν αὐτοῖς, καὶ λήψεσθε
ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον παρὰ τῆς δικαιοκρισίας τοῦ
Θεοῦ.
καὶ πάντες οἱ θεωροῦντες ὑμᾶς φεύξονται ἀφ'
ὑμῶν.
Καὶ εἰ μὴ δι' Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τοὺς
πατέρας ἡμῶν, εἷς ἐκ τοῦ σπέρματός μου οὐ μὴ καταλειφθῇ
ἐπὶ τῆς γῆς.
Καὶ νῦν ἔγνων ἐν βιβλίῳ Ἐνώχ, ὅτι ἑβδομήκοντα
ἑβδομάδας πλανηθήσεσθε, καὶ τὴν ἱερωσύνην βεβηλώσητε
καὶ τὰς θυσίας μιανεῖτε,
καὶ τὸν νόμον ἀφανίσητε καὶ
λόγους προφητῶν ἐξουθενώσητε, ἐν διαστροφῇ διώξετε
ἄνδρας δικαίους, καὶ εὐσεβεῖς μισήσητε, ἀληθινῶν λόγους
βδελύξησθε,
καὶ ἄνδρα ἀνακαινοποιοῦντα νόμον ἐν
δυνάμει ὑψίστου πλάνον προσαγορεύσετε, καὶ τέλος, ὡς
νομίζετε, ἀποκτενεῖτε αὐτόν, οὐκ εἰδότες αὐτοῦ τὸ ἀνάστημα,
τὸ ἀθῷον αἷμα ἐν κακίᾳ ἐπὶ κεφαλὰς ὑμῶν ἀναδεχόμενοι.
Δι' αὐτὸν ἔσται τὰ ἅγια ὑμῶν ἔρημα, ἕως ἐδάφους μεμιαμ-
μένα·
καὶ οὐκ ἔσται τόπος ὑμῶν καθαρός, ἀλλ' ἐν τοῖς
ἔθνεσιν ἔσεσθε εἰς κατάραν καὶ εἰς διασκορπισμόν, ἕως αὐτὸς
πάλιν ἐπισκέψηται, καὶ οἰκτειρήσας προσδέξηται ὑμᾶς ἐν
πίστει καὶ ὕδατι.
Καὶ ὅτι ἠκούσατε περὶ τῶν ἑβδομήκοντα ἑβδο-
μάδων, ἀκούσατε καὶ περὶ τῆς ἱερωσύνης.
Καθ' ἕκαστον
γὰρ Ἰωβηλαῖον ἔσται ἱερωσύνη. Ἐν τῷ πρώτῳ Ἰωβηλαίῳ ὁ

πρῶτος χριόμενος εἰς ἱερωσύνην μέγας ἔσται, καὶ λαλήσει
Θεῷ ὡς πατρί· καὶ ἡ ἱερωσύνη αὐτοῦ πλήρης μετὰ φόβου
Κυρίου· καὶ ἐν ἡμέρᾳ χαρᾶς αὐτοῦ ἐπὶ σωτηρίᾳ κόσμου
αὐτὸς ἀναστήσεται.

Ἐν τῷ δευτέρῳ Ἰωβηλαίῳ ὁ
χριόμενος ἐν πένθει ἀγαπητῶν συλληφθήσεται, καὶ ἔσται ἡ
ἱερωσύνη αὐτοῦ τιμία, καὶ παρὰ πᾶσι δοξασθήσεται.

Ὁ
δὲ τρίτος ἱερεὺς ἐν λύπῃ παραληφθήσεται.

Καὶ ὁ τέταρτος
ἐν ὀδύνῃ ἔσται· ὅτι προσθήσει ἐπ’ αὐτὸν ἡ ἀδικία εἰς πλῆθος·
καὶ πᾶς Ἰσραὴλ μισήσουσιν ἕκαστος τὸν πλησίον αὐτοῦ.

Ὁ πέμπτος ἐν σκότει παραληφθήσεται·
ὡσαύτως καὶ ὁ
ἕκτος καὶ ὁ ἕβδομος.
Ἐν δὲ τῷ ἑβδόμῳ ἔσται μιασμός,
ὃν οὐ δύναμαι εἰπεῖν, ἐνώπιον Κυρίου καὶ ἀνθρώπων· ὅτι
αὐτοὶ γνώσονται, οἱ ποιοῦντες αὐτά.

Διὰ τοῦτο ἐν
αἰχμαλωσίᾳ καὶ ἐν προνομῇ ἔσονται· καὶ ἡ γῆ καὶ ἡ ὕπαρξις
αὐτῶν ἀφανισθήσεται.

Καὶ ἐμπέμπτῃ ἑβδομάδι ἐπι-
στρέψουσιν εἰς γῆν ἐρημώσεως αὐτῶν, καὶ ἀνακαινοποιήσουσιν
οἶκον Κυρίου.

Ἐν δὲ τῷ ἑβδόμῳ ἑβδοματικῷ ἥξουσιν
οἱ ἱερεῖς, εἰδωλολατροῦντες, μάχιμοι, φιλάργυροι, ὑπερήφα-
νοι, ἄνομοι, ἀσελγεῖς, παιδοφθόροι καὶ κτηνοφθόροι.

Καὶ μετὰ τὸ γενέσθαι τὴν ἐκδίκησιν αὐτῶν
παρὰ Κυρίου, τῇ ἱερατείᾳ.
τότε ἐγερεῖ Κύριος ἱερέα καινόν,

ᾧ πάντες οἱ λόγοι Κυρίου ἀποκαλυφθήσονται· καὶ αὐτὸς ποιήσει κρίσιν ἀληθείας ἐπὶ τῆς γῆς ἐν πλήθει ἡμερῶν. Καὶ ἀνατελεῖ ἄστρον αὐτοῦ ἐν οὐρανῷ, ὡς βασιλεύς, φωτίζων φῶς γνώσεως ἐν ἡλίῳ ἡμέρας· καὶ μεγαλυνθήσεται ἐν τῇ οἰκουμένῃ, ἕως ἀναλήψεως αὐτοῦ.

Οὗτος ἀναλάμψει ὡς ὁ ἥλιος ἐν τῇ γῇ καὶ ἐξαρεῖ πᾶν σκότος ἐκ τῆς ὑπ’ οὐρανόν, καὶ ἔσται εἰρήνη ἐν πάσῃ τῇ γῇ.

Οἱ οὐρανοὶ ἀγαλλιάσονται ἐν ταῖς ἡμέραις αὐτοῦ, καὶ ἡ γῆ χαρίσεται, καὶ αἱ νεφέλαι εὐφρανθήσονται, καὶ ἡ γνῶσις Κυρίου χυθήσεται ἐπὶ τῆς γῆς, ὡς ὕδωρ θαλασσῶν· καὶ οἱ ἄγγελοι τῆς δόξης τοῦ προσώπου Κυρίου χαρίσονται ἐν αὐτῷ.

Οἱ οὐρανοὶ ἀνοιγήσονται, καὶ ἐκ τοῦ ναοῦ τῆς δόξης ἥξει ἐπ’ αὐτὸν ἁγίασμα μετὰ φωνῆς πατρικῆς ὡς ἀπὸ Ἀβραὰμ πατρὸς Ἰσαάκ.

Καὶ δόξα ὑψίστου ἐπ’ αὐτὸν ·ηθήσεται, καὶ πνεῦμα συνέσεως καὶ ἁγιασμοῦ καταπαύσει ἐπ’ αὐτὸν ἐν τῷ ὕδατι.

Αὐτὸς δώσει τὴν μεγαλωσύνην Κυρίου τοῖς υἱοῖς αὐτοῦ ἐν ἀληθείᾳ εἰς τὸν αἰῶνα· καὶ οὐκ ἔσται διαδοχὴ αὐτῷ εἰς γενεὰς καὶ γενεὰς ἕως τοῦ αἰῶνος.

Καὶ ἐπὶ τῆς ἱερωσύνης αὐτοῦ ἐκλείψει πᾶσα ἁμαρτία, καὶ οἱ ἄνομοι καταπαύσουσιν εἰς κακά· οἱ δὲ δίκαιοι καταπαύσουσιν ἐν αὐτῷ.

Καίγε αὐτὸς ἀνοίξει τὰς θύρας τοῦ παραδείσου, καὶ στήσει τὴν ἀπειλοῦσαν ·ομφαίαν κατὰ τοῦ Ἀδάμ, καὶ δώσει τοῖς ἁγίοις φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, καὶ πνεῦμα ἁγιωσύνης

ἔσται ἐπ’ αὐτοῖς.
Καὶ ὁ Βελίαρ δεθήσεται ὑπ’ αὐτοῦ,
καὶ δώσει ἐξουσίαν τοῖς τέκνοις αὐτοῦ τοῦ πατεῖν ἐπὶ τὰ πονηρὰ πνεύματα.
Καὶ εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς
τέκνοις αὐτοῦ, καὶ εὐδοκήσει Κύριος ἐπὶ τοῖς ἀγαπητοῖς αὐτοῦ ἕως τῶν αἰώνων.
Τότε ἀγαλλιάσεται Ἀβραὰμ
καὶ Ἰσαὰκ καὶ Ἰακώβ· κἀγὼ χαρίσομαι, καὶ πάντες οἱ ἅγιοι ἐνδύσονται εὐφροσύνην.

Καὶ νῦν, τέκνα μου, πάντα ἠκούσατε· ἐλέσθε
οὖν ἑαυτοῖς ἢ τὸ σκότος ἢ τὸ φῶς, ἢ νόμον Κυρίου ἢ ἔργα
Βελίαρ.

Καὶ ἀπεκρίθημεν ἡμεῖς τῷ πατρί, λέγοντες·
Ἐνώπιον Κυρίου πορευσώμεθα, κατὰ τὸν νόμον αὐτοῦ.
Καὶ εἶπεν ὁ πατὴρ ἡμῶν, Μάρτυς Κύριος, καὶ μάρτυρες οἱ ἄγγελοι αὐτοῦ, καὶ μάρτυς ἐγώ, καὶ μάρτυρες ὑμεῖς περὶ τοῦ λόγου τοῦ στόματος ὑμῶν. Καὶ εἴπωμεν· Μάρτυρες.
Καὶ οὕτως ἐπαύσατο Λευὶ ἐντελλόμενος τοῖς υἱοῖς αὐτοῦ, καὶ ἐξέτεινε τοὺς πόδας αὐτοῦ, καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ ζήσας ἕκατον τριάκοντα ἑπτὰ ἔτη.
Καὶ
ἔθηκαν αὐτὸν ἐν σωρῷ· καὶ ὕστερον ἔθαψαν αὐτὸν ἐν Χεβρών, ἀνὰ χεῖρα Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

ΔΙΑΘΗΚΗ ΙΟΥΔΑ ΠΕΡΙ ΑΝΔΡΕΙΑΣ ΚΑΙ ΦΙΛΑΡΓΥΡΙΑΣ ΚΑΙ ΠΟΡΝΕΙΑΣ

Ἀντίγραφον λόγων Ἰούδα, ὅσα ἐλάλησε τοῖς υἱοῖς αὐτοῦ, πρὸ τοῦ ἀποθανεῖν αὐτόν.

Συναχθέντες ἦλθον
πρὸς αὐτὸν καὶ εἶπεν αὐτοῖς·
Τέταρτος υἱὸς ἐγενόμην τῷ
πατρί μου, καὶ ἡ μήτηρ μου ὠνόμασέ με Ἰούδα, λέγουσα·

Ἀνθομολογοῦμαι τῷ Κυρίῳ, ὅτι ἔδωκέ μοι καὶ τέταρτον

υἱόν.

Ὀξὺς ἤμην καὶ σπουδαῖος ἐν νεότητί μου, καὶ

ὑπακούων τῷ πατρί μου κατὰ πάντα λόγον·

καὶ εὐλόγουν

τὴν μητέρα μου καὶ τὴν ἀδελφὴν τῆς μητρός μου.

Καὶ
ἐγένετο, ὡς ἠνδρώθην, καὶ ὁ πατήρ μου Ἰακὼβ ηὔξατό μοι,

λέγων· Βασιλεὺς ἔσῃ καὶ εὐοδούμενος ἐν πᾶσι.

Καὶ ἔδωκέ μοι Κύριος χάριν ἐν πᾶσι τοῖς ἔργοις

μου, ἔν τε ἀγρῷ καὶ ἐν τῷ οἴκῳ.

Ὡς εἶδον ὅτι συνέδραμον

τῇ ἐλάφῳ, καὶ πιάσας αὐτὴν ἐποίησα βρῶμα τῷ πατρί μου.

Τὰς δορκάδας ἐκράτουν διὰ τοῦ δρόμου, καὶ πᾶν ὃ ἦν ἐν
τοῖς πεδίοις κατελάμβανον. Φοράδα ἀγρίαν κατέλαβον,
καὶ πιάσας ἡμέρωσα·
καὶ λέοντα ἀπέκτεινα καὶ ἀφελόμην
ἔριφον ἐκ τοῦ στόματος αὐτοῦ. Ἄρκον λαβὼν ἐκ τοῦ ποδός,

ἀπεκύλησα εἰς κρημνόν· καὶ πᾶν θηρίον, εἰ ἐπέστρεφε πρός

με, διήσπουν αὐτὸ ὡς κύνα.

Τῷ χοίρῳ τῷ ἀγρίῳ συνέδρα-

μον, καὶ προλαβὼν ἐν τῷ τρέχειν με, κατεσπάραξα αὐτόν.

Πάρδαλις ἐν Χεβρὼν προσεπήδησεν ἐπὶ τὸν κύνα· καὶ

πιάσας αὐτὴν ἀπὸ τῆς οὐρᾶς, ἀπεκόντισα αὐτὴν καὶ ἐρράγη

ἐν τοῖς ὁρίοις Γάζης.

Βοῦν ἄγριον χώρᾳ νεμόμενον
ἐκράτησα ἐκ τῶν κεράτων, καὶ ἐν κύκλῳ συσσείσας καὶ σκοτί-

σας ·ίψας ἀνεῖλον αὐτόν.

Καὶ ὅτε ἦλθον οἱ δύο βασιλεῖς τῶν Χαναναίων τεθωρακισμένοι ἐπὶ τὰ ποίμνια καὶ πολὺς λαὸς μετ' αὐτῶν, κἀγὼ μόνος δραμὼν ἐπὶ τὸν βασιλέα Σούρ, συνέσχον αὐτὸν καὶ ἐπὶ τὰς κνιμῖδας κρούσας κατέσπασα, καὶ οὕτως ἀνεῖλον αὐτόν.

Καὶ τὸν ἕτερον βασιλέα Ταφουέ, καθήμενον
ἐπὶ τοῦ ἵππου, ἀνεῖλον αὐτὸν καὶ οὕτως πάντα τὸν λαὸν
διεσκόρπισα.

Τὸν Ἀχὼρ βασιλέα ἄνδρα γιγάντων,
βάλλοντα τόξα ἔμπροσθε καὶ ὄπισθεν ἐφ' ἵππου, ἀνελόμενος,
λίθον λιτρῶν ξ ἀκοντίσας ἔδωκα τῷ ἵππῳ καὶ ἀπέκτεινα
αὐτόν.

Καὶ πολεμήσας τὸν Ἀχὼρ ἐπὶ ὥρας δύο, ἀπέ-
κτεινα αὐτόν, καὶ εἰς δύο μερίδας ποιήσας τὴν ἀσπίδα αὐτοῦ,
συνέκοψα τοὺς πόδας αὐτοῦ.

Ἐν δὲ τῷ ἐκδύειν με αὐτοῦ
τὸν θώρακα, ἰδού, ὀκτὼ ἄνδρες ἑταῖροι αὐτοῦ, ἤρξαντο
πολεμεῖν πρός με.

Ἐνειλίσας οὖν τὴν στολήν μου ἐν τῇ
χειρί μου, λίθοις σφενδωνίσας αὐτοὺς τέσσαρας ἐξ αὐτῶν
ἀνεῖλον· οἱ δὲ ἄλλοι ἔφυγον.

Καὶ Ἰακὼβ ὁ πατὴρ ἡμῶν
ἀνεῖλε τὸν Βεελισᾶ, βασιλέα πάντων τῶν βασιλέων, γίγαντα
τῇ ἰσχύι πηχῶν ιβ.

Καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τρόμος,
καὶ ἐπαύσαντο πολεμοῦντες ἀφ' ἡμῶν.

Διὰ τοῦτο ἀμέριμ-
νος ἦν ὁ πατήρ μου ἐν τοῖς πολέμοις, ὅτε ἐγὼ ἤμην ἐν τοῖς

ἀδελφοῖς μου.

Εἶδε γὰρ ἐν ὁράματι περὶ ἐμοῦ, ὅτι ἄγγελος δυνάμεως ἔπεταί μοι ἐν πᾶσι, τοῦ μὴ ἡττᾶσθαι.

Καὶ κατὰ νότον γέγονεν ἡμῖν πόλεμος μείζων τοῦ ἐν Σικίμοις· καὶ παραταξάμενος μετὰ τῶν ἀδελφῶν μου, ἐδίωξα χιλίους ἄνδρας, καὶ ἀπέκτεινα ἐξ αὐτῶν διακοσίους ἄνδρας καὶ τέσσαρες βασιλεῖς.

Καὶ ἀνῆλθον ἐπ' αὐτοὺς ἐπὶ τοῦ τείχους, καὶ ἄλλους δύο βασιλεῖς ἀνεῖλον· καὶ οὕτως ἐλευθερώσαμεν τὴν Χεβρών, καὶ ἐλάβομεν πᾶσαν τὴν αἰχμαλωσίαν τῶν βασιλέων.

Τῇ ἑξῆς ἀπήλθομεν εἰς Ἀρέταν, πόλιν κραταιὰν καὶ τειχείρη καὶ ἀπροσέγγιστον, ἀπειλοῦσαν ἡμῖν θάνατον.

Ἐγὼ οὖν καὶ Γὰδ προσήξαμεν ἀπὸ ἀνατολῶν τῆς πόλεως· Ῥουβὴμ δὲ καὶ Λευὶ ἀπὸ δυσμῶν καὶ νότου.

Καὶ νομίσαντες οἱ ἐπὶ τοῦ τείχους ὅτι ἡμεῖς μόνοι ἐσμέν, ἐφελκύσθησαν ἐφ' ἡμᾶς· καὶ οὕτως λαθραῖοι οἱ ἀδελφοὶ ἐξ ἑκατέρων πασσάλοις ἐπανέβησαν τῷ τείχει, καὶ εἰσῆλθον εἰς τὴν πόλιν, ἀγνοούντων αὐτῶν.

Καὶ ἐλάβομεν αὐτὴν ἐν στόματι μαχαίρας, καὶ τοὺς ἐν τῷ πύργῳ καταφυγόντας, ἐμπρίσαντες τὸν πύργον σὺν αὐτοῖς ἐλάβομεν.

Καὶ ἐν τῷ ἀπιέναι ἡμᾶς, ἄνδρες Θαφφοῦ ἐπέβαλον τῇ αἰχμαλωσίᾳ ἡμῶν, καὶ παραλαβόντες αὐτὴν σὺν τοῖς υἱοῖς ἡμῶν, συνήψαμεν πρὸς αὐτοὺς ἕως Θαφφοῦ· κἀκείνους ἀπεκτείναμεν καὶ τὴν πόλιν ἐνεπρίσαμεν, πάντα τὰ ἐν αὐτῇ σκυλεύσαντες.

Καὶ ὡς ἤμην ἐν τοῖς ὕδασι Χουζηβᾶ, οἱ ἀπὸ Ἰωβὴλ

ἦλθον ἐφ’ ἡμᾶς εἰς πόλεμον·
καὶ συνήψαμεν αὐτοὺς καὶ
τοὺς ἀπὸ Σηλὼμ συμμάχους αὐτῶν ἀπεκτείναμεν· καὶ οὐκ
ἐδώκαμεν αὐτοῖς διέξοδον τοῦ εἰσελθεῖν πρὸς ἡμᾶς.
Καὶ
ἀπὸ Μαχὶρ ἐπῆλθον ἡμῖν τῇ πέμπτῃ ἡμέρᾳ, λαβεῖν τὴν
αἰχμαλωσίαν· καὶ προσάξαντες αὐτοῖς ἐν καρτερᾷ μάχῃ
περιεγενόμεθα, ὅτι ἦσαν πλῆθος δυνατοὶ ἐν αὐτοῖς· καὶ
ἀπεκτείναμεν αὐτοὺς πρὸ τοῦ ἀναβῆναι τὴν ἀνάβασιν.
Ὡς
δὲ ἤλθομεν τῇ πόλει αὐτῶν, αἱ γυναῖκες αὐτῶν ἐκύλιον ἐφ’
ἡμᾶς λίθους ἀπὸ τῆς κορυφῆς τοῦ ὄρους, ἐν ᾗ ἦν ἡ πόλις.
Καὶ ὑποκρυβέντες ἐγὼ καὶ Συμεὼν ἐξόπισθεν, ἐπελαβόμεθα
τῶν ὑψηλῶν, καὶ ὅλην τὴν πόλιν ὁλοθρεύσαμεν.
Καὶ τῇ ἑξῆς ἐρρέθη πρὸς ἡμᾶς ὅτι αἱ πόλεις τῶν
δύο βασιλέων ἐν ὄχλῳ βαρεῖ ἔρχονται πρὸς ἡμᾶς.
Ἐγὼ
οὖν καὶ Δάν, προσποιησάμενοι Ἀμορραίους, ὡς σύμμαχοι
ἤλθομεν εἰς τὴν πόλιν αὐτῶν.
Νυκτὶ δὲ βαθείᾳ ἐλθοῦσι
τοῖς ἀδελφοῖς ἠνοίξαμεν τὰς πύλας, καὶ πάντας αὐτοὺς καὶ
τὰ αὐτῶν ὁλοθρεύσαμεν, καὶ πάντα τὰ αὐτῶν προνομεύσαντες
τὰ τρία τείχη αὐτῶν καθείλομεν.
Καὶ ἐν τῇ Θάμνᾳ προσ-
ηγγίσαμεν, οὗ ἦν πᾶσα ἡ ἀποφυγὴ τῶν πολεμίων βασιλέων.
Τότε ὑβριζόμενος ἐθυμώθην, καὶ ὥρμησα ἐπ’ αὐτοὺς ἐπὶ τὴν
κορυφήν· κἀκεῖνοι ἐσφενδόνουν ἐπ’ ἐμὲ λίθοις καὶ τόξοις·
καὶ εἰ μὴ Δὰν ὁ ἀδελφός μου συνεμάχησέ μοι, εἶχόν με
ἀνελεῖν.
Ἐπήλθομεν οὖν ἐπ’ αὐτοὺς μετὰ θυμοῦ καὶ

πάντες ἔφυγον· καὶ διελθόντες δι’ ἄλλης ὁδοῦ, ἐδεήθησαν
τοῦ πατρός μου, καὶ ἐποίησεν εἰρήνην μετ’ αὐτῶν,
καὶ
οὐκ ἐποιήσαμεν αὐτοῖς οὐθὲν κακόν, ἀλλ’ ἐποιήσαμεν αὐτοὺς
ὑποσπόνδους, καὶ ἀπεδώκαμεν αὐτοῖς πᾶσαν τὴν αἰχμαλω-
σίαν.
Καὶ ᾠκοδόμησα ἐγὼ τὴν Θάμνα καὶ ὁ πατήρ μου
τὴν Ῥαμβαήλ.
Εἴκοσι ἐτῶν ἤμην, ὅτε ἐγένετο ὁ πόλεμος
οὗτος·
καὶ ἦσαν οἱ Χαναναῖοι φοβούμενοί με, καὶ τοὺς
ἀδελφούς μου.

Ἦν δέ μοι καὶ κτήνη πολλά, καὶ εἶχον ἀρχιποί-
μενα Ἰρᾶν τὸν Ὀδολομήτην·
πρὸς ὃν ἐλθών, εἶδον Βάρσαν
βασιλέα Ὀδολάμ. Καὶ ἐποίησεν ἡμῖν πότον· καὶ παρακαλέ-
σας δίδωσί μοι τὴν θυγατέρα αὐτοῦ Βησσοῦς εἰς γυναῖκα.
Αὐτὴ ἔτεκέ μοι τὸν Ἦρ καὶ Αὐνᾶν καὶ Σιλώμ· ὧν τοὺς
δύο ἀτέκνους ἀνεῖλε Κύριος· ὁ γὰρ Σιλὼμ ἔζησε, καὶ τὰ τέκνα
αὐτοῦ ὑμεῖς ἐστε.

Δεκαοκτὼ ἔτη ἐποιήσαμεν εἰρήνην, ὁ πατὴρ
ἡμῶν καὶ ἡμεῖς, μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Ἠσαῦ, καὶ οἱ
υἱοὶ μεθ’ ἡμῶν, μετὰ τὸ ἐλθεῖν ἡμᾶς ἐκ Μεσοποταμίας ἀπὸ
Λάβαν.

Καὶ πληρωθέντων δεκαοκτὼ ἐτῶν, ἐν τεσσαρα-
κοστῷ ἔτει ζωῆς μου, ἐπῆλθεν ἡμῖν Ἠσαῦ, ὁ ἀδελφὸς τοῦ
πατρός μου, ἐν λαῷ βαρεῖ καὶ ἰσχυρῷ·
καὶ ἔπεσεν ἐν
τόξῳ Ἰακὼβ καὶ ἤρθη νεκρὸς ἐν ὄρει Σιείρ· καὶ πορευόμενος
ἐπάνω Εἰρραμνᾶ ἀπέθανεν.
Ἡμεῖς δὲ ἐδιώξαμεν ἐπὶ

τοὺς υἱοὺς Ἠσαῦ. Ἦν δὲ τούτοις πόλις, καὶ τεῖχος σιδηροῦν καὶ πύλαι χαλκαῖ· καὶ οὐκ ἠδυνήθημεν εἰσελθεῖν ἐν αὐτῇ, καὶ περικαθίσαντες ἐπολιορκοῦμεν αὐτούς.

Καὶ ὡς οὐκ ἤνοιγον μετὰ ἡμέρας εἴκοσι, ὁρώντων αὐτῶν, προσάγω κλίμακα, καὶ τὴν ἀσπίδα ἐπὶ τῆς κεφαλῆς μου· καὶ ἀνῆλθον ἀποδεχόμενος λίθους ἕως ταλάντων τριῶν· καὶ ἀνελθὼν ἀνεῖλον τέσσαρες τοὺς δυνατοὺς ἐξ αὐτῶν.

Καὶ τῇ ἑξῆς ἐμβάντες Ῥουβὴμ καὶ Γὰδ ἀνεῖλον ἑτέρους ἑξήκοντα. Τότε αἰτοῦσιν ἡμᾶς τὰ πρὸς εἰρήνην· καὶ γενόμενοι βουλῆς τοῦ πατρὸς ἡμῶν, ἐδεξάμεθα αὐτοὺς ὑποφόρους.

Καὶ ἦσαν δίδοντες ἡμῖν πυροῦ κόρους διακοσίους, ἐλαίου βὲθ φ, οἴνου μέτρα χίλια πεντακόσια, ἕως ὅτε κατήλθομεν εἰς Αἴγυπτον.

Μετὰ ταῦτα Ἠρ ὁ υἱός μου ἄγεται τὴν Θάμαρ ἐκ Μεσοποταμίας, θυγατέρα Ἀράμ.

Ἦν δὲ Ἠρ πονηρός, καὶ ἠπορεῖτο περὶ τῆς Θάμαρ, ὅτι οὐκ ἦν ἐκ γῆς Χαναάν. Καὶ ἄγγελος Κυρίου ἀνεῖλεν αὐτὸν τῇ τρίτῃ ἡμέρᾳ τῇ νυκτί, καὶ αὐτὸς οὐκ ἔγνω αὐτήν, κατὰ πανουργίαν τῆς μητρὸς αὐτοῦ, οὐ γὰρ ἤθελεν ἔχειν τέκνα ἀπ’ αὐτῆς.

Ἐν ταῖς ἡμέραις τοῦ θαλάμου ἐπεγάμβρευσα αὐτῇ τὸν Αὐνᾶν· καίγε οὗτος ἐν πονηρίᾳ οὐκ ἔγνω αὐτήν, ποιήσας σὺν αὐτῇ ἐνιαυτόν. Καὶ ὅτε ἠπείλησα αὐτῷ, συνῆλθε μὲν αὐτῇ, διέφθειρε δὲ τὸ σπέρμα ἐπὶ τὴν γῆν, κατὰ τὴν ἐντολὴν τῆς μητρὸς αὐτοῦ· καίγε οὗτος ἐν πονηρίᾳ ἀπέθανεν.

Ἤθελον δὲ καὶ τὸν

Σιλὼμ δοῦναι αὐτῇ, ἀλλ’ ἡ γυνή μου Βησουὲ οὐκ ἀφῆκεν· ἐπονηρεύετο γὰρ πρὸς τὴν Θάμαρ, ὅτι οὐκ ἦν ἐκ θυγατέρων Χαναάν, ὡς αὐτή.

Κἀγὼ ᾔδειν, ὅτι πονηρὸν τὸ γένος Χαναάν, ἀλλὰ τὸ διαβούλιον τῆς νεότητος ἐτύφλωσε τὴν καρδίαν μου.

Καὶ ἰδὼν αὐτὴν οἰνοχοοῦσαν, ἐν μέθῃ οἴνου ἠπατήθην, καὶ συνέπεσα πρὸς αὐτήν.

Αὐτή, ἀπόντος μου, ἐπορεύθη καὶ ἐλάβετο Σιλὼμ γυναῖκα ἐκ γῆς Χαναάν.

Γνοὺς δὲ ὃ ἐποίησε κατηρασάμην αὐτῇ ἐν ὀδύνῃ ψυχῆς μου· καίγε αὕτη ἀπέθανεν ἐν πονηρίᾳ υἱῶν αὐτῆς.

Μετὰ δὲ τοὺς λόγους τούτους, χηρευούσης τῆς Θάμαρ, μετὰ δύο ἔτη ἀκούσασα, ὅτι ἀνέρχομαι κεῖραι τὰ πρόβατα, κοσμηθεῖσα κόσμῳ νυμφικῷ, ἐκάθισεν ἀπέναντι τῇ πόλει πρὸς τὴν πύλην.

Νόμος γὰρ Ἀμορραίων, τὴν γαμοῦσαν προκαθίσαι ἐν πορνείᾳ ἑπτὰ ἡμέρας παρὰ τὴν πύλην.

Μεθυσθεὶς οὖν ἐγὼ ἐν ὕδασι Χωζήβ, οὐκ ἐπέγνων αὐτὴν ἀπὸ τοῦ οἴνου· καὶ ἠπάτησέ με τὸ κάλλος αὐτῆς διὰ τοῦ σχήματος τῆς κοσμήσεως.

Καὶ ἐκκλίνας πρὸς αὐτὴν εἶπον· Εἰσέλθω πρός σε. Καὶ εἶπέ μοι· Τί μοι δώσεις; Καὶ ἔδωκα αὐτῇ τὴν ·άβδον μου καὶ τὴν ζώνην καὶ τὸ διάδημα τῆς βασιλείας, καὶ συνελθὼν αὐτῇ συνείληφεν.

Ἀγνοῶν δὲ ὃ ἐποίησεν, ἤθελον ἀνελεῖν αὐτήν· πέμψασα δὲ ἐν κρυπτῷ

τοὺς ἀρραβῶνας, κατῄσχυνέ με.

Καλέσας δὲ αὐτήν,

ἤκουσα καὶ τοὺς ἐν μυστηρίῳ λόγους, καθεύδων σὺν αὐτῇ ἐν

τῇ μέθῃ μου οὓς ἐλάλησα· καὶ οὐκ ἠδυνήθην ἀνελεῖν αὐτήν,

ὅτι παρὰ Κυρίου ἦν.

Ἔλεγον δέ· Μήποτε ἐν δολιότητι
ἐποίησε, παρὰ ἄλλης λαβοῦσα τὸν ἀρραβῶνα.

Ἀλλ’ οὐδὲ
ἤγγισα αὐτῇ ἔτι ἕως θανάτου μου, ὅτι βδέλυγμα ἐποίησα

τοῦτο ἐν παντὶ Ἰσραήλ.

Καίγε οἱ ἐν <τ>ῇ πόλει ἔλεγον, μὴ
εἶναι ἐν τῇ πόλει τελισκομένην· ὅτι ἐξ ἄλλου χωρίου ἐλθοῦσα
πρὸς βραχὺ ἐκάθισεν ἐν πύλῃ·
καὶ ἐνόμιζεν, ὅτι οὐδεὶς
ἔγνω ὅτι εἰσῆλθον πρὸς αὐτήν.
Καὶ μετὰ ταῦτα ἤλθομεν
εἰς Αἴγυπτον πρὸς Ἰωσὴφ διὰ τὸν λιμόν.
<Τεσ>σαράκοντα
ἓξ ἐτῶν ἤμην καὶ ἑβδομήκοντα τρία ἔτη ἔζησα ἐκεῖ.

Καὶ νῦν ὅσα ἐγὼ ὑμῖν ἐντέλλομαι, ἀκούσατε,

τέκνα, τοῦ πατρὸς ὑμῶν, καὶ φυλάξατε πάντας τοὺς λόγους

μου, τοῦ ποιεῖν τὰ δικαιώματα Κυρίου καὶ ὑπακούειν

ἐντολῆς Κυρίου Θεοῦ.

Καὶ μὴ πορεύεσθε ὀπίσω τῶν
ἐπιθυμιῶν ὑμῶν, μηδὲ ἐνθυμήσεσι διαβουλίων ὑμῶν, ἐν

ὑπερηφανείᾳ καρδίας ὑμῶν, καὶ μὴ καυχᾶσθε ἐν ἔργοις

ἰσχύος νεότητος ὑμῶν, ὅτι καίγε τοῦτο πονηρὸν ἐν ὀφθαλμοῖς

Κυρίου.

Ἐπειδὴ γὰρ κἀγὼ καυχησάμενος, ὅτι ἐν πολέμοις

οὐκ ἠπάτησέ με πρόσωπον γυναικὸς εὐμόρφου, ὠνείδιζον

Ῥουβὴμ τὸν ἀδελφόν μου περὶ Βάλλας γυναικὸς πατρός μου,

τὸ πνεῦμα τοῦ ζήλου καὶ τῆς πορνείας παρετάξατο ἐν ἐμοί,

ἕως συνέπεσα εἰς Βησουὲ τὴν Χαναναίαν καὶ εἰς Θάμαρ τὴν νυμφευθεῖσαν τοῖς υἱοῖς μου.

Καὶ ἔλεγον τῷ πενθερῷ μου·
Συμβουλεύσω τῷ πατρί μου καὶ οὕτως λήψομαι τὴν θυγατέρα σου. Καὶ ἔδειξέ μοι ἐπ' ὀνόματι τῆς θυγατρὸς αὐτοῦ χρυσοῦ πλῆθος ἄπειρον· ἦν γὰρ βασιλεύς.

Καὶ αὐτὴν
κοσμήσας ἐν χρυσῷ καὶ μαργαρίταις, ἐποίησεν ἡμῖν οἰνο-χοεῖν ἐν τῷ δείπνῳ ἐν κάλλει γυναικῶν.

Καὶ ὁ οἶνος
διέστρεψέ μου τοὺς ὀφθαλμούς, καὶ ἡμαύρωσέ μου τὴν καρδίαν ἡδονή.

Καὶ ἐρασθεὶς αὐτῆς συνέπεσα, καὶ
παρέβην ἐντολὴν Κυρίου, καὶ ἐντολὴν πατέρων μου, καὶ ἔλαβον αὐτὴν εἰς γυναῖκα.

Καὶ ἀνταπέδωκέ μοι Κύριος
κατὰ τὸ διαβούλιον τῆς καρδίας μου, ὅτι οὐκ ηὐφράνθην ἐπὶ τοῖς τέκνοις αὐτῆς.

Καὶ νῦν, τέκνα μου, μὴ μεθύσκεσθε οἴνῳ· ὅτι ὁ οἶνος διαστρέφει τὸν νοῦν ἀπὸ τῆς ἀληθείας, καὶ ἐμβάλλει ὀργὴν ἐπιθυμίας, καὶ ὁδηγεῖ εἰς πλάνην τοὺς ὀφθαλμούς. Τὸ γὰρ πνεῦμα τῆς πορνείας τὸν οἶνον, ὡς διάκονον, πρὸς τὰς ἡδονὰς ἔχει τοῦ νοός· ὅτι καίγε τὰ δύο ταῦτα ἀφιστῶσι τὴν δύναμιν τοῦ ἀνθρώπου.

Ἐὰν γάρ τις πίῃ οἶνον εἰς
μέθην, ἐν διαλογισμοῖς ·υπαροῖς συνταράσσει τὸν νοῦν εἰς πορνείαν καὶ ἐκθερμαίνει τὸ σῶμα πρὸς μίξιν, καὶ εἰ πάρεστι τὸ τῆς ἐπιθυμίας αἴτιον, πράσσει τὴν ἁμαρτίαν καὶ οὐκ αἰσχύνεται.

Τοιοῦτός ἐστιν ὁ οἶνος, τέκνα μου, ὅτι ὁ
μεθύων οὐδένα αἰδεῖται.
Ἰδοὺ γὰρ κἀμὲ ἐπλάνησε, μὴ
αἰσχυνθῆναι πλῆθος ἐν τῇ πόλει· ὅτι ἐν ὀφθαλμοῖς πάντων
ἐξέκλινα πρὸς τὴν Θάμαρ, καὶ ἐποίησα ἁμαρτίαν μεγάλην,
καὶ ἀνεκάλυψα κάλυμμα ἀκαθαρσίας υἱῶν μου.
Πιὼν
οἶνον, οὐκ αἰσχύνθην ἐντολὴν Θεοῦ καὶ ἔλαβον γυναῖκα
Χαναναίαν.
Διὸ συνέσεως χρῄζει ὁ πίνων οἶνον, τέκνα
μου· καὶ αὕτη ἐστὶν ἡ σύνεσις τῆς οἰνοποσίας, ἵνα ἕως ὅτε
ἔχει αἰδώ, πίνῃ·
ἐὰν δὲ παρέλθῃ τὸν ὅρον τοῦτον, ἐμβάλλει
εἰς τὸν νοῦν καὶ ποιεῖ τὸ πνεῦμα τῆς πλάνης· καὶ ποιεῖ τὸν
μέθυσον αἰσχρορημονεῖν, καὶ παρανομεῖν, καὶ μὴ αἰσχύνεσθαι,
ἀλλὰ καὶ ἐγκαυχᾶσθαι τῇ ἀτιμίᾳ, νομίζοντα εἶναι καλόν.
Ὁ πορνεύων καὶ γυμνούμενος τῆς βασιλείας οὐκ
ἐξέρχεται, δουλωθεὶς τῇ πορνείᾳ, ὡς κἀγὼ γυμνωθείς.
Ἔδωκα γὰρ τὴν ·άβδον μου, τουτέστι τὸ στήριγμα τῆς
ἐμῆς φυλῆς· καὶ τὴν ζώνην μου, τουτέστι τὴν δύναμιν· καὶ
τὸ διάδημα, τουτέστι τὴν δόξαν τῆς βασιλείας μου.
Καίγε
μετανοήσας ἐπὶ τούτοις, οἶνον καὶ κρέας οὐκ ἔλαβον ἕως
γήρως, καὶ πᾶσαν εὐφροσύνην οὐκ εἶδον.
Καὶ ἔδειξέ
μοι ὁ ἄγγελος τοῦ Θεοῦ ἕως τοῦ αἰῶνος ὅτι καὶ βασιλεῖ,
καὶ πτωχῷ, αἱ γυναῖκες κατακυριεύουσι,
καὶ τοῦ μὲν
βασιλέως αἴρουσι τὴν δόξαν, τοῦ δὲ ἀνδρείου τὴν δύναμιν, καὶ

τοῦ πτωχοῦ τὸ τῆς πτωχείας ἐλάχιστον στήριγμα.
Φυλάσσεσθε οὖν, τέκνα μου, ὅρον οἴνου. Ἔστι
γὰρ ἐν αὐτῷ τέσσαρα πνεύματα πονηρά· ἐπιθυμίας, πυρώ-
σεως, ἀσωτίας, αἰσχροκερδίας.
Ἐὰν πίνητε οἶνον ἐν
εὐφροσύνῃ μετὰ φόβου Θεοῦ αἰδούμενοι, ζήσεσθε. Ἐὰν
γὰρ πίνητε μὴ αἰδούμενοι, καὶ ἀποστῇ ὁ τοῦ Θεοῦ φόβος,
λοιπὸν γίνεται μέθη, καὶ παρεισέρχεται ἡ ἀναισχυντία.
Εἰ δὲ μηδὲ ὅλως πίετε, ἵνα μὴ ἁμάρτητε ἐν λόγοις ὕβρεως,
καὶ μάχης, καὶ συκοφαντίας, καὶ παραβάσεως ἐντολῶν Θεοῦ,
καὶ ἀπολέσθαι οὐκ ἐν καιρῷ ὑμῶν.
Καίγε μυστήρια Θεοῦ
καὶ ἀνθρώπων ἀλλοτρίοις ἀποκαλύπτει ὁ οἶνος, ὡς κἀγὼ
ἐντολὰς Θεοῦ καὶ μυστήρια Ἰακὼβ τοῦ πατρός μου ἀπεκά-
λυψα τῇ Χανανίτιδι Βησουέ, οἷς εἶπεν ὁ Θεὸς μὴ ἀποκαλύψαι.
Καὶ πολέμου δὲ καὶ ταραχῆς αἴτιος γίνεται ὁ οἶνος.
Ἐντέλλομαι οὖν ὑμῖν, τέκνα μου, μὴ ἀγαπᾶν
ἀργύριον, μηδὲ ἐμβλέπειν εἰς κάλλος γυναικῶν· ὅτι καίγε δι’
ἀργύριον καὶ εὐμορφίαν ἐπλανήθην εἰς Βησουὲ τὴν Χαναναίαν.
Ὅτι οἶδα ἐγώ, ὅτι διὰ τὰ δύο ταῦτα ἔσεσθε τὸ γένος μου
ἐν πονηρίᾳ·
ὅτι καίγε σοφοὺς ἄνδρας τῶν υἱῶν μου
ἀλλοιώσουσι, καὶ βασιλείαν Ἰούδα σμικρυνθῆναι ποιήσουσιν,
ἣν ἔδωκέ μοι Κύριος ἐν ὑπακοῇ πατρός.
Οὐδέποτε γὰρ
ἐλύπησα λόγον Ἰακὼβ τοῦ πατρός μου, ὅτι πάντα, ὅσα
εἶπεν, ἐποίουν.
Καὶ Ἀβραὰμ ὁ πατὴρ τοῦ πατρός μου
εὐλόγησέ με, βασιλεύειν ἐν Ἰσραήλ· καὶ Ἰσαὰκ ἐπευλόγησέ

με ὁμοίως οὕτως.

Καὶ ἐγὼ οἶδα, ὅτι ἐξ ἐμοῦ στήσεται τὸ βασίλειον.

Ὅτι καίγε ἀνέγνων ἐν βίβλοις Ἐνὼχ τοῦ δικαίου, ὅσα κακὰ ποιήσετε ἐπ' ἐσχάταις ἡμέραις.

Φυλάξασθε οὖν, τέκνα μου, ἀπὸ τῆς πορνείας καὶ τῆς φιλαργυρίας, ἀκούσατε Ἰούδα τοῦ πατρὸς ὑμῶν, ὅτι ταῦτα ἀφιστᾷ νόμου Θεοῦ, καὶ τυφλοῖ τὸ διαβούλιον τῆς ψυχῆς, καὶ ὑπερηφανίαν ἐκδιδάσκει, καὶ οὐκ ἀφίει ἄνδρα ἐλεῆσαι τὸν πλησίον αὐτοῦ, στερίσκει τὴν ψυχὴν αὐτοῦ ἀπὸ πάσης ἀγαθοσύνης, καὶ συνέχει αὐτὸν ἐν μόχθοις καὶ πόνοις, καὶ ἀφιστᾷ ὕπνον αὐτοῦ, καὶ καταδαπανᾷ σάρκας αὐτοῦ, καὶ θυσίας Θεοῦ ἐμποδίζει, καὶ εὐλογίας οὐ μέμνηται, καὶ προφήτῃ λαλοῦντι οὐχ ὑπακούει, καὶ λόγῳ εὐσεβείας προσωχθίζει.

Δύο γὰρ πάθη ἐναντία τῶν ἐντολῶν τοῦ Θεοῦ δουλεύων Θεῷ Θεοῦ ὑπακούειν οὐ δύναται, ὅτι ἐτύφλωσαν τὴν ψυχὴν αὐτοῦ, καὶ ἐν ἡμέρᾳ ὡς ἐν νυκτὶ πορεύεται.

Τέκνα μου, ἡ φιλαργυρία πρὸς εἴδωλα ὁδηγεῖ, ὅτι ἐν πλάνῃ δι' ἀργυρίου, τοὺς μὴ ὄντας θεοὺς ὀνομάζουσι· καὶ ποιεῖ τὸν ἔχοντα αὐτὴν εἰς ἔκστασιν ἐμπεσεῖν.

Διὰ ἀργύριον ἐγὼ ἀπώλεσα τὰ τέκνα μου, καὶ εἰ μὴ ἡ μετάνοια σαρκός μου, καὶ ἡ ταπείνωσις ψυχῆς μου, καὶ αἱ εὐχαὶ Ἰακὼβ τοῦ πατρός μου, ἄτεκνος εἶχον ἀποθανεῖν.

Ἀλλ' ὁ Θεὸς τῶν πατέρων μου, ὁ οἰκτίρμων καὶ ἐλεήμων, συνέγνω

ὅτι ἐν ἀγνοίᾳ ἐποίησα.

Ἐτύφλωσε γάρ με ὁ ἄρχων τῆς πλάνης, καὶ ἠγνόησα, ὡς ἄνθρωπος, καὶ ὡς σάρξ, ἐν ἁμαρτίαις φθαρείς· καὶ ἐπέγνων τὴν ἐμαυτοῦ ἀσθένειαν, νομίζων ἀκαταμάχητος εἶναι.

Ἐπίγνωτε οὖν, τέκνα μου, ὅτι δύο πνεύματα σχολάζουσι τῷ ἀνθρώπῳ, τὸ τῆς ἀληθείας καὶ τὸ τῆς πλάνης· καὶ μέσον ἐστὶ τὸ τῆς συνέσεως τοῦ νοός, οὗ ἐὰν θέλῃ κλῖναι.

Καίγε τὰ τῆς ἀληθείας καὶ τὰ τῆς πλάνης γέγραπται ἐπὶ τὸ στῆθος τοῦ ἀνθρώπου· καὶ ἓν ἕκαστον αὐτῶν γνωρίζει Κύριος.

Καὶ οὐκ ἔστι καιρός, ἐν ᾧ δυνήσεται λαθεῖν ἀνθρώπων ἔργα· ὅτι ἐν στήθει ὀστέων αὐτὸς ἐγγέγραπται ἐνώπιον Κυρίου.

Καὶ τὸ πνεῦμα τῆς ἀληθείας μαρτυρεῖ πάντα, καὶ κατηγορεῖ πάντων, καὶ ἐμπεπύρισται ὁ ἁμαρτήσας ἐκ τῆς ἰδίας καρδίας, καὶ ἆραι πρόσωπον οὐ δύναται πρὸς τὸν κριτήν.

Καὶ νῦν, τέκνα, ἀγαπήσατε τὸν Λευί, ἵνα διαμείνητε· καὶ μὴ ἐπαίρεσθε ἐπ’ αὐτόν, ἵνα μὴ ἐξολοθρευθῆτε.

Ἐμοὶ γὰρ ἔδωκε Κύριος τὴν βασιλείαν, κἀκείνῳ τὴν ἱερατείαν, καὶ ὑπέταξε τὴν βασιλείαν τῇ ἱερωσύνῃ.

Ἐμοὶ ἔδωκε τὰ ἐπὶ τῆς γῆς, ἐκείνῳ τὰ ἐν οὐρανοῖς.

Ὡς ὑπερέχει οὐρανὸς τῆς γῆς, οὕτως ὑπερέχει Θεοῦ ἱερατεία τῆς ἐπὶ γῆς βασιλείας.

Καὶ γὰρ αὐτὸν ὑπέρ σε ἐξελέξατο Κύριος ἐγγίζειν αὐτῷ, καὶ ἐσθίειν τράπεζαν αὐτοῦ, καὶ

ἀπαρχὰς ἐντρυφήματα υἱῶν Ἰσραήλ·
καὶ ἔσῃ αὐτοῖς
ὡς θάλασσα. Ὥσπερ γὰρ ἐν αὐτῇ δίκαιοι καὶ ἄδικοι
χειμάζονται, οἱ μὲν αἰχμαλωτιζόμενοι, οἱ δὲ πλουτοῦντες·
οὕτως καὶ ἐν σοὶ πᾶν γένος ἀνθρώπων, οἱ μὲν κινδυνεύουσιν
αἰχμαλωτιζόμενοι, οἱ δὲ πλουτίσουσιν ἁρπάζοντες.
Ὅτι
οἱ βασιλεύοντες ἔσονται ὡς κήτη, καταπίνοντες ἀνθρώπους
ὡς ἰχθύας· θυγατέρας καὶ υἱοὺς ἐλευθέρους καταδουλοῦσιν·
οἴκους, ἀγρούς, ποίμνια, χρήματα ἁρπάσουσι·
καὶ
πολλῶν σάρκας ἀδίκως κόρακας καὶ ἴβεις χορτάσουσι, καὶ
προκόψουσιν ἐπὶ τὸ κακὸν ἐν πλεονεξίᾳ ὑψούμενοι.
Καὶ
ἔσονται ὡς καταιγίδες ψευδοπροφῆται, καὶ πάντας δικαίους
διώξονται.

Ἐπάξει δὲ αὐτοῖς Κύριος διαιρέσεις κατ'
ἀλλήλων, καὶ πόλεμοι συνεχεῖς ἔσονται ἐν Ἰσραήλ,
καὶ ἐν
ἀλλοφύλοις συντελεσθήσεται ἡ βασιλεία μου, ἕως τοῦ ἐλθεῖν
τὸ σωτήριον Ἰσραήλ, ἕως παρουσίας τοῦ Θεοῦ τῆς δικαιο-
σύνης, τοῦ ἡσυχάσαι τὸν Ἰακὼβ ἐν εἰρήνῃ, καὶ πάντα τὰ
ἔθνη.

Καὶ αὐτὸς φυλάξει κράτος βασιλείας μου ἕως τοῦ
αἰῶνος. Ὅρκῳ γὰρ ὤμοσέ μοι Κύριος, μὴ ἐκλείψειν τὸ
βασίλειόν μου καὶ τοῦ σπέρματός μου, πάσας τὰς ἡμέρας,
ἕως τοῦ αἰῶνος.

Πολλὴ δὲ λύπη μοί ἐστι, τέκνα μου, διὰ τὰς
ἀσελγίας καὶ γοητείας καὶ εἰδωλολατρείας, ἃς ποιήσετε εἰς
τὸ βασίλειον, ἐγγαστριμύθοις ἀκολουθοῦντες, κληδόσι καὶ

δαίμοσι πλάνης.

Τὰς θυγατέρας ὑμῶν μουσικὰς καὶ
δημοσίας ποιήσετε, καὶ ἐπιμιγήσεσθε ἐν βδελύγμασιν ἐθνῶν·
ἀνθ' ὧν ἄξει Κύριος ἐφ' ὑμᾶς λιμὸν καὶ λοιμόν, θάνατον
καὶ ·ομφαίαν ἐκδικοῦσαν, πολιορκίαν, καὶ κύνας εἰς διασπασμὸν ἐχθρῶν, καὶ φίλων ὀνειδισμούς, ἀπώλειαν καὶ σφακελισμὸν ὀφθαλμῶν, νηπίων ἀναίρεσιν, καὶ συμβίων ἀφαίρεσιν, ὑπαρχόντων ἁρπαγήν, ναοῦ Θεοῦ ἐμπυρισμόν, γῆς ἐρήμωσιν, ὑμῶν αὐτῶν δουλείαν ἐν ἔθνεσι·
καὶ ἐκτεμοῦσιν ἐξ ὑμῶν
εἰς εὐνούχους ταῖς γυναιξὶν αὐτῶν·
καὶ ὡς ἂν ἐπιστρέψητε
πρὸς Κύριον εὐτελείᾳ καρδίας, μεταμελούμενοι, καὶ πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς τοῦ Θεοῦ, καὶ ἐπισκέψηται ὑμᾶς Κύριος ἐν ἐλεεῖ καὶ ἐν ἀγάπῃ ἀπὸ τῆς αἰχμαλωσίας τῶν ἐχθρῶν ὑμῶν.

Καὶ μετὰ ταῦτα ἀνατελεῖ ὑμῖν ἄστρον ἐξ Ἰακὼβ ἐν εἰρήνῃ, καὶ ἀναστήσεται ἄνθρωπος ἐκ τοῦ σπέρματός μου, ὡς ὁ ἥλιος τῆς δικαιοσύνης, συμπορευόμενος τοῖς υἱοῖς τῶν ἀνθρώπων ἐν πραότητι καὶ δικαιοσύνῃ, καὶ πᾶσα ἁμαρτία οὐχ εὑρεθήσεται ἐν αὐτῷ.

Καὶ ἀνοιγήσονται
ἐπ' αὐτὸν οἱ οὐρανοὶ ἐκχέαι πνεύματος εὐλογίαν πατρὸς ἁγίου·
καὶ αὐτὸς ἐκχεεῖ πνεῦμα χάριτος ἐφ' ὑμᾶς
καὶ ἔσεσθε αὐτῷ
εἰς υἱοὺς ἐν ἀληθείᾳ, καὶ πορεύσεσθε ἐν προστάγματι αὐτοῦ πρώτοις καὶ ἐσχάτοις.
Οὗτος ὁ βλαστὸς Θεοῦ ὑψίστου,
καὶ αὕτη ἡ πηγὴ εἰς ζωὴν πάσης σαρκός.
Τότε ἀναλάμψει
σκῆπτρον βασιλείας μου, καὶ ἀπὸ τῆς ·ίζης ὑμῶν γενήσεται πυθμήν.

Καὶ ἐν αὐτῷ ἀναβήσεται ·ἄβδος δικαιοσύνης τοῖς ἔθνεσι, κρῖναι καὶ σῶσαι πάντας τοὺς ἐπικαλουμένους Κύριον.

Καὶ μετὰ ταῦτα ἀναστήσεται Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ εἰς ζωήν, καὶ ἐγὼ καὶ οἱ ἀδελφοί μου ἔξαρχοι σκῆπτρον ἡμῶν ἐν Ἰσραὴλ ἐσόμεθα, Λευὶ πρῶτος, δεύτερος ἐγώ, τρίτος Ἰωσήφ, τέταρτος Βενιαμίν, πέμπτος Συμεών, ἕκτος Ἰσάχαρ, καὶ οὕτως καθεξῆς πάντες.

Καὶ Κύριος εὐλόγησε τὸν Λευί· ὁ ἄγγελος τοῦ προσώπου ἐμέ· αἱ δυνάμεις τῆς δόξης τὸν Συμεών· ὁ οὐρανὸς τὸν Ῥουβήμ· τὸν Ἰσάχαρ ἡ γῆ· ἡ θάλασσα τὸν Ζαβουλών· τὰ ὄρη τὸν Ἰωσήφ· ἡ σκηνὴ τὸν Βενιαμίν· οἱ φωστῆρες τὸν Δάν· ἡ τρυφὴ τὸν Νεφθαλείμ· ὁ ἥλιος τὸν Γάδ· ἐλαία τὸν Ἀσήρ· καὶ ἔσται εἷς λαὸς Κυρίου, καὶ γλῶσσα μία· καὶ οὐκ ἔσται ἔτι πνεῦμα πλάνης τοῦ Βελίαρ, ὅτι ἐμβληθήσεται ἐν τῷ πυρὶ εἰς τὸν αἰῶνα.

Καὶ οἱ ἐν λύπῃ τελευτήσαντες, ἀναστήσονται ἐν χαρᾷ, καὶ οἱ ἐν πτωχείᾳ διὰ Κύριον πλουτισθήσονται, καὶ οἱ ἐν πενίᾳ χορτασθήσονται, καὶ οἱ ἐν ἀσθενείᾳ ἰσχύσουσι, καὶ οἱ διὰ Κύριον ἀποθανόντες ἐξυπνισθήσονται ἐν ζωῇ.

Καὶ οἱ ἔλαφοι Ἰακὼβ δραμοῦνται ἐν ἀγαλλιάσει, καὶ οἱ ἀετοὶ Ἰσραὴλ πετασθήσονται ἐν χαρᾷ· οἱ δὲ ἀσεβεῖς πενθήσουσι, καὶ ἁμαρτωλοὶ κλαύσονται, καὶ πάντες οἱ λαοὶ δοξάσουσι Κύριον εἰς αἰῶνας.

Φυλάξατε οὖν, τέκνα μου, πάντα νόμον Κυρίου, ὅτι ἐστὶν ἐλπὶς πᾶσι τοῖς κατευθύνουσι τὴν ὁδὸν αὐτοῦ.

Καὶ εἶπε πρὸς αὐτούς· Ἑκατὸν δεκαεννέα ἐτῶν ἐγὼ ἀποθνήσκω σήμερον ἐν ὀφθαλμοῖς ὑμῶν.

Μηδείς με ἐνταφιάσῃ πολυτελῇ ἐσθῆτι, ἢ τὴν κοιλίαν μου ἀναρήξει,

ὅτι ταῦτα μέλλουσι ποιεῖν οἱ βασιλεύοντες· καὶ ἀναγάγετέ
με εἰς Χεβρὼν μεθ’ ὑμῶν.
Καὶ ταῦτα εἰπὼν ἐκοιμήθη
Ἰούδας· καὶ ἐποίησαν οἱ υἱοὶ αὐτοῦ κατὰ πάντα, ὅσα ἐνετεί-
λατο αὐτοῖς, καὶ ἔθαψαν αὐτὸν ἐν Χεβρὼν μετὰ τῶν πατέρων
αὐτοῦ.

ΔΙΑΘΗΚΗ ΙΣΑΧΑΡ ΠΕΡΙ ΑΠΛΟΤΗΤΟΣ

Ἀντίγραφον λόγων Ἰσάχαρ. Καλέσας τοὺς υἱοὺς
αὐτοῦ, εἶπεν αὐτοῖς· Ἀκούσατε, τέκνα, Ἰσάχαρ τοῦ πατρὸς
ὑμῶν, ἐνωτίσασθε ·»ματα, ἠγαπημένοι ὑπὸ Κυρίου.
Ἐγὼ ἐτέχθην πέμπτος υἱὸς τῷ Ἰακώβ, ἐν μισθῷ τῶν
μανδραγόρων.
Ἰακὼβ γὰρ ἤνεγκε μανδραγόρους ἐκ τοῦ
ἀγροῦ, καὶ προαπαντήσασα Ῥαχιὴλ ἔλαβεν αὐτούς.
Ἔ-
κλαιε δὲ Ῥουβήμ, καὶ ἐπὶ τῇ φωνῇ αὐτοῦ ἐξῆλθε Λία ἡ μήτηρ
μου.
Ταῦτα δὲ ἦσαν μῆλα εὐώδημα, ἃ ἐποίει ἡ γῆ Ἀρὰμ
ἐν ὕψει ὑποκάτω φάραγγος ὑδάτων.
Εἶπε δὲ Ῥαχήλ·
Οὐ δώσω αὐτά σοι, ὅτι ἔσονταί μοι ἀντὶ τέκνων.
Ἦσαν
δὲ μῆλα δύο. Καὶ εἶπε Λία· Ἱκανούσθω σοι, ὅτι ἔλαβες
τὸν ἄνδρα παρθενίας μου· μὴ καὶ ταῦτα λήψῃ;
Ἡ δὲ
εἶπεν· Ἰδού, ἔστω σοι Ἰακὼβ τὴν νύκτα ταύτην ἀντὶ τῶν
μανδραγόρων τοῦ υἱοῦ σου.
Εἶπε δὲ Λία πρὸς αὐτήν·
Μὴ καυχῶ, καὶ μὴ δοξάζου· ἐμὸς γάρ ἐστιν ὁ Ἰακώβ, κἀγὼ

γυνὴ νεότητος αὐτοῦ.

Ἡ δὲ Ῥαχὴλ εἶπε· Τί οὖν; ὅτι ἐμοὶ πρῶτον ἥρμοσται, καὶ δι’ ἐμὲ ἐδούλευσε τῷ πατρὶ ἡμῶν ἔτη δεκατέσσαρα.

Τί σοι ποιήσω, ὅτι ἐπλήθυνεν ὁ δόλος καὶ ἡ πανουργία τῶν ἀνθρώπων, καὶ ὁ δόλος προχωρεῖ ἐπὶ τῆς γῆς. Εἰ δὲ μή, οὐκ ἂν ᾖς σὺ ὁρῶσα πρόσωπον Ἰακώβ· οὐ γὰρ γυνὴ αὐτοῦ σὺ εἶ, ἀλλ’ ἐν δόλῳ ἀντ’ ἐμοῦ εἰσήχθης.

Καὶ ἐπλάνησέ με ὁ πατήρ μου, καὶ μεταστήσας με τῇ νυκτὶ ἐκείνῃ, οὐκ εἴασέ με ἰδεῖν· ὅτι εἰ ἤμην ἐκεῖ, οὐκ ἐγίνετο τοῦτο.

Καὶ εἶπε Ῥαχήλ· Λαβὲ ἕνα μανδραγόραν, καὶ ἀντὶ τοῦ ἑνὸς ἐκμισθῶ σοι αὐτὸν ἐν μιᾷ νυκτί.

Καὶ ἔγνω Ἰακὼβ τὴν Λίαν, καὶ συλλαβοῦσά με ἔτεκε· καὶ διὰ τὸν μισθὸν ἐκλήθην Ἰσάχαρ.

Τότε ὤφθη τῷ Ἰακὼβ ἄγγελος Κυρίου λέγων ὅτι δύο τέκνα Ῥαχὴλ τέξεται, ὅτι διέπτυσε συνουσίαν ἀνδρός, καὶ ἐξελέξατο ἐγκράτειαν.

Καὶ εἰ μὴ Λία ἡ μήτηρ μου ἀντὶ συνουσίας ἀπέδω τὰ δύο μῆλα, ὀκτὼ υἱοὺς εἶχε τεκεῖν· διὰ τοῦτο ἓξ ἔτεκε, τοὺς δὲ δύο Ῥαχήλ, ὅτι ἐν τοῖς μανδραγόροις ἐπεσκέψατο αὐτὴν Κύριος.

Εἶδε γάρ, ὅτι διὰ τέκνα ἤθελε συνεῖναι τῷ Ἰακώβ, καὶ οὐ διὰ φιληδονίαν. Προσθῆσα γὰρ καὶ τῇ ἐπαύριον ἀπέδοτο τὸν Ἰακώβ, ἵνα λάβῃ καὶ τὸν ἄλλον μανδραγόρα. Διὰ τοῦτο ἐν τοῖς μανδραγόροις ἐπήκουσε Κύριος τῆς Ῥαχήλ· ὅτι καίγε ποθήσασα αὐτοὺς οὐκ ἔφαγεν, ἀλλὰ ἀνέθηκεν αὐτοὺς ἐν οἴκῳ Κυρίου, προσενέγκασα ἱερεῖ ὑψίστου, τῷ ὄντι ἐν τῷ καιρῷ ἐκείνῳ.

Ὅτε οὖν ἠδρύνθην, τέκνα μου, ἐπορευόμην ἐν
εὐθύτητι καρδίας, καὶ ἐγενόμην γεωργὸς τῶν πατέρων
μου καὶ τῶν ἀδελφῶν μου, καὶ ἔφερον καρποὺς ἐξ ἀγρῶν κατὰ
καιρὸν αὐτῶν,
καὶ εὐλόγησέ με ὁ πατήρ μου βλέπων,
ὅτι ἐν ἁπλότητι πορεύομαι.

Καὶ οὐκ ἤμην περίεργος ἐν
ταῖς πράξεσί μου, οὐδὲ πονηρὸς καὶ βάσκανος τῷ πλησίον·
οὐ κατελάλησά τινος, οὐδὲ ἔψεξα βίον ἀνθρώπου, πορευόμε-
νος ἐν ἁπλότητι ὀφθαλμῶν.

Διὰ τοῦτο τριάκοντα ἐτῶν
ἔλαβον ἐμαυτῷ γυναῖκα, ὅτι ὁ κάματος κατήσθιε τὴν ἰσχύν
μου· καὶ οὐκ ἐνενόουν ἡδονὴν γυναικός, ἀλλὰ διὰ τοῦ κόπου
ὁ ὕπνος μου περιεγένετο,
καὶ πάντοτε ἔχαιρεν ἐπὶ τῇ
ἁπλότητί μου ὁ πατήρ μου. Εἶτι γὰρ ἔκαμνον, πᾶσαν ὀπώραν
καὶ πᾶν πρωτογένημα πρῶτον διὰ τοῦ ἱερέως Κυρίῳ προσέ-
φερον, ἔπειτα τῷ πατρί μου, καὶ τότε ἐγώ.

Καὶ Κύριος
ἐδιπλασίαζε τὰ ἀγαθὰ ἐν χερσί μου. Ἤιδει δὲ καὶ Ἰακώβ,
ὅτι ὁ Θεὸς συνεργεῖ τῇ ἁπλότητί μου·
παντὶ γὰρ πένητι
καὶ παντὶ θλιβομένῳ παρεῖχον τῆς γῆς τὰ ἀγαθὰ ἐν ἁπλότητι
καρδίας.

Καὶ νῦν ἀκούσατέ μου, τέκνα, καὶ πορεύεσθε ἐν
ἁπλότητι καρδίας, ὅτι εἶδον ἐν αὐτῇ πᾶσαν εὐαρέστησιν
Κυρίου.

Ὁ ἁπλοῦς χρυσίον οὐκ ἐπιθυμεῖ, τὸν πλησίον
οὐ πλεονεκτεῖ, βρωμάτων ποικίλων οὐκ ἐφίεται, ἐσθῆτα
διάφορον οὐ θέλει,
χρόνους μακροὺς οὐχ ὑπογράφει ζῆν,
ἀλλὰ μόνον ἐκδέχεται τὸ θέλημα τοῦ Θεοῦ·
καίγε τὰ

πνεύματα τῆς πλάνης οὐδὲν ἰσχύουσι πρὸς αὐτόν. Οὐ γὰρ
εἶδεν ἐπιδέξασθαι κάλλος θηλείας, ἵνα μὴ ἐν διαστροφῇ μιάνῃ
τὸν νοῦν αὐτοῦ.
οὐ ζῆλος ἐν διαβουλίοις αὐτοῦ ἐπελεύσε-
ται· οὐ βασκανία ἐκτήκει ψυχὴν αὐτοῦ, οὐδὲ πορισμὸν ἐν
ἀπληστείᾳ ἐννοεῖ·
πορεύεται γὰρ ἐν εὐθύτητι ζωῆς, καὶ
πάντα ὁρᾷ ἐν ἁπλότητι, μὴ ἐπιδεχόμενος ὀφθαλμοῖς πονηρίας
ἀπὸ τῆς πλάνης τοῦ κόσμου, ἵνα μὴ ἴδῃ διεστραμμένως τι
τῶν ἐντολῶν τοῦ Κυρίου.

Φυλάξατε οὖν νόμον Θεοῦ, τέκνα μου, καὶ τὴν
ἁπλότητα κτήσασθε, καὶ ἐν ἀκακίᾳ πορεύεσθε, μὴ περιεργα-
ζόμενοι ἐντολὰς Κυρίου, καὶ τοῦ πλησίον τὰς πράξεις·
ἀλλ’ ἀγαπᾶτε Κύριον καὶ τὸν πλησίον, πένητα καὶ ἀσθενῆ
ἐλεᾶτε.

Ὑπόθετε τὸν νῶτον ὑμῶν εἰς τὸ γεωργεῖν,
καὶ ἐργάζεσθε ἐν ἔργοις γῆς καθ’ ἑκάστην γεωργείαν, δῶρα
μετ’ εὐχαριστείας Κυρίῳ προσφέροντες·
ὅτι ἐν πρωτο-
γενήμασι καρπῶν γῆς εὐλόγησε Κύριος, καθὼς εὐλόγησε
πάντας τοὺς ἁγίους, ἀπὸ Ἄβελ ἕως τοῦ νῦν.
Οὐ γὰρ
δέδοταί σοι ἄλλη μερίς, ἢ τῆς πιότητος τῆς γῆς, ἧς ἐν
πόνοις οἱ καρποί·
ὅτι ὁ πατὴρ ἡμῶν Ἰακὼβ ἐν εὐλογίαις
γῆς καὶ ἀπαρχῶν καρπῶν εὐλόγησέ με.
Καὶ ὁ Λευὶ καὶ
ὁ Ἰούδας ἐδοξάσθη παρὰ Κυρίου ἐν υἱοῖς Ἰακώβ. Καὶ
γὰρ Κύριος ἐκλήρωσεν ἐν αὐτοῖς, καὶ τῷ μὲν ἔδωκε τὴν
ἱερατείαν, τῷ δὲ τὴν βασιλείαν.
Αὐτοῖς οὖν ὑπακούσατε,
καὶ τῇ ἁπλότητι τοῦ πατρὸς ὑμῶν περιπατήσατε· ὅτι καὶ
τῷ Γὰδ ἐδόθη ἀπολέσαι τὰ πειρατήρια τὰ ἐπερχόμενα τῷ

Ἰσραήλ.

Οἶδα, τέκνα μου, ὅτι ἐν ἐσχάτοις καιροῖς καταλεί-
ψουσιν οἱ υἱοὶ ὑμῶν τὴν ἁπλότητα, καὶ κολληθήσονται τῇ
ἀπληστίᾳ· καὶ ἀφέντες τὴν ἀκακίαν, προσπελάσουσι τῇ
κακουργίᾳ, καὶ καταλιπόντες τὰς ἐντολὰς Κυρίου, κολληθή-
σονται τῷ Βελίαρ·
καὶ ἀφέντες τὸ γεώργειον, ἐξακολουθή-
σουσι τοῖς πονηροῖς διαβουλίοις αὐτῶν, καὶ διασπαρήσονται
ἐν τοῖς ἔθνεσι, καὶ δουλεύσουσι τοῖς ἐχθροῖς αὐτῶν.

Καὶ
ὑμεῖς οὖν εἴπατε ταῦτα τοῖς τέκνοις ὑμῶν, ὅπως ἐὰν ἁμαρτή-
σωσι, τάχειον ἐπιστρέψουσι πρὸς Κύριον·
ὅτι ἐλεήμων
ἐστί, καὶ ἐξελεῖται αὐτούς, τοῦ ἐπιστρέψαι εἰς τὴν γῆν αὐτῶν.

Ἑκατὸν εἰκοσιδύο ἐτῶν εἰμι ἐγώ· καὶ οὐκ
ἔγνων ἐπ’ ἐμὲ ἁμαρτίαν εἰς θάνατον.

Πλὴν τῆς γυναικός
μου, οὐκ ἔγνων ἄλλην· οὐκ ἐπόρνευσα ἐν μετεωρισμῷ
ὀφθαλμῶν μου·
οἶνον εἰς ἀποπλάνησιν οὐκ ἔπιον· πᾶν
ἐπιθύμημα τοῦ πλησίον οὐκ ἐπόθησα·
δόλος οὐκ ἐγένετο
ἐν καρδίᾳ μου· ψεῦδος οὐκ ἀνῆλθε διὰ τῶν χειλέων μου.

Παντὶ ἀνθρώπῳ ὀδυνομένῳ συνεστέναξα, καὶ πτωχῷ
μετέδωκα τὸν ἄρτον μου. Οὐκ ἔφαγον μόνος· ὅριον οὐκ
ἔλυσα· εὐσέβειαν ἐποίησα ἐν πάσαις ταῖς ἡμέραις μου καὶ
ἀλήθειαν.

Τὸν Κύριον ἠγάπησα ἐν πάσῃ τῇ ἰσχύι μου·
ὁμοίως καὶ πάντα ἄνθρωπον ἠγάπησα, ὡς τέκνα μου.

Ταῦτα καὶ ὑμεῖς ποιήσατε, τέκνα μου, καὶ πᾶν πνεῦμα τοῦ
Βελίαρ φεύξεται ἀφ’ ὑμῶν, καὶ πᾶσα πρᾶξις πονηρῶν

ἀνθρώπων οὐ κυριεύσει ὑμῶν· καὶ πάντα ἄγριον θῆρα
καταδουλώσεσθε, ἔχοντες μεθ' ἑαυτῶν τὸν Θεὸν τοῦ οὐρανοῦ,
συμπορευόμενον τοῖς ἀνθρώποις ἐν ἁπλότητι καρδίας.
Καὶ ἐνετείλατο αὐτοῖς, ὅπως ἀναγάγωσιν αὐτὸν ἐν Χεβρών,
κἀκεῖ αὐτὸν θάψωσιν ἐν τῷ σπηλαίῳ μετὰ τῶν πατέρων
αὐτοῦ.
Καὶ ἐξέτεινε τοὺς πόδας αὐτοῦ, καὶ ἀπέθανε
πέμπτος ἐν γήρι καλῷ, πᾶν μέλος ἔχων ὑγιές, καὶ ἰσχύων
ὕπνωσεν ὕπνον αἰώνιον.

ΔΙΑΘΗΚΗ ΖΑΒΟΥΛΩΝ ΠΕΡΙ ΕΥΣΠΛΑΓΧΝΙΑΣ ΚΑΙ ΕΛΕΟΥΣ

Ἀντίγραφον Ζαβουλών, ὃ διέθετο τοῖς τέκνοις αὐτοῦ
ριδ ἔτει τῆς ζωῆς αὐτοῦ, μετὰ λβ ἔτη τοῦ θανάτου Ἰωσήφ.
Καὶ εἶπεν αὐτοῖς· Ἀκούσατέ μου, υἱοὶ Ζαβουλών, προσέ-
χετε ·»μασι πατρὸς ὑμῶν.
Ἐγώ εἰμι Ζαβουλών, δόσις
ἀγαθὴ τοῖς γονεῦσί μου. Ἐν γὰρ τῷ γεννηθῆναί με, ηὐξήθη
ὁ πατὴρ ἡμῶν ἕως σφόδρα, καὶ τὰ ποίμνια, καὶ τὰ βουκόλια,
ὅτε ἐν τοῖς ποικίλοις ·άβδοις εἶχε τὸν κλῆρον.
Οὐκ
ἔγνων, τέκνα μου, ὅτι ἥμαρτον ἐν ταῖς ἡμέραις μου, παρεκτὸς
ἐννοίας·
οὐδὲ μιμνήσκομαι ὅτι παρανομίαν ἐποίησα, πλὴν
τὴν ἄγνοιαν ἣν ἐποίησα ἐπὶ τοῦ Ἰωσήφ, ὅτι ἐσκέπασα ἐπὶ
τοῖς ἀδελφοῖς μου, μὴ εἰπεῖν τῷ πατρί μου τὸ γενόμενον,
Καὶ ἔκλαιον πολλὰ ἐν κρυφῇ· ἐφοβούμην γὰρ τοὺς
ἀδελφούς μου, ὅτι συνέθεντο πάντες ὁμοῦ, εἴτις ἐξείποι τὸ
μυστήριον, ἀναιρεθῆναι αὐτὸν μαχαίρᾳ.
Πλὴν ὅτε ἐβού-

λοντο ἀνελεῖν αὐτόν, πολλὰ διεμαρτυράμην αὐτοῖς μετὰ δακρύων, τοῦ μὴ ποιῆσαι τὴν ἀνομίαν ταύτην.

Ἦλθον γὰρ Συμεὼν καὶ Γὰδ ἐπὶ τὸν Ἰωσὴφ τοῦ ἀνελεῖν αὐτόν· καὶ πεσὼν ἐπὶ πρόσωπον Ἰωσήφ, ἔλεγεν αὐτοῖς·

Ἐλεήσατέ με, ἀδελφοί μου, οἰκτειρήσατε τὰ σπλάγχνα Ἰακὼβ τοῦ πατρὸς ἡμῶν. Μὴ ἐπαγάγετε ἐπ' ἐμὲ τὰς χεῖρας ὑμῶν, τοῦ ἐκχέαι αἷμα ἀθῷον, ὅτι οὐχ ἥμαρτον εἰς ὑμᾶς.

Εἰ δὲ καὶ ἥμαρτον, ἐν παιδείᾳ παιδεύσατέ με· τὴν δὲ χεῖρα ὑμῶν μὴ ἐπενέγκητε διὰ Ἰακὼβ τὸν πατέρα ἡμῶν.

Ὡς δὲ ἔλεγε τὰ ·»ματα ταῦτα, εἰς οἶκτον ἦλθον ἐγώ, καὶ ἠρξάμην κλαίειν, καὶ τὰ ἥπατά μου ἐξελύθησαν ἐπ' ἐμέ, καὶ πᾶσα ἡ ὑπόστασις τῶν σπλάγχνων μου ἐχαυνοῦτο ἐπὶ τὴν ψυχήν μου.

Ἔκλαιε δὲ καὶ Ἰωσὴφ κἀγὼ σὺν αὐτῷ, καὶ ἐβόμβη ἡ καρδία μου, καὶ οἱ ἁρμοὶ τοῦ σώματός μου ἐξέστησαν καὶ οὐκ ἠδυνάμην τοῦ στῆναι.

Καὶ ἰδών με συνκλαίοντα αὐτῷ, κἀκείνους ἐπερχομένους ἀνελεῖν αὐτόν, κατέφυγεν ὀπίσω μου, δεόμενος αὐτῶν.

Ἀναστὰς δὲ Ῥουβὴμ εἶπεν· Ἀδελφοί, μὴ ἀποκτείνωμεν αὐτόν, ἀλλὰ

- ίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων τῶν ξηρῶν τούτων, ὧν
- ὤρυξαν οἱ πατέρες ἡμῶν, καὶ οὐχ εὗρον ὕδωρ.
- Διὰ γὰρ
- τοῦτο ἐκώλυσε Κύριος τοῦ ἀναβῆναι ὕδωρ ἐν αὐτοῖς, ἵνα
- γένηται περιποίησις τοῦ Ἰωσήφ.

Καὶ ἐποίησε Κύριος οὕτως, ἕως οὗ ἐπώλησαν αὐτὸν τοῖς Ἰσμαηλίταις.

Καὶ γὰρ τῆς τιμῆς τοῦ Ἰωσήφ, τέκνα, ἐγὼ οὐκ ἐκοινώνησα,
ἀλλὰ Συμεὼν καὶ Γὰδ καὶ οἱ ἄλλοι ἓξ
ἀδελφοὶ ἡμῶν λαβόντες τὴν τιμὴν τοῦ Ἰωσήφ, ἐπριάσαντο ὑποδήματα ἑαυτοῖς καὶ ταῖς γυναιξὶν αὐτῶν καὶ τοῖς τέκνοις αὐτῶν, εἰπόντες·
Οὐ φαγόμεθα αὐτήν, ὅτι τιμὴ αἵματος
τοῦ ἀδελφοῦ ἡμῶν αὕτη, ἀλλὰ καταπατήσει καταπατήσωμεν αὐτήν, ἀνθ’ ὧν εἶπε βασιλεύειν ἐφ’ ἡμᾶς· καὶ εἴδωμεν, τί ἔσται τὰ ἐνύπνια αὐτοῦ.
Διὰ τοῦτο ἐν γραφῇ νόμου Ἐνὼχ
γέγραπται, τὸν μὴ θέλοντα ἀναστῆσαι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ, ὑπολυθήσεσθαι τὸ ὑπόδημα, καὶ ἐμπτύεσθαι εἰς τὸ πρόσωπον.
Καὶ οἱ ἀδελφοὶ Ἰωσὴφ οὐκ ἠθέλησαν εἰς
ζωὴν ἀδελφοῦ αὐτῶν· καὶ Κύριος ὑπέλυσεν αὐτοὺς τὸ ὑπόδημα Ἰωσήφ.
Καὶ γὰρ ἐλθόντες ἐν Αἰγύπτῳ, ὑπελύθησαν
ὑπὸ τῶν παίδων Ἰωσὴφ ἔμπροσθε τοῦ πυλῶνος, καὶ οὕτως προσεκύνησαν τῷ Ἰωσὴφ κατὰ τὸν τύπον τοῦ Φαραώ.
Οὐ μόνον δὲ προσεκύνησαν αὐτῷ, ἀλλὰ καὶ ἐνεπτύσθησαν, παραχρῆμα πεσόντες ἔμπροσθεν αὐτοῦ· καὶ οὕτως ᾐσχύνθησαν ἔμπροσθε τῶν Αἰγυπτίων.
Μετὰ ταῦτα γὰρ ἤκουσαν
οἱ Αἰγύπτιοι πάντα τὰ κακὰ ἃ ἐποιήσαμεν τῷ Ἰωσήφ.
Μετὰ ταῦτα ἔβαλον ἐσθίειν ἐκεῖνοι.
Ἐγὼ γὰρ
δύο ἡμέρας καὶ δύο νύκτας οὐκ ἐγευσάμην, σπλαγχνιζόμενος ἐπὶ Ἰωσήφ. Καὶ Ἰούδας οὐ συνέτρωγεν αὐτοῖς· προσεῖχε δὲ τῷ λάκκῳ, ὅτι ἐφοβεῖτο μὴ ἀποπηδήσαντες Συμεὼν καὶ

Γὰδ ἀνέλωσιν αὐτόν.
Καὶ ὁρῶντες κἀμὲ μὴ ἐσθίοντα,
ἔθεντό με τηρεῖν αὐτὸν, ἕως οὗ ἐπράθη.
Ἐποίησε δὲ ἐν
τῷ λάκκῳ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, καὶ οὕτως ἐπράθη
ἄσιτος.
Καὶ ἀκούσας Ῥουβὴμ ὅτι ἐπράθη ἀπόντος αὐτοῦ,
περισχισάμενος ἐθρήνει λέγων· Πῶς ὄψομαι τὸ πρόσωπον
Ἰακὼβ τοῦ πατρός μου;
καὶ λαβὼν τὸ ἀργύριον κατέδραμε
τοῖς ἐμπόροις, καὶ οὐδένα εὗρεν· ἀφέντες γὰρ τὴν ὁδὸν τὴν
μεγάλην, ἐπορεύθησαν διὰ τραγλοκολπητῶν ἐν τῇ συντόμῳ.
Καὶ οὐκ ἔφαγε Ῥουβὴμ ἄρτον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.
Προσελθὼν οὖν Δὰν εἶπεν αὐτῷ·
Μὴ κλαῖε, μηδὲ πένθει·
εὗρον γὰρ, τί εἴπομεν τῷ πατρὶ ἡμῶν Ἰακώβ.
Θύσωμεν
χίμαρρον αἰγῶν, καὶ ἐμβάψωμεν τὸν χιτῶνα Ἰωσήφ, καὶ
ἐροῦμεν· Ἐπίγνωθι, εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν οὗτος·
τὸν γὰρ χιτῶνα τοῦ πατρὸς ἡμῶν ἐξέδυσαν τὸν Ἰωσὴφ ἐν
τῷ μέλλειν πιπράσκειν αὐτόν, καὶ ἐνέδυσαν αὐτὸν ἱμάτιον
παλαιὸν δούλου.
Τὸν δὲ χιτῶνα εἶχε Συμεών, καὶ οὐκ
ἤθελε δοῦναι αὐτόν, θέλων τῇ ·ομφαίᾳ αὐτοῦ κατακόψαι
αὐτόν, ὀργιζόμενος ὅτι ἔζησε καὶ οὐκ ἀνεῖλεν αὐτόν.
Ἀναστάντες δὲ κατ’ αὐτοῦ πάντες ὁμοῦ εἴπομεν ὅτι ἐὰν μὴ
δῷς, ἐροῦμεν ὅτι σὺ μόνος ἐποίησας τὸ πονηρὸν ἐν Ἰσραήλ.
Καὶ οὕτως δίδωσιν αὐτόν, καὶ ἐποίησαν καθὼς εἶπεν ὁ Δάν.
Καὶ νῦν, τέκνα μου, ἀναγγελῶ ὑμῖν τοῦ φυλάσσειν
τὰς ἐντολὰς Κυρίου, καὶ ποιεῖν ἔλεος ἐπὶ τὸν πλησίον, καὶ

εὐσπλαγχνίαν πρὸς πάντας ἔχειν, οὐ μόνον πρὸς ἀνθρώπους, ἀλλὰ καὶ εἰς ἄλογα.

Διὰ γὰρ ταῦτα εὐλόγησέ με Κύριος,
καὶ πάντων τῶν ἀδελφῶν μου ἀσθενούντων ἐγὼ ἄνοσος παρῆλθον· οἶδε γὰρ Κύριος ἑκάστου τὴν προαίρεσιν.
Ἔχετε οὖν ἔλεος ἐν σπλάγχνοις ὑμῶν, τέκνα μου, ὅτι ὡς ἄν τις ποιήσῃ τῷ πλησίον αὐτοῦ, οὕτως καὶ ὁ Κύριος ποιήσει αὐτῷ.
Καὶ γὰρ οἱ υἱοὶ τῶν ἀδελφῶν μου ἠσθένουν,
ἀπέθνησκον διὰ Ἰωσήφ, ὅτι οὐκ ἐποίησαν ἔλεος ἐν σπλάγχνοις αὐτῶν· οἱ δὲ ἐμοὶ υἱοὶ ἄνοσοι διεφυλάχθησαν, ὡς οἴδατε.
Καὶ ὅτε ἤμην ἐν τῇ Χαναάν, εἰς παράλιον ἐθήρευον θῆρα ἰχθύων Ἰακὼβ τῷ πατρί μου· καὶ πολλῶν ἀγχομένων ἐν τῇ θαλάσσῃ, ἐγὼ ἀβλαβὴς διέμεινα.

Πρῶτος ἐγὼ ἐποίησα σκάφος ἐν θαλάσσῃ ἐπιπλέειν,
ὅτι Κύριος ἔδωκέ μοι σύνεσιν καὶ σοφίαν ἐν αὐτῷ·
καὶ
καθῆκα ξύλον ὄπισθεν αὐτοῦ, καὶ ὀθόνην ἐξέτεινα ἐν ὀρθῷ ξύλῳ ἐμμέσῳ·
καὶ ἐν αὐτῷ διαπορευόμενος τοὺς αἰγιαλούς, ἡλίευον ἰχθύας οἴκῳ τοῦ πατρός μου, ἕως ἤλθωμεν εἰς Αἴγυπτον·
καὶ ἐκ τῆς θήρας μου παντὶ ἀνθρώπῳ
ξένῳ σπλαγχνιζόμενος ἐδίδουν.
Εἰ δὲ ἦν ξένος, ἢ νοσῶν,
ἢ γηράσας, ἐψήσας τοὺς ἰχθύας, καὶ ποιήσας αὐτὰ ἀγαθῶς, κατὰ τὴν ἑκάστου χρείαν προσέφερον πᾶσι, συνάγων καὶ συμπάσχων.
Διὰ τοῦτο καὶ ὁ Κύριος πολὺν ἰχθὺν ἐποίησέ
μοι θηρᾶν. Ὁ γὰρ μεταδιδοὺς τῷ πλησίον, λαμβάνει πολλαπλασίονα παρὰ Κυρίου.
Πέντε ἔτη ἡλίευσα, παντὶ

ἀνθρώπῳ ὃν ἑωράκειν μεταδιδούς, καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρός μου ἐξαρκῶν.

Τὸ θέρος ἡλίευον, καὶ ἐν χειμῶνι
ἐποίμαινον μετὰ τῶν ἀδελφῶν μου.
Νῦν ἀναγγελῶ ὑμῖν ἃ ἐποίησα. Εἶδον θλιβόμενον ἐν γυμνότητι χειμῶνος, καὶ σπλαγχνισθεὶς ἐπ' αὐτόν, κλέψας ἱμάτιον ἐκ τοῦ οἴκου μου κρυφέως, ἔδωκα τῷ θλιβομένῳ. Καὶ ὑμεῖς οὖν, τέκνα μου, ἐξ ὧν παρέχει ὑμῖν ὁ Θεός, ἀδιακρίτως πᾶσι σπλαγχνιζόμενοι ἐλεᾶτε, καὶ παρέχετε παντὶ ἀνθρώπῳ ἐν ἀγαθῇ καρδίᾳ.

Εἰ δὲ μὴ ἔχετε πρὸς καιρὸν δοῦναι τῷ χρῄζοντι, συμπάσχετε ἐν σπλάγχνοις ἐλέους.

Οἶδα ὅτι ἡ χείρ μου οὐχ εὗρε πρὸς τὸ παρὸν
ἐπιδοῦναι τῷ χρῄζοντι, καὶ ἔτι ἑπτὰ σταδίους συμπορευόμενος αὐτῷ, ἔκλαιον· καὶ τὰ σπλάγχνα μου ἐστρέφετο ἐπ' αὐτῷ εἰς συμπάθειαν.

Καὶ ὑμεῖς οὖν, τέκνα μου, ἔχετε εὐσπλαγχνίαν κατὰ παντὸς ἀνθρώπου ἐν ἐλέει, ἵνα καὶ ὁ Κύριος εἰς ὑμᾶς σπλαγχνισθεὶς ἐλεήσῃ ὑμᾶς·
ὅτι καίγε ἐπ' ἐσχάτων
ἡμερῶν ὁ Θεὸς ἀποστέλλει τὸ σπλάγχνον αὐτοῦ ἐπὶ τῆς γῆς, καὶ ὅπου εὕρῃ σπλάγχνα ἐλέους, ἐν αὐτῷ κατοικεῖ.

Ὅσον γὰρ ἄνθρωπος σπλαγχνίζεται εἰς τὸν πλησίον, τοσοῦτον Κύριος εἰς αὐτόν.

Ὅτε γὰρ κατήλθομεν εἰς Αἴγυπτον,
Ἰωσὴφ οὐκ ἐμνησικάκησεν εἰς ἡμᾶς· ἐμὲ δὲ ἰδών, ἐσπλαγχνίσθη.

Εἰς ὃν ἐμβλέποντες καὶ ὑμεῖς, ἀμνησίκακοι γίνεσθε,
τέκνα μου, καὶ ἀγαπᾶτε ἀλλήλους, καὶ μὴ λογίζεσθε ἕκαστος

τὴν κακίαν τοῦ ἀδελφοῦ αὐτοῦ·
ὅτι τοῦτο χωρίζει
ἑνότητα, καὶ πᾶσαν συγγένειαν διασκορπίζει, καὶ τὴν ψυχὴν
ταράσσει. Ὁ γὰρ μνησίκακος σπλάγχνα ἐλέους οὐκ ἔχει.

Προσέχετε τὰ ὕδατα, ὅτι ἐπὶ τὸ αὐτὸ πορεύεται,
λίθους, ξύλα, τὴν ἄμμον κατασύρει·
ἐὰν δὲ εἰς πολλὰ
διαιρεθῇ, ἡ γῆ ἀφανίζει αὐτά, καὶ γίνεται εὐκαταφρόνητα.
Καὶ ὑμεῖς, ἐὰν διαιρεθῆτε, ἔσεσθε οὕτως.
Μὴ σχισθῆτε
εἰς δύο κεφαλάς, ὅτι πᾶν ὃ ἐποίησεν ὁ Κύριος κεφαλὴν μίαν
ἔχει. Ἔδωκε δύο ὤμους, χεῖρας, πόδας, ἀλλὰ πάντα τὰ
μέλη τῇ μιᾷ κεφαλῇ ὑπακούει.
Ἔγνων ἐν γραφῇ πατέρων
μου, ὅτι ἐν ἐσχάταις ἡμέραις ἀποστήσεσθε ἀπὸ Κυρίου, καὶ
διαιρεθήσεσθε ἐν Ἰσραήλ, καὶ δύο βασιλεῦσιν ἐξακολουθή-
σετε, καὶ πᾶν βδέλυγμα ποιήσετε, καίγε πᾶν εἴδωλον
προσκυνήσετε,
καὶ αἰχμαλωτεύσουσιν ὑμᾶς οἱ ἐχθροὶ
ὑμῶν, καὶ καθίσεσθε ἐν τοῖς ἔθνεσιν ἐν πάσαις ἀσθενείαις καὶ
θλίψεσι καὶ ὀδύνης ψυχῆς.
Καὶ μετὰ ταῦτα μνησθήσεσθε
Κυρίου, καὶ μετανοήσετε, καὶ ἐπιστρέψει ὑμᾶς, ὅτι ἐλεήμων
ἐστὶ καὶ εὔσπλαγχνος, μὴ λογιζόμενος κακίαν τοῖς υἱοῖς
τῶν ἀνθρώπων, διότι σάρξ εἰσι καὶ τὰ πνεύματα τῆς πλάνης
ἀπατᾷ αὐτοὺς ἐπὶ πάσαις πράξεσιν αὐτῶν.
Καὶ μετὰ
ταῦτα ἀνατέλλει ὑμῖν αὐτὸς ὁ Κύριος, φῶς δικαιοσύνης, καὶ
ἴασις καὶ εὐσπλαγχνία ἐπὶ ταῖς πτέρυξιν αὐτοῦ. Αὐτὸς
λυτρώσηται πᾶσαν αἰχμαλωσίαν υἱῶν ἀνθρώπων ἐκ τοῦ

Βελίαρ, καὶ πᾶν πνεῦμα πλάνης πατηθήσεται· καὶ ἐπιστρέ-
ψει πάντα τὰ ἔθνη εἰς παραζήλωσιν αὐτοῦ, καὶ ὄψεσθε
Θεὸν ἐν σχήματι ἀνθρώπου, ὃν ἂν ἐκλέξηται Κύριος, Ἱερου-
σαλὴμ ὄνομα αὐτῷ.
Καὶ πάλιν ἐν πονηρίᾳ λόγων ὑμῶν
παροργίσετε αὐτόν, καὶ ἀπορηφήσεσθε ἕως καιροῦ συντελείας.
Καὶ νῦν, τέκνα μου, μὴ λυπεῖσθε ὅτι ἀποθνήσκω
ἐγώ, μηδὲ συμπίπτετε ὅτι ἀπολείπω ὑμῶν.
Ἀναστήσομαι
γὰρ πάλιν ἐμμέσῳ ὑμῶν ὡς ἡγούμενος ἐμμέσῳ υἱῶν αὐτοῦ,
καὶ εὐφρανθήσομαι ἐμμέσῳ τῆς φυλῆς μου, ὅσοι ἐφύλαξαν
νόμον Κυρίου καὶ ἐντολὰς Ζαβουλὼν πατρὸς αὐτῶν.
Ἐπὶ
δὲ τοὺς ἀσεβεῖς ἐπάξει Κύριος πῦρ αἰώνιον, καὶ ἀπολέσει
αὐτοὺς ἕως γενεῶν.
Ἐγὼ εἰς τὴν ἀνάπαυσίν μου ἀπο-
τρέχω, ὡς οἱ πατέρες μου·
ὑμεῖς δὲ φοβεῖσθε Κύριον
τὸν Θεὸν ὑμῶν ἐν πάσῃ ἰσχύι πάσας τὰς ἡμέρας τῆς ζωῆς
ὑμῶν.
Καὶ ταῦτα εἰπών, ἐκοιμήθη ὕπνῳ καλῷ, καὶ
ἔθηκαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ ἐν θήκῃ·
ὕστερον δὲ ἀναγα-
γόντες αὐτὸν εἰς Χεβρών, ἔθαψαν μετὰ τῶν πατέρων αὐτοῦ.

ΔΙΑΘΗΚΗ ΔΑΝ ΠΕΡΙ ΘΥΜΟΥ ΚΑΙ ΨΕΥΔΟΥΣ

]
Ἀντίγραφον λόγων Δάν, ὧν εἶπε τοῖς υἱοῖς αὐτοῦ ἐπ’
ἐσχάτων τῶν ἡμερῶν αὐτοῦ. Ἑκατοστῷ εἰκοστῷ πέμπτῳ
ἔτει τῆς ζωῆς αὐτοῦ,
καλέσας τὴν πατριὰν αὐτοῦ, εἶπεν·
Ἀκούσατε υἱοὶ Δὰν λόγων μου, προσέχετε ·»μασι στόματος

τοῦ πατρὸς ὑμῶν.

Ἐπείρασα ἐν καρδίᾳ μου καὶ ἐν πάσῃ

τῇ ζωῇ μου, ὅτι καλὸν Θεῷ καὶ εὐάρεστον ἡ ἀλήθεια μετὰ

δικαιοπραγίας· καὶ ὅτι πονηρὸν τὸ ψεῦδος καὶ ὁ θυμός, ὅτι

πᾶσαν κακίαν ἄνθρωπον ἐκδιδάσκει.

Ὁμολογῶ σήμερον
ὑμῖν, τέκνα μου, ὅτι ἐν καρδίᾳ μου ἡδώμην περὶ τοῦ θανάτου
Ἰωσήφ, ἀνδρὸς ἀληθινοῦ καὶ ἀγαθοῦ,
καὶ ἔχαιρον ἐπὶ τῇ
πράσει Ἰωσήφ, ὅτι ὑπὲρ ἡμᾶς ὁ πατὴρ αὐτοῦ ἠγάπα.

Τὸ γὰρ πνεῦμα τοῦ ζήλου καὶ τῆς ἀλαζονείας ἔλεγέ μοι·

Καίγε σὺ υἱὸς αὐτοῦ.

Καὶ ἓν τῶν πνευμάτων τοῦ Βελίαρ

συνήργει μοι, λέγων· Λαβὲ τὸ ξίφος τοῦτο, καὶ ἐν αὐτῷ

ἄνελε τὸν Ἰωσήφ, καὶ ἀγαπήσει σε ὁ πατήρ σου, ἀποθανόντος

αὐτοῦ.

Τοῦτό ἐστι τὸ πνεῦμα τοῦ θυμοῦ τὸ πεῖθόν με, ἵνα

ὡς πάρδαλις ἐκμυζᾷ ἔριφον, οὕτως ἐκμυζήσω τὸν Ἰωσήφ.

Ἀλλ’ ὁ Θεὸς Ἰακὼβ τοῦ πατρὸς ἡμῶν οὐκ ἐνέβαλεν αὐτὸν

εἰς τὰς χεῖράς μου, ἵνα εὕρω αὐτὸν μόνον, οὐδὲ ἔασε τὸ

ἀνόμιμα τοῦτο ποιῆσαι ἵνα λυθῶσι δύο σκῆπτρα ἐν Ἰσραήλ.

Καὶ νῦν, τέκνα μου, ἐγὼ ἀποθνήσκω, καὶ ἐν

ἀληθείᾳ λέγω ὑμῖν, ὅτι ἐὰν μὴ διαφυλάξητε ἑαυτοὺς ἀπὸ τοῦ

πνεύματος τοῦ ψεύδους καὶ τοῦ θυμοῦ, καὶ ἀγαπήσητε τὴν

ἀλήθειαν καὶ τὴν μακροθυμίαν, ἀπολεῖσθε.

Τύφλωσίς
ἐστιν ἐν τῷ θυμῷ, τέκνα μου, καὶ οὐκ ἔστι τις θυμώδης ὁρῶν
πρόσωπον ἐν ἀληθείᾳ·
ὅτι κἂν πατήρ, κἂν μήτηρ ἐστίν,
ὡς πολεμίοις προσέχει ἑαυτοῖς· ἐὰν ᾖ ἀδελφός, οὐκ οἶδεν·

ἐὰν προφήτης Κυρίου, παρακούει· ἐὰν δίκαιος, οὐ βλέπει·

φίλον οὐ γνωρίζει.

Περιβάλλει γὰρ αὐτὸν τὸ πνεῦμα τοῦ θυμοῦ τὰ δίκτυα τῆς πλάνης, καὶ τυφλοῖ τοὺς φυσικοὺς ὀφθαλμοὺς αὐτοῦ, διὰ τοῦ ψεύδους σκοτοῖ τὴν διάνοιαν αὐτοῦ, καὶ τὴν ἰδίαν ὅρασιν παρέχει αὐτῷ.

Ἐν τίνι δὲ περιβάλλει τοὺς ὀφθαλμοὺς αὐτοῦ; ἐν μίσει καρδίας, καὶ δίδωσιν αὐτῷ καρδίαν ἰδίαν κατὰ τοῦ ἀδελφοῦ εἰς φθόνον.

Πονηρὸς ὁ θυμός, τέκνα μου, καὶ γὰρ αὐτῇ τῇ ψυχῇ αὐτὸς γίνεται ψυχή· καὶ τὸ μὲν σῶμα ἰδιοποιεῖται τοῦ θυμώδους, τῆς δὲ ψυχῆς κατακυριεύει, καὶ παρέχει τῷ σώματι δύναμιν ἰδίαν, ἵνα ποιήσῃ πᾶσαν ἀνομίαν· καὶ ὅταν πράξῃ ψυχή, δικαιοῖ τὸ πραχθέν, ἐπειδὴ οὐ βλέπει. Διὰ τοῦτο ὁ θυμούμενος, ἐὰν μὲν ᾖ δυνατός, τριπλῆν ἔχει τὴν δύναμιν ἐν τῷ θυμῷ· μίαν μὲν διὰ τῆς δυνάμεως καὶ τῆς βοηθείας τῶν ὑπουργούντων· δεύτερον δὲ διὰ τοῦ πλούτου, παραπείθων καὶ νικῶν ἐν ἀδίκῳ· τρίτην τὴν φυσικὴν ἔχων τοῦ σώματος, καὶ δι’ ἑαυτοῦ δρῶν τὸ κακόν. Ἐὰν δὲ ἀσθενὴς ᾖ ὁ θυμούμενος, διπλῆν ἔχει τὴν δύναμιν παρὰ τὴν τῆς φύσεως· βοηθεῖ γὰρ αὐτοῖς ὁ θυμὸς πάντοτε ἐν παρανομίᾳ. Τοῦτο τὸ πνεῦμα ἀεὶ μετὰ τοῦ ψεύδους ἐκ δεξιῶν τοῦ Σατανᾶ πορεύεται, ἵνα ἐν ὁμότητι καὶ ψεύδει γίνωνται αἱ πράξεις αὐτοῦ.

Οὐκοῦν σύνετε τὴν δύναμιν τοῦ θυμοῦ, ὅτι ματαία ἐστίν.

Ἐν γὰρ λόγῳ παροξύνει πρῶτον· εἶτα ἐν ἔργοις δυναμοῖ τὸν ἐρεθιζόμενον, καὶ ἐν ζημίαις πικραῖς ταράσσει τὸ

διαβούλιον αὐτοῦ· καὶ οὕτως διεγείρει ἐν θυμῷ μεγάλῳ τὴν ψυχὴν αὐτοῦ.

Ὅτε οὖν λαλεῖ τις καθ' ὑμῶν, ὑμεῖς κινεῖσθε εἰς θυμόν· καὶ ἐάν τις ἐπαινῇ ὑμᾶς ὡς ἀγαθούς, μὴ ἐπαίρεσθε, μηδὲ μεταβάλλεσθε, μήτε εἰς τέρψιν, μήτε εἰς εἰδέαν.

Πρῶτον γὰρ τέρπει τὴν ἀκοήν, καὶ οὕτως ὀξύνει τὸν νοῦν, νοῆσαι τὸ ἐρεθισθέν· καὶ τότε θυμωθεὶς νομίζει δικαίως ὀργίζεσθαι.

Ἐὰν ζημίᾳ, ἐὰν ἀπωλείᾳ τινὶ περιπέσῃ, τέκνα μου, μὴ θροεῖσθε· ὅτι αὐτὸ τὸ πνεῦμα ἐπιθυμῆσαι ποιεῖ τοῦ ἀπολωμένου, ἵνα θυμωθῇ διὰ τοῦ πόθου.

Ἐὰν ζημιωθῆτε ἑκουσίως, μὴ λυπεῖσθε· ἀπὸ γὰρ λύπης ἐγείρει θυμὸν μετὰ ψεύδους.

Ἔστι δὲ διπρόσωπον κακὸν θυμὸν μετὰ ψεύδους, καὶ συνερῶνται ἀλλήλοις, ἵνα ταράξωσι τὸ διαβούλιον· ταρασσομένης δὲ τῆς ψυχῆς συνεχῶς, ἀφίσταται Κύριος ἀπ' αὐτῆς, καὶ κυριεύει αὐτῆς ὁ Βελίαρ.

Φυλάξατε οὖν, τέκνα μου, τὰς ἐντολὰς τοῦ Κυρίου, καὶ τὸν νόμον αὐτοῦ τηρήσατε· ἀπόστητε δὲ ἀπὸ θυμοῦ, καὶ μισήσατε τὸ ψεῦδος, ἵνα Κύριος κατοικήσῃ ἐν ὑμῖν καὶ φύγῃ ἀφ' ὑμῶν ὁ Βελίαρ.

Ἀλήθειαν φθέγγεσθε ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ, καὶ οὐ μὴ ἐμπέσητε εἰς ἡδονὴν καὶ ταραχάς, ἀλλ' ἔσεσθε ἐν εἰρήνῃ, ἔχοντες τὸν Θεὸν τῆς εἰρήνης, καὶ οὐ μὴ κατισχύσῃ ὑμῶν πόλεμος.

Ἀγαπᾶτε τὸν Κύριον ἐν πάσῃ τῇ ζωῇ ὑμῶν, καὶ ἀλλήλους ἐν ἀληθινῇ καρδίᾳ.

Οἶδα γὰρ ὅτι ἐν ἐσχάταις ἡμέραις ἀποστήσεσθε τοῦ

Κυρίου, καὶ προσωχθιεῖτε τὸν Λευὶ καὶ πρὸς Ἰούδαν ἀντιτάξεσθε· ἀλλ’ οὐ δυνήσεσθε πρὸς αὐτούς. Ἄγγελος γὰρ Κυρίου ὁδηγεῖ ἑκατέρους, ὅτι ἐν αὐτοῖς στήσεται Ἰσραήλ. Καὶ ὡς ἂν ἀπόστητε ἀπὸ Κυρίου, ἐν πάσῃ κακίᾳ πορεύεσθε, ποιοῦντες βδελύγματα ἐθνῶν, ἐκπορεύοντες ἐν γυναιξὶν ἀνόμων, καὶ ἐν πάσῃ πονηρίᾳ ἐνεργούντων ἐν ὑμῖν τῶν πνευμάτων τῆς πλάνης.

Ἀνέγνων γὰρ ἐν βίβλῳ Ἐνὼχ τοῦ δικαίου, ὅτι ὁ ἄρχων ὑμῶν ἐστιν ὁ Σατανᾶς, καὶ ὅτι πάντα τὰ πνεύματα τῆς πορνείας καὶ τῆς ὑπερηφανίας τῷ Λευὶ ὑπακούσονται, τοῦ παρεδρεύειν τοῖς υἱοῖς Λευί, τοῦ ποιεῖν αὐτοὺς ἐξαμαρτάνειν ἐνώπιον Κυρίου.

Καὶ υἱοί μου ἐγγίζοντές εἰσι τῷ Λευί, καὶ συνεξαμαρτάνοντες αὐτοῖς ἐν πᾶσι· καὶ υἱοὶ Ἰούδα ἔσονται ἐν πλεονεξίᾳ, ἁρπάζοντες τὰ ἀλλότρια ὡς λέοντες.

Διὰ τοῦτο ἀπαχθήσεσθε σὺν αὐτοῖς ἐν αἰχμαλωσίᾳ, κἀκεῖ ἀπολήψεσθε πάσας τὰς πληγὰς Αἰγύπτου, καὶ πάσας πονηρίας τῶν ἐθνῶν· καὶ οὕτως ἐπιστρέψαντες πρὸς Κύριον, ἐλεηθήσεσθε, καὶ ἄξει ὑμᾶς εἰς τὸ ἁγίασμα αὐτοῦ, βοῶν ὑμῖν εἰρήνην.

Καὶ ἀνατελεῖ ὑμῖν ἐκ τῆς φυλῆς Ἰούδα καὶ Λευὶ τὸ σωτήριον Κυρίου· καὶ αὐτὸς ποιήσει πρὸς τὸν Βελίαρ πόλεμον, καὶ τὴν ἐκδίκησιν τοῦ νίκους δώσει πέρασιν ἡμῶν.

Καὶ τὴν αἰχμαλωσίαν λάβῃ ἀπὸ τοῦ Βελίαρ ψυχὰς ἁγίων, καὶ ἐπιστρέψει καρδίας ἀπειθεῖς πρὸς Κύριον, καὶ δώσει τοῖς ἐπικαλουμένοις αὐτὸν εἰρήνην αἰώνιον,

καὶ ἀναπαύσονται ἐν Ἐδὲμ
ἅγιοι, καὶ ἐπὶ τῆς νέας Ἱερουσαλὴμ εὐφρανθήσονται δίκαιοι,
ἥτις ἔσται εἰς δόξασμα Θεοῦ ἕως τοῦ αἰῶνος.
Καὶ οὐκέτι
ὑπομένει Ἱερουσαλὴμ ἐρήμωσιν, οὐδὲ αἰχμαλωτίζεται Ἰσ-
ραήλ, ὅτι Κύριος ἔσται ἐμμέσῳ αὐτῆς, τοῖς ἀνθρώποις
συναναστρεφόμενος, καὶ ἅγιος Ἰσραὴλ βασιλεύων ἐπ’
αὐτοὺς ἐν ταπεινώσει καὶ ἐν πτωχείᾳ· καὶ ὁ πιστεύων ἐπ’
αὐτῷ βασιλεύσει ἐν ἀληθεία ἐν τοῖς οὐρανοῖς.

Καὶ νῦν φοβήθητε τὸν Κύριον, τέκνα μου, καὶ
προσέχετε ἑαυτοῖς ἀπὸ τοῦ Σατανᾶ καὶ τῶν πνευμάτων
αὐτοῦ.

Ἐγγίζετε δὲ τῷ Θεῷ καὶ τῷ ἀγγέλῳ τῷ παραιτου-
μένῳ ὑμᾶς· ὅτι οὗτός ἐστι μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἐπὶ
τῆς εἰρήνης Ἰσραήλ. Κατέναντι τῆς βασιλείας τοῦ ἐχθροῦ
στήσεται·
διὰ τοῦτο σπουδάζει ὁ ἐχθρὸς ὑποσκελίζειν
πάντας τοὺς ἐπικαλουμένους τὸν Κύριον.
Οἶδε γὰρ ὅτι ἐν
ᾗ ἡμέρᾳ πιστεύσει Ἰσραήλ, συντελεσθήσεται ἡ βασιλεία τοῦ
ἐχθροῦ.
Αὐτὸς ὁ ἄγγελος τῆς εἰρήνης ἐνισχύσει τὸν
Ἰσραήλ, μὴ ἐμπεσεῖν αὐτὸν εἰς τέλος κακῶν.
Ἔσται δὲ
ἐν καιρῷ ἀνομίας τοῦ Ἰσραὴλ ἀφιστάμενος ἀπ’ αὐτῶν Κύριος,
μετελεύσεται ὄπισθε ποιοῦντα τὸ θέλημα αὐτοῦ, ὅτι οὐδενὶ
τῶν ἀγγέλων ἔσται ὡς αὐτῷ.
Τὸ δὲ ὄνομα αὐτοῦ ἔσται ἐν
παντὶ τόπῳ Ἰσραὴλ καὶ ἐν τοῖς ἔθνεσι σωτήρ.
Διατηρή-

σατε οὖν ἑαυτούς, τέκνα μου, ἀπὸ παντὸς ἔργου πονηροῦ, καὶ ἀπορρίψατε τὸν θυμὸν καὶ πᾶν ψεῦδος, καὶ ἀγαπήσατε τὴν ἀλήθειαν καὶ τὴν μακροθυμίαν,
καὶ ἃ ἠκούσατε παρὰ τοῦ
πατρὸς ὑμῶν, μετάδοτε καὶ ὑμεῖς τοῖς τέκνοις ὑμῶν, ἵνα δέξηται ὑμᾶς ὁ πατὴρ τῶν ἐθνῶν· ἔστι γὰρ ἀληθὴς καὶ μακρόθυμος, πρᾷος καὶ ταπεινός, καὶ ἐκδιδάσκων διὰ τῶν ἔργων νόμον Θεοῦ.

Ἀπόστητε οὖν ἀπὸ πάσης ἀδικίας καὶ κολλήθητε τῇ δικαιοσύνῃ τοῦ νόμου Κυρίου.

Καὶ
θάψατέ με ἐγγὺς τῶν πατέρων μου.

Καὶ ταῦτα εἰπών, κατεφίλησεν αὐτούς, καὶ ὕπνωσεν ὕπνον αἰώνιον.

Καὶ ἔθαψαν αὐτὸν οἱ υἱοὶ αὐτοῦ· καὶ μετὰ ταῦτα ἀνήνεγκαν τὰ ὀστᾶ αὐτοῦ σύνεγγυς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

Πλὴν ὡς ἐπροφήτευσεν αὐτοῖς Δάν, ὅτι ἐπιλάθωνται νόμον Θεοῦ αὐτῶν, καὶ ἀλλοτριωθήσονται γῆς κλήρου αὐτῶν καὶ γένους Ἰσραὴλ καὶ πατριᾶς αὐτῶν, οὕτως καὶ γέγονεν.

ΔΙΑΘΗΚΗ ΝΕΦΘΑΛΕΙΜ Η ΠΕΡΙ ΦΥΣΙΚΗΣ ΑΓΑΘΟΤΗΤΟΣ

Ἀντίγραφον διαθήκης Νεφθαλείμ, ὧν διέθετο ἐν καιρῷ τέλους αὐτοῦ, ἐν ἔτει ἑκατοστῷ τριακοστῷ δευτέρῳ τῆς ζωῆς αὐτοῦ.

Συνελθόντων τῶν υἱῶν αὐτοῦ ἐν
ἑβδόμῳ μηνί, τετάρτῃ τοῦ μηνός, ὑγιαίνοντος αὐτοῦ, ἐποίησε δεῖπνον αὐτὸς καὶ κώθωνα.

Καὶ μετὰ τὸ ἐξυπ-
νισθῆναι αὐτὸν τὸ πρωί, εἶπεν αὐτοῖς ὅτι ἀποθνήσκω· καὶ

οὐκ ἐπίστευον αὐτῷ.

Καὶ εὐλογῶν Κύριον, ἐκραταίωσεν

ὅτι μετὰ τὸ δεῖπνον τὸ χθὲς ἀποθανεῖται.

Ἤρξατο οὖν

λέγειν τοῖς υἱοῖς αὐτοῦ· Ἀκούσατε, τέκνα μου, υἱοὶ Νεφθα-

λείμ, ἀκούσατε λόγους πατρὸς ὑμῶν.

Ἐγὼ ἐγεννήθην ἀπὸ
Βάλλας· καὶ ὅτι ἐν πανουργίᾳ ἐποίησε Ῥαχήλ, καὶ ἔδωκεν

ἀνθ' ἑαυτῆς τὴν Βάλλαν τῷ Ἰακώβ, καὶ ἐπὶ τῶν μηρῶν

Ῥαχὴλ ἔτεκέ με· διὰ τοῦτο ἐκλήθην Νεφθαλείμ.

Καὶ
ἠγάπησέ με Ῥαχήλ, ὅτι ἐπὶ τῶν μηρῶν αὐτῆς ἐγεννήθην·

καὶ εἶδει ἁπαλὸν ὄντα κατεφίλει με, λέγουσα· Ἴδοιμι

ἀδελφόν σου ἐκ τῆς κοιλίας μου κατά σε.

Ὅθεν καὶ
ὅμοιός μοι ἦν ἐν πᾶσιν ὁ Ἰωσήφ, κατὰ τὰς εὐχὰς Ῥαχήλ.

Ἡ δὲ μήτηρ μού ἐστι Βάλλα, θυγάτηρ Ῥωθέου, ἀδελφοῦ

Δεβόρρας, τῆς τροφοῦ Ῥεβέκκας· ἥτις ἐν μιᾷ ἡμέρᾳ ἐτέχθη,

ἐν ᾗ καὶ ἡ Ῥαχήλ.

Ὁ δὲ Ῥόθεος ἐκ τοῦ γένους ἦν
Ἀβραάμ, Χαλδαῖος, θεοσεβής, ἐλεύθερος καὶ εὐγενής.

Καὶ αἰχμαλωτισθεὶς ἠγοράσθη ὑπὸ Λάβαν· καὶ ἔδωκεν

αὐτῷ Αἰνᾶν τὴν παιδίσκην αὐτοῦ εἰς γυναῖκα· ἥτις ἔτεκε

θυγατέρα, καὶ ἐκάλεσεν αὐτὴν Ζελφάν, ἐπ' ὀνόματι τῆς

κώμης, ἐν ᾗ ᾐχμαλωτεύθη.

Ἐξ ἧς ἔτεκε τὴν Βάλλαν,

λέγων· Καινόσπουδός μου ἡ θυγάτηρ· εὐθὺς γὰρ τεχθεῖσα

ἔσπευδε θηλάζειν.

Καὶ ἐπειδὴ κοῦφος ἤμην τοῖς ποσί μου ὡς ἔλαφος,

ἔταξέ με ὁ πατήρ μου Ἰακὼβ εἰς πᾶσαν ἀποστολὴν καὶ

ἀγγελίαν· καίγε ὡς ἔλαφόν με εὐλόγησε.

Καθὼς γὰρ ὁ
κεραμεὺς οἶδε τὸ σκεῦος, πόσον χωρεῖ, καὶ πρὸς αὐτὸν φέρει πηλόν, οὕτω καὶ ὁ Κύριος πρὸς ὁμοίωσιν τοῦ πνεύματος ποιεῖ τὸ σῶμα, καὶ πρὸς τὴν δύναμιν τοῦ σώματος τὸ πνεῦμα ἐντίθησι,
καὶ οὐκ ἔστι λοιπὸν ἓν ἐκ τοῦ ἑνὸς
τρίτον τριχός· σταθμῷ γὰρ καὶ μέτρῳ καὶ κανόνι πᾶσα κτίσις ὑψίστου.

Καὶ καθάπερ οἶδεν ὁ κεραμεὺς ἑνὸς
ἑκάστου τὴν χρῆσιν, ὡς ἱκανεῖ· οὕτω καὶ ὁ Κύριος οἶδε τὸ σῶμα, ἕως τίνος διαρκέσει ἐν ἀγαθῷ, καὶ πότε ἄρχεται ἐν κακῷ.

Ὅτι οὐκ ἔστι πᾶν πλάσμα καὶ πᾶσα ἔννοια ἣν οὐκ ἔγνω Κύριος· πάντα γὰρ ἄνθρωπον ἔκτισε κατ’ εἰκόνα ἑαυτοῦ.

Ὡς
ἡ ἰσχὺς αὐτοῦ, οὕτω καὶ τὸ ἔργον αὐτοῦ· καὶ ὡς ὁ νοῦς αὐτοῦ, οὕτω καὶ τὸ ἔργον αὐτοῦ· καὶ ὡς ἡ προαίρεσις αὐτοῦ, οὕτω καὶ ἡ πρᾶξις αὐτοῦ· ὡς ἡ καρδία αὐτοῦ, οὕτω καὶ τὸ στόμα αὐτοῦ· ὡς ὁ ὀφθαλμὸς αὐτοῦ, οὕτω καὶ ὁ ὕπνος αὐτοῦ· ὡς ἡ ψυχὴ αὐτοῦ, οὕτω καὶ ὁ λόγος αὐτοῦ, ἢ ἐν νόμῳ Κυρίου, ἢ ἐν νόμῳ Βελίαρ.

Καὶ ὡς κεχώρισται ἀνάμεσον φωτὸς καὶ
σκότους, ὁράσεως καὶ ἀκοῆς· οὕτω κεχώρισται ἀνάμεσον ἀνδρὸς καὶ ἀνδρός, καὶ ἀνάμεσον γυναικὸς καὶ γυναικός· καὶ οὐκ ἔστιν εἰπεῖν ὅτι ἐν τῷ ἑνὶ τοῖς προσώποις ἢ τῶν ὁμοίων.

Πάντα γὰρ ἐν τάξει ἐποίησεν ὁ Θεὸς καλά·
τὰς πέντε αἰσθήσεις ἐν τῇ κεφαλῇ καὶ τὸν τράχηλον συνάπτει τῇ κεφαλῇ καὶ τρίχας πρὸς δόξαν, εἶτα καρδίαν εἰς φρόνησιν, κοιλίαν εἰς διάκρισιν στομάχου, κάλαμον πρὸς ὑγείαν, ἧπαρ πρὸς θυμόν, χολὴν πρὸς πικρίαν, εἰς γέλωτα σπλῆνα,

νεφροὺς εἰς πανουργίαν, ψύας εἰς δύναμιν, πλευρὰς εἰς θήκην, ὀσφὺν εἰς ἰσχύν, καὶ τὰ ἑξῆς.

Οὕτως οὖν, τέκνα μου, ἐν τάξει ἔστε εἰς ἀγαθὰ ἐν φόβῳ Θεοῦ, καὶ μηδὲν ἄτακτον ποιεῖτε ἐν καταφρονήσει, μηδὲ ἔξω καιροῦ αὐτοῦ.

Ὅτι ἐὰν εἴπῃς τῷ ὀφθαλμῷ ἀκοῦσαι οὐ δύναται· οὕτως οὐδὲ ἐν σκότει δυνήσεσθε ποιῆσαι ἔργα φωτός.

Μὴ οὖν σπουδάζετε ἐν πλεονεξίᾳ διαφθεῖραι τὰς πράξεις ὑμῶν, ἢ ἐν λόγοις κενοῖς ἀπατᾶν τὰς ψυχὰς ὑμῶν, ὅτι σιωπῶντες ἐν καθαρότητι καρδίας δυνήσεται τὸ θέλημα τοῦ Θεοῦ κρατεῖν, καὶ ἀπορρίπτειν τὸ θέλημα τοῦ διαβόλου.

Ἥλιος καὶ σελήνη καὶ ἀστέρες οὐκ ἀλλοιοῦσι τάξιν αὐτῶν· οὕτως καὶ ὑμεῖς μὴ ἀλλοιώσετε νόμον Θεοῦ ἐν ἀταξίᾳ πράξεων ὑμῶν.

Ἔθνη πλανηθέντα καὶ ἀφέντα τὸν Κύριον ἠλλοίωσαν τάξιν αὐτῶν, καὶ ἐπηκολούθησαν λίθοις καὶ ξύλοις, ἐξακολουθήσαντες πνεύμασι πλάνης.

Ὑμεῖς δὲ μὴ οὕτως, τέκνα μου, γνόντες ἐν στερεώματι, ἐν γῇ, καὶ ἐν θαλάσσῃ, καὶ πᾶσι τοῖς δημιουργήμασι, Κύριον τὸν ποιήσαντα ταῦτα πάντα, ἵνα μὴ γένησθε ὡς Σόδομα, ἥτις ἐνήλλαξε τάξιν φύσεως αὐτῆς.

Ὁμοίως δὲ καὶ οἱ Ἐγγρήγορες ἐνήλλαξαν τάξιν φύσεως αὐτῶν, οὓς καὶ κατηράσατο Κύριος ἐπὶ τοῦ κατακλυσμοῦ, δι’ αὐτοὺς ἀπὸ κατοικησίας καὶ καρπῶν τάξας τὴν γῆν ἀοίκητον.

Ταῦτα λέγω, τέκνα μου, ὅτι ἀνέγνων ἐν γραφῇ ἁγίᾳ Ἐνώχ, ὅτι καίγε καὶ ὑμεῖς ἀποστήσεσθε ἀπὸ Κυρίου, πορευόμενοι κατὰ πᾶσαν πονηρίαν ἐθνῶν, καὶ ποιήσετε

κατὰ πᾶσαν ἀνομίαν Σοδόμων.
Καὶ ἐπάξει ὑμῖν Κύριος
αἰχμαλωσίαν, καὶ δουλεύσετε ἐκεῖ τοῖς ἐχθροῖς ὑμῶν, καὶ
πάσῃ κακώσει καὶ θλίψει συγκαλυφθήσεσθε, ἕως ἂν ἀναλώσῃ
Κύριος πάντας ὑμᾶς.
Καὶ μετὰ τὸ ὀλιγωθῆναι ὑμᾶς
καὶ σμικρυνθῆναι, ἐπιστρέψετε καὶ ἐπιγνώσεσθε Κύριον τὸν
Θεὸν ὑμῶν· καὶ ἐπιστρέψει ὑμᾶς εἰς τὴν γῆν ὑμῶν, κατὰ τὸ
πολὺ αὐτοῦ ἔλεος.
Καὶ ἔσται, ὅταν ἥξουσιν ἐν γῇ
πατέρων αὐτῶν, πάλιν ἐπιλάθωνται Κυρίου, καὶ ἀσεβήσουσι,
καὶ διασπείρει αὐτοὺς Κύριος ἐπὶ προσώπου πάσης τῆς
γῆς, ἄχρι τοῦ ἐλθεῖν τὸ σπλάγχνον Κυρίου, ἄνθρωπος ποιῶν
δικαιοσύνην, καὶ ποιῶν ἔλεος εἰς πάντας τοὺς μακρὰν καὶ
τοὺς ἐγγύς.
Ἐν γὰρ ἔτει τεσσακοστῷ ζωῆς μου, εἶδον ἐν ὄρεσιν
ἐλαίου κατὰ ἀνατολὰς Ἱερουσαλήμ, ὅτι ὁ ἥλιος καὶ ἡ σελήνη
ἔστηκαν.
Καὶ ἰδοὺ Ἰσαὰκ ὁ πατὴρ τοῦ πατρός μου λέγει
ἡμῖν· Προσδραμόντες κρατήσατε ἕκαστος κατὰ δύναμιν·
καὶ τοῦ πιάσαντος ἔσται ὁ ἥλιος καὶ ἡ σελήνη.
Καὶ
πάντες ὁμοῦ ἐπεδράμομεν· καὶ ὁ Λευὶ ἐκράτησε τὸν ἥλιον,
καὶ ὁ Ἰούδας φθάσας ἐπίασε τὴν σελήνην καὶ ὑψώθησαν
ἀμφότεροι σὺν αὐτοῖς.
Καὶ ὄντος τοῦ Λευὶ ὡς ἡλίου,
νεανίας τις ἐπιδίδωσιν αὐτῷ βα□α φοινίκων δώδεκα· καὶ
Ἰούδας ἦν λαμπρὸς ὡς ἡ σελήνη, καὶ ὑπὸ τοὺς πόδας αὐτοῦ
ἦσαν δώδεκα ἀκτῖνες.

Καὶ προσδραμόντες ἀλλήλοις ὁ
Λευὶ καὶ Ἰούδας ἐκράτησαν ἑαυτούς.
Καὶ ἰδοὺ ταῦρος
ἐπὶ τῆς γῆς, ἔχων δύο κέρατα μεγάλα, καὶ πτέρυγες ἀετοῦ
ἐπὶ τοῦ νώτου αὐτοῦ· καὶ θέλοντες πιάσαι αὐτόν, οὐκ ἠδυνήθη-
μεν.
Φθάσας γὰρ Ἰωσὴφ ἔλαβεν αὐτόν, καὶ συνανῆλθεν
αὐτῷ εἰς ὕψος.
Καὶ εἶδον, ὅτι ἤμην ἐκεῖ που, καὶ ἰδοὺ
γραφὴ ἁγία ὤφθη ἡμῖν, λέγουσα· Ἀσσύριοι, Μῆδοι, Πέρσαι,
Ἐλιμαῖοι, Γελαχαῖοι, Χαλδαῖοι, Σύροι, κληρονομήσουσιν
ἐν αἰχμαλωσίᾳ τὰ δώδεκα σκῆπτρα τοῦ Ἰσραήλ.
Καὶ πάλιν μετὰ μῆνας ἑπτὰ εἶδον τὸν πατέρα ἡμῶν
Ἰακώβ, ἑστηκότα ἐν τῇ θαλάσσῃ Ἰαμνίας, καὶ ἡμεῖς οἱ υἱοὶ
αὐτοῦ σὺν αὐτῷ.
Καὶ ἰδοὺ πλοῖον ἤρχετο ἁρμενίζον,
μεστὸν ταρίχων, ἐκτὸς ναυτῶν καὶ κυβερνήτου· ἐπεγέγραπτο
δὲ τὸ πλοῖον Ἰακώβ.
Καὶ λέγει ἡμῖν ὁ πατὴρ ἡμῶν·
Ἐμβῶμεν εἰς τὸ πλοῖον ἡμῶν.
Ὡς δὲ εἰσήλθομεν,
γίνεται χειμὼν σφοδρός, καὶ λαῖλαψ ἀνέμου μεγάλου, καὶ
ἐφήπταται ὁ πατὴρ ἀφ’ ἡμῶν, ὁ κρατῶν τοὺς αὐχένας.
Καὶ ἡμεῖς χειμαζόμενοι ἐπὶ τὸ πέλαγος ἐφερώμεθα· καὶ
ἐπληρώθη τὸ πλοῖον ὑδάτων, τρικυμίας περιρισσόμενον,
ὥστε καὶ συντρίβεσθαι αὐτό.
Καὶ Ἰωσὴφ ἐπὶ ἀκατίου
φεύγει· χωριζόμεθα δὲ καὶ ἡμεῖς ἐπὶ σανίδων δέκα· Λευὶ
δὲ καὶ Ἰούδας ἦσαν ἐπὶ τὸ αὐτό.
Διεσπάρημεν οὖν οἱ
πάντες, ἕως εἰς τὰ πέρατα.

Ὁ δὲ Λευὶ περιβαλόμενος
σάκκον περὶ πάντων ἡμῶν ἐδέετο τοῦ Κυρίου.
Ὡς δὲ
ἐπαύσατο ὁ χειμών, τὸ σκάφος ἔφθασεν ἐπὶ τὴν γῆν, ὥσπερ
ἐν εἰρήνῃ.
Καὶ ἰδοὺ ἦλθεν Ἰακὼβ ὁ πατὴρ ἡμῶν, καὶ
ὁμοθυμαδὸν ἠγαλλιώμεθα.
Τὰ δύο ἐνύπνια εἶπον τῷ πατρί μου, καὶ εἶπέ μοι·
Δεῖ ταῦτα πληρωθῆναι κατὰ καιρὸν αὐτῶν, πολλὰ τοῦ
Ἰσραὴλ ὑπομείναντος.
Τότε λέγει μοι ὁ πατήρ μου·
Πιστεύω, ὅτι ζῇ Ἰωσήφ· ὁρῶ γὰρ πάντοτε, ὅτι Κύριος
συγκαταριθμεῖ αὐτὸν μεθ’ ὑμῶν.
Καὶ κλαίων ἔλεγε· Ζῇς,
Ἰωσὴφ τέκνον μου, καὶ οὐ βλέπω σε, καὶ σὺ οὐχ ὁρᾷς
Ἰακὼβ τὸν γεννήσαντά σε.
Ἐποίησε δὲ καὶ ἡμᾶς
δακρῦσαι ἐπὶ τοῖς λόγοις αὐτοῦ τούτοις. Καὶ ἐκαιόμην τοῖς
σπλάγχνοις ἀναγγεῖλαι ὅτι πέπραται· ἀλλ’ ἐφοβούμην τοὺς
ἀδελφούς μου.
Καὶ ἰδού, τέκνα μου, ὑπέδειξα ὑμῖν καιροὺς ἐσχά-
τους, ὅτι πάντα γενήσεται ἐν Ἰσραήλ.
Καὶ ὑμεῖς οὖν
ἐντείλασθε τοῖς τέκνοις ὑμῶν, ἵνα ἐνοῦνται τῷ Λευὶ καὶ τῷ
Ἰούδᾳ. Διὰ γὰρ τοῦ Ἰούδα ἀνατελεῖ σωτηρία τῷ Ἰσραήλ,
καὶ ἐν αὐτῷ εὐλογηθήσεται Ἰακώβ.
Διὰ γὰρ τοῦ σκήπτρου
αὐτοῦ ὀφθήσεται Θεὸς κατοικῶν ἐν ἀνθρώποις ἐπὶ τῆς γῆς,
σῶσαι τὸ γένος Ἰσραήλ· καὶ ἐπισυνάξει δικαίους ἐκ τῶν
ἐθνῶν.

Ἐὰν ἐργάσησθε τὸ καλόν, τέκνα μου, εὐλογήσουσιν ὑμᾶς καὶ οἱ ἄνθρωποι καὶ οἱ ἄγγελοι· καὶ Θεὸς δοξασθήσεται δι’ ὑμῶν ἐν τοῖς ἔθνεσι, καὶ ὁ διάβολος φεύξεται ἀφ’ ὑμῶν, καὶ τὰ θηρία φοβηθήσονται ὑμᾶς, καὶ οἱ ἄγγελοι ἀνθέξονται ὑμῶν.

Ὡς ἄν τις γὰρ τέκνον ἐκθρέψῃ καλῶς, μνείαν ἔχει ἀγαθήν· οὕτως καὶ ἐπὶ τοῦ καλοῦ ἔργου μνήμη παρὰ Θεῷ ἀγαθή.

Τὸν δὲ μὴ ποιοῦντα τὸ καλόν, καταράσονται οἱ ἄνθρωποι καὶ οἱ ἄγγελοι, καὶ ὁ Θεὸς ἀδοξήσῃ ἐν τοῖς ἔθνεσι δι’ αὐτοῦ, καὶ ὁ διάβολος οἰκειοῦται αὐτὸν ὡς ἴδιον σκεῦος, καὶ πᾶν θηρίον κατακυριεύσει αὐτοῦ, καὶ ὁ Κύριος μισήσει αὐτόν.

Καὶ γὰρ αἱ ἐντολαὶ τοῦ νόμου διπλαῖ εἰσι, καὶ μετὰ τέχνης πληροῦνται.

Καιρὸς γὰρ συνουσίας γυναικὸς αὐτοῦ, καὶ καιρὸς ἐγκρατείας εἰς προσευχὴν αὐτοῦ.

Καὶ δύο ἐντολαί εἰσι· καὶ εἰ μὴ γένωνται ἐν τάξει αὐτῶν, ἁμαρτίαν παρέχουσιν. Οὕτως ἐστὶ καὶ ἐπὶ τῶν λοιπῶν ἐντολῶν.

Γίνεσθε οὖν σοφοὶ ἐν Θεῷ καὶ φρόνιμοι, εἰδότες τάξιν ἐντολῶν αὐτοῦ, καὶ θεσμοὺς παντὸς πράγματος, ὅπως ὁ Κύριος ἀγαπήσει ὑμᾶς.

Καὶ πολλὰ τοιαῦτα ἐντειλάμενος αὐτοῖς, παρεκάλεσεν, ἵνα μετακωμίσωσι τὰ ὀστᾶ αὐτοῦ εἰς Χεβρών, καὶ θάψωσι μετὰ τῶν πατέρων αὐτοῦ.

Καὶ φαγὼν καὶ πιὼν ἐν ἱλαρότητι ψυχῆς, συνεκάλυψε τὸ πρόσωπον αὐτοῦ καὶ ἀπέθανε.

Καὶ ἐποίησαν οἱ υἱοὶ αὐτοῦ κατὰ πάντα, ὅσα
ἐνετείλατο αὐτοῖς Νεφθαλεὶμ ὁ πατὴρ αὐτῶν.

ΔΙΑΘΗΚΗ ΓΑΔ Θ ΠΕΡΙ ΜΙΣΟΥΣ

Ἀντίγραφον διαθήκης Γάδ, ἃ ἐλάλησεν αὐτὸς τοῖς
υἱοῖς αὐτοῦ, ἐν ἔτει ἑκατοστῷ εἰκοστῷ ἑβδόμῳ ζωῆς αὐτοῦ,
λέγων·
Ἕβδομος υἱὸς ἐγενόμην τῷ Ἰακώβ, καὶ ἤμην
ἀνδρεῖος ἐπὶ τῶν ποιμνίων.
Ἐγὼ ἐφύλαττον ἐν νυκτὶ τὸ
ποίμνιον, καὶ ὅταν ἤρχετο ὁ λέων, ἢ λύκος, ἢ πάρδαλις,
ἢ ἄρκος, ἢ πᾶν θηρίον ἐπὶ τὴν ποίμνην, κατεδίωκον αὐτό, καὶ
πιάζων τὸν πόδα αὐτοῦ τῇ χειρί μου καὶ γυρεύων ἐσκότουν,
καὶ ἀκόντιζον αὐτὸ ἐπὶ δύο σταδίους, καὶ οὕτως ἀνῄρουν.
Ὁ οὖν Ἰωσὴφ ἐποίμαινε μεθ’ ἡμῶν ὡς ἡμέρας λ, καὶ
τρυφερὸς ὢν ἐμαλακίσθη ἀπὸ τοῦ καύματος·
καὶ ὑπέστρε-
ψεν εἰς Χεβρὼν πρὸς τὸν πατέρα αὐτοῦ· καὶ ἀνέκλινεν αὐτὸν
πλησίον αὐτοῦ, ὅτι ἠγάπα αὐτόν.
Καὶ εἶπεν Ἰωσὴφ τῷ
πατρὶ ἡμῶν ὅτι υἱοὶ Ζελφᾶς καὶ Βάλλας θύουσι τὰ καλά, καὶ
κατεσθίουσιν αὐτά, παρὰ γνώμην Ἰούδα καὶ Ῥουβήμ.
Εἶδε γὰρ ὅτι ἀρνὸν ἐξηλόμην ἐκ τοῦ στόματος τῆς ἄρκου,
κἀκείνην ἐθανάτωσα, καὶ τὸν ἀρνὸν ἔθυσα, περὶ οὗ ἐλυπούμην
ὅτι οὐκ ἠδύνατο ζῆν, καὶ ἐφάγομεν αὐτόν· καὶ εἶπε τῷ πατρὶ
ἡμῶν.
Καὶ ἐνεκότουν τῷ Ἰωσὴφ περὶ τοῦ λόγου τούτου,
ἕως ἡμέρας διαπράσεως αὐτοῦ εἰς Αἴγυπτον.

Καὶ τὸ
πνεῦμα τοῦ μίσους ἦν ἐν ἐμοί, καὶ οὐκ ἤθελον οὔτε δι’
ὀφθαλμῶν οὔτε δι’ ἀκοῆς ἰδεῖν τὸν Ἰωσήφ. Καὶ κατὰ
πρόσωπον ἡμῶν ἤλεγξεν ἡμᾶς, ὅτι ἄνευ Ἰούδα ἠσθίομεν τὰ
θρέμματα· καὶ πάντα ὅσα ἔλεγε τῷ πατρί, ἐπείθετο αὐτῷ.

Ὁμολογῶ νῦν τὴν ἁμαρτίαν μου, τέκνα, ὅτι πλειστά-
κις ἤθελον ἀνελεῖν αὐτόν, ὅτι ἕως ψυχῆς ἐμίσουν αὐτόν, καὶ
ὅλως οὐκ ἦν ἐν ἐμοὶ ἥπατα ἐλέους εἰς αὐτόν.

Καίγε διὰ
τὰ ἐνύπνια προσεθέμην μῖσος, καὶ ἤθελον αὐτὸν ἐκλεῖξαι ἐκ
γῆς ζώντων, ὃν τρόπον ἐκλείχει ὁ μόσχος τὰ χλωρὰ ἀπὸ τῆς
γῆς.

Διὸ ἐγὼ καὶ Ἰούδας πεπράκαμεν αὐτὸν τοῖς
Ἰσμαηλίταις τριάκοντα χρυσῶν, καὶ τὰ δέκα ἀποκρύψαντες
τὰ εἴκοσι ἐδείξαμεν τοῖς ἀδελφοῖς ἡμῶν.

Καὶ οὕτως
τῇ πλεονεξίᾳ ἐπληροφορήθην τῆς ἀναιρέσεως αὐτοῦ.

Καὶ
ὁ Θεὸς τῶν πατέρων μου ἐρρύσατο αὐτὸν ἐκ τῶν χειρῶν μου
ἵνα ποιήσω ἀνόμημα ἐν Ἰσραήλ.

Καὶ νῦν ἀκούσατε, τέκνα μου, λόγους ἀληθείας,
τοῦ ποιεῖν δικαιοσύνην καὶ πάντα νόμον ὑψίστου, καὶ μὴ
πλανᾶσθαι τῷ πνεύματι τοῦ μίσους, ὅτι κακόν ἐστιν ἐπὶ
πάσαις πράξεσιν ἀνθρώπων.

Πᾶν ὃ ἐὰν ποιῇ, ὁ μισῶν
βδελύσσεται· ἐὰν ποιῇ νόμον Κυρίου, τοῦτον οὐκ ἐπαινεῖ·
ἐὰν φοβῆται Κύριον καὶ θέλει δίκαια, τοῦτον οὐκ ἀγαπᾷ·
τὴν ἀλήθειαν ψέγει, τῷ κατορθοῦντι φθονεῖ, καταλαλιὰν
ἀσπάζετε, ὑπερηφανίαν ἀγαπᾷ· ὅτι τὸ μῖσος ἐτύφλωσε τὴν

ψυχὴν αὐτοῦ, καθὼς κἀγὼ ἔβλεπον ἐν τῷ Ἰωσήφ.

Φυλάξασθε οὖν, τέκνα μου, ἀπὸ τοῦ μίσους, ὅτι
εἰς αὐτὸν τὸν Κύριον ἀνομίαν ποιεῖ.

Οὐ γὰρ θέλει ἀκούειν
λόγων ἐντολῶν αὐτοῦ περὶ ἀγάπης τοῦ πλησίον, καὶ εἰς τὸν
Θεὸν ἁμαρτάνει.

Ἐὰν γὰρ πταίσῃ ὁ ἀδελφός, εὐθὺς
θέλει ἀναγγεῖλαι πᾶσι, καὶ σπεύδει ἵνα κριθῇ περὶ αὐτῆς καὶ
κολασθεὶς ἀποθάνῃ.

Ἐὰν δὲ ᾖ δοῦλος, συμβάλλει αὐτὸν
πρὸς τὸν κύριον αὐτοῦ, καὶ ἐν πάσῃ θλίψει ἐπιχειρεῖ κατ'
αὐτοῦ, εἴπως θανατώσει αὐτόν.

Τὸ γὰρ μῖσος ἐνεργεῖ
τῷ φθόνῳ, καὶ κατὰ τῶν εὐπραγούντων τὴν προκοπὴν
ἀκούων καὶ ὁρῶν, πάντοτε ἀσθενεῖ.

Ὥσπερ γὰρ ἡ
ἀγάπη καὶ τοὺς νεκροὺς θέλει ζωοποιῆσαι, καὶ τοὺς ἐν
ἀποφάσει θανάτου θελήσει ἀνακαλέσασθαι, οὕτως τὸ μῖσος
τοὺς ζῶντας θέλει ἀποκτεῖναι, καὶ τοὺς ἐν ὀλίγῳ ἁμαρτήσαν-
τας οὐ θέλει ζῆν.

Τὸ γὰρ πνεῦμα τοῦ μίσους διὰ τῆς
ὀλιγοψυχίας συνεργεῖ τῷ Σατανᾷ ἐν πᾶσιν εἰς θάνατον τῶν
ἀνθρώπων· τὸ δὲ πνεῦμα τῆς ἀγάπης ἐν μακροθυμίᾳ συνεργεῖ
τῷ νόμῳ τοῦ Θεοῦ εἰς σωτηρίαν ἀνθρώπων.

Κακὸν τὸ μῖσος ὅτι ἐνδελεχεῖ συνεχῶς τῷ ψεύδει,
λαλῶν κατὰ τῆς ἀληθείας, καὶ τὰ μικρὰ μεγάλα ποιεῖ, τὸ
σκότος φῶς προσέχει, τὸ γλυκὺ πικρὸν λέγει, καὶ συκοφαντίαν
ἐκδιδάσκει καὶ πόλεμον καὶ ὕβριν καὶ πᾶσαν πλεονεξίαν
κακῶν, καὶ ἰοῦ διαβολικοῦ τὴν καρδίαν πληροῖ.

Καὶ
ταῦτα ἐκ πείρας λέγω ὑμῖν, τέκνα μου, ὅπως φεύξησθε τὸ
μῖσος, καὶ κολληθῆτε τῇ ἀγάπῃ τοῦ Κυρίου.
Ἡ δικαιο-
σύνη ἐκβάλλει τὸ μῖσος, ἡ ταπείνωσις ἀναιρεῖ τὸ μῖσος. Ὁ
γὰρ δίκαιος καὶ ταπεινὸς αἰδεῖται ποιῆσαι ἄδικον, οὐχ ὑπὸ
ἄλλου καταγινωσκόμενος, ἀλλ' ὑπὸ τῆς ἰδίας καρδίας, ὅτι
Κύριος ἐπισκέπει τὸ διαβούλιον αὐτοῦ.
Οὐ καταλαλεῖ
ἀνδρός, ἐπειδὴ ὁ φόβος τοῦ ὑψίστου νικᾷ τὸ μῖσος.
Φοβού-
μενος γὰρ μὴ προσκρούσει Κυρίῳ, οὐ θέλει τὸ καθόλου οὐδὲ
ἕως ἐννοιῶν ἀδικῆσαι ἄνθρωπον.
Ταῦτα ἐγὼ ἔσχατον
ἔγνων μετὰ τὸ μετανοῆσαί με περὶ τοῦ Ἰωσήφ.
Ἡ γὰρ
κατὰ Θεὸν ἀληθὴς μετάνοια ἀναιρεῖ τὴν ἀπείθειαν, καὶ
φυγαδεύει τὸ σκότος, καὶ φωτίζει τοὺς ὀφθαλμούς, καὶ γνῶσιν
παρέχει τῇ ψυχῇ, καὶ ὁδηγεῖ τὸ διαβούλιον πρὸς σωτηρίαν,
καὶ ἃ οὐκ ἔμαθεν ἀπὸ ἀνθρώπων, οἶδε διὰ τῆς μετανοίας.
Ἐπήγαγε γάρ μοι ὁ Θεὸς νόσον ἥπατος, καὶ εἰ μὴ αἱ εὐχαὶ
Ἰακὼβ τοῦ πατρός μου ὀλίγου διεφώνησεν ἀπ' ἐμοῦ τὸ
πνεῦμά μου.
Δι' ὧν γὰρ ἄνθρωπος παρανομεῖ, δι'
ἐκείνων καὶ κολάζεται.
Ἐπεὶ οὖν ἐνέκειτο τὰ ἥπατά
μου ἀνιλεῶς κατὰ τοῦ Ἰωσήφ, τῷ ἥπατι πάσχων ἀνιλεῶς,
ἐκρινόμην ἐπὶ μῆνας ἕνδεκα, καθ' ὅσον χρόνον ἐνεῖχον τῷ
Ἰωσήφ, ἕως ἵνα πραθῇ.
Καὶ νῦν, τέκνα μου, ἀγαπήσατε ἕκαστος τὸν

ἀδελφὸν αὐτοῦ, καὶ ἐξάρατε τὸ μῖσος ἀπὸ τῶν καρδιῶν ὑμῶν, ἀγαπῶντες ἀλλήλους ἐν ἔργῳ καὶ λόγῳ καὶ διανοίᾳ ψυχῆς. Ἐγὼ γὰρ κατὰ πρόσωπον τοῦ πατρὸς ἡμῶν εἰρηνικὰ ἐλάλουν τῷ Ἰωσήφ, καὶ ἐξελθόντος μου τὸ πνεῦμα τοῦ μίσους ἐσκότιζέ μου τὸν νοῦν, καὶ ἐτάρασσε τὴν ψυχήν μου τοῦ ἀνελεῖν αὐτόν.

Ἀγαπᾶτε οὖν ἀλλήλους ἀπὸ καρδίας· καὶ ἐὰν ἁμάρτῃ εἰς σέ, εἰπὲ αὐτῷ ἐν εἰρήνῃ, ἐξορίσας τὸν ἰὸν τοῦ μίσους, καὶ ἐν ψυχῇ σου μὴ κρατήσῃς δόλον· καὶ ἐὰν ὁμολογήσας μετανοήσῃ, ἄφες αὐτῷ· ἐάν τε ἀρνεῖται, μὴ φιλονείκει αὐτῷ, μήποτε ὀμόσαντος αὐτοῦ, δισσῶς ἁμαρτήσῃς.

Μὴ ἀκούσῃ ἐν μάχῃ ἀλλότριος μυστήριον ὑμῶν· ἵνα μὴ μισήσας σε ἐχθράνῃ, καὶ μεγάλην ἁμαρτίαν ἐργάσηται κατά σου· ὅτι πολλάκις δολωφωνῆσαι, ἢ περιεργάζεταί σε ἐν κακῷ, λαβὼν ἀπό σου τὸν ἰόν.

Ἐὰν οὖν ἀρνεῖται, καὶ αἰδεσθῇ ἐλεγχόμενος, ἡσυχάσθῃ, μὴ ἐξάξῃς αὐτόν. Ὁ γὰρ ἀρνούμενος μετανοεῖ, τοῦ μηκέτι πλημμελῆσαι εἴς σε· ἀλλὰ καὶ τιμήσει σε, καὶ φοβηθήσεται καὶ εἰρηνεύσει.

Ἐὰν δὲ ἀναιδής ἐστι, καὶ ἐνίσταται τῇ κακίᾳ, καὶ οὕτως ἄφες αὐτῷ ἀπὸ καρδίας, καὶ δὸς τῷ Θεῷ τὴν ἐκδίκησιν.

Ἐάν τις ὑπὲρ ὑμᾶς εὐοδοῦται, μὴ λυπεῖσθε· ἀλλὰ καὶ εὔχεσθε ὑπὲρ αὐτοῦ, ἵνα τελείως εὐοδοῦται. Ἴσως γὰρ ὑμῖν συμφέρει οὕτως· καὶ ἐὰν ἐπὶ πλεῖον ὑψοῦται, μὴ φθονεῖτε, μνημονεύοντες ὅτι πᾶσα σὰρξ ἀποθανεῖται.

Κυρίῳ δὲ ὕμνον προσφέρετε, τῷ παρέχοντι τὰ καλὰ καὶ συμφέροντα πᾶσιν ἀνθρώποις.

Ἐξέτασον κρίματα Κυρίῳ,

καὶ οὕτως καταλείψει, καὶ ἡσυχάσει τὸ διαβούλιόν σου.
Ἐὰν δὲ καὶ ἐκ κακῶν τις πλουτίσῃ, ὡς Ἠσαῦ ὁ πατράδελφός μου, μὴ ζηλώσητε· ὅρον γὰρ Κυρίου ἐκδέξασθε.
Ἡ γὰρ ἀφαιρεῖται αὐτὰ ἐν κακοῖς, ἢ μετανοοῦσιν ἀφίησιν, ἢ ἀμετανοήτῳ τηρεῖ εἰς αἰῶνα τὴν κόλασιν.
Ὁ γὰρ πένης καὶ ἄφθονος, ἐπὶ πᾶσι Κυρίῳ εὐχαριστῶν, αὐτὸς παρὰ πᾶσι πλουτεῖ, ὅτι οὐκ ἔχει τὸν πονηρὸν περισπασμὸν τῶν ἀνθρώπων.
Ἐξάρατε οὖν τὸ μῖσος ἀπὸ τῶν ψυχῶν ὑμῶν, καὶ ἀγαπᾶτε ἀλλήλους ἐν εὐθύτητι καρδίας.
Εἴπατε δὲ καὶ ὑμεῖς ταῦτα τοῖς τέκνοις ὑμῶν, ὅπως τιμήσωσιν Ἰούδαν καὶ τὸν Λευί· ὅτι ἐξ αὐτῶν ἀνατελεῖ Κύριος σωτῆρα τῷ Ἰσραήλ.
Ἔγνων γὰρ ὅτι ἐπὶ τέλει ἀποστήσονται τὰ τέκνα ὑμῶν ἀπ’ αὐτῶν, καὶ ἐν πάσῃ πονηρίᾳ καὶ κακώσει καὶ διαφθορᾷ ἔσονται ἐνώπιον Κυρίου.
Καὶ ὀλίγον ἡσυχάσας, πάλιν εἶπεν αὐτοῖς· Τέκνα μου, ὑπακούσατε τοῦ πατρὸς ὑμῶν, καὶ θάψατέ με σύνεγγυς τῶν πατέρων μου.
Καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ, ἐκοιμήθη ἐν εἰρήνῃ.
Καὶ μετὰ πέντε ἔτη ἀνήγαγον αὐτόν, καὶ ἔθηκαν αὐτὸν εἰς Χεβρών, μετὰ τῶν πατέρων αὐτοῦ.

ΔΙΑΘΗΚΗ ΑΣΗΡ Ι ΠΕΡΙ ΔΥΟ ΠΡΟΣΩΠΩΝ ΚΑΚΙΑΣ ΚΑΙ ΑΡΕΤΗΣ

Ἀντίγραφον διαθήκης Ἀσήρ, ἃ ἐλάλησε τοῖς υἱοῖς

αὐτοῦ ἑκατοστῷ εἰκοστῷ ἔτει ζωῆς αὐτοῦ.

Ἔτι ὑγιαίνων

εἶπε πρὸς αὐτούς· Ἀκούσατε, τέκνα Ἀσήρ, τοῦ πατρὸς

ὑμῶν, καὶ πᾶν τὸ εὐθὲς ἐνώπιον τοῦ Θεοῦ ὑποδείξω ὑμῖν.

Δύο
ὁδοὺς ἔδωκεν ὁ Θεὸς τοῖς υἱοῖς τῶν ἀνθρώπων, καὶ δύο διαβούλια, καὶ δύο πράξεις, καὶ δύο τόπους, καὶ δύο τέλη.

Διὰ τοῦτο πάντα δύο εἰσίν, ἓν κατέναντι τοῦ ἑνός.

Ὁδοὶ
δύο, καλοῦ καὶ κακοῦ· ἐν οἷς εἰσι τὰ δύο διαβούλια ἐν στέρνοις ἡμῶν διακρίνοντα αὐτάς.

Ἐὰν οὖν ἡ ψυχὴ θέλῃ ἐν καλῷ,

πᾶσα πρᾶξις αὐτῆς ἐστιν ἐν δικαιοσύνῃ, κἂν ἁμάρτῃ εὐθὺς μετανοεῖ.

Δίκαια γὰρ λογιζόμενος, καὶ ἀπορρίπτων τὴν πονηρίαν, ἀνατρέπει εὐθὺς τὸ κακόν, καὶ ἐκριζοῖ τὴν ἁμαρτίαν.

Ἐὰν δὲ ἐν πονηρῷ κλίνει τὸ διαβούλιον πᾶσα πρᾶξις αὐτῆς ἐστιν ἐν πονηρίᾳ, καὶ ἀπωθούμενος τὸ ἀγαθὸν προσλαμβάνει τὸ κακὸν καὶ κυριευθεὶς ὑπὸ τοῦ Βελίαρ, κἂν ἀγαθὸν πράξει, ἐν πονηρίᾳ αὐτὸ μεταστρέφει.

Ὅταν γὰρ ἐνάρξη
ται ὡς ἀγαθὸν ποιῶν, τὸ τέλος τῆς πράξεως αὐτοῦ εἰς κακὸν ποιεῖν ἀνελαύνει· ἐπειδὴ ὁ θησαυρὸς τοῦ διαβόλου ἰοῦ πονηροῦ πνεύματος πεπλήρωται.

Ἔστιν οὖν ψυχὴ λέγουσα, φησί, τὸ καλὸν ὑπὲρ τοῦ

κακοῦ, καὶ τὸ τέλος τοῦ πράγματος εἰς κακίαν ἄγει.

Ἔστιν ἄνθρωπος, ὅτι οὐκ οἰκτείρει λειτουργοῦντα αὐτῷ ἐν κακῷ· καίγε τοῦτο διπρόσωπον, ἀλλὰ τὸ ὅλον πονηρόν ἐστι.

Καὶ ἔστιν ἄνθρωπος ἀγαπῶν τὸν πονηρευόμενον, ὡσαύτως ἐστὶν ἐν πονηρίᾳ, ὅτι καὶ ἀποθανεῖν αἱρεῖται ἐν κακῷ δι' αὐτόν. Καὶ περὶ τούτου φανερὸν ὅτι διπρόσωπόν ἐστι· τὸ δὲ πᾶν κακὴ πρᾶξις.

Καίγε ἀγάπη οὖσα, πονηρία ἐστί,
συγκρύπτουσα τὸ κακόν· ὥσπερ ἐστὶ τῷ ὀνόματι ὡς καλῷ,
τὸ δὲ τέλος τῆς πράξεως ἔρχεται εἰς κακόν.

Ἄλλος
κλέπτει, ἀδικεῖ, ἁρπάζει, πλεονεκτεῖ, καὶ ἐλεεῖ τοὺς πτωχούς· διπρόσωπον μὲν καὶ τοῦτο, ὅλον δὲ πονηρόν ἐστι.

Πλεο-
νεκτῶν τὸν πλησίον παροργίζει τὸν Θεόν, καὶ τὸν ὕψιστον ἐπιορκεῖ, καὶ τὸν πτωχὸν ἐλεᾷ· τὸν ἐντολέα τοῦ νόμου Κύριον ἀθετῇ καὶ παροξύνει, καὶ τὸν πένητα ἀναπαύει· τὴν ψυχὴν σπιλοῖ, καὶ τὸ σῶμα λαμπρύνει· πολλοὺς ἀναιρεῖ καὶ ὀλίγους ἐλεεῖ· καὶ τοῦτο μὲν διπρόσωπόν ἐστιν.

Ἄλλος μοιχεύει καὶ πορνεύει, καὶ ἀπέχεται αἰδεσμάτων, καὶ νηστεύων κακοποιεῖ, καὶ τῇ δυναστείᾳ καὶ τῷ πλούτῳ πολλοὺς παρασύρει, καὶ ἐκ τῆς ὑπερόγκου κακίας ποιεῖ ἐντολάς. Καὶ τοῦτο διπρόσωπόν ἐστιν, ὅλον δὲ κακόν ἐστιν.

Οἱ τοιοῦτοι ὡς ὕες εἰσί, δασύποδες, ὅτι ἐξ ἡμισείας εἰσὶ καθαροί, τὸ δὲ ἀληθὲς ἀκάθαρτοί εἰσι.

Καὶ γὰρ ὁ
Θεὸς ἐν ταῖς πλαξὶ τῶν οὐρανῶν οὕτως εἶπεν.
Ὑμεῖς οὖν, τέκνα μου, μὴ γίνεσθε κατ' αὐτοὺς διπρόσωποι, ἀγαθότητος καὶ κακίας· ἀλλὰ τῇ ἀγαθότητι μόνῃ κολλήθητε, ὅτι ὁ Θεὸς ἀναπαύεται εἰς αὐτήν, καὶ οἱ ἄνθρωποι ποθοῦσιν αὐτήν· τὴν κακίαν ἀποδράσατε, ἀναιροῦντες τὸν διάβολον ἐν ταῖς ἀγαθαῖς ὑμῶν πράξεσιν·
ὅτι οἱ διπρόσωποι οὐ Θεῷ ἀλλὰ ταῖς ἐπιθυμίαις αὐτῶν δουλεύουσιν, ἵνα τῷ Βελίαρ ἀρέσωσι καὶ τοῖς ὁμοίοις αὐτῶν

ἀνθρώποις.

Οἱ γὰρ ἀγαθοὶ ἄνδρες καὶ μονοπρόσωποι, κἂν νομισθῶσι παρὰ τῶν διπροσώπων ἁμαρτάνειν, δίκαιοί εἰσι παρὰ τῷ Θεῷ.

Πολλοὶ γὰρ ἀναιροῦντες τοὺς πονηρούς, δύο ποιοῦσιν ἔργα, κακὸν διὰ καλοῦ, ὅλον ἐστὶ δὲ καλόν· ὅτι τὸ κακὸν ἐκριζώσας ἀπώλεσεν.

Ἔστι τις μισῶν τὸν ἐλεήμονα, καὶ ἀδικῶν τὸν μοιχὸν καὶ λῃστεύοντα· καὶ αὐτό ἐστι διπρόσωπον· ἀλλὰ τὸ πᾶν ἔργον ἀγαθόν ἐστιν, ὅτι μιμεῖται Κύριον, μὴ προσδεχόμενος τὸ δοκοῦν καλὸν μετὰ τοῦ ἀληθινοῦ κακοῦ.

Ἕτερος οὐ θέλει ἡμέραν ἀγαθὴν ἰδεῖν μετὰ ἀσώτων, ἵνα μὴ χράνῃ τὸ στόμα, καὶ μολύνει τὴν ψυχήν· καίγε τοῦτο διπρόσωπον, ὅλον δὲ καλόν ἐστιν, ὅτι οἱ τοιοῦτοι δόρκοις καὶ ἐλάφοις ὅμοιοί εἰσιν· ὅτι ἐν ἤθει ἀγρίῳ δοκοῦσιν ἀκάθαρτοι εἶναι, τὸ δὲ πᾶν καθαροί εἰσιν, ὅτι ἐν ζήλῳ Θεοῦ πορεύονται, ἀπεχόμενοι ὧν καὶ ὁ Θεὸς διὰ τῶν ἐντολῶν μισῶν ἀπαγορεύει, ἀπεῖργον τὸ κακὸν τοῦ ἀγαθοῦ.

Ὁρᾶτε οὖν, τέκνα, πῶς δύο εἰσὶν ἐν πᾶσιν, ἓν κατέναντι τοῦ ἑνός, καὶ ἓν ὑπὸ τοῦ ἑνὸς κέκρυπται.

Τὴν ζωὴν ὁ θάνατος διαδέχεται, τὴν δόξαν ἡ ἀτιμία, τὴν ἡμέραν ἡ νύξ, καὶ τὸ φῶς τὸ σκότος· τὰ δὲ πάντα ὑπὸ ἡμέραν εἰσί, καὶ ὑπὸ ζωὴν τὰ δίκαια· διὸ καὶ τὸν θάνατον ἡ αἰώνιος ζωὴ ἀναμένει·

καὶ οὐκ ἔστιν εἰπεῖν τὴν ἀλήθειαν ψεῦδος, οὐδὲ τὸ δίκαιον ἄδικον· ὅτι πᾶσα ἀλήθεια ὑπὸ τοῦ φωτός ἐστι· καθὼς τὰ πάντα ὑπὸ τὸν Θεόν.

Ταῦτα πάντα ἐδοκίμασα
ἐν τῇ ζωῇ μου, καὶ οὐκ ἐπλανήθην ἀπὸ τῆς ἀληθείας Κυρίου,
καὶ τὰς ἐντολὰς τοῦ ὑψίστου ἐξεζήτησα, κατὰ πᾶσαν ἰσχύν
μου πορευόμενος μονοπροσώπως εἰς τὸ ἀγαθόν.

Προσέχετε οὖν, τέκνα, καὶ ὑμεῖς τὰς ἐντολὰς τοῦ
Κυρίου μονοπροσώπως ἀκολουθοῦντες τῇ ἀληθείᾳ,
ὅτι οἱ
διπρόσωποι δισσῶς κολάζονται. Τὰ πνεύματα τῆς πλάνης
μισήσατε τὰ κατὰ τὸν ἄνθρωπον ἀγωνιζόμενα.

Τὸν νόμον Κυρίου φυλάξατε, καὶ μὴ προσέχετε τὸ κακόν, ὡς καλόν· ἀλλ' εἰς τὸ ὄντως καλὸν ἀποβλέπετε, καὶ διατηρεῖτε αὐτὸ ἐν πάσαις ἐντολαῖς Κυρίου, εἰς αὐτὸν ἀναστρεφόμενοι, καὶ ἐν αὐτῷ καταπαύοντες, ὅτι τὰ τέλη τῶν ἀνθρώπων
δείκνυσι τὴν δικαιοσύνην αὐτῶν, γνωρίζοντες τοὺς ἀγγέλους
Κυρίου καὶ τοῦ Σατανᾶ.

Ἐὰν γὰρ τεταραγμένη ἡ ψυχὴ ἀπέρχεται, βασανίζεται ὑπὸ τοῦ πονηροῦ πνεύματος, οὗ καὶ
ἐδούλευσεν ἐν ἐπιθυμίαις καὶ ἔργοις πονηροῖς·
ἐὰν δὲ
ἡσύχως ἐν χαρᾷ, ἐγνώρισε τὸν ἄγγελον τῆς εἰρήνης, παρα-
καλέσει αὐτὸν ἐν ζωῇ.

Μὴ γίνεσθε, τέκνα, ὡς Σόδομα, ἥτις ἠγνόησε
τοὺς ἀγγέλους Κυρίου, καὶ ἀπώλετο ἕως αἰῶνος.
Οἶδα
γὰρ ὅτι ἁμαρτήσετε, καὶ παραδοθήσεσθε εἰς χεῖρας ἐχθρῶν
ὑμῶν· καὶ ἡ γῆ ὑμῶν ἐρημωθήσεται, καὶ ὑμεῖς διασκορπισθή-
σεσθε εἰς τὰς τέσσαρας γωνίας τῆς γῆς, καὶ ἔσεσθε ἐν
διασπορᾷ ἐξουθενωμένοι ὡς ὕδωρ ἄχρηστον,
ἕως οὗ ὁ
ὕψιστος ἐπισκέψηται τὴν γῆν, καὶ αὐτὸς ἐλθὼν ὡς ἄνθρωπος,
μετὰ ἀνθρώπων ἐσθίων καὶ πίνων, καὶ ἐν ἡσυχίᾳ συντρίβων

τὴν κεφαλὴν τοῦ δράκοντος δι’ ὕδατος. Οὗτος σώσει τὸν Ἰσραὴλ καὶ πάντα τὰ ἔθνη, Θεὸς εἰς ἄνδρα ὑποκρινόμενος. Εἴπατε οὖν ταῦτα τοῖς τέκνοις ὑμῶν μὴ ἀπειθεῖν αὐτῷ. Ἀνέγνων γὰρ ἐν ταῖς πλαξὶ τῶν οὐρανῶν, ὅτι ἀπειθοῦντες ἀπειθήσετε αὐτῷ, καὶ ἀσεβοῦντες ἀσεβήσητε εἰς αὐτόν, μὴ προσέχοντες τὸν νόμον τοῦ Θεοῦ ἀλλ’ ἐντολαῖς ἀνθρώπων. Διὰ τοῦτο διασκορπισθήσεσθε, ὡς Γὰδ καὶ ὡς Δὰν οἱ ἀδελφοί μου· οἳ χώρας αὐτῶν ἀγνοήσουσι καὶ φυλὴν καὶ γλῶσσαν αὐτῶν.

Ἀλλ’ ἐπισυνάξει ὑμᾶς Κύριος ἐν πίστει δι’ ἐλπίδα εὐσπλαγχνίας αὐτοῦ, διὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

Καὶ εἰπὼν αὐτοῖς ταῦτα, ἐνετείλατο αὐτοῖς λέγων· Θάψατέ με εἰς Χεβρών. Καὶ ἀπέθανεν ὕπνῳ καλῷ κοιμηθείς· καὶ μετὰ ταῦτα ἐποίησαν οἱ υἱοὶ αὐτοῦ ὡς ἐνετείλατο αὐτοῖς, καὶ ἀναγαγόντες αὐτὸν ἔθαψαν μετὰ τῶν πατέρων αὐτοῦ.

ΔΙΑΘΗΚΗ ΙΩΣΗΦ ΙΑ ΠΕΡΙ ΣΩΦΡΟΣΥΝΗΣ

Ἀντίγραφον διαθήκης Ἰωσήφ. Ἐν τῷ μέλλειν αὐτὸν ἀποθνήσκειν, καλέσας τοὺς υἱοὺς αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, εἶπεν αὐτοῖς·

Τέκνα μου καὶ ἀδελφοί,
ἀκούσατε Ἰωσὴφ τοῦ ἠγαπημένου ὑπὸ Ἰσραήλ· ἐνωτίσασθε, υἱοί, τοῦ πατρὸς ὑμῶν.

Ἐγὼ εἶδον ἐν τῇ ζωῇ μου τὸν φθόνον καὶ τὸν θάνατον, καὶ οὐκ ἐπλανήθην ἐν τῇ ἀληθείᾳ Κυρίου.

Οἱ ἀδελφοί μου οὗτοι ἐμίσησάν με, καὶ Κύριος
ἠγάπησέ με· αὐτοὶ ἤθελόν με ἀνελεῖν καὶ ὁ Θεὸς τῶν πατέρων
μου ἐφύλαξέ με· εἰς λάκκον με ἐχάλασαν, καὶ ὁ ὕψιστος
ἀνήγαγέ με·
ἐπράθην εἰς δοῦλον, καὶ ὁ Κύριος ἐλευθέρωσέ
με· εἰς αἰχμαλωσίαν ἐλήφθην, καὶ ἡ κραταιὰ αὐτοῦ χεὶρ
ἐβοήθησέ μοι· ἐν λιμῷ συνεσχέθην, καὶ αὐτὸς ὁ Κύριος
διέθρεψέ με·
μόνος ἤμην, καὶ ὁ Θεὸς παρεκάλεσέ με·
ἐν ἀσθενείᾳ ἤμην, καὶ ὁ ὕψιστος ἐπεσκέψατό με· ἐν φυλακῇ
ἤμην, καὶ ὁ σωτὴρ ἐχαρίτωσέ με· ἐν δεσμοῖς, καὶ ἔλυσέ με·
ἐν διαβολαῖς, καὶ συνηγόρησέ μοι· ἐν λόγοις Αἰγυπτίων
πικροῖς, καὶ ἐρρύσατό με· ἐν φθόνοις σὺν δόλοις, καὶ ὕψωσέ με.

Καὶ οὕτως Φωτιμάρ, ὁ ἀρχιμάγειρος Φαραώ,
ἐπίστευσέ μοι τὸν οἶκον αὐτοῦ.

Καὶ ἠγωνισάμην πρὸς
γυναῖκα ἀναιδῆ ἐπειγούσῃ με παρανομεῖν μετ’ αὐτῆς· ἀλλ’ ὁ
Θεὸς Ἰσραὴλ τοῦ πατρός μου ἐφύλαξέ με ἀπὸ φλογὸς καιο-
μένης.

Ἐφυλακίσθην, ἐτυπτίθην, ἐμυκτηρίσθην· καὶ
ἔδωκέ με Κύριος εἰς οἰκτιρμοὺς ἐνώπιον τοῦ δεσμοφύλακος.
Οὐ μὴ γὰρ ἐγκαταλίπῃ τοὺς φοβουμένους αὐτόν, οὐκ ἐν
σκότει, ἢ δεσμοῖς, ἢ θλίψεσιν, ἢ ἀναγκαῖς·
Οὐ γὰρ ὡς
ἄνθρωπος ἐπαισχύνεται ὁ Θεός, οὐδὲ ὡς υἱὸς ἀνθρώπου
δειλιᾷ, οὐδὲ ὡς γηγενὴς ἀσθενεῖ, ἢ ἀποθεῖται·
ἐπὶ πᾶσι δὲ
τόποις παρίσταται, καὶ ἐν διαφόροις τρόποις παρακαλεῖ,
ἐν βραχεῖ ἀφιστάμενος εἰς τὸ δοκιμάσαι τῆς ψυχῆς τὸ

διαβούλιον.

Ἐν δέκα πειρασμοῖς δόκιμόν με ἀνέδειξε, καὶ
ἐν πᾶσιν αὐτοῖς ἐμακροθύμησα· ὅτι μέγα φάρμακόν ἐστιν ἡ

μακροθυμία, καὶ πολλὰ ἀγαθὰ δίδωσιν ἡ ὑπομονή.

Ποσάκις ἡ Αἰγυπτία ἠπείλησέ μοι θάνατον; ποσά-

κις τιμωρίαις παραδοῦσα ἀνεκαλέσατό με, καὶ ἠπείλησέ

μοι μὴ θέλοντι συνελθεῖν αὐτῇ; Ἔλεγε δέ μοι·

κυριεύσεις

μου καὶ πάντων τῶν ἐμῶν, ἐὰν ἐπιδῷς ἑαυτὸν εἰς ἐμέ, καὶ

ἔσῃ ὡς δεσπότης ἡμῶν.

Ἐγὼ οὖν ἐμνησκόμην λόγους πατέρων πατρός μου Ἰακώβ, καὶ
εἰσερχόμενος εἰς τὸ ταμιεῖον, προσηυχόμην Κυρίῳ, καὶ ἐνήστευον
ἐν τοῖς ἑπτὰ ἔτεσιν ἐκείνοις, καὶ ἐφαινόμην τῷ Αἰγυπτίῳ ὡς ἐν
τρυφῇ διάγων· ὅτι οἱ διὰ τὸν Θεὸν νηστεύοντες τοῦ

προσώπου τὴν χάριν λαμβάνουσιν.

Ἐὰν δὲ ἐπεδίδῃ μοι

οἶνον, οὐκ ἔπινον· καὶ τριημερίζων ἐλάμβανόν μου τὴν δίαιταν,

καὶ ἐδίδουν αὐτὴν πένησι καὶ ἀσθενοῦσι.

Καὶ ὤρθριζον πρὸς Κύριον, καὶ ἔκλαιον περὶ Μεμφίας τῆς Αἰγυπτίας,
ὅτι σφόδρα ἀδιαλείπτως ἐνόχλει μοι· καὶ ἐν νυκτὶ εἰσίει λόγῳ
ἐπισκέψεως πρός με· καὶ τὰ μὲν πρῶτα, ὅτι τέκνον ἀρρενικὸν οὐκ
ἦν αὐτῇ, προσεποίειτο ἔχειν με ὡς υἱόν.
Καὶ ηὐξάμην πρὸς Κύριον, καὶ ἔτεκεν ἄρρεν.

Ἕως οὖν

χρόνου ὡς υἱόν με περιεπτύσσετο, κἀγὼ ἠγνόουν· ἔσχατον

εἰς πορνείαν με ἐφελκύσατο.

Καὶ νοήσας ἐλυπήθην ἕως

θανάτου· καὶ ἐξελθούσης αὐτῆς, ἦλθον εἰς ἐμαυτόν, καὶ

ἐπένθησα περὶ αὐτῆς ἡμέρας πολλάς, ὅτι ἔγνων τὸν δόλον

αὐτῆς καὶ τὴν πλάνην.

Καὶ ἔλεγον αὐτῇ ·»ματα ὑψίστου,

εἰ ἄρα ἀποστρέψει ἀπὸ τῆς ἐπιθυμίας αὐτῆς τῆς πονηρᾶς.
Ποσάκις ὡς ἁγίῳ ἀνδρὶ ἐν λόγοις ἐκολάκευσέ με,
μετὰ δόλου διὰ ῥημάτων ἐπαινοῦσα τὴν σωφροσύνην μου
ἐνώπιον τοῦ ἀνδρὸς αὐτῆς, βουλομένη καταμόνας ὑποσκε-
λίσαι με;
Ἐδόξαζέ με ὡς σώφρονα φανερῶς, καὶ ἐν
κρυφῇ ἔλεγέ μοι· Μὴ φοβηθῇς τὸν ἄνδρα μου· καὶ γὰρ
πέπεισται περὶ τῆς σωφροσύνης σου· ὅτι κἂν εἴπῃ τις αὐτῷ
περὶ ἡμῶν, οὐ μὴ πιστεύσῃ.
Ἐν τούτοις πᾶσιν ἐχαμο-
κοίτων ἐγὼ ἐν σάκκῳ, καὶ ἐδεόμην τοῦ Θεοῦ, ὅπως ·ύσεταί
με ὁ Κύριος ἐκ τῆς Αἰγυπτίας.
Ὡς δὲ οὐδὲν ἴσχυσε,
πάλιν ἐπὶ λόγῳ κατηχήσεως ἤρχετο πρός με, μαθεῖν λόγον
Κυρίου.
Καὶ ἔλεγέ μοι· Εἰ θέλεις ἵνα καταλίπω τὰ
εἴδωλα, συνπείσθητί μοι· καὶ τὸν Αἰγύπτιον πείσω ἀποστῆναι
τῶν εἰδώλων, ἐν νόμῳ Κυρίου σου πορευόμενοι.
Λέγω
δὲ πρὸς αὐτήν· Οὐκ ἐν ἀκαθαρσίᾳ λέγει Κύριος τοὺς σεβομέ-
νους αὐτόν, οὐδὲ ἐν τοῖς μοιχεύουσιν εὐδοκεῖ.
Κἀκείνη ἐσιώπησε, ποθοῦσα ἐκτελέσαι τὴν ἐπιθυμίαν αὐτῆς.
Κἀγὼ
προσετίθουν νηστείαν καὶ προσευχήν, ὅπως ·ύσεταί με
Κύριος ἀπ’ αὐτῆς.
Πάλιν δὲ ἐν ἑτέρῳ χρόνῳ λέγει μοι· Εἰ μοιχεῦσαι οὐ
θέλεις, ἐγὼ ἀναιρῶ τὸν Αἰγύπτιον, καὶ οὕτως νόμῳ λήψομαί
σε εἰς ἄνδρα.
Ἐγὼ οὖν, ὡς ἤκουσα τοῦτο, διέρρηξα τὴν

στολήν μου, καὶ εἶπον· Γύναι, αἰδέσθητι τὸν Κύριον, καὶ
μὴ ποιήσῃς τὴν πρᾶξιν τὴν πονηρὰν ταύτην, ἵνα μὴ ἐξολο
θρεύθῃς· ὅτι καίγε ἐγὼ ἐξαγγελῶ τὴν ἐπίνοιαν τῆς ἀσεβείας
σου πᾶσι.

Φοβηθεῖσα οὖν ἐκείνη ἠξίου, ἵνα μηδενὶ
ἐξαγγείλω τὴν κακίαν αὐτῆς.

καὶ ἀνεχώρησε θάλπουσά
με δώροις, καὶ πέμπουσα πᾶσιν ἀπόλαυσιν υἱῶν ἀνθρώπων.

Καὶ ἀποστέλλει μοι βρῶμα ἐν γοητείᾳ πεφυρα
μένον.

Καὶ ὡς ἦλθεν ὁ εὐνοῦχος ὁ κομίζων αὐτό, ἀνέβλεψα
καὶ εἶδον ἄνδρα φοβερόν, ἐπιδιδοῦντά μοι μετὰ τοῦ
τρυβλίου μάχαιραν. Καὶ συνῆκα ὅτι ἡ περιεργεία αὐτῆς
εἰς ἀποπλάνησιν ψυχῆς ἐστι.

Καὶ ἐξελθόντος αὐτῆς ἔκλαιον, μήτε ἐκεῖνο, μήτε ἄλλο τι τῶν αἰδεσμάτων αὐτῆς
γευσάμενος.

Μετὰ οὖν μίαν ἡμέραν ἐλθοῦσα πρός με, ἐπέγνω τὸ βρῶμα, καὶ λέγει πρός με· Τί τοῦτο, ὅτι οὐκ
ἔφαγες ἀπὸ τοῦ βρώματος;

Καὶ εἶπον πρὸς αὐτήν· Ὅτι ἐπλήρωσας αὐτὸ θανάτου· καὶ πῶς εἶπας, ὅτι οὐκ ἐγγίζω
εἰδώλοις, ἀλλὰ Κυρίῳ μόνῳ;

Νῦν οὖν γνῶθι, ὅτι ὁ Θεὸς
τοῦ πατρός μου δι’ ἀγγέλου ἀπεκάλυψέ μοι τὴν κακίαν σου,
καὶ ἐτήρησα αὐτὸ εἰς ἔλεγχόν σου, εἰ ἄρα ἰδοῦσα αὐτὸ μετα-
νοήσεις.

Ἵνα δὲ μάθῃς, ὅτι τῶν ἐν σωφροσύνῃ θεοσεβούν-
των οὐ κατισχύει κακία ἀσεβούντων, λαβὼν ἐνώπιον αὐτῆς
ἔφαγον, εἰπών· Ὁ Θεὸς τῶν πατέρων μου, καὶ ὁ ἄγγελος

Ἀβραὰμ ἔσται μετ’ ἐμοῦ.

Ἡ δὲ ἔπεσεν ἐπὶ πρόσωπον εἰς τοὺς

πόδας μου, καὶ ἔκλαυσε· καὶ ἀναστήσας αὐτὴν ἐνουθέτησα·

καὶ συνέθετο τοῦ μὴ ποιῆσαι ἔτι τὴν ἀσέβειαν ταύτην.

Ὅτι δὲ ἡ καρδία αὐτῆς ἐνέκειτο εἰς ἐμὲ πρὸς

ἀκολασίαν, στενάζουσα προσέπιπτεν.

Ἰδὼν δὲ αὐτὴν ὁ Αἰγύπτιος, λέγει πρὸς αὐτήν· Τί συνέπεσε τὸ πρόσωπόν σου;

Ἡ δὲ εἶπε· Πόνον καρδίας ἐγὼ ἀλγῶ, καὶ οἱ στεναγμοὶ τοῦ

πνεύματος μου συνέχουσί με. Καὶ ἐθεράπευεν αὐτὴν μὴ

ἀσθενοῦσαν.

Τότε εἰσεπήδησε πρός με, ἔτι ὄντος ἔξω

τοῦ ἀνδρὸς αὐτῆς, καὶ λέγει μοι· Ἄγχομαι, ἢ εἰς φρέαρ ἢ

εἰς κρημνὸν ·ίπτω ἐμαυτήν, ἐὰν μή μοι συμπεισθείς.

Καὶ νοήσας, ὅτι τὸ πνεῦμα τοῦ Βελίαρ αὐτὴν ἐνοχλεῖ, προσευξάμενος Κυρίῳ, εἶπον αὐτῇ· Ἵνα τί ταράσσῃ καὶ θορυβῇ, ἐν ἁμαρτίαις τυφλώττουσα; Μνήσθητι ὅτι ἐὰν ἀνελῇς σεαυτήν, ἡ Σηθῶν, ἡ παλλακὴ τοῦ ἀνδρός σου, ἡ ἀντίζηλός

σου, κολαφίσει τὰ τέκνα σου, καὶ ἀπολέσει τὸ μνημόσυνόν σου

ἀπὸ τῆς γῆς.

Καὶ λέγει πρός με· Ἴδε οὖν ἀγαπᾷς με· ἀρκεῖ μοι μόνον, ὅτι ἀντιποιῇ τῆς ζωῆς μου, καὶ τῶν τέκνων μου· ἔχω προσδοκίαν ἀπολαῦσαι τῆς ἐπιθυμίας μου.

Καὶ

οὐκ ἔγνω, ὅτι διὰ τὸν Θεόν μου εἶπον οὕτως, καὶ οὐ δι’ αὐτήν.

Ἐὰν γάρ τις πάθει ὑποπέσῃ ἐπιθυμίας πονηρᾶς, καὶ τούτῳ

δουλωθῇ ὡς κἀκείνη· κἂν ἀγαθόν τι ἀκούσῃ, εἰς τὸ πάθος, ὃ

ἡττᾶται, ἐκλαμβάνει αὐτὸ πρὸς ἐπιθυμίαν πονηράν.

Λέγω ὑμῖν, τέκνα, ὅτι ὥρα ἦν ὡσεὶ ἕκτη, ὅτε

ἐξῆλθεν ἀπ’ ἐμοῦ· κἀγὼ γόνυ κλίνας πρὸς Κύριον ὅλην τὴν

ἡμέραν, καὶ ὅλην τὴν νύκτα συνάψας, περὶ τὸν ὄρθρον ἀνέστην

δακρύων, καὶ αἰτῶν λύτρωσιν ἀπὸ τῆς Αἰγυπτίας.

Τέλος

οὖν ἐπιλαμβάνεταί μου τῶν ἱματίων, μετὰ βίας ἐφελκομένη

με εἰς συνουσίαν.

Ὡς οὖν εἶδον ὅτι μαινομένη βίᾳ κρατεῖ

τὰ ἱμάτιά μου, γυμνὸς ἔφυγον.

Κἀκείνη ἐσυκοφάντισέ

με πρὸς τὸν ἄνδρα αὐτῆς· καὶ ἐνέβαλέ με εἰς φυλακὴν ἐν

οἴκῳ αὐτοῦ ὁ Αἰγύπτιος· καὶ τῇ ἑξῆς μαστίξας με, ἔπεμψέ

με εἰς φυλακὴν ἐν οἴκῳ αὐτοῦ ὁ Αἰγύπτιος.

Ὡς οὖν ἤμην ἐν πέδαις, ἡ Αἰγυπτία ἠσθένει ἀπὸ τῆς λύπης, καὶ ἐπηκροᾶτό μου, πῶς ὕμνουν Κύριον ὢν ἐν οἴκῳ σκότους,

καὶ ἐν ἱλαρᾷ φωνῇ χαίρων ἐδόξαζον τὸν Θεόν μου, μόνον ὅτι

διὰ προφάσεως ἀπηλλάγην τῆς Αἰγυπτίας.

Πολλάκις ἔπεμψε πρός με, λέγουσα· Εὐδόκησον

πληρῶσαι τὴν ἐπιθυμίαν μου, καὶ λυτρώσω σε τῶν δεσμῶν,

καὶ ἀπαλλάξω σε τοῦ σκότους.

Καὶ οὐδὲ ἕως ἐννοιῶν

ποτὲ ἔκλινα πρὸς αὐτήν. Ἀγαπᾷ γὰρ ὁ Θεὸς μᾶλλον τὸν ἐν

λάκκῳ σκότους νηστεύοντα ἐν σωφροσύνῃ, ἢ τὸν ἐν ταμείοις

τρυφῶντα μετὰ ἀκολασίας.

Ὁ δὲ ἐν σωφροσύνῃ διάγων

θέλει καὶ δόξαν, καὶ εἰ οἶδεν ὁ ὕψιστος, ὅτι συμφέρει, παρέχει

αὐτῷ καὶ ταῦτα ὡς κάμοί.

Ποσάκις καίπερ ἀσθενοῦσα

κατῄει πρός με ἐν ἀωρίᾳ, καὶ ἤκουε τῆς φωνῆς μου προσευχο-

μένου; συνίων δὲ ἐγὼ τοὺς στεναγμοὺς αὐτῆς, ἐσιώπουν.

Καὶ γὰρ ὅτε ἤμην ἐν τῷ οἴκῳ αὐτῆς, ἐγύμνου τοὺς βραχίονας

αὐτῆς καὶ τὰ στέρνα καὶ τὰς κνήμας, ἵνα συμπέσω εἰς αὐτήν·

πάνυ γὰρ ἦν ὡραία, μάλιστα κοσμουμένη πρὸς ἀπάτησίν μου.
Καὶ ὁ Κύριος ἐφύλαξέ με ἀπὸ τῶν ἐγχειρημάτων αὐτῆς.
Ὁρᾶτε οὖν, τέκνα μου, πόσα κατεργάζεται ἡ
ὑπομονή, καὶ προσευχὴ μετὰ νηστείας.
Καὶ ὑμεῖς οὖν,
ἐὰν τὴν σωφροσύνην καὶ τὴν ἁγνείαν μετέλθητε ἐν ὑπομονῇ
καὶ ταπεινώσει καρδίας, Κύριος κατοικήσει ἐν ὑμῖν, ὅτι
ἠγάπησε τὴν σωφροσύνην.
Ὅπου δὲ κατοικεῖ ὁ ὕψιστος,
κἂν τις περιπέσῃ φθόνῳ ἢ δουλείᾳ ἢ συκοφαντίᾳ, Κύριος ὁ
ἐν αὐτῷ κατοικῶν διὰ τὴν σωφροσύνην οὐ μόνον ἐκ τῶν
κακῶν ῥύεται, ἀλλὰ καὶ ὑψοῖ καὶ δοξάζει αὐτὸν ὡς κἀμέ.
Πάντως γὰρ ὁ ἄνθρωπος, ἢ ἐν ἔργῳ, ἢ ἐν λόγῳ, ἢ ἐν διανοίᾳ
συνέχεται.
Γινώσκουσιν οἱ ἀδελφοί μου, πῶς ἠγάπησέ
με ὁ πατήρ μου· καὶ οὐχ ὑψούμην ἐν τῇ καρδίᾳ μου· καίπερ
νήπιος ὤν, εἶχον τὸν φόβον τοῦ Θεοῦ ἐν τῇ διανοίᾳ μου.
Ἤιδειν γάρ, ὅτι τὰ πάντα παρελεύσεται,
καὶ ἐμέτρουν
ἐμαυτὸν καὶ ἐτίμουν τοὺς ἀδελφούς μου· καὶ διὰ τὸν φόβον
αὐτῶν ἐσιώπουν πιπρασκόμενος, μὴ εἰπεῖν τοῖς Ἰσμαηλίταις
τὸ γένος μου, ὅτι υἱός εἰμι Ἰακώβ, ἀνδρὸς μεγάλου καὶ δυνατοῦ.
Καὶ ὑμεῖς οὖν ἔχετε ἐν πράξει ὑμῶν τὸν τοῦ Θεοῦ
φόβον, καὶ τιμᾶτε τοὺς ἀδελφοὺς ὑμῶν. Πᾶς γὰρ ὁ ποιῶν
νόμον Κυρίου, ἀγαπηθήσεται ὑπ' αὐτοῦ.
Ἐλθὼν δὲ εἰς
Ἰνδοκολπίτας μετὰ τῶν Ἰσμαηλιτῶν, ἠρώτουν με· κἀγὼ
εἶπον ὅτι δοῦλος αὐτῶν εἰμι ἐξ οἴκου, ἵνα μὴ αἰσχύνω τοὺς
ἀδελφούς μου.

Λέγει δέ μοι ὁ μείζων αὐτῶν· Οὐκ εἶ
δοῦλος σύ, ὅτι καὶ ἡ ὄψις σου δηλοῖ περί σου· καὶ ἠπείλει μοι
ἕως θανάτου. Ἐγὼ δὲ ἔλεγον ὅτι δοῦλος αὐτῶν εἰμί.
Ὡς
δὲ ἤλθομεν εἰς Αἴγυπτον, περὶ ἐμοῦ ἐμάχοντο, τίς προσδοὺς
χρυσίον λάβῃ με.
Διὸ πᾶσιν ἔδοξεν εἶναί με εἰς Αἴγυπτον
πρὸς μετάβολον ἐμπορίας αὐτῶν, ἕως ἐπιστρέψωσι φέροντες
ἐμπορίαν.
Καὶ ὁ Κύριος ἔδωκέ μοι χάριν ἐν ὀφθαλμοῖς
τοῦ μεταβόλου, καὶ ἐπίστευσέ μοι τὸν οἶκον αὐτοῦ.
Καὶ εὐλόγησεν αὐτὸν Κύριος ἐν χειρί μου, καὶ ἐπλήθυνεν αὐτὸν ἐν ἀργυρίῳ καὶ χρυσίῳ· καὶ ἤμην μετ' αὐτοῦ μῆνας τρεῖς καὶ ἡμέρας πέντε.
Κατ' ἐκεῖνον τὸν καιρὸν παρίει ἡ Μεμφία γυνὴ
τοῦ Πετεφρὶ μετὰ δόξης πολλῆς, καὶ ἐπέβαλεν ἐπ' ἐμὲ τοὺς
ὀφθαλμοὺς αὐτῆς· ὅτι εἶπον αὐτῇ οἱ εὐνοῦχοι περὶ ἐμοῦ.
Καὶ λέγει τῷ ἀνδρὶ αὐτῆς περὶ τοῦ μεταβόλου, ὅτι ἐπλούτισεν ἐν χειρὶ νέου τινὸς Ἑβραίου· λέγουσι δὲ ὅτι κλοπῇ ἔκλεψαν αὐτὸν ἐκ γῆς Χαναάν·
νῦν οὖν ποίησον μετ' αὐτοῦ κρίσιν, καὶ ἀφελοῦ τὸν νεανίαν εἰς οἰκονόμον σου· καὶ
εὐλογήσει σε ὁ Θεὸς τῶν Ἑβραίων, ὅτι χάρις ἐκ τοῦ οὐρανοῦ
ἐστιν ἐπ' αὐτῷ.
Ὁ δὲ Πετεφρὶς πεισθεὶς τοῖς λόγοις αὐτῆς,
ἐκέλευσεν ἀχθῆναι τὸν μετάβολον, καὶ λέγει αὐτῷ· Τί ταῦτα
ἀκούω, ὅτι κλέπτεις τὰς ψυχὰς ἐκ γῆς Ἑβραίων εἰς παῖδας
μετεμπωλῶν;
Πεσὼν οὖν ἐπὶ πρόσωπον αὐτοῦ ὁ μετά-
βολος, ἐδέετο λέγων· Δέομαί σου, κύριε, οὐκ οἶδα ὃ λέγεις.
Ὁ δὲ ἔφη· Πόθεν οὖν σοι ὁ παῖς ὁ Ἑβραῖος; καὶ εἶπεν·

Οἱ Ἰσμαηλῖται παρέθεντό μοι αὐτόν, ἕως οὗ ἐπιστρέψωσι.

Καὶ οὐκ ἐπίστευσεν αὐτῷ, ἀλλ’ ἐκέλευσε γυμνὸν τύπτεσθαι αὐτόν. Ἐπιμένοντος δὲ αὐτοῦ, λέγει ὁ Πετεφρίς· Ἀχθήτω ὁ νεανίσκος.

Καὶ εἰσαχθεὶς προσεκύνησα τῷ ἀρχευνούχῳ· τρίτος γὰρ ἦν ἐν ἀξίᾳ παρὰ τῷ Φαραώ, ἄρχων πάντων τῶν εὐνούχων, ἔχων γυναῖκα καὶ τέκνα καὶ παλλακάς.

Καὶ διαχωρίσας με ἀπ’ αὐτοῦ, εἶπέ μοι· Δοῦλος εἶ, ἢ ἐλεύθερος; καὶ εἶπον· Δοῦλος.

Καὶ λέγει πρός με· Τίνος εἶ δοῦλος; καὶ λέγω αὐτῷ· Τῶν Ἰσμαηλιτῶν.

Καὶ πάλιν λέγει μοι· Πῶς αὐτῶν ἐγένου δοῦλος; καὶ εἶπον ὅτι ἐκ τῆς Χαναὰν ἐπρίαντό με.

Ὁ δὲ ἠπίστησε, λέγων ὅτι ψεύδῃ· καὶ γυμνόν με ἐκέλευσε τύπτεσθαι.

Ἡ δὲ Μεμφὶς ἑώρα διὰ θυρίδος τυπτομένου μου, καὶ ἀποστέλλει πρὸς τὸν ἄνδρα αὐτῆς, λέγουσα· Ἄδικός ἐστιν ἡ κρίσις σου, ὅτι καὶ τὸν κλαπέντα ἐλεύθερον τιμωρεῖς, ὡς ἀδικήσαντα.

Ὡς δὲ οὐκ ἤλλαξα λόγον τυπτόμενος, ἐκέλευσε φυλακισθῆναί με, ἕως οὗ ἔλθωσι, φησίν, οἱ κύριοι τοῦ παιδός.

Καὶ ἡ γυνὴ αὐτοῦ λέγει πρὸς αὐτόν· Διὰ τί συνέχεις τὸν αἰχμάλωτον καὶ εὐγενῆ παῖδα, ὃν ἔδει εἶναι μᾶλλον ἄνετον, καὶ ὑπηρετεῖν σου;

Ἤθελε γάρ με ὁρᾶν ἐν πόθῳ ἁμαρτίας· καὶ ἠγνόουν ἐπὶ πᾶσι τούτοις.

Ὁ δὲ εἶπε πρὸς τὴν Μεμφίν· Οὐκ ἔστι παρ’ Αἰγυπτίοις πρὸ ἀποδεί-

ξεως ἀφαιρεῖσθαι τὰ ἀλλότρια.
Ταῦτα εἶπε περὶ τοῦ
μεταβόλου, καὶ περὶ ἐμοῦ, ὅτι ὄφειλα ἐγκατάκλειστος εἶναι.
Μετὰ δὲ εἰκοσιτέσσαρας ἡμέρας ἦλθον οἱ Ἰσμαη-
λῖται· καὶ ἀκούσαντες ὅτι Ἰακὼβ ὁ πατήρ μου πενθεῖ περὶ
ἐμοῦ, εἶπον πρός με·
Τί ὅτι εἶπας ἑαυτὸν δοῦλον εἶναι;
καὶ ἰδοὺ ἔγνωμεν, ὅτι υἱὸς εἶ ἀνδρὸς μεγάλου ἐν τῇ Χαναάν·
καὶ πενθεῖ ὁ πατήρ σου ἐν λάκκῳ.
Καὶ πάλιν ἤθελον
δακρῦσαι, καὶ ἐπέσχον ἐμαυτόν, ἵνα μὴ αἰσχύνω τοὺς ἀδελ-
φούς μου. Καὶ εἶπα· Ἐγὼ οὐκ οἶδα· δοῦλός εἰμι.
Τότε
βουλεύονται πωλῆσαί με, ἵνα μὴ εὑρεθῶ ἐν χερσὶν αὐτῶν.
Ἐφοβοῦντο γὰρ τὸν Ἰακώβ, ἵνα μὴ ποιήσῃ ἐν αὐτοῖς
ἐκδίκησιν κινδύνου. Ἠκούσθη γάρ, ὅτι μέγας ἐστὶ παρὰ
Κυρίῳ καὶ ἀνθρώποις.
Τότε λέγει ὁ μετάβολος αὐτοῖς·
Λύσατέ με ἀπὸ τῆς κρίσεως Πετεφρί.
Προσελθόντες
οὖν αἰτοῦνταί με, λέγοντες· Ὅτι ἐν ἀργυρίῳ ἠγοράσθη ἡμῖν·
κἀκεῖνος ἀπέλυσεν ἡμᾶς.
Ἡ δὲ Μεμφὶς ἐδήλωσε τῷ ἀνδρὶ αὐτῆς, πριᾶσθαί
με· ἀκούω γάρ, φησίν, ὅτι πωλοῦσιν αὐτόν.
Καὶ ἀπέστειλεν
εὐνοῦχον τοῖς Ἰσμαηλίταις, ᾔτειτο εἰς πρᾶσιν·
καὶ μὴ
θελήσας ποιῆσαι μετ’ αὐτῶν, ἀνεχώρησεν. Ὁ δὲ εὐνοῦχος
πειραθεὶς αὐτῶν δηλοῖ τῇ δεσποίνῃ, ὅτι πολλὴν αἰτοῦσι
τιμὴν τοῦ παιδός.

Ἡ δὲ ἀπέστειλεν ἕτερον εὐνοῦχον,
λέγουσα· Ἐὰν καὶ δύο μνᾶς χρυσίου ζητοῦσι, πρόσεχε μὴ
φείσασθαι χρυσίου, μόνον πριάμενος τὸν παῖδα ἀγάγετε.
Καὶ δίδει αὐτοῖς ὀγδοήκοντα χρυσίνους ἀντ' ἐμοῦ, ἑκατὸν
εἰπὼν τῇ Αἰγυπτίᾳ δεδῶσθαι ἀντ' ἐμοῦ.
Καὶ ἰδὼν ἐγὼ
ἐσιώπησα, ἵνα μὴ ἐτασθῇ ὁ εὐνοῦχος.
Ὁρᾶτε, τέκνα, πόσα ὑπέμεινα, ἵνα μὴ καται-
σχύνω τοὺς ἀδελφούς μου;
Καὶ ὑμεῖς οὖν ἀγαπᾶτε ἀλλή-
λους· καὶ ἐν μακροθυμίαις συγκρύπτετε ἀλλήλων τὰ ἐλαττώ-
ματα.
Τέρπεται γὰρ ὁ Θεὸς ἐπὶ ὁμονοίᾳ ἀδελφῶν, καὶ
ἐπὶ προαιρέσει καρδίας εὐδοκημούσης εἰς ἀγάπην.
Καὶ
ὅτε ἦλθον οἱ ἀδελφοί μου εἰς Αἴγυπτον, ὡς ἔγνωσαν ὅτι
ἀπέστρεψα τὸ ἀργύριον αὐτοῖς, καὶ οὐκ ὠνείδισα, ἀλλὰ καὶ
παρεκάλεσα αὐτούς,
καὶ μετὰ θάνατον Ἰακὼβ περισσοτέ-
ρως ἠγάπησα αὐτούς, καὶ πάντα, ὅσα ἐκέλευσεν ἐκ περισσοῦ
ἐποίησα, καὶ ἐθαύμαζον.
Οὐκ ἀφῆκα γὰρ αὐτοὺς θλιβῆναι,
ἕως μικροῦ πράγματος· καίγε πᾶν, ὃ ἦν ἐν χειρί μου, αὐτοῖς
ἔδωκα.
Οἱ υἱοὶ αὐτῶν, υἱοί μου· καὶ οἱ υἱοί μου, ὡς
δοῦλοι αὐτῶν· ἡ ψυχὴ αὐτῶν, ψυχή μου· καὶ πᾶν ἄλγημα
αὐτῶν, ἄλγημά μου· καὶ πᾶσα μαλακία αὐτῶν, ἀσθένειά μου·
ἡ γῆ μου, γῆ αὐτῶν· ἡ βουλή μου, βουλὴ αὐτῶν.
Καὶ οὐχ
ὕψωσα ἐμαυτὸν ἐν αὐτοῖς ἐν ἀλαζονήᾳ, διὰ τὴν κοσμικὴν
δόξαν μου, ἀλλ' ἤμην ἐν αὐτοῖς ὡς εἷς τῶν ἐλαχίστων.

Ἐὰν οὖν καὶ ὑμεῖς πορευθῆτε ἐν ταῖς ἐντολαῖς Κυρίου, τέκνα μου, ὑψώσει ὑμᾶς ἐνταῦθα, καὶ εὐλογήσει ἐν ἀγαθοῖς εἰς αἰῶνας.

Καὶ ἐὰν θέλῃ τις κακοποιῆσαι ὑμᾶς, ὑμεῖς τῇ ἀγαθοποιῇ εὔχεσθε ὑπὲρ αὐτοῦ· καὶ ἀπὸ παντὸς κακοῦ λυτρωθήσεσθε διὰ Κυρίου.

Ἰδοὺ γὰρ ὁρᾶτε, ὅτι διὰ τὴν μακροθυμίαν καὶ θυγατέρα κυρίων μου ἔλαβον εἰς γυναῖκα· καὶ ἑκατὸν τάλαντά μοι χρυσίου δέδοται σὺν αὐτῇ· ὅτι Κύριός μοι αὐτοὺς ἐδούλευσε.

Καίγε ὡραιότητα ἔδωκέ μοι, ὡς ἄνθος ὑπὲρ ὡραίους Ἰσραήλ· καὶ διεφύλαξέ με ἕως γήρως ἐν δυνάμει καὶ ἐν κάλλει, ὅτι ἐγὼ ὅμοιος ἐν πᾶσι τῷ Ἰακώβ.

Ἀκούσατε, τέκνα μου, καὶ ὧν εἶδον ἐνυπνίων.

Δώδεκα ἔλαφοι ἐνέμοντο, καὶ οἱ ἐννέα διαιρέθησαν καὶ διεσπάρησαν τῇ γῇ· ὁμοίως καὶ οἱ τρεῖς.

Καὶ εἶδον, ὅτι ἐκ τοῦ Ἰούδα ἐγεννήθη παρθένος, ἔχουσα στολὴν βυσσίνην· καὶ ἐξ αὐτῆς προῆλθεν ἀμνὸς ἄμωμος, καὶ ἐξ ἀριστερῶν αὐτοῦ, ὡς λέων· καὶ πάντα τὰ θηρία ὥρμουν κατ’ αὐτοῦ, καὶ ἐνίκησεν αὐτὰ ὁ ἀμνός, καὶ ἀπώλεσεν εἰς καταπάτησιν.

Καὶ ἔχαιρον ἐπ’ αὐτῷ οἱ ἄγγελοι, καὶ οἱ ἄνθρωποι, καὶ πᾶσα ἡ γῆ.

Ταῦτα δὲ γενήσεται ἐν καιρῷ αὐτῶν, ἐν ἐσχάταις ἡμέραις.

Ὑμεῖς οὖν, τέκνα μου, φυλάξατε τὰς ἐντολὰς Κυρίου, καὶ τιμᾶτε τὸν Ἰούδαν καὶ τὸν Λευί· ὅτι ἐξ αὐτῶν ἀνατελεῖ ὑμῖν ὁ ἀμνὸς τοῦ Θεοῦ, χάριτι σώζων πάντα τὰ ἔθνη, καὶ τὸν Ἰσραήλ.

Ἡ γὰρ βασιλεία αὐτοῦ
βασιλεία αἰῶνος, ἥτις οὐ παρασαλεύσεται. Ἡ δὲ ἐμὴ
βασιλεία ἐν ὑμῖν ἐπιτελεῖται, ὡς ὀποροφυλάκιον, ὅτι μετὰ τὸ
θέρος οὐ φανήσεται.

Οἶδα ὅτι μετὰ τὴν τελευτήν μου οἱ Αἰγύπτιοι
θλίψωσιν ὑμᾶς· ἀλλ' ὁ Θεὸς ποιήσει τὴν ἐκδίκησιν ὑμῶν,
καὶ εἰσάξει ὑμᾶς εἰς τὴν ἐπαγγελίαν τῶν πατέρων ὑμῶν.
Ἀλλὰ συνανοίσετε τὰ ὀστᾶ μου μεθ' ὑμῶν, ὅτι ἀναγομένων
τῶν ὀστέων μου, Κύριος ἐν φωτὶ ἔσται μεθ' ὑμῶν, καὶ
Βελίαρ ἐν σκότει ἔσται μετὰ τῶν Αἰγυπτίων.

Καὶ
Ζελφὰν τὴν μητέρα ὑμῶν ἀναγάγετε, καὶ ἐγγὺς Βάλλας
παρὰ τὸν Ἱππόδρομον, πλησίον Ῥαχήλ, θέτε αὐτήν.
Καὶ
ταῦτα εἰπών, ἐκτείνας τοὺς πόδας αὐτοῦ, ἐκοιμήθη ὕπνον
αἰώνιον.
Καὶ ἐπένθησεν αὐτὸν πᾶς Ἰσραὴλ καὶ πᾶσα ἡ
Αἴγυπτος πένθος μέγα.

Καὶ γὰρ καὶ τοῖς Αἰγυπτίοις
ὡς ἰδίοις μέλεσι συνέπασχε, καὶ εὐεργέτει, παντὶ ἔργῳ καὶ
βουλῇ καὶ πράγματι παριστάμενος.

ΔΙΑΘΗΚΗ ΒΕΝΙΑΜΙΝ ΙΒ ΠΕΡΙ ΔΙΑΝΟΙΑΣ ΚΑΘΑΡΑΣ

Ἀντίγραφον λόγων Βενιαμίν, ὧν διέθετο τοῖς
υἱοῖς αὐτοῦ, ζήσας ἔτη ἑκατὸν εἴκοσι.
Καὶ φιλήσας
αὐτούς, εἶπεν· Ὡς Ἰσαὰκ ἑκατοστῷ ἔτει ἐτέχθη τῷ Ἀβραάμ,
οὕτως κἀγὼ τῷ Ἰακώβ.
Ἐπειδὴ οὖν Ῥαχὴλ τέθνηκε

γεννῶσά με, γάλα οὐκ ἔσχον, Βάλλαν οὖν τὴν παιδίσκην αὐτῆς ἐθήλασα.
Ἡ γὰρ Ῥαχὴλ μετὰ τὸ τεκεῖν τὸν Ἰωσήφ,
δώδεκα ἔτη ἐστείρευσε· καὶ προσηύξατο Κυρίῳ μετὰ νηστείας δώδεκα ἡμέρας· καὶ συλλαβοῦσα ἔτεκέ με.
Σφόδρα
γὰρ ὁ πατὴρ ἡμῶν ἠγάπα τὴν Ῥαχήλ, καὶ ηὔχετο δύο υἱοὺς ἰδεῖν ἀπ' αὐτῆς.
Διὰ τοῦτο ἐκλήθην υἱὸς ἡμερῶν, ὅ ἐστι Βενιαμίν.
Ὅτε οὖν εἰσῆλθον εἰς Αἴγυπτον, καὶ ἀνεγνώρισέ
με Ἰωσὴφ ὁ ἀδελφός μου, λέγει μοι· Τί εἶπον τῷ πατρί μου, ὅτι ἐπώλησάν με;
Καὶ εἶπον αὐτῷ ὅτι ἔφυραν τὸν
χιτῶνά σου αἵματι, καὶ πέμψαντες εἶπον· Ἐπίγνωθι εἰ ὁ χιτὼν τοῦ υἱοῦ σου οὗτος.
Καὶ λέγει μοι· Ναί, ἄδελφε·
καὶ γὰρ ὅτε ἔλαβόν με οἱ Ἰσμαηλῖται, εἷς ἐξ αὐτῶν ἀποδύσας με τὸν χιτῶνα, ἔδωκέ μοι περίζωμα, καὶ φραγελλώσας με εἶπε τρέχειν.
Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν κρύψαι τὸ ἱμάτιόν μου, ὑπήντησεν αὐτῷ λέων καὶ ἀνεῖλεν αὐτόν.
Καὶ οὕτως οἱ μέτοχοι φοβηθέντες διαπωλοῦσί με τοῖς ἑτέροις αὐτῶν.
Καὶ ὑμεῖς οὖν, τέκνα μου, ἀγαπήσατε Κύριον
τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ φυλάξατε ἐντολὰς αὐτοῦ, μιμούμενοι τὸν ἀγαθὸν καὶ ὅσιον ἄνδρα Ἰωσήφ.
Καὶ ἔστω ἡ
διάνοια ὑμῶν εἰς τὸ ἀγαθόν, ὡς κἀμὲ οἴδατε. Ὁ ἔχων τὴν διάνοιαν ἀγαθὴν πάντα βλέπει ὀρθῶς.

Φοβεῖσθε Κύριον,

καὶ ἀγαπᾶτε τὸν πλησίον· καὶ ἐὰν τὰ πνεύματα τοῦ Βελίαρ

εἰς πᾶσαν πονηρίαν θλίψεως ἐξαιτήσωνται ὑμᾶς, οὐ μὴ

κατακυριεύσῃ ὑμῶν πᾶσα πονηρία θλίψεως, ὡς οὐδὲ Ἰωσὴφ

τοῦ ἀδελφοῦ μου.

Πόσοι τῶν ἀνθρώπων ἠθέλησαν ἀνελεῖν αὐτόν, καὶ ὁ Θεὸς ἐσκέπασεν αὐτόν; Ὁ γὰρ φοβούμενος τὸν Θεόν, καὶ ἀγαπῶν τὸν πλησίον αὐτοῦ, ὑπὸ τοῦ
ἀερίου πνεύματος τοῦ Βελίαρ οὐ δύναται πληγῆναι, σκεπαζόμενος ὑπὸ τοῦ φόβου τοῦ Θεοῦ· καὶ ὑπὸ ἐπιβουλῆς ἀνθρώπων ἢ θηρίων οὐ δύναται κυριευθῆναι, βοηθούμενος
ὑπὸ τῆς τοῦ Κυρίου ἀγάπης, ἧς ἔχει πρὸς τὸν πλησίον.

Καὶ γὰρ ἐδεήθην τοῦ πατρὸς ἡμῶν Ἰακώβ, ἵνα προσεύξηται

περὶ τῶν ἀδελφῶν ἡμῶν, ἵνα μὴ λογίσηται αὐτοῖς ὁ Κύριος,

εἴτι ἐνεθυμήθησαν πονηρὸν περὶ αὐτοῦ.

Καὶ οὕτως ἐβόα Ἰακώβ· Ὦ τέκνον Ἰωσήφ, ἐνίκησας τὰ σπλάγχνα Ἰακὼβ τοῦ πατρός σου. Καὶ περιλαβὼν αὐτόν, ἐπὶ δύο ὥρας κατεφίλει, λέγων· Πληρωθήσεται ἐν σοὶ προφητεία οὐρανοῦ περὶ τοῦ ἀμνοῦ τοῦ Θεοῦ, καὶ σωτῆρος τοῦ κόσμου,
ὅτι ἄμωμος ὑπὲρ ἀνόμων παραδοθήσεται, καὶ ἀναμάρτητος

ὑπὲρ ἀσεβῶν ἀποθανεῖται, ἐν αἵματι διαθήκης, ἐπὶ σωτηρίᾳ

ἐθνῶν καὶ Ἰσραήλ, καὶ καταργήσει Βελίαρ καὶ τοὺς ὑπηρε-

τοῦντας αὐτῷ.

Εἴδετε, τέκνα, τοῦ ἀγαθοῦ ἀνδρὸς τὸ τέλος;

μιμήσασθε ἐν ἀγαθῇ διανοίᾳ τὴν εὐσπλαγχνίαν αὐτοῦ, ἵνα

καὶ ὑμεῖς στεφάνους δόξης φορέσητε.

Ὁ ἀγαθὸς ἄνθρωπος οὐκ ἔχει σκοτεινὸν ὀφθαλμόν· ἐλεᾷ γὰρ πάντας, κἂν ὦσιν ἁμαρτωλοὶ, κἂν βουλεύωνται περὶ αὐτοῦ εἰς κακά. Οὕτως ὁ ἀγαθοποιῶν νικᾷ τὸ κακόν, σκεπαζόμενος
ὑπὸ τοῦ ἀγαθοῦ· τοὺς δὲ δικαίους ἀγαπᾷ, ὡς τὴν ψυχὴν

αὐτοῦ.

Ἐάν τις δοξάζηται, οὐ φθονεῖ· ἐάν τις πλουτῇ,

οὐ ζηλοῖ· ἐάν τις ἀνδρεῖος, ἐπαινεῖ· τὸν σώφρονα πιστεύων

ὑμνεῖ· τὸν πένητα ἐλεεῖ· τῷ ἀσθενεῖ συμπαθεῖ· τὸν Θεὸν ἀνυμνεῖ·
τὸν ἔχοντα φόβον Θεοῦ, ὑπερασπίζει αὐτοῦ· τῷ ἀγαπῶντι τὸν Θεὸν συνεργεῖ· τὸν ἀθετοῦντα τὸν ὕψιστον νουθετῶν ἐπιστρέφει, καὶ τὸν ἔχοντα χάριν πνεύματος ἀγαθοῦ ἀγαπᾷ κατὰ τὴν ψυχὴν αὐτοῦ.
Ἐὰν ἔχητε ἀγαθὴν διάνοιαν, τέκνα, καὶ οἱ πονηροὶ ἄνθρωποι εἰρηνεύσωσιν ὑμῖν, καὶ οἱ ἄσωτοι αἰδεσθέντες ὑμᾶς ἐπιστρέψουσιν εἰς ἀγαθόν, καὶ οἱ πλεονέκται οὐ μόνον ἀποστήσονται τοῦ πάθους, ἀλλὰ καὶ τὰ τῆς πλεονεξίας δώσουσι τοῖς θλιβομένοις.
Ἐὰν ἦτε ἀγαθοποιοῦντες,
καὶ τὰ ἀκάθαρτα πνεύματα φεύξεται ἀφ’ ὑμῶν, καὶ αὐτὰ τὰ θηρία φεύξεται ἀφ’ ὑμῶν φοβηθέντες.
Ὅπου γὰρ ἔνι
φόβος ἀγαθῶν ἔργων εἰς διάνοιαν, τὸ σκότος ἀποδιδράσκει αὐτοῦ.
Ἐὰν γὰρ ὑβρίσῃ τις ἄνδρα ὅσιον, μετανοεῖ·
ἐλεεῖ γὰρ ὁ ὅσιος τὸν λοίδωρον, καὶ σιωπᾷ.
Κἂν τις
ψυχὴν δικαίαν προδοίη, καὶ ὁ δίκαιος προσευχόμενος πρὸς ὀλίγον ταπεινωθῇ, μεθ’ οὗ πολὺ φαιδρότερος ἀναφαίνεται, οἷος γέγονεν Ἰωσὴφ ὁ ἀδελφός μου.
Τὸ διαβούλιον τοῦ ἀγαθοῦ ἀνδρὸς οὐκ ἔστιν ἐν χειρὶ πλάνης πνεύματος Βελίαρ· ὁ γὰρ ἄγγελος τῆς εἰρήνης ὁδηγεῖ τὴν ψυχὴν αὐτοῦ.
Οὐχ ὁρᾷ ἐμπαθῶς τοῖς φθαρτοῖς, οὐδὲ συνάγει πλοῦτον εἰς φιληδονίαν·
οὐ τέρπεται ἡδονῇ, οὐ λυπεῖ τὸν πλησίον, οὐκ ἐμπιπλᾶται τροφῆς, οὐ πλανᾶται

μετεωρισμοῖς ὀφθαλμῶν· Κύριος γάρ ἐστι μερὶς αὐτοῦ.

Τὸ ἀγαθὸν διαβούλιον οὐκ ἐπιδέχεται δόξης καὶ ἀτιμίας

ἀνθρώπων, καὶ πάντα δόλον ἢ ψεῦδος, μάχην καὶ λοιδωρίαν

οὐκ οἶδε. Κύριος γὰρ ἐν αὐτῷ κατοικεῖ, καὶ φωτίζει τὴν

ψυχὴν αὐτοῦ, καὶ χαίρει πρὸς πάντας ἐν παντὶ καιρῷ.

Ἡ ἀγαθὴ διάνοια οὐκ ἔχει δύο γλώσσας, εὐλογίας καὶ κατάρας, ὕβρεως καὶ τιμῆς, λύπης καὶ χαρᾶς, ἡσυχίας καὶ ταραχῆς,

ὑποκρίσεως καὶ ἀληθείας, πενίας καὶ πλούτου· ἀλλὰ μίαν

ἔχει περὶ πάντας εἰλικρινῆ καθαρὰν διάθεσιν.

Οὐκ ἔχει ὅρασιν, οὐδὲ ἀκοὴν διπλῆν· πᾶν γάρ, ὃ ποιεῖ, ἢ λαλεῖ, ἢ ὁρᾷ, οἶδεν ὅτι Κύριος ἐπισκέπτει ψυχὴν αὐτοῦ,

καὶ

καθαίρει τὴν διάνοιαν αὐτοῦ, πρὸς τὸ μὴ καταγνωσθῆναι

ὑπὸ Θεοῦ καὶ ἀνθρώπων· καὶ τοῦ Βελίαρ δὲ πᾶν ἔργον

διπλοῦν ἐστι, καὶ οὐκ ἔχει ἁπλότητα.

Διὰ τοῦτο, τέκνα μου, φεύγετε τὴν κακίαν τοῦ

Βελίαρ, ὅτι μάχαιραν δίδωσι τοῖς πειθομένοις αὐτῇ.

Ἡ δὲ μάχαιρα ἑπτὰ κακῶν μήτηρ ἐστί. Πρῶτον συλλαμβάνει ἡ διάνοια διὰ τοῦ Βελίαρ· ἔστι δὲ πρῶτος ὁ φθόνος· δεύτερον

ἀπώλεια· τρίτον θλῖψις· τέταρτον αἰχμαλωσία· πέμπτον

ἔνδεια· ἕκτον ταραχή· ἕβδομον ἐρήμωσις.

Διὰ τοῦτο

καὶ ὁ Κάιν ἑπτὰ ἐκδικίαις παραδίδοται ὑπὸ τοῦ Θεοῦ· κατὰ

γὰρ ἑκατὸν ἔτη μίαν πληγὴν ἐπήγαγεν αὐτῷ ὁ Κύριος.

Διακοσίων ἐτῶν πάσχει, καὶ ἐννακοσιοστῷ ἔτει ἐρημοῦται

ἐπὶ τοῦ κατακλυσμοῦ διὰ Ἄβελ τὸν δίκαιον ἀδελφὸν αὐτοῦ.

Ἐν τοῖς ἑπτακοσίοις ἔτεσιν ὁ Κάιν ἐκρίνετο, ὁ δὲ Λάμεχ ἐν τοῖς ἑβδομηκοντάκις ἑπτά· ὅτι ἕως τοῦ αἰῶνος οἱ ὁμοιούμενοι τῷ Κάιν ἐν φθόνῳ εἰς τὴν μισαδελφίαν τῇ αὐτῇ
κολάσει κριθήσονται.

Καὶ ὑμεῖς οὖν, τέκνα μου, ἀποδράσατε τὴν κακίαν, φθόνον τε καὶ τὴν μισαδελφίαν, καὶ προσκολλᾶσθε τῇ ἀγαθότητι καὶ τῇ ἀγάπῃ.

Ὁ ἔχων διάνοιαν καθαρὰν ἐν ἀγάπῃ οὐχ ὁρᾷ γυναῖκα εἰς πορνείαν· οὐ γὰρ ἔχει μιασμὸν ἐν καρδίᾳ, ὅτι ἀναπαύεται ἐν αὐτῷ τὸ πνεῦμα τοῦ Θεοῦ. Ὥσπερ γὰρ ὁ ἥλιος οὐ μιαίνεται προσέχων ἐπὶ κόπρον καὶ βόρβορον, ἀλλὰ μᾶλλον ἀμφότερα ψύγει, καὶ ἀπελαύνει τὴν δυσωδίαν, οὕτω καὶ ὁ καθαρὸς νοῦς ἐν τοῖς μιασμοῖς τῆς γῆς συνεχόμενος μᾶλλον οἰκοδομεῖ, αὐτὸς δὲ οὐ μιαίνεται.

Ὑπονοῶ δὲ καὶ πράξεις ἐν ὑμῖν οὐ καλὰς ἔσεσθαι, ἀπὸ λόγων Ἐνὼχ τοῦ δικαίου. Πορνεύσετε γὰρ πορνείαν Σοδόμων, καὶ ἀπώλησθε ἕως βραχύ, καὶ ἀνανεώσησθε ἐν γυναιξὶ στρίνους, καὶ ἡ βασιλεία Κυρίου οὐκ ἔσται ἐν ὑμῖν· ὅτι εὐθὺς αὐτὸς λήψεται αὐτήν.

Πλὴν ἐν μερίδι ὑμῶν γενήσεται ὁ ναὸς τοῦ Θεοῦ, καὶ ἔνδοξος ἔσται ἐν ὑμῖν. Ὅτι αὐτὸς λήψεται αὐτήν, καὶ δώδεκα φυλαὶ ἐκεῖ συναχθήσονται, καὶ πάντα τὰ ἔθνη· ἕως οὗ ὁ ὕψιστος ἀποστείλῃ τὸ σωτήριον αὐτοῦ, ἐν ἐπισκοπῇ μονογενοῦς.

Καὶ εἰσελεύσεται εἰς τὸν πρῶτον ναόν, καὶ ἐκεῖ Κύριος ὑβρισθήσεται, καὶ ἐξουθενωθήσεται, καὶ ἐπὶ ξύλου ὑψωθήσεται.

Καὶ ἔσται τὸ ἄπλωμα τοῦ ναοῦ σχιζόμενον, καὶ καταβήσεται τὸ πνεῦμα τοῦ Θεοῦ ἐπὶ τὰ ἔθνη, ὡς πῦρ ἐκχυνόμενον. Καὶ ἀνελθὼν ἐκ τοῦ ᾅδου, ἔσται ἀναβαίνων ἀπὸ γῆς εἰς οὐρανόν. Ἔγνω δὲ οἷος ἔσται ταπεινὸς ἐπὶ γῆς, καὶ οἷος ἔνδοξος ἐν οὐρανῷ.

Ὅτι δὲ Ἰωσὴφ ἦν ἐν Αἰγύπτῳ, ἐπεθύμουν ἰδεῖν

τὴν εἰδέαν αὐτοῦ καὶ τὴν μορφὴν τῆς ὄψεως αὐτοῦ· καὶ δι’ εὐχῶν Ἰακὼβ τοῦ πατρός μου εἶδον αὐτόν, ἐν ἡμέρᾳ γρηγορῶν, καθ’ ὃ ἦν πᾶσα ἡ εἰδέα αὐτοῦ.

Γινώσκετε οὖν, τέκνα μου, ὅτι ἀποθνήσκω.

Ποιήσατε οὖν ἀλήθειαν καὶ δικαιοσύνην ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, καὶ κρῖμα εἰς πιστοποίησιν, καὶ τὸν νόμον Κυρίου καὶ τὰς ἐντολὰς αὐτοῦ φυλάξατε·

ταῦτα γὰρ ὑμᾶς ἀντὶ πάσης κληρονομίας διδάσκω. Καὶ ὑμεῖς οὖν δότε αὐτὰ τοῖς τέκνοις ὑμῶν εἰς κατάσχεσιν αἰώνιον. Τοῦτο γὰρ ἐποίησαν καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

Πάντα ταῦτα ἡμᾶς κατεκληρονόμησαν, εἰπόντες· Φυλάξατε τὰς ἐντολὰς τοῦ Θεοῦ, ἕως ὅτε ὁ Κύριος ἀποκαλύψῃ τὸ σωτήριον αὐτοῦ πᾶσι τοῖς ἔθνεσι.

Τότε ὄψεσθε Ἐνὼχ Νῶε καὶ Σὴμ καὶ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἀνισταμένους ἐκ δεξιῶν ἐν ἀγαλλιάσει.

Τότε καὶ ἡμεῖς ἀναστησόμεθα, ἕκαστος ἐπὶ σκῆπτρον ἡμῶν, προσκυνοῦντες τὸν βασιλέα τῶν οὐρανῶν, τὸν ἐπὶ γῆς φανέντα μορφῇ ἀνθρώπου ταπεινώσεως. Καὶ ὅσοι ἐπίστευσαν αὐτῷ ἐπὶ γῆς, συγχαρίσονται αὐτῷ·

τότε καὶ πάντες ἀναστήσονται, οἱ μὲν εἰς δόξαν, οἱ δὲ εἰς ἀτιμίαν. Καὶ κρινεῖ Κύριος ἐν πρώτοις τὸν Ἰσραήλ, περὶ τῆς εἰς αὐτὸν ἀδικίας, ὅτι παραγενάμενον Θεὸν ἐν σαρκὶ ἐλευθερωτὴν οὐκ ἐπίστευσαν.

Καὶ τότε κρινεῖ πάντα τὰ ἔθνη, ὅσα οὐκ ἐπίστευσαν αὐτῷ ἐπὶ γῆς φανέντι·

καὶ ἐλέγξει ἐν τοῖς ἐκλεκτοῖς τῶν ἐθνῶν τὸν Ἰσραήλ, ὥσπερ ἤλεγξε τὸν Ἡσαῦ ἐν τοῖς Μαδι
ναίοις, τοῖς ἀπατήσασιν ἀδελφοὺς αὐτῶν γενέσθαι διὰ τῆς
πορνείας, καὶ τῆς εἰδωλολατρείας· καὶ ἀπηλλοτριώθησαν
Θεοῦ, γενόμενοι οὐ τέκνα ἐν μερίδι φοβουμένων Κύριον·
ὑμεῖς δὲ ἐὰν πορεύεσθε ἐν ἁγιασμῷ κατὰ πρόσωπον
Κυρίου, πάλιν κατοικήσετε ἐπ' ἐλπίδι ἐν ἐμοί· καὶ συναχθή-
σεται πᾶς Ἰσραὴλ πρὸς Κύριον.

Καὶ οὐκέτι κληθήσομαι λύκος ἅρπαξ διὰ τὰς
ἁρπαγὰς ὑμῶν, ἀλλ' ἐργάτης Κυρίου, διαδιδὼν τροφὴν τοῖς ἐργαζομένοις τὸ ἀγαθόν· Καὶ ἀναστήσεται ἐκ τοῦ σπέρματός μου ἐν ὑστέροις καιροῖς ἀγαπητὸς Κυρίου,
ἀκούων ἐπὶ γῆς φωνὴν αὐτοῦ, γνῶσιν καινὴν φωτίζων πάντα
τὰ ἔθνη, φῶς γνώσεως ἐπεμβαίνων τῷ Ἰσραὴλ ἐν σωτηρίᾳ.
καὶ ἁρπάζων ὡς λύκος ἀπ' αὐτοῦ, καὶ διδοὺς τῇ συναγωγῇ
τῶν ἐθνῶν.

Καὶ ἕως συντελείας τῶν αἰώνων ἔσται ἐν συναγωγαῖς ἐθνῶν καὶ ἐν τοῖς ἄρχουσιν αὐτῶν, ὡς μουσικὸν μέλος ἐν στόματι πάντων· καὶ ἐν βίβλοις ἁγίαις ἔσται ἀναγραφόμενος, καὶ τὸ ἔργον καὶ ὁ λόγος αὐτοῦ· καὶ ἔσται ἐκλεκτὸς Θεοῦ ἕως τοῦ αἰῶνος· καὶ δι' αὐτὸν συνέτισέ με Ἰακὼβ ὁ πατήρ μου, λέγων· Αὐτὸς ἀναπληρώσει τὰ ὑστερή
ματα τῆς φυλῆς σου.

Καὶ ὡς ἐπλήρωσε τοὺς λόγους αὐτοῦ, εἶπεν·
Ἐντέλλομαι ὑμῖν, τέκνα μου, ἀνενέγκατε τὰ ὀστᾶ μου ἐξ
Αἰγύπτου, καὶ θάψατέ με εἰς Χεβρών, ἐγγὺς τῶν πατέρων
μου.

Καὶ ἀπέθανε Βενιαμὶν ἑκατὸν εἰκοσιπέντε ἐτῶν,
ἐν γήρι καλῷ· καὶ ἔθηκαν αὐτὸν ἐν παραθήκῃ.

Καὶ ἐνενηκοστῷ πρώτῳ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου, αὐτοὶ καὶ οἱ ἀδελφοὶ αὐτῶν, ἀνήγαγον τὰ ὀστᾶ
τῶν πατέρων αὐτῶν ἐν κρυφῇ, ἐν τόπῳ λεγομένῳ Χαναάν·
καὶ ἔθαψαν αὐτοὺς ἐν Χεβρών, παρὰ τοὺς πόδας τῶν πατέρων

αὐτῶν.

Καὶ αὐτοὶ ἐπέστρεψαν ἐκ γῆς Χαναάν, καὶ ᾤκησαν ἐν Αἰγύπτῳ, ἕως ἡμέρας ἐξόδου αὐτῶν ἐκ γῆς
Αἰγύπτου.

ΠΡΟΣ ΔΙΟΓΝΗΤΟΝ

Ἐπειδὴ ὁρῶ, κράτιστε Διόγνητε, ὑπερεσπουδακότα
σε τὴν θεοσέβειαν τῶν Χριστιανῶν μαθεῖν καὶ πάνυ σαφῶς
καὶ ἐπιμελῶς πυνθανόμενον περὶ αὐτῶν, τίνι τε Θεῷ
πεποιθότες καὶ πῶς θρησκεύοντες αὐτὸν <τόν> τε κόσμον
ὑπερορῶσι πάντες καὶ θανάτου καταφρονοῦσι, καὶ οὔτε
τοὺς νομιζομένους ὑπὸ τῶν Ἑλλήνων θεοὺς λογίζονται
οὔτε τὴν Ἰουδαίων δεισιδαιμονίαν φυλάσσουσι, καὶ τίνα
τὴν φιλοστοργίαν ἔχουσι πρὸς ἀλλήλους, καὶ τί δήποτε
καινὸν τοῦτο γένος ἢ ἐπιτήδευμα εἰσῆλθεν εἰς τὸν βίον νῦν
καὶ οὐ πρότερον.

Ἀποδέχομαί γε τῆς προθυμίας σε
ταύτης, καὶ παρὰ τοῦ Θεοῦ–τοῦ καὶ τὸ λέγειν καὶ τὸ
ἀκούειν ἡμῖν χορηγοῦντος–αἰτοῦμαι δοθῆναι ἐμοὶ μὲν
εἰπεῖν οὕτως ὡς μάλιστα ἂν <ἀκούσαντά> σε βελτίω γενέσθαι,
σοί τε οὕτως ἀκοῦσαι ὡς μὴ λυπηθῆναι τὸν εἰπόντα.

Ἄγε δή, καθάρας σαυτὸν ἀπὸ πάντων τῶν προκατ-
εχόντων σου τὴν διάνοιαν λογισμῶν, καὶ τὴν ἀπατῶσάν
σε συνήθειαν ἀποσκευασάμενος, καὶ γενόμενος ὥσπερ
ἐξ ἀρχῆς καινὸς ἄνθρωπος, ὡς ἂν καὶ λόγου καινοῦ, καθάπερ
καὶ αὐτὸς ὡμολόγησας, ἀκροατὴς ἐσόμενος· ἴδε μὴ μόνον
τοῖς ὀφθαλμοῖς, ἀλλὰ καὶ τῇ φρονήσει, τίνος ὑποστάσεως
ἢ τίνος εἴδους τυγχάνουσιν οὓς ἐρεῖτε καὶ νομίζετε θεούς.
Οὐχ ὁ μέν τις λίθος ἐστὶν ὅμοιος τῷ πατουμένῳ, ὁ δ’
ἐστὶ χαλκὸς οὐ κρείσσων τῶν εἰς τὴν χρῆσιν ἡμῖν κεχαλ-
κευμένων σκευῶν, ὁ δὲ ξύλον ἤδη καὶ σεσηπός, ὁ δὲ ἄργυρος
χρῄζων ἀνθρώπου τοῦ φυλάξαντος ἵνα μὴ κλαπῇ, ὁ δὲ

σίδηρος ὑπὸ ἰοῦ διεφθαρμένος, ὁ δὲ ὄστρακον, οὐδὲν τοῦ κατασκευασμένου πρὸς τὴν ἀτιμοτάτην ὑπηρεσίαν εὐπρεπέστερον;
οὐ φθαρτῆς ὕλης ταῦτα πάντα; οὐχ ὑπὸ σιδήρου καὶ πυρὸς κεχαλκευμένα; οὐχ ὃ μὲν αὐτῶν λιθοξόος ὃ δὲ χαλκεὺς ὃ δὲ ἀργυροκόπος ὃ δὲ κεραμεὺς ἔπλασεν; οὐ πρὶν ἢ ταῖς τέχναις τούτων εἰς τὴν μορφὴν τούτων ἐκτυπωθῆναι ἦν <ἕκαστον> αὐτῶν ἑκάστῳ ἔτι καὶ νῦν μεταμεμορφωμένον; οὐ τὰ νῦν, ἐκ τῆς αὐτῆς ὕλης ὄντα σκεύη γένοιτ' ἄν, εἰ τύχοι τῶν αὐτῶν τεχνιτῶν, ὅμοια τοιούτοις;
Οὐ ταῦτα πάλιν τὰ νῦν ὑφ' <ὑμῶν> προσκυνούμενα δύναιτ' ἂν ὑπὸ ἀνθρώπων σκεύη ὅμοια γενέσθαι τοῖς λοιποῖς; οὐ κωφὰ πάντα, οὐ τυφλά, οὐκ ἄψυχα, οὐκ ἀναίσθητα, οὐκ ἀκίνητα; οὐ πάντα σηπόμενα, οὐ πάντα φθειρόμενα;
ταῦτα θεοὺς καλεῖτε, τούτοις δουλεύετε,
τούτοις προσκυνεῖτε· τέλεον δ' αὐτοῖς ἐξομοιοῦσθε.
Διὰ
τοῦτο μισεῖτε Χριστιανούς, ὅτι τούτους οὐχ ἡγοῦνται θεούς.
Ὑμεῖς γὰρ οἱ νῦν νομίζοντες καὶ οἰόμενοι, οὐ πολὺ πλέον αὐτῶν καταφρονεῖτε; οὐ πολὺ μᾶλλον αὐτοὺς χλευάζετε καὶ ὑβρίζετε, τοὺς μὲν λιθίνους καὶ ὀστρακίνους σέβοντες ἀφυλάκτους, τοὺς δὲ ἀργυρέους καὶ χρυσοῦς ἐγκλείοντες ταῖς νυξί, καὶ ταῖς ἡμέραις φύλακας παρακαθιστάντες, ἵνα μὴ κλαπῶσιν;
αἷς δὲ δοκεῖτε τιμαῖς προσφέρειν, εἰ μὲν αἰσθάνονται, κολάζετε μᾶλλον αὐτούς· εἰ δὲ ἀναισθητοῦσιν, ἐλέγχοντες αἵματι καὶ κνίσαις αὐτοὺς

θρησκεύετε.

Ταῦθ’ ὑμῶν τις ὑπομεινάτω, ταῦτα ἀνασχέσθω τις ἑαυτῷ γενέσθαι. Ἀλλὰ ἄνθρωπος μὲν οὐδὲ
εἷς ταύτης τῆς κολάσεως ἑκὼν ἀνέξεται, αἴσθησιν γὰρ ἔχει
καὶ λογισμόν· ὁ δὲ λίθος ἀνέχεται, ἀναισθητεῖ γάρ· οὐκοῦν
τὴν αἴσθησιν αὐτοῦ ἐλέγχετε.

Περὶ μὲν οὖν τοῦ μὴ
δεδουλῶσθαι Χριστιανοὺς τοιούτοις θεοῖς πολλὰ μὲν καὶ
ἄλλα εἰπεῖν ἔχοιμι· εἰ δέ τινι μὴ δοκοίη κἂν ταῦτα ἱκανά,
περισσὸν ἡγοῦμαι καὶ τὸ πλείω λέγειν.

Ἑξῆς δὲ περὶ τοῦ μὴ κατὰ τὰ αὐτὰ Ἰουδαίοις θεοσε-
βεῖν αὐτοὺς οἶμαί σε μάλιστα ποθεῖν ἀκοῦσαι.

Ἰουδαῖοι
τοίνυν, εἰ μὲν ἀπέχονται ταύτης τῆς προειρημένης λατ-
ρείας, καὶ εἰς θεὸν ἕνα <πιστεύειν καὶ τοῦτον> τῶν πάντων
σέβειν [καὶ] δεσπότην, ἀξιοῦσι <φρονίμως>· εἰ δὲ τοῖς
προειρημένοις ὁμοιοτρόπως τὴν θρησκείαν προσάγουσιν
αὐτῷ ταύτην, διαμαρτάνουσιν.

Ἃ γὰρ τοῖς ἀναισθήτοις
καὶ κωφοῖς προσφέροντες οἱ Ἕλληνες ἀφροσύνης δεῖγμα
παρέχουσι, ταῦθ’ οὗτοι, καθάπερ προσδεομένῳ τῷ θεῷ
λογιζόμενοι παρέχειν, μωρίαν εἰκὸς μᾶλλον ἡγοῖντ’ ἄν, οὐ
θεοσέβειαν.

Ὁ γὰρ ποιήσας τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ πᾶσιν ἡμῖν χορηγῶν,
ὧν προσδεόμεθα, οὐδενὸς ἂν αὐτὸς προσδέοιτο τούτων ὧν
τοῖς οἰομένοις διδόναι παρέχει αὐτός.

Οἱ δέ γε θυσίας αὐτῷ δι’ αἵματος καὶ κνίσης καὶ ὁλοκαυτωμάτων ἐπιτελεῖν

οἰόμενοι καὶ ταύταις ταῖς τιμαῖς αὐτὸν γεραίρειν, οὐδέν μοι δοκοῦσι διαφέρειν τῶν εἰς τὰ κωφὰ τὴν αὐτὴν <ἐνδεικνυμένων> φιλοτιμίαν, <τὰ> μὴ <δυνάμενα> τῆς τιμῆς
μεταλαμβάνειν. Τὸ δὲ δοκεῖν τινὰ παρέχειν τῷ μηδενὸς προσδεομένῳ <***>

Ἀλλὰ μὴν τό γε περὶ τὰς βρώσεις αὐτῶν ψοφοδεές,
καὶ τὴν περὶ τὰ σάββατα δεισιδαιμονίαν, καὶ τὴν τῆς περι
τομῆς ἀλαζονείαν, καὶ τὴν τῆς νηστείας καὶ νουμηνίας
εἰρωνείαν, καταγέλαστα καὶ οὐδενὸς ἄξια λόγου, <οὐ>
νομίζω σε χρῄζειν παρ' ἐμοῦ μαθεῖν.

Τό τε γὰρ τῶν ὑπὸ τοῦ Θεοῦ κτισθέντων εἰς χρῆσιν ἀνθρώπων ἃ μὲν ὡς
καλῶς κτισθέντα παραδέχεσθαι, ἃ δ' ὡς ἄχρηστα καὶ
περισσὰ παραιτεῖσθαι, πῶς <οὖν> θέμις ἐστί;
τὸ δὲ
καταψεύδεσθαι Θεοῦ ὡς κωλύοντος ἐν τῇ τῶν σαββάτων
ἡμέρᾳ καλόν τι ποιεῖν, πῶς οὐκ ἀσεβές;
τὸ δὲ καὶ τὴν
μείωσιν τῆς σαρκὸς μαρτύριον ἐκλογῆς ἀλαζονεύεσθαι ὡς
διὰ τοῦτο ἐξαιρέτως ἠγαπημένους ὑπὸ Θεοῦ, πῶς οὐ χλεύης
ἄξιον;
τὸ δὲ παρεδρεύοντας αὐτοὺς ἄστροις καὶ σελήνῃ
τὴν παρατήρησιν τῶν μηνῶν καὶ τῶν ἡμερῶν ποιεῖσθαι,
καὶ τὰς οἰκονομίας Θεοῦ καὶ τὰς τῶν καιρῶν ἀλλαγὰς
<καταδιαιρεῖν> πρὸς τὰς αὐτῶν ὁρμάς, ἃς μὲν εἰς ἑορτάς,
ἃς δὲ εἰς πένθη· τίς ἂν θεοσεβείας καὶ οὐκ ἀφροσύνης πολὺ
πλέον ἡγήσεται τὸ δεῖγμα;
τῆς μὲν οὖν κοινῆς εἰκαιότη-
τος καὶ ἀπάτης καὶ τῆς Ἰουδαίων πολυπραγμοσύνης καὶ
ἀλαζονείας <ὡς> ὀρθῶς ἀπέχονται Χριστιανοί, ἀρκούντως
<σε> νομίζω μεμαθηκέναι. Τὸ δὲ τῆς ἰδίας αὐτῶν θεοσεβείας

μυστήριον μὴ προσδοκήσῃς δύνασθαι παρὰ ἀνθρώπου μαθεῖν.

Χριστιανοὶ γὰρ οὔτε γῇ οὔτε φωνῇ οὔτε ἔσθεσι διακεκριμένοι τῶν λοιπῶν εἰσιν ἀνθρώπων.

Οὔτε γάρ

που πόλεις ἰδίας κατοικοῦσιν οὔτε διαλέκτῳ τινὶ παρηλλαγμένῃ χρῶνται οὔτε βίον παράσημον ἀσκοῦσιν.

Οὐ μὴν ἐπινοίᾳ τινὶ καὶ φροντίδι πολυπραγμόνων ἀνθρώπων <μάθημα> τοῦτ’ αὐτοῖς ἐστὶν εὑρημένον, οὐδὲ δόγματος ἀνθρωπίνου προεστᾶσιν ὥσπερ ἔνιοι.

Κατοικοῦντες δὲ

πόλεις Ἑλληνίδας τε καὶ βαρβάρους ὡς ἕκαστος ἐκληρώθη, <καὶ> τοῖς ἐγχωρίοις ἔθεσιν ἀκολουθοῦντες ἔν τε ἐσθῆτι καὶ διαίτῃ καὶ τῷ λοιπῷ βίῳ, θαυμαστὴν καὶ ὁμολογουμένως παράδοξον ἐνδείκνυνται τὴν κατάστασιν τῆς ἑαυτῶν πολιτείας.

Πατρίδας οἰκοῦσιν ἰδίας, ἀλλ’ ὡς πάροικοι· μετέχουσι πάντων ὡς πολῖται, καὶ πανθ’ ὑπομένουσιν ὡς ξένοι· πᾶσα ξένη πατρίς ἐστιν αὐτῶν, καὶ πᾶσα πατρὶς ξένη.

Γαμοῦσιν ὡς πάντες, τεκνογονοῦσιν· ἀλλ’ οὐ ·ίπτουσι τὰ γεννώμενα.

Τράπεζαν κοινὴν παρατίθενται, ἀλλ’ οὐ <κοίτην>.

Ἐν σαρκὶ τυγχάνουσιν, ἀλλ’ οὐ κατὰ σάρκα ζῶσιν.

Ἐπὶ γῆς διατρίβουσιν, ἀλλ’ ἐν οὐρανῷ πολιτεύονται.

Πείθονται τοῖς ὡρισμένοις νόμοις, καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους.

Ἀγαπῶσι πάντας, καὶ ὑπὸ πάντων διώκονται.

Ἀγνοοῦνται, καὶ κατακρίνονται· θανατοῦνται, καὶ ζωοποιοῦνται.

Πτωχεύουσι, καὶ πλουτίζουσι πολλούς· πάντων ὑστεροῦνται, καὶ ἐν πᾶσι
περισσεύουσιν.

Ἀτιμοῦνται, καὶ ἐν ταῖς ἀτιμίαις δοξά

ζονται· βλασφημοῦνται, καὶ δικαιοῦνται.

Λοιδοροῦνται

καὶ εὐλογοῦσιν· ὑβρίζονται, καὶ τιμῶσιν.

Ἀγαθοποι-

οῦντες ὡς κακοὶ κολάζονται· κολαζόμενοι χαίρουσιν ὡς

ζωοποιούμενοι.

Ὑπὸ Ἰουδαίων ὡς ἀλλόφυλοι πολε

μοῦνται, καὶ ὑπὸ Ἑλλήνων διώκονται, καὶ τὴν αἰτίαν τῆς

ἔχθρας εἰπεῖν οἱ μισοῦντες οὐκ ἔχουσιν.

Ἁπλῶς δ’ εἰπεῖν, ὅπερ ἐστὶν ἐν σώματι ψυχή, τοῦτ’

εἰσὶν ἐν κόσμῳ Χριστιανοί.

Ἔσπαρται κατὰ πάντων

τῶν τοῦ σώματος μελῶν ἡ ψυχή, καὶ Χριστιανοὶ κατὰ

τὰς τοῦ κόσμου πόλεις.

Οἰκεῖ μὲν ἐν τῷ σώματι ψυχή,

οὐκ ἔστι δὲ ἐκ τοῦ σώματος· καὶ Χριστιανοὶ ἐν κόσμῳ

οἰκοῦσιν, οὐκ εἰσὶ δὲ ἐκ τοῦ κόσμου.

Ἀόρατος ἡ ψυχὴ ἐν ὁρατῷ φρουρεῖται τῷ σώματι· καὶ Χριστιανοὶ γινώσ-
κονται <μὲν ὄντες> ἐν τῷ κοσμῷ, ἀόρατος δὲ αὐτῶν ἡ

θεοσέβεια μένει.

Μισεῖ τὴν ψυχὴν ἡ σὰρξ καὶ πολεμεῖ

μηδὲν ἀδικουμένη, δίοτι ταῖς ἡδοναῖς κωλύεται χρῆσθαι·

μισεῖ καὶ Χριστιανοὺς ὁ κόσμος μηδὲν ἀδικούμενος, ὅτι

ταῖς ἡδοναῖς ἀντιτάσσονται.

Ἡ ψυχὴ τὴν μισοῦσαν ἀγαπᾷ σάρκα καὶ τὰ μέλη· καὶ Χριστιανοὶ τοὺς μισοῦντας
ἀγαπῶσιν.

Ἐγκέκλεισται μὲν ἡ ψυχὴ τῷ σώματι, συνέχει
δὲ αὐτὴ τὸ σῶμα· καὶ Χριστιανοὶ κατέχονται μὲν ὡς ἐν
φρουρᾷ τῷ κόσμῳ, αὐτοὶ δὲ συνέχουσι τὸν κόσμον.

Ἀθά-
νατος ἡ ψυχὴ ἐν θνητῷ σκηνώματι κατοικεῖ· καὶ Χριστιανοὶ
παροικοῦσιν ἐν φθαρτοῖς, τὴν ἐν οὐρανοῖς ἀφθαρσίαν προσ
δεχόμενοι.

Κακουργουμένη σιτίοις καὶ ποτοῖς ἡ ψυχὴ
βελτιοῦται· καὶ Χριστιανοὶ κολαζόμενοι καθ' ἡμέραν
πλεονάζουσι μᾶλλον.

Εἰς τοσαύτην αὐτοὺς τάξιν ἔθετο ὁ Θεός, ἣν οὐ θεμιτὸν αὐτοῖς παραιτήσασθαι.

Οὐ γὰρ ἐπίγειον, ὡς ἔφην, εὕρημα τοῦτ' αὐτοῖς παρε-
δόθη, οὐδὲ θνητὴν ἐπίνοιαν φυλάσσειν οὕτως ἀξιοῦσιν
ἐπιμελῶς, οὐδὲ ἀνθρωπίνων οἰκονομίαν μυστηρίων πεπίσ-
τευνται.

Ἀλλ' αὐτὸς ἀληθῶς ὁ παντοκράτωρ καὶ παντο-
κτίστης καὶ ἀόρατος Θεός, αὐτὸς ἀπ' οὐρανῶν τὴν Ἀλήθειαν
καὶ τὸν Λόγον τὸν ἅγιον καὶ ἀπερινόητον ἀνθρώποις ἐνίδρυσε
καὶ ἐγκατεστήριξε ταῖς καρδίαις αὐτῶν, οὐ καθάπερ ἄν τις
εἰκάσειεν ἀνθρώποις ὑπηρέτην τινὰ πέμψας ἢ ἄγγελον ἢ
ἄρχοντα ἤ τινα τῶν διεπόντων τὰ ἐπίγεια ἤ τινα τῶν πεπισ-
τευμένων τὰς ἐν οὐρανοῖς διοικήσεις, ἀλλ' αὐτὸν τὸν τεχνίτην
καὶ δημιουργὸν τῶν ὅλων, ᾧ τοὺς οὐρανοὺς ἔκτισεν, ᾧ τὴν
θάλασσαν ἰδίοις ὅροις ἐνέκλεισεν, οὗ τὰ μυστήρια πιστῶς
πάντα φυλάσσει τὰ στοιχεῖα, παρ' οὗ τὰ μέτρα τῶν τῆς
ἡμέρας δρόμων <ἥλιος> εἴληφε φυλάσσειν, ᾧ πειθαρχεῖ

σελήνη νυκτὶ φαίνειν κελεύοντι, ᾧ πειθαρχεῖ τὰ ἄστρα τῷ τῆς σελήνης ἀκολουθοῦντα δρόμῳ, ᾧ πάντα διατέτακται καὶ διώρισται καὶ ὑποτέτακται, οὐρανοὶ καὶ τὰ ἐν οὐρανοῖς, γῆ καὶ τὰ ἐν τῇ γῇ, θάλασσα καὶ τὰ ἐν τῇ θαλάσσῃ, πῦρ, ἀ»ρ, ἄβυσσος, τὰ ἐν ὕψεσι, τὰ ἐν βάθεσι, τὰ ἐν τῷ μεταξύ· τοῦτον πρὸς αὐτοὺς ἀπέστειλεν.

Ἀρά γε, ὡς ἀνθρώπων ἄν τις λογίσαιτο, ἐπὶ τυραννίδι καὶ φόβῳ καὶ καταπλήξει; οὐ μὲν οὖν· ἀλλ’ ἐν ἐπιεικείᾳ <καὶ> πραΰτητι ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν, ὡς θεὸν ἔπεμψεν, ὡς πρὸς ἀνθρώπους ἔπεμψεν, ὡς σόζων ἔπεμψεν, ὡς πείθων, οὐ βιαζόμενος· βία γὰρ οὐ πρόσεστι τῷ Θεῷ.

Ἔπεμψεν ὡς καλῶν, οὐ διώκων· ἔπεμψεν ὡς ἀγαπῶν, οὐ κρίνων. Πέμψει γὰρ αὐτὸν κρίνοντα, καὶ τίς αὐτοῦ τὴν παρουσίαν ὑποστήσεται;

********** **********

<Οὐχ ὁρᾷς> παραβαλλομένους θηρίοις, ἵνα ἀρνήσωνται τὸν Κύριον, καὶ μὴ νικωμένους; οὐχ ὁρᾷς ὅσῳ πλείονες κολάζονται, τοσούτῳ πλεονάζοντας ἄλλους; ταῦτα ἀνθρώπου οὐ δοκεῖ τὰ ἔργα, ταῦτα δύναμίς ἐστι Θεοῦ· ταῦτα τῆς παρουσίας αὐτοῦ <δείγματα.>

Τίς γὰρ ὅλως ἀνθρώπων ἠπίστατο τί ποτ’ ἐστὶ Θεός, πρὶν αὐτὸν ἐλθεῖν; ἢ τοὺς κενοὺς καὶ ληρώδεις ἐκείνων λόγους ἀποδέχῃ τῶν ἀξιοπίστων φιλοσόφων; ὧν οἱ μέν τινες πῦρ ἔφασαν εἶναι τὸν θεόν–οὗ μέλλουσι χωρήσειν αὐτοί, τοῦτο καλοῦσι θεόν– οἱ δὲ ὕδωρ, οἱ δ’ ἄλλο τι τῶν στοιχείων τῶν ἐκτισμένων ὑπὸ Θεοῦ.

Καίτοι γε, εἴ τις

τούτων τῶν λόγων ἀπόδεκτός ἐστι, δύναιτ’ ἂν καὶ τῶν

λοιπῶν κτισμάτων ἓν ἕκαστον ὁμοίως ἀποφαίνεσθαι Θεόν.

Ἀλλὰ ταῦτα μὲν τερατεία καὶ πλάνη τῶν γοήτων ἐστίν.

Ἀνθρώπων δὲ οὐδεὶς οὔτε <εἶδεν> οὔτε ἐγνώρισεν αὐτὸς

δὲ ἑαυτὸν ἐπέδειξεν.

Ἐπέδειξε δὲ διὰ πίστεως, ᾗ μόνῃ Θεὸν ἰδεῖν συγκεχώρηται.
Ὁ γὰρ δεσπότης καὶ δημιουργὸς τῶν ὅλων Θεός, ὁ ποιήσας τὰ πάντα καὶ κατὰ τάξιν
διακρίνας, οὐ μόνον φιλάνθρωπος ἐγένετο ἀλλὰ καὶ μακρόθυ

μος.

Ἀλλ’ οὗτος ἦν μὲν ἀεὶ τοιοῦτος, καὶ ἔστι, καὶ ἔσται· χρηστὸς καὶ ἀγαθὸς καὶ ἀόργητος καὶ ἀληθής, καὶ
μόνος ἀγαθός ἐστιν.

Ἐννοήσας δὲ μεγάλην καὶ ἄφραστον

ἔννοιαν <ἀνεκοινώσατο> μόνῳ τῷ παιδί.

Ἐν ὅσῳ μὲν

οὖν κατεῖχεν ἐν μυστηρίῳ καὶ διετήρει τὴν σοφὴν αὐτοῦ

βουλήν, ἀμελεῖν ἡμῶν καὶ ἀφροντιστεῖν ἐδόκει.

Ἐπεὶ

δὲ ἀπεκάλυψε διὰ τοῦ ἀγαπητοῦ παιδὸς καὶ ἐφανέρωσε τὰ

ἐξ ἀρχῆς ἡτοιμασμένα, πάνθ’ ἅμα παρέσχεν ἡμῖν, καὶ

μετασχεῖν τῶν εὐεργεσιῶν αὐτοῦ καὶ ἰδεῖν καὶ <νοῆσαι, ἃ>

τίς ἂν πώποτε προσεδόκησεν ἡμῶν;

Πάντ’ οὖν <ἤδη> παρ’ ἑαυτῷ σὺν τῷ παιδὶ <οἰκονο

μικώς>, μέχρι μὲν [οὖν] τοῦ πρόσθεν χρόνου εἴασεν ἡμᾶς

ὡς ἐβουλόμεθα ἀτάκτοις φοραῖς φέρεσθαι, ἡδοναῖς καὶ

ἐπιθυμίαις ἀπαγομένους, οὐ πάντως ἐφηδόμενος τοῖς

ἁμαρτήμασιν ἡμῶν, ἀλλ’ ἀνεχόμενος, οὐδὲ τῷ τότε τῆς

ἀδικίας καιρῷ συνευδοκῶν, ἀλλὰ τὸν <νῦν> τῆς δικαιοσύνης

δημιουργῶν, ἵνα ἐν τῷ τότε χρόνῳ ἐλεγχθέντες ἐκ τῶν

ἰδίων ἔργων ἀνάξιοι ζωῆς, νῦν ὑπὸ τῆς τοῦ Θεοῦ χρηστότητος ἀξιωθῶμεν, καὶ τὸ καθ' ἑαυτοὺς φανερώσαντες ἀδύνατον εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ τῇ δυνάμει τοῦ Θεοῦ δυνατοὶ γενηθῶμεν.

Ἐπεὶ δὲ πεπλήρωτο μὲν ἡ ἡμετέρα ἀδικία, καὶ τελείως πεφανέρωτο ὅτι ὁ μισθὸς αὐτῆς κόλασις καὶ θάνατος προσεδοκᾶτο, ἦλθε δὲ ὁ καιρὸς ὃν Θεὸς προέθετο λοιπὸν φανερῶσαι τὴν ἑαυτοῦ χρηστότητα καὶ δύναμιν –<ὦ> τῆς ὑπερβαλλούσης φιλανθρωπίας <καὶ ἀγάπης> τοῦ Θεοῦ· –οὐκ ἐμίσησεν ἡμᾶς οὐδὲ ἀπώσατο οὐδὲ ἐμνησικάκησεν, ἀλλὰ ἐμακροθύμησεν, ἠνέσχετο, <ἐλεῶν> αὐτὸς τὰς ἡμετέρας ἁμαρτίας ἀνεδέξατο, αὐτὸς τὸν ἴδιον υἱὸν ἀπέδοτο λύτρον ὑπὲρ ἡμῶν, τὸν ἅγιον ὑπὲρ <τῶν> ἀνόμων, τὸν ἄκακον ὑπὲρ τῶν κακῶν, τὸν δίκαιον ὑπὲρ τῶν ἀδίκων, τὸν ἄφθαρτον ὑπὲρ τῶν φθαρτῶν, τὸν ἀθάνατον ὑπὲρ τῶν θνητῶν.

Τί γὰρ ἄλλο τὰς ἁμαρτίας ἡμῶν ἠδυνήθη καλύψαι ἢ ἐκείνου δικαιοσύνη; ἐν τίνι δικαιωθῆναι δυνατὸν τοὺς ἀνόμους ἡμᾶς καὶ ἀσεβεῖς ἢ ἐν μόνῳ τῷ υἱῷ τοῦ Θεοῦ;

ὦ τῆς γλυκείας ἀνταλλαγῆς, ὦ τῆς ἀνεξιχνιάστου δημιουργίας, ὦ τῶν ἀπροσδοκήτων εὐεργεσιῶν· ἵνα ἀνομία μὲν πολλῶν ἐν δικαίῳ ἑνὶ κρυβῇ, δικαιοσύνη δὲ ἑνὸς πολλοὺς ἀνόμους δικαιώσῃ.

Ἐλέγξας οὖν ἐν μὲν τῷ πρόσθεν χρόνῳ τὸ ἀδύνατον τῆς ἡμετέρας φύσεως εἰς τὸ τυχεῖν ζωῆς, νῦν δὲ τὸν σωτῆρα δείξας δυνατὸν σόζειν καὶ τὰ ἀδύνατα, ἐξ ἀμφοτέρων ἐβουλήθη πιστεύειν ἡμᾶς τῇ χρηστότητι αὐτοῦ, αὐτὸν ἡγεῖσθαι τροφέα, πατέρα, διδάσκαλον, σύμβουλον, ἰατρόν, νοῦν, φῶς, τιμήν, δόξαν,

ἰσχύν, ζωήν, περὶ ἐνδύσεως καὶ τροφῆς μὴ μεριμνᾶν.

Ταύτην καὶ σὺ τὴν πίστιν ἐὰν ποθήσῃς, καὶ λάβῃς πρῶτον μὲν <ἐπιγνώσῃ πατέρα>.

Ὁ γὰρ Θεὸς τοὺς ἀνθρώπους ἠγάπησε, δι' οὓς ἐποίησε τὸν κόσμον, οἷς ὑπέταξε πάντα τὰ ἐν <τῇ γῇ>, οἷς λόγον ἔδωκεν, οἷς νοῦν, οἷς μόνοις <ἄνω> πρὸς οὐρανὸν ὁρᾶν ἐπέτρεψεν, οὓς ἐκ τῆς ἰδίας εἰκόνος ἔπλασε, πρὸς οὓς ἀπέστειλε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ, οἷς τὴν ἐν οὐρανῷ βασιλείαν ἐπηγγείλατο καὶ δώσει τοῖς ἀγαπήσασιν αὐτόν.

Ἐπιγνοὺς δέ, τίνος οἴει πληρωθήσεσθαι χαρᾶς; ἢ πῶς ἀγαπήσεις τὸν οὕτως προαγαπήσαντά σε; ἀγαπήσας δὲ μιμητὴς ἔσῃ αὐτοῦ τῆς χρηστότητος. Καὶ μὴ θαυμάσῃς εἰ δύναται μιμητὴς ἄνθρωπος γενέσθαι Θεοῦ· δύναται, θέλοντος αὐτοῦ.

Οὐ γὰρ τὸ καταδυναστεύειν τῶν πλησίον οὐδὲ τὸ πλέον ἔχειν βούλεσθαι τῶν ἀσθενεστέρων οὐδὲ τὸ πλουτεῖν καὶ βιάζεσθαι τοὺς ὑποδεεστέρους εὐδαιμονεῖν ἐστίν, οὐδὲ ἐν τούτοις δύναταί τις μιμήσασθαι Θεόν, ἀλλὰ ταῦτα ἐκτὸς τῆς ἐκείνου μεγαλειότητος.

Ἀλλ' ὅστις τὸ τοῦ πλησίον ἀναδέχεται βάρος, ὃς ἐν ᾧ κρείσσων ἐστὶν ἕτερον τὸν ἐλαττούμενον εὐεργετεῖν ἐθέλει, <ὃς ἃ> παρὰ τοῦ Θεοῦ λαβὼν ἔχει, ταῦτα τοῖς ἐπιδεομένοις χορηγῶν, θεὸς γίνεται τῶν λαμβανόντων, οὗτος μιμητής ἐστι Θεοῦ.

Τότε θεάσῃ τυγχάνων ἐπὶ γῆς ὅτι Θεὸς ἐν οὐρανοῖς πολιτεύεται, τότε μυστήρια Θεοῦ λαλεῖν ἄρξῃ, τότε τοὺς κολαζομένους ἐπὶ τῷ μὴ θέλειν ἀρνήσασθαι Θεὸν καὶ ἀγαπήσεις καὶ θαυμάσεις, τότε τῆς

ἀπάτης τοῦ κόσμου καὶ τῆς πλάνης καταγνώσῃ, ὅταν τὸ ἀληθῶς ἐν οὐρανῷ ζῆν <ἐπιγνῷς>, ὅταν τοῦ δοκοῦντος ἐνθάδε θανάτου καταφρονήσῃς, ὅταν τὸν ὄντως θάνατον φοβηθῇς, ὃς φυλάσσεται τοῖς κατακριθησομένοις εἰς τὸ πῦρ τὸ αἰώνιον, ὃ τοὺς παραδοθέντας αὐτῷ μέχρι τέλους κολάσει.

Τότε τοὺς ὑπομένοντας ὑπὲρ δικαιοσύνης τὸ πῦρ <τοῦτο> θαυμάσεις καὶ μακαρίσεις, ὅταν ἐκεῖνο τὸ πῦρ ἐπιγνῷς.

****
****

Οὐ ξένα ὁμιλῶ οὐδὲ παραλόγως ζητῶ, ἀλλὰ ἀποστόλων γενόμενος μαθητὴς γίνομαι διδάσκαλος ἐθνῶν, τὰ παραδοθέντα <ἀξίως> ὑπηρετῶ γινομένοις ἀληθείας μαθηταῖς.

Τίς γὰρ ὀρθῶς διδαχθεὶς καὶ λόγῳ προσφιλεῖ γεννηθεὶς οὐκ ἐπιζητεῖ σαφῶς μαθεῖν τὰ διὰ λόγου δειχθέντα φανερῶς μαθηταῖς; οἷς ἐφανέρωσεν ὁ λόγος φανείς, παρρησίᾳ λαλῶν, ὑπὸ ἀπίστων μὴ νοούμενος, μαθηταῖς δὲ διηγούμενος, οἳ πιστοὶ λογισθέντες ὑπ’ αὐτοῦ ἔγνωσαν πατρὸς μυστήρια.

οὗ χάριν ἀπέστειλε λόγον, ἵνα κόσμῳ φανῇ, ὃς ὑπὸ λαοῦ ἀτιμασθείς, διὰ ἀποστόλων κηρυχθείς, ὑπὸ ἐθνῶν ἐπιστεύθη.

Οὗτος ὁ ἀπ’ ἀρχῆς, ὁ καινὸς φανεὶς καὶ παλαιὸς εὑρεθεὶς καὶ πάντοτε νέος ἐν ἁγίων καρδίαις γεννώμενος.

Οὗτος ὁ ἀεί, <ὁ> σήμερον υἱὸς λογισθείς, δι’ οὗ πλουτίζεται ἡ ἐκκλησία καὶ χάρις ἁπλουμένη ἐν ἁγίοις πληθύνεται, παρέχουσα νοῦν, φανεροῦσα μυστήρια,

διαγγέλλουσα καιρούς, χαίρουσα ἐπὶ πιστοῖς, ἐπιζητοῦσι δωρουμένη, οἷς <ὅρκια> πίστεως οὐ θραύεται οὐδὲ ὅρια πατέρων παρορίζεται.

Εἶτα φόβος νόμου °δεται καὶ προφητῶν χάρις γινώσκεται καὶ εὐαγγελίων πίστις ἵδρυται καὶ ἀποστόλων παράδοσις φυλάσσεται καὶ ἐκκλησίας χάρις σκιρτᾷ.

Ἣν χάριν μὴ λυπῶν ἐπιγνώσῃ ἃ λόγος ὁμιλεῖ δι’ ὧν βούλεται, ὅτε θέλει.

Ὅσα γὰρ θελήματι τοῦ κελεύοντος λόγου ἐκινήθημεν ἐξειπεῖν μετὰ πόνου, ἐξ ἀγάπης τῶν ἀποκαλυφθέντων ἡμῖν γινόμεθα ὑμῖν κοινωνοί.

Οἷς ἐντυχόντες καὶ ἀκούσαντες μετὰ σπουδῆς εἴσεσθε ὅσα παρέχει ὁ Θεὸς τοῖς ἀγαπῶσιν ὀρθῶς, οἱ γενόμενοι παράδεισος τρυφῆς, πάγκαρπον ξύλον, εὐθαλοῦν, <ἀνατείλαντες> ἐν ἑαυτοῖς, ποικίλοις καρποῖς κεκοσμημένοι.

Ἐν γὰρ τούτῳ τῷ χωρίῳ ξύλον γνώσεως καὶ ξύλον ζωῆς πεφύτευται· ἀλλ’ οὐ τὸ τῆς γνώσεως ἀναιρεῖ, ἀλλ’ ἡ παρακοὴ ἀναιρεῖ.

Οὐδὲ γὰρ ἄσημα τὰ γεγραμμένα, ὡς Θεὸς ἀπ’ ἀρχῆς <ξύλον γνώσεως καὶ> ξύλον ζωῆς ἐν μέσῳ παραδείσου ἐφύτευσε, διὰ γνώσεως ζωὴν ἐπιδεικνύς.

Ἠι μὴ καθαρῶς χρησάμενοι οἱ ἀπ’ ἀρχῆς πλάνῃ τοῦ ὄφεως γεγύμνωνται.

Οὐδὲ γὰρ ζωὴ ἄνευ γνώσεως, οὐδὲ γνῶσις ἀσφαλὴς ἄνευ ζωῆς ἀληθοῦς· Διὸ πλησίον ἑκάτερον πεφύτευ
ται.

Ἣν δύναμιν ἐνιδὼν ὁ ἀπόστολος τήν τε ἄνευ ἀληθείας προστάγματος εἰς ζωὴν ἀσκουμένην γνῶσιν μεμφόμενος λέγει· ἡ γνῶσις φυσιοῖ, ἡ δὲ ἀγάπη οἰκοδομεῖ.

Ὁ γὰρ νομίζων εἰδέναι τι ἄνευ γνώσεως ἀληθοῦς καὶ μαρτυρουμένης ὑπὸ τῆς ζωῆς, οὐκ ἔγνω· ὑπὸ τοῦ ὄφεως πλανᾶται, μὴ ἀγαπήσας τὸ ζῆν. Ὁ δὲ μετὰ φόβου ἐπιγνοὺς καὶ ζωὴν ἐπιζητῶν ἐπ' ἐλπίδι φυτεύει, καρπὸν προσδοκῶν. Ἥτω σοι καρδία γνῶσις, ζωὴ δὲ λόγος ἀληθής, χωρούμε νος.

Οὗ ξύλον φέρων καὶ καρπὸν <ἐρῶν> τρυγήσεις ἀεὶ τὰ παρὰ Θεῷ ποθούμενα, ὧν ὄφις οὐχ ἅπτεται οὐδὲ πλάνη συγχρωτίζεται· οὐδὲ Εὔα φθείρεται, ἀλλὰ παρθένος πισ τεύεται.

Καὶ σωτήριον δείκνυται, καὶ ἀπόστολοι συνετί-ζονται, καὶ τὸ κυρίου πάσχα προέρχεται, καὶ <καιροὶ> συνάγονται καὶ μετὰ κόσμου ἁρμόζεται, καὶ διδάσκων ἁγίους ὁ λόγος εὐφραίνεται, δι' οὗ πατὴρ δοξάζεται· ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Ἀμήν.